


ΟΜΗΡΟΥ

ΙΛΙΑΣ ΚΑΙ ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ

ΜΕΤΑ

ΠΑΡΑΦΡΑΣΕΩΣ ΠΑΛΑΙΑΣ.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ

ΜΕΤΑ ΠΑΛΑΙΑΣ ΠΑΡΑΦΡΑΣΕΩΣ

ΕΞ ΙΔΙΟΧΕΙΡΟΥ

ΤΟΥ

ΘΕΟΔΩΡΟΥ ΓΑΖΗ

ΝΥΝ ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΙΣΗΣ

Ἧι προστίθεται καὶ Βατραχομυομαχία σὺν τῇ ἰδίᾳ παραφράσει ἐκδιδομένη τὸ δεύτερον.

ΠΑΡΑ

ΝΙΚΟΛΑΟΥ ΘΗΣΕΩΣ

ΤΟΥ ΕΚ ΤΗΣ ΚΥΠΡΟΥ.

Τόμος Γ.

ΕΝ ΦΛΩΡΕΝΤΙΑ,
ἐκ τῆς Τυπογραφίας Νικολάου Κάρλη
ᾳωιβ.



ΟΜΗΡ[illegible] [illegible]

ΜΕΤΑ [illegible] [illegible]ΡΑΣΕ[illegible]

[illegible]ΟΥ

[illegible]

ΘΕ[illegible]

ΝΥΝ ΠΡΩΤΟΝ [illegible]

῾Η. προστίθεται καὶ [illegible]

[illegible] παραφράσει [illegible]


[illegible]

Ν[illegible]

[illegible]

[illegible]

ΙΑ



ΟΜΗΡΟΥ

ΙΛΙΑΣ ΚΑΙ ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ

ΜΕΤΑ

ΠΑΡΑΦΡΑΣΕΩΣ ΠΑΛΑΙΑΣ.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩιΔΙΑ Ν.

Ζεὺς δ' ἐπεὶ οὖν Τρῶάς τε καὶ Ἕκτορα νηυσὶ πέλασσε,
Τοὺς μὲν ἔα παρὰ τῇσι πόνον τ' ἐχέμεν καὶ ὀϊζὺν
Νωλεμέως· αὐτὸς δὲ πάλιν τρέπεν ὄσσε φαεινὼ
Νόσφιν ἐφ' ἱπποπόλων Θρῃκῶν καθορώμενος αἶαν,
Μυσῶν τ' ἀγχεμάχων, καὶ ἀγαυῶν Ἱππημολγῶν,
Γαλακτοφάγων, ἀβίων τε, δικαιοτάτων ἀνθρώπων·
Ἐς Τροίην δ' οὐ πάμπαν ἔτι τρέπεν ὄσσε φαεινώ·
Οὐ γὰρ ὅγ' ἀθανάτων τίν' ἐέλπετο ὃν κατὰ θυμὸν
Ἐλθόντ', ἢ Τρώεσσιν ἀρηγέμεν, ἢ Δαναοῖσιν.
Οὐδ' ἀλαοσκοπιὴν εἶχε κρείων Ἐνοσίχθων·
Καὶ γὰρ ὁ θαυμάζων ἧστο πόλεμόν τε μάχην τε
Ὑψοῦ ἐπ' ἀκροτάτης κορυφῆς Σάμου ὑληέσσης
Θρηϊκίης· ἔνθεν γὰρ ἐφαίνετο πᾶσα μὲν Ἴδη,
Φαίνετο δὲ Πριάμοιο πόλις, καὶ νῆες Ἀχαιῶν.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑΣ Ν

ΠΑΡΑΦΡΑΣΙΣ.

Ο Ζεὺς δὲ ἐπειδὴ τοὺς Τρῶας καὶ τὸν Ἕκτορα ταῖς ναυσὶν ἐγγίσαι ἐποίησε, τούτους μὲν κατέλιπε παρ' αὐταῖς ταλαιπωρίαν κατὰ πόλεμον ἔχειν καὶ κακοπάθειαν ἀδιαλείπτως· αὐτὸς δὲ εἰς τοὐπίσω ἔτρεψε τοὺς λαμπροὺς ὀφθαλμοὺς πόῤῥω ἐπὶ τὴν γῆν τῶν ἱππικῶν Θρακῶν καθορῶν, καὶ τῶν Μυσῶν τῶν ἐκ τοῦ πλησίον μαχομένων, καὶ τῶν λαμπρῶν Ἱππομολγῶν τῶν γαλακτοφάγων, καὶ τῶν ἀβίων, τῶν δικαιοτάτων πάντων τῶν ἀνθρώπων· εἰς τὴν Τροίαν δὲ οὐδαμῶς τοῦ λοιποῦ ἔτρεπε τοὺς λαμπροὺς ὀφθαλμούς, οὐ γάρ τινα τῶν ἀθανάτων θεῶν οὗτος ἤλπιζε κατὰ τὴν ἑαυτοῦ ψυχὴν ἀφικόμενον ἢ τοῖς Τρωσὶν ἐπικουρήσειν ἢ τοῖς Ἕλλησιν. Οὐδὲ ματαίαν κατασκοπὴν εἶχεν ὁ βασιλεὺς Ποσειδῶν ὁ κινῶν τὴν γῆν· καὶ γὰρ οὗτος ἐκάθητο θαυμάζων τόν τε πόλεμον καὶ τὴν μάχην ἐν ὕψει ἐπὶ τῇ ὑψηλοτάτῃ κορυφῇ τῆς Σάμου τῆς συμφύτου καὶ ξυλώδους τῆς Θρακικῆς· ἐκεῖθεν γὰρ ἑωρᾶτο πᾶσα μὲν ἡ Ἴδη, ἑωρᾶτο δὲ ἡ πόλις τοῦ Πριάμου, καὶ αἱ νῆες τῶν Ἑλλήνων.

Ἔνθ' ἄρ' ὅγ' ἐξ ἁλὸς ἕζετ' ἰὼν, ἐλέαιρε δ' Ἀχαιοὺς
Τρωσὶν δαμναμένους, Διὶ δὲ κρατερῶς ἐνεμέσσα.
Αὐτίκα δ' ἐξ ὄρεος κατεβήσετο παιπαλόεντος,
Κραιπνὰ ποσὶ προβιβάς· τρέμε δ' οὔρεα μακρὰ καὶ ὕλη,
Ποσσὶν ὑπ' ἀθανάτοισι Ποσειδάωνος ἰόντος.
Τρὶς μὲν ὀρέξατ' ἰὼν, τὸ δὲ τέτρατον, ἵκετο τέκμωρ,
Αἰγάς· ἔνθα δέ οἱ κλυτὰ δώματα βένθεσι λίμνης,
Χρύσεα, μαρμαίροντα τετεύχαται, ἄφθιτα αἰεί.
Ἔνθ' ἐλθὼν, ὑπ' ὄχεσφι τιτύσκετο χαλκόποδ' ἵππω,
Ὠκυπέτα χρυσέῃσιν ἐθείρῃσιν κομόωντε.
Χρυσὸν δ' αὐτὸς ἔδυνε περὶ χροΐ. γέντο δ' ἱμάσθλην
Χρυσείην, εὔτυκτον, ἑοῦ δ' ἐπεβήσετο δίφρου·
Βῆ δ' ἐλάαν ἐπὶ κύματ'· ἄταλλε δὲ κήτε' ὑπ' αὐτοῦ
Πάντοθεν ἐκ κευθμῶν, οὐδ' ἠγνοίησεν ἄνακτα·
Γηθοσύνῃ δὲ θάλασσα διΐστατο· τοὶ δ' ἐπέτοντο
Ῥίμφα μάλ', οὐδ' ὑπένερθε διαίνετο χάλκεος ἄξων·
Τὸν δ' ἐς Ἀχαιῶν νῆας εὔσκαρθμοι φέρον ἵπποι.
Ἔστι δέ τι σπέος εὐρὺ βαθείης βένθεσι λίμνης,
Μεσσηγὺς Τενέδοιο καὶ Ἴμβρου παιπαλοέσσης·
Ἔνθ' ἵππους ἔστησε Ποσειδάων ἐνοσίχθων,
Λύσας ἐξ ὀχέων, παρὰ δ' ἀμβρόσιον βάλεν εἶδαρ
Ἔδμεναι· ἀμφὶ δὲ ποσσὶ πέδας ἔβαλε χρυσείας,
Ἀῤῥήκτους, ἀλύτους, ὄφρ' ἔμπεδον αὖθι μένοιεν
Νοστήσαντα ἄνακτα· ὁ δ' ἐς στρατὸν ᾤχετ' Ἀχαιῶν.
Τρῶες δὲ φλογὶ ἶσοι ἀολλέες, ἠὲ θυέλλῃ,
Ἕκτορι Πριαμίδῃ ἄμοτον μεμαῶτες ἕποντο,
Ἄβρομοι, αὐΐαχοι· ἔλποντο δὲ νῆας Ἀχαιῶν
Αἱρήσειν, κτενέειν δὲ παρ' αὐτόθι πάντας Ἀχαιούς·

ἐκεῖ δὴ οὗτος ἐκ τῆς θαλάσσης παραγενόμενος ἐκαθέζετο, ἠλέει δὲ τοὺς Ἕλληνας δαμαζομένους ὑπὸ τῶν Τρώων, τῷ Διῒ δὲ ὑπερβαλλόντως ἐμέμφετο· εὐθέως δὲ κατέβη ἐκ τοῦ ὄρους τοῦ τραχέος, ταχέως τοῖς ποσὶ προβαίνων, ἔτρεμον δὲ τὰ ὑψηλὰ ὄρη καὶ ὁ δρυμὸς ὑπὸ τῶν ἀθανάτων ποδῶν τοῦ Ποσειδῶνος πορευομένου. Τρὶς μὲν οὖν ὥρμησε πορευόμενος (ἐξέτεινε τὸ βῆμα), τὸ τέταρτον δὲ κατέλαβε τὸ τέλος, τὰς Αἰγὰς, τὴν νῆσον· ἐκεῖ δ' αὐτῷ ἔνδοξα οἰκήματα ἐν τῷ βάθει τῆς θαλάσσης, χρυσᾶ, ὑπέρλαμπρα κατεσκεύασται ἄφθαρτα τὸν πάντα χρόνον· ἐκεῖ παραγενόμενος ὑπεζεύγνυε τῷ ὀχήματι τοὺς στερεόποδας ἵππους τοὺς ταχέως τρέχοντας, τοὺς χρυσαῖς θριξὶν τετριχωμένους, χρυσὸν δὲ αὐτὸς ἐνεδύσατο περὶ τὸ σῶμα, ἔλαβε δὲ χρυσῆν μάστιγα καλῶς κατεσκευασμένην, ἐπέβη δὲ τοῦ ἑαυτοῦ δίφρου, ὥρμησε δὲ ἐλαύνειν κατὰ τῶν κυμάτων, ἐσκίρτων δὲ καὶ ἔχαιρον οἱ παμμεγέθεις ἰχθύες δι' αὐτὸν πανταχόθεν ἐκ τῶν καταδύσεων, οὐδὲ ἠγνόησαν τὸν ἑαυτῶν βασιλέα, χαρᾷ δὲ ἡ θάλασσα διεχωρίζετο· οἱ δὲ ἔτρεχον πάνυ ταχέως, οὐδὲ κάτωθεν διεβρέχετο ὁ σιδηροῦς ἄξων· τοῦτον δὲ εἰς τὰς ναῦς τῶν Ἑλλήνων οἱ εὐκίνητοι καὶ ταχεῖς ἵπποι ἔφερον· ἔστι δέ τι σπήλαιον πλατὺ ἐν τοῖς βάθεσι τῆς βαθείας θαλάσσης μεταξὺ τῆς Τενέδου καὶ τῆς Ἴμβρου τῆς τραχείας, ἐκεῖ τοὺς ἵππους ἔστησε Ποσειδῶν ὁ κινῶν τὴν γῆν, λύσας αὐτοὺς ἐκ τοῦ ὀχήματος· παρέβαλε δὲ καὶ παρέθηκε θείαν τροφὴν ἐσθίειν, περὶ τοὺς πόδας δὲ ἔβαλε χρυσοῦς δεσμοὺς ἀῤῥαγεῖς καὶ ἀλύτους, ὅπως ἀσφαλῶς (ἀκινήτως) αὐτόθι παραμένοιεν τὸν βασιλέα ἐπανιόντα· οὗτος δὲ εἰς τὸν στρατὸν ἐπορεύθη τῶν Ἑλλήνων. Οἱ Τρῶες δὲ ὅμοιοι φλογὶ καὶ συστροφῇ ἀνέμου ἀθρόοι, ἀπληρώτως προθύμως ὁρμῶντες, ἠκολούθουν Ἕκτορι τῷ υἱῷ τοῦ Πριάμου πολύηχοι, θορυβώδεις, ἤλπιζον δὲ τὰς ναῦς τῶν Ἑλλήνων ἀφανίσειν, ἀναιρήσειν δὲ αὐτόθι πάντας τοὺς

Ἀλλὰ Ποσειδάων γαιήοχος, ἐννοσίγαιος,
Ἀργείους ὤτρυνε, βαθείης ἐξ ἁλὸς ἐλθὼν,
Εἰσάμενος Κάλχαντι δέμας καὶ ἀτειρέα φωνήν·
Αἴαντε πρώτω προσέφη, μεμαῶτε καὶ αὐτώ·
Αἴαντε, σφὼ μέν τε σαώσετε λαὸν Ἀχαιῶν,
Ἀλκῆς μνησαμένω, μηδὲ κρυεροῖο φόβοιο.
Ἄλλῃ μὲν γὰρ ἔγωγ᾽ οὐ δείδια χεῖρας ἀάπτους
Τρώων, οἳ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ·
Ἕξουσι γὰρ πάντας ἐϋκνήμιδες Ἀχαιοί·
Τῇ δὲ δὴ αἰνότατον περιδείδια, μή τι πάθωμεν,
Ἧι ῥ᾽ ὅγ᾽ ὁ λυσσώδης, φλογὶ εἴκελος, ἡγεμονεύει
Ἕκτωρ, ὃς Διὸς εὔχετ᾽ ἐρισθενέος πάϊς εἶναι.
Σφῶϊν δ᾽ ὧδε θεῶν τις ἐνὶ φρεσὶ ποιήσειεν,
Αὐτώ θ᾽ ἑστάμεναι κρατερῶς, καὶ ἀνωγέμεν ἄλλους·
Τῷ κε καὶ ἐσσύμενόν περ ἐρωήσαιτ᾽ ἀπὸ νηῶν
Ὠκυπόρων, εἰ καί μιν Ὀλύμπιος αὐτὸς ἐγείρει.
Ἦ, καὶ σκηπανίῳ γαιήοχος Ἐννοσίγαιος
Ἀμφοτέρω κεκοπὼς, πλῆσεν μένεος κρατεροῖο,
Γυῖα δὲ θῆκεν ἐλαφρὰ πόδας καὶ χεῖρας ὕπερθεν.
Αὐτὸς δ᾽, ὥστ᾽ ἴρηξ ὠκύπτερος ὦρτο πέτεσθαι,
Ὅς ῥά τ᾽ ἀπ᾽ αἰγίλιπος πέτρης περιμήκεος ἀρθεὶς
Ὁρμήσῃ πεδίοιο διώκειν ὄρνεον ἄλλο·
Ὣς ἀπὸ τῶν ἤϊξε Ποσειδάων ἐνοσίχθων.
Τοῖϊν δ᾽ ἔγνω πρόσθεν Ὀϊλῆος ταχὺς Αἴας·
Αἶψα δ᾽ ἄρ᾽ Αἴαντα προσέφη Τελαμώνιον υἱόν·
Αἶαν, ἐπεί τις νῶϊ θεῶν, οἳ Ὄλυμπον ἔχουσι,
Μάντεϊ εἰδόμενος κέλεται παρὰ νηυσὶ μάχεσθαι·
Οὐδ᾽ ὅγε Κάλχας ἐστὶ, θεοπρόπος οἰωνιστής·

Ἕλληνας· ἀλλὰ Ποσειδῶν ὁ τὴν γῆν συνέχων, καὶ κινῶν αὐτὴν, τοὺς Ἕλληνας διήγειρεν, ἐκ τῆς βαθείας θαλάσσης ἀφικόμενος, ὁμοιωθεὶς Κάλχαντι κατὰ τὸ σῶμα καὶ τὴν ἀκαταπόνητον φωνήν. πρὸς τοὺς Αἴαντας πρῶτον εἶπε, προθυμουμένους καὶ αὐτούς· Ὦ Αἴαντες, ὑμεῖς γε μὴν σώσετε τὸν στρατὸν τῶν Ἑλλήνων, ἰσχύος μνησθέντες, καὶ οὐ φρικτῆς καὶ φοβερᾶς φυγῆς· κατ' ἄλλην μὲν γὰρ παράταξιν οὐ δέδοικα ἔγωγε τὰς ἀπροσπελάστους χεῖρας τῶν Τρώων, οἳ τῷ πλήθει ὑπερέβησαν τὸ μέγα τεῖχος· κωλύσουσι γὰρ ἅπαντας οἱ εὔοπλοι Ἕλληνες: ἐνταῦθα δὲ χαλεπώτατα δέδοικα μή τι πάθωμεν, ὅπου ὁ μαινόμενος, ὅμοιος φλογὶ, ἡγεῖται τοῦ στρατοῦ Ἕκτωρ· ὅς καυχᾶται εἶναι υἱὸς τοῦ μεγαλοδυνάμου Διός· ὑμῖν δὲ εἴθε τις τῶν θεῶν οὕτως ἐν τῇ διανοίᾳ ποιήσειεν, ὥστε ὑμᾶς τε ἰσχυρῶς καὶ γενναίως ἑστάναι, καὶ τοὺς ἄλλους ὀτρύνειν, οἵ γ' ἂν καίπερ ἐφορμῶντα ἀποστρέψετε καὶ ἀπελάσετε τῶν νεῶν τῶν ταχειῶν, ἐὰν καὶ ὁ Ζεὺς αὐτὸς παροξύνῃ αὐτόν. Εἶπε, καὶ τῷ σκήπτρῳ ὁ τὴν γῆν συνέχων καὶ κινῶν αὐτὴν ἀμφοτέρους πλήξας, ἐπλήρωσεν ἰσχυρᾶς εὐτολμίας, τὰ μέλη δὲ αὐτῶν ἐποίησε κοῦφα, τοὺς πόδας καὶ τὰς χεῖρας ἄνωθεν· αὐτὸς δὲ ὥσπερ ἱέραξ ταχὺς εἰς τὸ πέτεσθαι ὥρμησεν· ὅς δὴ ἀπὸ ὑψηλῆς πέτρας ὑπερμεγέθους ἐπαρθεὶς, καὶ ἀποπτὰς ὁρμήσῃ διὰ τοῦ πεδίου διώκειν ὄρνεον ἕτερον τῷ εἴδει· οὕτως ἀπὸ τούτων ὥρμησε Ποσειδῶν ὁ κινῶν τὴν γῆν. τούτων δὲ πρότερος ὁ τοῦ Ὀϊλέως ταχὺς Αἴας ἐνόησε, ταχέως δὲ πρὸς τὸν τοῦ Τελαμῶνος υἱὸν Αἴαντα εἶπεν. Ὦ Αἶαν, ἐπειδή τις ἡμᾶς τῶν θεῶν, οἳ τὸν οὐρανὸν κατοικοῦσιν, ὁμοιωθεὶς τῷ μάντει προτρέπει πολεμεῖν παρὰ ταῖς ναυσίν· οὐ γὰρ οὗτός γε Κάλχας ἐστὶν ὁ ἐκ θεοῦ προλέγων οἰωνοσκόπος, τὰ γὰρ ἴχνη τῶν ποδῶν ὄπισθεν καὶ τῶν

Ἴχνια γὰρ μετόπισθε ποδῶν ἠδὲ κνημάων
Ῥεῖ' ἔγνων ἀπιόντος· ἀρίγνωτοι δὲ θεοί περ·
Καὶ δ' ἐμοὶ αὐτῷ θυμὸς ἐνὶ στήθεσσι φίλοισι
Μᾶλλον ἐφορμᾶται πολεμίζειν ἠδὲ μάχεσθαι,
Μαιμώωσι δ' ἔνερθε πόδες καὶ χεῖρες ὕπερθε.
Τὸν δ' ἀπαμειβόμενος προσέφη Τελαμώνιος Αἴας·
Οὕτω νῦν καὶ ἐμοὶ περὶ δούρατι χεῖρες ἄαπτοι
Μαιμῶσιν, καί μοι μένος ὤρορε· νέρθε δὲ ποσσὶν
Ἔσσυμαι ἀμφοτέροισι· μενοινώω δὲ καὶ αὐτὸς
Ἕκτορι Πριαμίδῃ, ἄμοτον μεμαῶτι, μάχεσθαι.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον,
Χάρμῃ γηθόσυνοι, τήν σφι θεὸς ἔμβαλε θυμῷ.
Τόφρα δὲ τοὺς ὄπιθεν Γαιήοχος ὦρσεν Ἀχαιοὺς,
Οἳ παρὰ νηυσὶ θοῇσιν ἀνέψυχον φίλον ἦτορ·
Τῶν ῥ' ἅμα τ' ἀργαλέῳ καμάτῳ φίλα γυῖα λέλυντο,
Καί σφιν ἄχος κατὰ θυμὸν ἐγίνετο δερκομένοισι
Τρῶας, τοὶ μέγα τεῖχος ὑπερκατέβησαν ὁμίλῳ.
Τοὺς οἵγ' εἰσορόωντες, ὑπ' ὀφρύσι δάκρυα λεῖβον·
Οὐ γὰρ ἔφαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ· ἀλλ' Ἐνοσίχθων
Ῥεῖα μετεισάμενος κρατερὰς ὤτρυνε φάλαγγας.
Τεῦκρον ἐπὶ πρῶτον καὶ Λήϊτον ἦλθε κελεύων,
Πηνέλεών θ' ἥρωα, Θόαντά τε, Δηΐπυρόν τε,
Μηριόνην τε, καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς·
Τοὺς ὅγ' ἐποτρύνων, ἔπεα πτερόεντα προσηύδα·
Αἰδὼς, Ἀργεῖοι, κοῦροι νέοι· ὔμμιν ἔγωγε
Μαρναμένοισι πέποιθα σαωσέμεναι νέας ἁμάς·
Εἰ δ' ὑμεῖς πολέμοιο μεθήσετε λευγαλέοιο,
Νῦν δὴ εἴδεται ἦμαρ, ὑπὸ Τρώεσσι δαμῆναι.

κνημῶν κατενόησα ῥαδίως ἀπερχομένου, εὔγνωστοι δὲ εἰσιν οἱ θεοί· καὶ δὴ ἐμοὶ αὐτῷ ἡ ψυχὴ ἐν τοῖς ἀγαπητοῖς στήθεσι μᾶλλον προτρέπεται πολεμεῖν καὶ μάχεσθαι, μετὰ προθυμίας δὲ ὁρμῶσι κάτωθεν οἱ πόδες καὶ αἱ χεῖρες ἄνωθεν. Πρὸς τοῦτον δὲ ἀποκρινόμενος εἶπεν Αἴας ὁ Τελαμῶνος. Οὕτως ἐν τῷ παρόντι κἀμοὶ περὶ τὸ δόρυ αἱ χεῖρες ἀπροσπέλαστοι προθύμως ὁρμῶσι, καί μοι ἡ ἰσχὺς ὥρμηται, κάτωθεν δὲ τοῖς ποσὶν ὥρμημαι ἀμφοτέροις· προθυμοῦμαι δὲ καὶ ἐγὼ πολεμεῖν Ἕκτορι τῷ υἱῷ τοῦ Πριάμου, ἀπληρώτως μετὰ προθυμίας ὁρμῶντι. Οὕτως οὗτοι μὲν τοιαῦτα πρὸς ἀλλήλους ἔλεγον χαίροντες διὰ τὴν μάχην, ἣν αὐτοῖς ὁ θεὸς ἐνέβαλε τῇ ψυχῇ. Τηνικαῦτα δὲ τοὺς Ἕλληνας διήγειρεν ὁ τὴν γῆν συνέχων, οἳ παρὰ ταῖς ναυσὶν ταῖς ταχείαις ἀνέπαυον τὴν ἀγαπητὴν ψυχὴν, ἤτοι τὸ πνεῦμα· ὧν δὴ ἅμα καὶ ταλαιπωρίᾳ χαλεπῇ τὰ προσφιλῆ μέλη παρελύθησαν, καὶ λύπη αὐτοῖς κατὰ τὴν ψυχὴν ἐγίνετο ὁρῶσι τοὺς Τρῶας, οἳ τῷ πλήθει ὑπερέβησαν τὸ μέγα τεῖχος. τούτους οὗτοι βλέποντες ὑπὸ ταῖς ὀφρύσιν ἐδακρυῤῥόουν· οὐ γὰρ ᾤοντο ἐκφεύξεσθαι τὸ δεινόν· ἀλλ' ὁ κινῶν τὴν γῆν ῥαδίως πρὸς αὐτοὺς ἀφικόμενος, παρώξυνε τὰς τάξεις· πρῶτον δ' ἐπὶ τὸν Τεῦκρον ἦλθε καὶ τὸν Λήϊτον προτρέπων, καὶ τὸν ἥρωα Πηνέλαον, καὶ τὸν Θόαντα, καὶ τὸν Δηΐπυρον, καὶ τὸν Μηριόνην, καὶ τὸν Ἀντίλοχον, τοὺς ἐπιστήμονας τῆς μάχης· τούτους οὗτος διεγείρων λόγους ταχεῖς ἔλεγεν· Αἰσχύνη ἔστω, ὦ Ἕλληνες, νέοι νεανίαι, ἔγωγε ὑμῖν μαχομένοις θαῤῥῶ σώσειν τὰς ἐμὰς ναῦς, εἰ δὲ ὑμεῖς καταλείψετε τὸν δεινὸν καὶ ὀλέθριον θάνατον, νῦν δὴ ἀνεφάνη ἡμέρα ἀναιρεθῆναι ὑπὸ τῶν Τρώων.

Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι,
Δεινὸν, ὃ οὔποτ' ἔγωγε τελευτήσεσθαι ἔφασκον,
Τρῶας ἐφ' ἡμετέρας ἰέναι νέας· οἳ τοπάρος περ
Φυζακινῆς ἐλάφοισιν ἐοίκεσαν, αἵτε καθ' ὕλην
Θώων, πορδαλίων τε, λύκων τ' ἤϊα πέλονται,
Αὔτως ἠλάσκουσαι, ἀνάλκιδες, οὐδ' ἐπὶ χάρμη·
Ὣς Τρῶες τοπρίν γε μένος καὶ χεῖρας Ἀχαιῶν
Μίμνειν οὐκ ἐθέλεσκον ἐναντίον, οὐδ' ἠβαιόν.
Νῦν δ' ἕκαθεν πόλιος κοίλης ἐπὶ νηυσὶ μάχονται,
Ἡγεμόνος κακότητι, μεθημοσύνῃσί τε λαῶν,
Οἳ κείνῳ ἐρίσαντες ἀμυνέμεν οὐκ ἐθέλουσι
Νηῶν ὠκυπόρων, ἀλλὰ κτείνονται ἀν' αὐτάς.
Ἀλλ' εἰ δὴ καὶ πάμπαν ἐτήτυμον αἴτιός ἐστιν
Ἥρως Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων,
Οὕνεκα ἠτίμησε ποδώκεα Πηλείωνα·
Ἡμέας γ' οὔπως ἐστὶ μεθιέμεναι πολέμοιο·
Ἀλλ' ἀκεώμεθα θᾶσσον· ἀκεσταί τοι φρένες ἐσθλῶν.
Ὑμεῖς δ' οὐκέτι καλὰ μεθίετε θούριδος ἀλκῆς,
Πάντες ἄριστοι ἐόντες ἀνὰ στρατόν· οὐδ' ἂν ἔγωγε
Ἀνδρὶ μαχεσσαίμην, ὅστις πολέμοιο μεθίει,
Λυγρὸς ἐών· ὑμῖν δὲ νεμεσσῶμαι περὶ κῆρι.
Ὦ πέπονες, τάχα δή τι κακὸν ποιήσετε μεῖζον
Τῇδε μεθημοσύνῃ· ἀλλ' ἐν φρεσὶ θέσθε ἕκαστος
Αἰδῶ καὶ νέμεσιν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν.
Ἕκτωρ δὴ παρὰ νηυσὶ βοὴν ἀγαθὸς πολεμίζει,
Καρτερός· ἔῤῥηξεν δὲ πύλας καὶ μακρὸν ὀχῆα.
Ὣς ῥα κελευτιόων Γαιήοχος ὦρσεν Ἀχαιούς·
Ἀμφὶ δ' ἄρ' Αἴαντας δοιοὺς ἵσταντο φάλαγγες

Φεῦ φεῦ, ὄντως που μέγα θαῦμα τοῦτο τοῖς ὀφθαλμοῖς ὁρῶ φοβερὸν, ὅπερ οὐδέποτ' ἔγωγε ᾠόμην γενήσεσθαι, τοὺς Τρῶας ἐπὶ τὰς ἡμετέρας ἔρχεσθαι ναῦς, οἳ τὸ πρῶτον δειλαῖς ἐλάφοις ὅμοιοι ἦσαν, αἳ δὴ κατὰ τὸν δρυμὸν πανθηρίων, καὶ παρδάλεων, καὶ λύκων βρόματά εἰσι, μάτην πλανώμεναι, ἀσθενεῖς, οὐδὲ ἐπὶ μάχῃ· οὕτως οἱ Τρῶες τὸ πρῶτον τὴν τῶν Ἑλλήνων ἰσχύν τε καὶ τὰς χεῖρας μένειν οὐκ ἤθελον ἐξ ἐναντίας, οὐδ' ἐπὶ μικρόν· νῦν δὲ πόῤῥω τῆς πόλεως ἐπὶ ταῖς βαθείαις ναυσὶ πολεμοῦσι δειλίᾳ καὶ κακίᾳ ἡγεμόνος, καὶ ἀμελείᾳ τοῦ στρατοῦ, ὃς ἐκείνῳ διενεχθεὶς, βοηθεῖν οὐκ ἐθέλει ὑπὲρ τῶν ταχειῶν νεῶν, ἀλλ' ἀναιροῦνται κατ' αὐτάς· ἀλλ' εἰ δὴ καὶ πάνυ κατ' ἀλήθειαν ὑπαίτιός ἐστιν ὁ ἥρως ὁ υἱὸς τοῦ Ἀτρέως ὁ μέγας βασιλεὺς Ἀγαμέμνων, διότι ἠτίμασε τὸν ταχύποδα υἱὸν τοῦ Πηλέως· ἡμᾶς γε οὐ δεῖ καταλείπειν τὸν πόλεμον, ἀλλ' ἰασώμεθα διὰ τάχους τὸ γεγονὸς, εὐθράπευτοι καὶ εὐΐατοί εἰσιν αἱ τῶν ἀγαθῶν φρένες, ὑμεῖς δὲ οὐδ' ὅλως καλῶς καταλείπετε τὴν ὁρμητικὴν καὶ πολεμικὴν ἰσχὺν πάντες κράτιστοι ὄντες κατὰ τὸν στρατόν· οὐδ' ἂν αὐτός γε ἄνδρα λοιδορήσαιμι, ὅστις τὸν πόλεμον καταλείπει ἄδοξος ὢν, ὑμῖν δὲ μέμφομαι κατὰ ψυχὴν, ὦ προσηνεῖς, ταχέως δὴ μείζονα δεινὰ ποιήσετε τῇ παρούσῃ ἀμελείᾳ· ἀλλ' ἐμβάλετε πάντες εἰς τὸ λογιστικὸν αἰσχύνην καὶ μέμψιν· μεγάλη γὰρ πολέμου φιλονεικία διανέστη. Ὁ Ἕκτωρ νῦν παρὰ ταῖς ναυσὶ μάχεται ὁ κατὰ πόλεμον ἀγαθὸς, ὁ ἰσχυρὸς, διέῤῥηξε δὲ καὶ καθεῖλε τὰς πύλας καὶ τὸν μέγαν μοχλόν. Οὕτω δὴ παρακελευόμενος ὁ τὴν γῆν συνέχων διήγειρε τοὺς Ἕλληνας. Περὶ τοὺς δύο δ' οὖν

Καρτεραί, ἃς οὐδέ κεν Ἄρης ὀνόσαιτο μετελθὼν,
Οὔτε κ' Ἀθηναίη λαοσσόος· οἱ γὰρ ἄριστοι
Κριθέντες Τρῶάς τε καὶ Ἕκτορα δῖον ἔμιμνον,
Φράξαντες δόρυ δουρὶ, σάκος σάκεϊ προθελύμνῳ·
Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων· ὡς πυκνοὶ ἐφέστασαν ἀλλήλοισιν·
Ἔγχεα δὲ πτύσσοντο θρασειάων ἀπὸ χειρῶν
Σειόμεν'· οἱ δ' ἰθὺς φρόνεον, μέμασαν δὲ μάχεσθαι·
Τρῶες δὲ προὔτυψαν ἀολλέες, ἦρχε δ' ἄρ' Ἕκτωρ
Ἀντικρὺ μεμαώς· ὀλοοίτροχος ὡς ἀπὸ πέτρης,
Ὅντε κατὰ στεφάνης ποταμὸς χειμάῤῥοος ὤσῃ,
Ῥήξας ἀσπέτῳ ὄμβρῳ ἀναιδέος ἔχματα πέτρης,
Ὕψι δ' ἀναθρώσκων πέτεται, κτυπέει δέ θ' ὑπ' αὐτοῦ
Ὕλη· ὁ δ' ἀσφαλέως θέει ἔμπεδον, ὄφρ' ἂν ἵκηται
Ἰσόπεδον, τότε δ' οὔτι κυλίνδεται, ἐσσύμενός περ·
Ὣς Ἕκτωρ, εἵως μὲν ἀπείλει μέχρι θαλάσσης
Ῥεῖα δ' ἐλεύσεσθαι κλισίας καὶ νῆας Ἀχαιῶν,
Κτείνων· ἀλλ' ὅτε δὴ πυκινῇς ἐνέκυρσε φάλαγξι,
Στῆ ῥα μάλ' ἐγχριφθείς· οἱ δ' ἀντίοι υἷες Ἀχαιῶν,
Νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν,
Ὦσαν ἀπὸ σφείων· ὁ δὲ, χασσάμενος πελεμίχθη,
Ἤϋσεν δὲ διαπρύσιον Τρώεσσι γεγωνώς·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ,
Παρμένετ'· οὔτι δηρὸν ἐμὲ σχήσουσιν Ἀχαιοὶ,
Καὶ μάλα πυργηδὸν σφέας αὐτοὺς ἀρτύναντες·
Ἀλλ' οἴω χάσσονται ὑπ' ἔγχεος, εἰ ἐτεόν με
Ὦρσε θεῶν ὥριστος, ἐρίγδουπος πόσις Ἥρης·

Αἴαντας ἵσαντο αἱ τάξεις αἱ ἰσχυραὶ, ἅς τινας οὔτ' ἂν ὁ Ἄρης μέμψαιτο παρελθὼν, οὔτ' ἂν ἡ τοὺς λαούς παρορμῶσα Ἀθηνᾶ, οἱ γὰρ κράτιστοι διαχωρισθέντες παρέμενον τοὺς Τρῶας καὶ τὸν ἐνδοξοτατον Ἕκτορα, συμβαλόντες δόρατα δόρασι, καὶ ἀσπίδας ἀσπίσιν ἀλλεπαλλήλως. Ἀσπὶς τοίνυν ἐπεστήριζεν ἀσπίδα, καὶ περικεφαλαία περικεφαλαίαν, καὶ ἄνδρα ἀνήρ· ἠρέμα δὲ ἥπτοντο αἱ ἱππείας ἔχουσαι τρίχας περικεφαλαῖαι τοῖς λαμπροῖς προμετωπιδίοις ἐπαναστήμασι τῶν κλινομένων λόφων, οὕτως ἀλλεπάλληλοι ἐφίσταντο ἀλλήλοις, τὰ δόρατα δὲ ἐβάλλοντο ἀπὸ τῶν θρασειῶν χειρῶν κινούμενα· οὗτοι δὲ εὐθὺ μετὰ φρονήματος ὥρμων, προὐτράπησαν δὲ πολεμεῖν. Οἱ Τρῶες δὲ προπαρενέβαλον (προσέπεσον καὶ συνῆλθον) ἀθρόοι, προηγεῖτο δὲ ὁ Ἕκτωρ, ἐναντίον προθύμως ὁρμῶν, ὥσπερ λίθος στρογγύλος ἀπὸ πέτρας, ὃν ἂν ποταμὸς ῥέων κατὰ τὸν χειμῶνα ὠθήσῃ ἀπὸ τῆς πέτρας, ἐκκόψας αὐτὸν πολλῇ ἐπομβρίᾳ, ἐρείσματα ὑποκείμενα ὄντα πετρας τραχείας, ἐφ' ὕψους δὲ ἀναπηδῶν ταχέως φέρεται, ἠχεῖ δὲ ὑπ' αὐτοῦ ὁ δρυμὸς, οὗτος δὲ ἀνεμποδίστως τρέχει, ἕως ἂν ἀφίκηται εἰς ἰσόμαλον· τότε δὲ οὐδαμῶς κυλίεται, καίπερ ἐπειγόμενος. Οὕτως ὁ Ἕκτωρ τέως μὲν διετείνετο μέχρι τῆς θαλάσσης ῥαδίως ἀφίξεσθαι καὶ τὰς σκηνὰς καὶ τὰς ναῦς τῶν Ἑλλήνων, ἀποκτείνων· ἀλλ' ὁπηνίκα δὴ ταῖς πυκναῖς ἐνέτυχε τάξεσιν, ἔστη δὴ πάνυ ἐνερείσας (πλησιάσας), ἐναντίον δὲ οἱ υἱοὶ τῶν Ἑλλήνων πλήσσοντες ξίφεσι καὶ δόρασιν ἑκατέρωθεν ἠκονημένοις, ἀπέκρουσαν ἀφ' ἑαυτῶν, ὁ δὲ διασεισθεὶς ἀν(ὑπ)εχώρησεν, ἐβόησε δὲ ἐξακούστως μεγάλως τοῖς Τρωσὶ φωνῶν· Ὦ Τρῶες καὶ Λύκιοι, καὶ Δάρδανοι πολεμισταὶ παραμένετε, οὐκ ἐπὶ πολύ με κωλύσουσιν οἱ Ἕλληνες, καὶ πάνυ φαλαγγηδὸν ἑαυτοὺς συντάξαντες, ἀλλά μοι μόνῳ ὑποχωρήσουσιν ὑπὸ τοῦ δόρατος, εἰ ἀληθῶς με ὁ ἄριστος τῶν θεῶν διήγειρεν ὁ μεγαλόκτυπος ἀνὴρ τῆς Ἥρας. Οὕτως εἰπὼν παρώξυνε

Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·
Δηΐφοβος δ' ἐν τοῖσι μέγα φρονέων ἐβεβήκει
Πριαμίδης, πρόσθεν δ' ἔχεν ἀσπίδα πάντοσ' ἐΐσην,
Κοῦφα ποσὶ προβιβὰς, καὶ ὑπασπίδια προποδίζων·
Μηριόνης δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
Καὶ βάλεν, οὐδ' ἀφάμαρτε κατ' ἀσπίδα πάντοσ' ἐΐσην
Ταυρείην· τῆς δ' οὔτι διήλασεν, ἀλλὰ πολὺ πρὶν
Ἐν καυλῷ ἐάγη δολιχὸν δόρυ· Δηΐφοβος δὲ
Ἀσπίδα ταυρείην σχέθ' ἀπὸ ἕο, δεῖσε δὲ θυμῷ
Ἔγχος Μηριόναο δαΐφρονος· αὐτὰρ ὅγ' ἥρως
Ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, χώσατο δ' αἰνῶς
Ἀμφότερον, νίκης τε, καὶ ἔγχεος, ὃ ξυνέαξε·
Βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,
Οἰσόμενος δόρυ μακρὸν, ὅ οἱ κλισίηφι λέλειπτο·
Οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
Τεῦκρος δὲ πρῶτος Τελαμώνιος ἄνδρα κατέκτα
Ἴμβριον αἰχμητὴν, πολυΐππου Μέντορος υἱόν·
Ναῖε δὲ Πήδαιον, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν,
Κούρην δὲ Πριάμοιο νόθην ἔχε Μηδεσικάστην·
Αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι,
Ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι·
Ναῖε δὲ πὰρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσι.
Τόν ῥ' υἱὸς Τελαμῶνος ὑπ' οὔατος ἔγχεϊ μακρῷ
Νύξ', ἐκ δ' ἔσπασεν ἔγχος· ὁ δ' αὖτ' ἔπεσεν, μελίη ὣς,
Ἥτ' ὄρεος κορυφῆς ἕκαθεν περιφαινομένοιο
Χαλκῷ ταμνομένη τέρενα χθονὶ φύλλα πελάσσῃ·
Ὣς πέσεν· ἀμφὶ δὲ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Τεῦκρος δ' ὡρμήθη, μεμαὼς ἀπὸ τεύχεα δῦσαι·

πάντων τὴν ψυχήν τε καὶ ἰσχὺν (τὴν προθυμίαν). Δηΐφοβος δὲ ἐν τούτοις μεγαλοφρονῶν ὥρμησεν ὁ υἱὸς τοῦ Πριάμου, ἔμπροσθεν δὲ ἐκράτει τὴν πανταχόθεν ἴσην καὶ κυκλοτερῆ ἀσπίδα, μετεώρως καὶ ἐπ᾽ ἄκρων τῶν ποδῶν βαδίζων, καὶ τῷ κύκλῳ τῆς ἰδίας ἀσπίδος τὸ σῶμα ὑποκρύπτων, ὑπὸ τὴν ἀσπίδα τοὺς πόδας τιθεὶς, τουτέστι περικαλύπτων αὐτοὺς τῇ ἀσπίδι κατὰ τὴν πορείαν· Ὁ Μηριόνης δὲ αὐτοῦ ἐστοχάζετο δόρατι λαμπρῷ, καὶ ἔπληξεν, οὐδὲ ἀπέτυχε, κατὰ τὴν κυκλοτερῆ ἀσπίδα τὴν ἐκ βύρσης ταυρείας· δι᾽ αὐτῆς δὲ οὐδαμῶς διῆλθεν, ἀλλὰ πολλῷ πρότερον κατὰ τὸν καυλὸν (τὸ ἄκρον τοῦ δόρατος τὸ ἐμβαλλόμενον εἰς τὴν ἐπιδορατίδα) κατεκλάσθη τὸ μακρὸν δόρυ. ὁ Δηΐφοβος δὲ τὴν ταυρείαν ἀσπίδα ἐκράτησεν ἀφ᾽ ἑαυτοῦ, ἐφοβήθη δὲ ἐν τῇ ψυχῇ τὸ δόρυ τοῦ Μηριόνου τοῦ συνετοῦ· οὗτος δὲ ὁ ἥρως ὀπίσω εἰς τὸ πλῆθος τῶν φίλων ἀνεχώρησεν, ἐλυπήθη δὲ χαλεπῶς, κατ᾽ ἀμφότερον, ἐπί τε τῷ τῆς νίκης στερηθῆναι, καὶ ἐπὶ τῷ κλασθῆναι τὸ δόρυ. ὥρμησε δὲ πορεύεσθαι ἐπὶ τὰς σκηνὰς καὶ τὰς ναῦς τῶν Ἑλλήνων, κομίσων τὸ μακρὸν δόρυ, ὅπερ αὐτῷ κατελείφθη ἐν τῇ σκηνῇ· οἱ ἄλλοι δὲ ἐμάχοντο, θόρυβος δὲ ἀκατάπαυστος διηγέρθη. Πρῶτον δὲ ὁ τοῦ Τελαμῶνος Τεῦκρος ἀπέκτεινεν ἄνδρα Ἴμβριον πολεμιστὴν, τὸν υἱὸν Μέντορος τοῦ πολλοὺς ἵππους ἔχοντος, κατῴκει δὲ Πήδαιον τὴν πόλιν πρὸ τοῦ ἐλθεῖν τοὺς υἱοὺς τῶν Ἑλλήνων, εἶχε δὲ γυναῖκα Μηδεσικάστην τὴν νόθην θυγατέρα τοῦ Πριάμου. ἐπεὶ δὲ αἱ ἀμφοτέρωθεν περιστρεφόμεναι νῆες τῶν Ἑλλήνων ἦλθον, ὀπίσω εἰς τὸ Ἴλιον ἀφίκετο, διέπρεπε δὲ ἐπὶ πᾶσι τοῖς Τρωσὶ, κατῴκει δὲ πλησίον τοῦ Πριάμου· οὗτος δ᾽ αὐτὸν ἐτίμα ὁμοίως τοῖς τέκνοις. Τοῦτον δὴ ὁ υἱὸς τοῦ Τελαμῶνος ὑποκάτω τοῦ ὠτὸς δόρατι μακρῷ ἔπληξεν, ἐξέσπασε δὲ τὸ δόρυ, αὐτὸς δὲ κατέπεσεν ὥσπερ μελία, ἥτις ἂν ἐν ταῖς κορυφαῖς τοῦ ὄρους τοῦ πόῤῥωθεν φαινομένου (ὁρωμένου) σιδήρῳ τεμνομένη, τὰ ἁπαλὰ φύλλα πλησιάσῃ τῇ γῇ. Οὕτω κατέπεσε, περὶ αὐτὸν δὲ ἤχησαν τὰ ὅπλα

Ἕκτωρ δ' ὁρμηθέντος ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Τυτθόν· ὁ δ' Ἀμφίμαχον, Κτεάτου ὗι, Ἀκτορίωνος,
Νισσόμενον πόλεμόνδε, κατὰ στῆθος βάλε δουρί·
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Ἕκτωρ δ' ὡρμήθη κόρυθα κροτάφοις ἀραρυῖαν
Κρατὸς ἀφαρπάξαι μεγαλήτορος Ἀμφιμάχοιο·
Αἴας δ' ὁρμηθέντος ὀρέξατο δουρὶ φαεινῷ
Ἕκτορος· ἀλλ' οὔ πη χροὸς εἴσατο, πᾶς δ' ἄρα χαλκῷ
Σμερδαλέῳ κεκάλυφθ'· ὁ δ' ἄρ' ἀσπίδος ὀμφαλὸν οὖτα,
Ὦσε δέ μιν σθένεϊ μεγάλῳ· ὁ δ' ἐχάσσατ' ὀπίσσω
Νεκρῶν ἀμφοτέρων· τοὺς δ' ἐξείρυσσαν Ἀχαιοί·
Ἀμφίμαχον μὲν ἄρα Στιχίος, δῖός τε Μενεσθεὺς,
Ἀρχοὶ Ἀθηναίων, κόμισαν μετὰ λαὸν Ἀχαιῶν·
Ἴμβριον αὖτ' Αἴαντε, μεμαότε θούριδος ἀλκῆς·
Ὥστε δύ' αἶγα λέοντε, κυνῶν ὑπὸ καρχαροδόντων
Ἁρπάξαντε, φέρητον ἀνὰ ῥωπήϊα πυκνὰ,
Ὑψοῦ ὑπὲρ γαίης μετὰ γαμφηλῇσιν ἔχοντε·
Ὥς ῥα τὸν ὑψοῦ ἔχοντε δύω Αἴαντε κορυστὰ,
Τεύχεα συλήτην· κεφαλὴν δ' ἁπαλῆς ἀπὸ δειρῆς
Κόψεν Ὀϊλιάδης, κεχολωμένος Ἀμφιμάχοιο·
Ἧκε δέ μιν σφαιρηδὸν ἑλιξάμενος δι' ὁμίλου·
Ἕκτορι δὲ προπάροιθε ποδῶν πέσεν ἐν κονίῃσι.
Καὶ τότε δὴ περὶ κῆρι Ποσειδάων ἐχολώθη,
Υἱωνοῖο πεσόντος ἐν αἰνῇ δηϊοτῆτι·
Βῆ δ' ἰέναι παρά τε κλισίας καὶ νῆας Ἀχαιῶν,
Ὀτρυνέων Δαναοὺς, Τρώεσσι δὲ κήδε' ἔτευχεν.
Ἰδομενεὺς δ' ἄρα οἱ δουρικλυτὸς ἀντεβόλησεν,

τὰ ποικίλως κατεσκευασμένα σιδήρῳ, ὁ Τεῦκρος δὲ ὥρμησε προθυμούμενος ἐκδῦσαι τὰ ὅπλα. Ὁ Ἕκτωρ δὲ ὁρμήσαντος ἔβαλε δόρατι λαμπρῷ, ἀλλ' οὗτος μὲν ἐξ ἐναντίας ἰδὼν ἐφυλάξατο τὸ σιδηροῦν δόρυ βραχύ· οὗτος δὲ Ἀμφίμαχον τὸν υἱὸν τοῦ Κτεάτου τοῦ υἱοῦ τοῦ Ἄκτορος, πορευόμενον εἰς τὸν πόλεμον ἔτρωσε κατὰ τὸ στῆθος δόρατι, ἐψόφησε δὲ καταπεσὼν, ἤχησαν γὰρ τὰ ὅπλα ἐπ' αὐτῷ. ὁ Ἕκτωρ δὲ ὥρμησεν τὴν τοῖς μήνιγξιν ἐφηρμοσμένην περικεφαλαίαν ἀφελέσθαι τῆς κεφαλῆς Ἀμφιμάχου τοῦ μεγαλοψύχου. ὁ Αἴας δὲ ὁρμήσαντος τοῦ Ἕκτορος ἔβαλε δόρατι λαμπρῷ, ἀλλ' οὐ διὰ τοῦ σώματος διῆλθε, πᾶς δὲ σιδήρῳ καταπληκτικῷ κεκαλυμμένος ἦν, οὗτος δὲ τὸν ὀμφαλὸν τῆς ἀσπίδος ἔβαλεν, ὤθησε δὲ αὐτὸν δυνάμει μεγάλῃ, οὗτος δὲ ὑπεχώρησεν εἰς τοὐπίσω τῶν δύο νεκρῶν· τούτους δὲ ἐξείλκυσαν οἱ Ἕλληνες. Τὸν μὲν οὖν Ἀμφίμαχον ὁ Στιχίος καὶ ὁ ἐνδοξότατος Μενεσθεὺς οἱ ἀρχηγοὶ τῶν Ἀθηναίων ἐκόμισαν πρὸς τὸ πλῆθος τῶν Ἑλλήνων· τὸν Ἴμβριον δὲ οἱ Αἴαντες προθυμίαν ἔχοντες ἰσχύος πολεμικῆς· ὥσπερ ὅταν δύο λέοντες ἀπὸ κυνῶν ὀξεῖς καὶ ἐπικαμπεῖς ὀδόντας ἐχόντων, αἶγα ἀφελόμενοι φέρωσι κατὰ τὰ ῥωπεῖα, ἤτοι τοὺς τόπους, ἐν οἷς ῥῶπες φύονται, ἤτοι πολύφυλλα καὶ ἱμαντώδη φυτὰ δρυῶν, ἐφ' ὕψους ὑπεράνω τῆς γῆς, κατέχοντες αὐτὴν ἐν ταῖς σιαγόσιν· οὕτω δὴ τοῦτον ἐφ' ὕψους κατέχοντες οἱ δύο ὁπλῖται Αἴαντες τὰ ὅπλα ἐσύλησαν, τὴν κεφαλὴν ἀπὸ τοῦ ἁπαλοῦ τραχήλου ἀπέτεμεν ὁ υἱὸς τοῦ Ὀϊλέως, ὀργισθεὶς ἕνεκα τοῦ Ἀμφιμάχου, ἔῤῥιψε δὲ αὐτὴν διὰ τοῦ στρατοῦ δίκην σφαίρας συστρέψας τὴν χεῖρα, ἔμπροσθεν δὲ τῶν ποδῶν τοῦ Ἕκτορος κατέπεσεν ἐν τοῖς χώμασι, καὶ τότε δὴ ὠργίσθη κατὰ ψυχὴν ὁ Ποσειδῶν ἀποθανόντος τοῦ ἐγγόνου ἐν τῇ χαλεπῇ μάχῃ, ὥρμησε δὲ πορεύεσθαι πρὸς τὰς σκηνὰς καὶ τὰς ναῦς τῶν Ἑλλήνων, παροξύνων τοὺς Ἕλληνας, τοῖς Τρωσὶ δὲ λύπας κατεσκεύαζεν. Ἰδομε-

Ἐρχόμενος παρ' ἑταίρου, ὅ οἱ νέον ἐκ πολέμοιο
Ἦλθε, κατ' ἰγνύην βεβλημένος ὀξέϊ χαλκῷ·
Τὸν μὲν ἑταῖροι ἔνεικαν, ὁ δ' ἰητροῖς ἐπιτείλας,
Ἤϊεν, ἐς κλισίην· ἔτι γὰρ πολέμοιο μενοίνα
Ἀντιάαν. τὸν δὲ προσέφη κρείων Ἐνοσίχθων,
Εἰσάμενος φθογγὴν Ἀνδραίμονος υἷϊ Θόαντι,
Ὃς πάσῃ Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι,
Αἰτωλοῖσιν ἄνασσε, θεὸς δ' ὣς τίετο δήμῳ·
Ἰδομενεῦ, Κρητῶν βουληφόρε, ποῦ τοι ἀπειλαὶ
Οἴχονται, τὰς Τρωσὶν ἀπείλεον υἷες Ἀχαιῶν;
Τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
Ὦ Θόαν, οὔτις ἀνὴρ νῦν γ' αἴτιος, ὅσσον ἔγωγε
Γιγνώσκω· πάντες γὰρ ἐπιστάμεθα πτολεμίζειν·
Οὔτε τινὰ δέος ἴσχει ἀκήριον, οὔτε τις ὄκνῳ
Εἴκων, ἀνδύεται πόλεμον κακόν· ἀλλά που οὕτω
Μέλλει δὴ φίλον εἶναι ὑπερμενέϊ Κρονίωνι,
Νωνύμους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.
Ἀλλὰ, Θόαν· καὶ γὰρ τὸ πάρος μενεδήϊος ἦσθα,
Ὀτρύνεις δὲ καὶ ἄλλον, ὅτε μεθιέντα ἴδηαι·
Τῷ νῦν μήτ' ἀπόληγε, κέλευέ τε φωτὶ ἑκάστῳ.
Τὸν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
Ἰδομενεῦ, μὴ κεῖνος ἀνὴρ ἔτι νοστήσειεν
Ἐκ Τροίης, ἀλλ' αὖθι κυνῶν μέλπηθρα γένοιτο,
Ὅς τις ἐπ' ἤματι τῷδε ἑκὼν μεθίῃσι μάχεσθαι.
Ἀλλ' ἄγε, τεύχεα δεῦρο λαβὼν ἴθι· ταῦτα δ' ἅμα χρὴ
Σπεύδειν· αἴκ' ὄφελός τι γενώμεθα καὶ δύ' ἐόντες.
Συμφερτὴ δ' ἀρετὴ πέλει ἀνδρῶν, καὶ μάλα λυγρῶν·
Νῶϊ δὲ καί κ' ἀγαθοῖσιν ἐπισταίμεσθα μάχεσθαι.

νεὺς δὲ ὁ κατὰ τὸ δόρυ ἔνδοξος ἀπήντησεν αὐτῷ, ἐρχόμενος ἀπὸ σκηνῆς τινος φίλου, ὅστις αὐτῷ ἐκ τοῦ πολέμου νεωστὶ ἀφίκετο τετρωμένος κατὰ τὸ ὀπίσω τοῦ γόνατος μέρος σιδήρῳ ὀξεῖ, ὃν ἤνεγκαν μὲν οἱ φίλοι· οὗτος δὲ ἐπιτάξας τοῖς ἰατροῖς κατὰ τὴν σκηνὴν ἐπορεύετο εἰς τὸν πόλεμον, ἔτι γὰρ αὐτοῦ προθυμίαν εἶχε μεταλαμβάνειν καὶ ἐφάπτεσθαι. Πρὸς τοῦτον δὲ εἶπεν ὁ βασιλεὺς ὁ σείων τὴν γῆν ὁμοιωθεὶς κατὰ τὴν φωνὴν Θόαντι τῷ υἱῷ τοῦ Ἀνδραίμονος, ὃς πάσης τῆς Πλευρῶνος καὶ τῆς ὑψηλῆς Καλυδῶνος τῶν Αἰτωλῶν ἐβασίλευεν, ὥσπερ δὲ θεὸς ἐτιμᾶτο ὑπὸ τοῦ δήμου. Ὦ Ἰδομενεῦ, γνωμοδότα τῶν Κρητῶν, ποῦ σοι αἱ ἀπειλαὶ καὶ διϊσχυρίσεις καὶ καυχήσεις ἐχώρησαν, ἃς ἠπείλουν τοῖς Τρωσὶν οἱ υἱοὶ τῶν Ἑλλήνων; Πρὸς τοῦτον δὲ Ἰδομενεὺς ὁ ἀρχηγὸς τῶν Κρητῶν ἐναντίον ἔλεγεν· ὦ Θόαν, οὐδεὶς ἀνὴρ νυνὶ ὑπαίτιός ἐστιν, ὅσον ἐγὼ οἶδα, πάντες γὰρ ἐπιστάμεθα μάχεσθαι, οὔτέ τινα φόβος ἐπέχει ἀψυχοποιός, οὔτε τις δειλία (ἀμελεία) ὑπείκων καὶ ἐνδιδοὺς ἀναβάλλεται τὸν χαλεπὸν πόλεμον, ἀλλά γε οὕτω που ἔοικεν εἶναι ἀρεστὸν τῷ μεγαλοδυνάμῳ υἱῷ τοῦ Κρόνου, ἀνωνύμους φθαρῆναι πόῤῥω τοῦ Ἄργους ἐνταῦθα τοὺς Ἕλληνας. ἀλλ', ὦ Θόαν, καὶ γὰρ τὸ πρότερον ὑπομονητικὸς ἐν τῇ μάχῃ ὑπῆρχες, προὔτρεπες γὰρ καὶ ἄλλον ὁπηνίκα καταλείποντα καὶ ἀμελοῦντα ἑώρας, δι' ὃ καὶ νῦν μήτε σὺ ἀποπαύου, καὶ ἑκάστῳ ἀνδρὶ παρακελεύου· Πρὸς τοῦτον δὲ μετὰ ταῦτα ἀπεκρίνετο Ποσειδῶν ὁ κινῶν τὴν γῆν· Ὦ Ἰδομενεῦ, μὴ τοῦ λοιποῦ ἐκεῖνος ὁ ἀνὴρ ὑποστρέψειεν ἐκ τῆς Τροίας, ἀλλ' αὐτόθι γένοιτο παίγνια κυνῶν, ὅστις ἐν τῇδε τῇ ἡμέρᾳ ἐθελουσίως καταλείπει τὸ μάχεσθαι· ἀλλ ἄγε λαβὼν τὰ ὅπλα, πορεύθητι ἐνθαδε, ταῦτα γὰρ ὁμοῦ δεῖ μετὰ κακοπαθείας καὶ ταλαιπωρίας ἐνεργεῖν, εἴποτέ τις ὠφέλεια γενοίμεθα, καὶ οἱ δύο ὑπάρχοντες· ἡ ἀρετὴ δὲ καὶ δύναμις καὶ τῶν πάνυ ἀνάνδρων καὶ δειλῶν συμφορητὴ καὶ συνακτὴ ἐστίν· ἡμεῖς δὲ καὶ ἀγαθοῖς ἂν καὶ ἀνδρείοις ἐμπείρως ἔχο-

Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμπόνον ἀνδρῶν·
Ἰδομενεὺς δ' ὅτε δὴ κλισίην εὔτυκτον ἵκανε,
Δύσετο τεύχεα καλὰ περὶ χροῒ, γέντο δὲ δοῦρε·
Βῆ δ' ἴμεν ἀστεροπῇ ἐναλίγκιος, ἥν τε Κρονίων
Χειρὶ λαβὼν ἐτίναξεν ἀπ' αἰγλήεντος Ὀλύμπου,
Δεικνὺς σῆμα βροτοῖσιν, ἀρίζηλοι δέ οἱ αὐγαί·
Ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
Μηριόνης δ' ἄρα οἱ, θεράπων ἐῢς, ἀντεβόλησεν,
Ἐγγὺς ἔτι κλισίης· μετὰ γὰρ δόρυ χάλκεον ἤει
Οἰσόμενος· τὸν δὲ προσέφη σθένος Ἰδομενῆος·
Μηριόνη, Μόλου υἱὲ, πόδας ταχὺ, φίλταθ' ἑταίρων,
Τίπτ' ἦλθες πόλεμόν τε λιπὼν καὶ δηϊοτῆτα;
Ἠέ τι βέβληαι, βέλεος δέ σε τείρει ἀκωκή;
Ἠέ τευ ἀγγελίης μετ' ἔμ' ἤλυθες; οὐδέ τοι αὐτὸς
Ἧσθαι ἐνὶ κλισίῃσι λιλαίομαι, ἀλλὰ μάχεσθαι.
Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·
Ἰδομενεῦ, Κρητῶν βουληφόρε χαλκοχιτώνων,
Ἔρχομαι, εἴ τί τοι ἔγχος ἐνὶ κλισίῃσι λέλειπται,
Οἰσόμενος· τό νυ γὰρ κατεάξαμεν, ὃ πρὶν ἔχεσκον,
Ἀσπίδα Δηϊφόβοιο βαλὼν ὑπερηνορέοντος.
Τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
Δούρατα δ' αἴκ' ἐθέλῃσθα, καὶ ἓν καὶ εἴκοσι δήεις,
Ἑσταότ' ἐν κλισίῃ πρὸς ἐνώπια παμφανόωντα,
Τρώϊα, τὰ κταμένων ἀποαίνυμαι· οὐ γὰρ ὀΐω
Ἀνδρῶν δυσμενέων ἑκὰς ἱστάμενος πολεμίζειν.
Τῶ μοι δούρατά τ' ἔστι, καὶ ἀσπίδες ὀμφαλόεσσαι,
Καὶ κόρυθες, καὶ θώρηκες λαμπρὸν γανόωντες.
Τὸν δ' αὖ Μηριόνης πεπνυμένος ἀντίον ηὔδα·

μεν πολεμεῖν. Οὕτως εἰπὼν, ὁ μὲν θεὸς αὖθις ἐπορεύθη εἰς τὸν κάματον καὶ πόλεμον τῶν ἀνδρῶν. Ὁ Ἰδομενεὺς δὲ ἐπειδὴ ἀφίκετο εἰς τὴν καλῶς κατεσκευασμένην σκηνὴν, ... ὥρμησεν δὲ πορεύεσθαι ὅμοιος ἀστραπῇ, ἣν ὁ υἱὸς τοῦ Κρόνου λαβὼν τῇ χειρὶ διέσεισεν ἀπὸ τοῦ λαμπροῦ οὐρανοῦ, ἐμφαίνων σημεῖον τοῖς ἀνθρώποις, μεγάλως δὲ ἔκδηλοι τυγχάνουσιν αὐτοῦ αἱ λαμπηδόνες· οὕτως ὁ σίδηρος περιέλαμπε περὶ τὰ στήθη τούτου τρέχοντος. Μηριόνης δ' αὐτῷ ὁ ἀγαθὸς θεράπων συνήντησεν ἐγγὺς ἔτι ὄντι τῆς σκηνῆς, ἐπορεύετο γὰρ δόρυ σιδηροῦν κομίσων (ληψόμενος). Πρὸς τοῦτον δὲ εἶπεν ἡ τοῦ Ἰδομενέως ἰσχύς. Ὦ Μηριόνη υἱὲ τοῦ Μόλου, κατὰ πόδας ταχὺ, φίλτατε φίλων, τί δήποτε παρεγένου καταλιπὼν τὸν πόλεμον καὶ τὴν μάχην; ἢ τέτρωσαι, ἡ τρῶσις δέ σε ὀξὺ καταπονεῖ; ἢ περί τινος (ἀπό τινος) ἀγγελίας πρὸς ἐμὲ ἀφίκου; οὐδὲ αὐτὸς καθῆσθαι ἐν ταῖς σκηναῖς ἐπιθυμῶ, ἀλλὰ πολεμεῖν. Πρὸς τοῦτον δὲ ὁ συνετὸς Μηριόνης ἐναντίον ἔλεγεν. Ὦ Ἰδομενεῦ γνωμοδότα τῶν σιδηροθωράκων Κρητῶν, πορεύομαι, εἴ τι σοι δόρυ κατελείφθη ἐν ταῖς σκηναῖς, ληψόμενος, τοῦτο (ἐκεῖνο) γὰρ δὴ ὃ πρότερον εἶχον κατεκλάσαμεν, καὶ συνετρίψαμεν, πλήξας τὴν ἀσπίδα τοῦ Δηϊφόβου τοῦ μάλα ἀνδρείου. Πρὸς τοῦτον δὲ Ἰδομενεὺς ὁ τῶν Κρητῶν ἀρχηγὸς ἐναντίον ἔλεγε· Δόρατα ἐὰν θέλῃς, καὶ ἓν καὶ εἴκοσιν εὑρήσεις, ἑστῶτα ἐν τῇ σκηνῇ κατὰ τοὺς ἐναντίους τῶν εἰσόδων τοίχους, περιλάμποντα, Τρωϊκὰ, ἅπερ τῶν ἀναιρεθέντων ἀφαιροῦμαι· οὐ γὰρ οἶμαι μάχεσθαι ἱστάμενος μακρὰν τῶν πολεμίων ἀνδρῶν· δι' ὃ δόρατά μοί εἰσι, καὶ ἀσπίδες ὀμφαλοὺς ἔχουσαι, καὶ περικεφαλαῖαι, καὶ θώρακες λαμπρῶς ἀποστίλβοντες. Πρὸς τοῦτον δὲ ὁ συνετὸς Μηριόνης ἐναντίον ἔλεγε. Καί τοι μοὶ δὴ παρὰ τῇ σκηνῇ, καὶ

Καί τοι ἐμοὶ παρά τε κλισίῃ καὶ νηὶ μελαίνῃ
Πόλλ' ἔναρα Τρώων· ἀλλ' οὐ σχεδόν ἐστιν ἑλέσθαι.
Οὐδὲ γὰρ οὐδ' ἐμέ φημι λελασμένον ἔμμεναι ἀλκῆς·
Ἀλλὰ μετὰ πρώτοισι μάχην ἀνὰ κυδιάνειραν
Ἵσταμαι, ὁππότε νεῖκος ὀρώρηται πολέμοιο.
Ἄλλον πού τινα μᾶλλον Ἀχαιῶν χαλκοχιτώνων
Λήθω μαρνάμενος, σὲ δὲ ἴδμεναι αὐτὸν ὀΐω.
Τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
Οἶδ' ἀρετὴν οἷός ἐσσι· τί σε χρὴ ταῦτα λέγεσθαι;
Εἰ γὰρ νῦν παρὰ νηυσὶ λεγοίμεθα πάντες ἄριστοι
Ἐς λόχον, ἔνθα μάλιστ' ἀρετὴ διαείδεται ἀνδρῶν,
Ἔνθ' ὅ, τε δειλὸς ἀνὴρ, ὅς τ' ἄλκιμος ἐξεφαάνθη·
Τοῦ μὲν γάρ τε κακοῦ τρέπεται χρὼς ἄλλυδις ἄλλῃ.
Οὐδέ οἱ ἀτρέμας ἧσθαι ἐρητύετ' ἐν φρεσὶ θυμὸς,
Ἀλλὰ μετοκλάζει, καὶ ἐπ' ἀμφοτέρους πόδας ἵζει·
Ἐν δέ τέ οἱ κραδίη μεγάλα στέρνοισι πατάσσει,
Κῆρας ὀϊομένῳ· πάταγος δέ τε γίνετ' ὀδόντων.
Τοῦ δ' ἀγαθοῦ οὔτ' ἂρ τρέπεται χρὼς, οὔτε τι λίην
Ταρβεῖ, ἐπειδὰν πρῶτον ἐσίζηται λόχον ἀνδρῶν,
Ἀρᾶται δὲ τάχιστα μιγήμεναι ἐν δαῒ λυγρῇ·
Οὐδέ κεν ἔνθα τεόν γε μένος καὶ χεῖρας ὄνοιτο·
Εἴ περ γάρ κε βλεῖο πονεύμενος, ἠὲ τυπείης,
Οὐκ ἂν ἐν αὐχέν' ὄπισθε πέσοι βέλος, οὐδ' ἐνὶ νώτῳ,
Ἀλλά κεν ἢ στέρνων, ἢ νηδύος ἀντιάσειε,
Πρόσσω ἱεμένοιο, μετὰ προμάχων ὀαριστύν·
Ἀλλ' ἄγε, μηκέτι ταῦτα λεγώμεθα, νηπύτιοι ὣς,
Ἑσταότες, μή πού τις ὑπερφιάλως νεμεσήσῃ·
Ἀλλὰ σύ γε κλισίηνδε κιὼν ἕλευ ὄβριμον ἔγχος.

τῇ μελαίνῃ νηΐ, πολλὰ σκῦλα τῶν Τρώων εἰσὶν, ἀλλ' οὐ πλησίον ἐστὶ λαβεῖν· οὐ γὰρ ἐμαυτὸν οἴομαι εἶναι ἀμνήμονα ἰσχύος πολεμικῆς, ἀλλ' ἐν πρώτοις κατὰ τὸν πόλεμον τὸν τοὺς ἄνδρας δοξάζοντα ἵσταμαι, ὁπόταν ἐγερθῇ φιλονεικία καὶ ἔρις πολέμου, ἄλλον τινά που τῶν σιδηροθωράκων Ἑλλήνων μᾶλλον λανθάνω μαχόμενος, σὲ δὲ αὐτὸν ἰδέναι ὑπολαμβάνω. Πρὸς τοῦτον Ἰδομενεὺς ὁ ἀρχηγὸς τῶν Κρητῶν ἐναντίον ἔλεγεν· Οἶδα οἷος ὑπάρχεις κατ' ἀρετὴν, τί σε δεῖ ταῦτα λέγειν· εἰ γὰρ νῦν παρὰ ταῖς ναυσὶ καταριθμούμεθα πάντες οἱ κράτιστοι εἰς ἐνέδραν, ὅπου μάλιστα ἡ ἀρετὴ τῶν ἀνδρῶν δείκνυται καὶ φαίνεται, ὅπου (τότε) καὶ ὁ δειλὸς ἀνὴρ, καὶ ὃς ἐστιν ἰσχυρὸς καὶ ἀνδρεῖος φανερὸς καὶ δῆλος ἐγένετο· τοῦ μὲν γὰρ δειλοῦ μεταβάλλεται ἡ τοῦ σώματος ἐπιφάνεια ἀπὸ ἄλλου εἰς ἄλλο κατάστημα, οὐδ' αὐτῷ ἡ ψυχὴ ἐπέχεται ἐν τῷ λογιστικῷ καθῆσθαι ἥσυχος, ἀλλ' ὑπογονατίζει, καὶ ἐφ' ἑκάτερον πόδα καθίζει· ἡ καρδία δὲ αὐτῷ μεγάλως ἐν τοῖς στέρνοις σφύζει καὶ ὑποκινεῖται παλμῷ, θάνατον προσδοκῶντι, κτύπος δὲ ἀποτελεῖται τῶν ὀδόντων· τοῦ ἀνδρείου δὲ οὔτε ἡ ἐπιφάνεια τοῦ σώματος μεταβάλλει, οὔτε πάνυ φοβεῖται, ἐπὰν ἅπαξ καθεσθῇ ἐν τῇ ἐνέδρᾳ τῶν ἀνδρῶν, εὔχεται δὲ τὴν ταχίστην συμβαλεῖν τοῖς πολεμίοις ἐν τῇ χαλεπῇ μάχῃ, οὐδ' ἂν ἐνταῦθά τις καταμέμψοιτο τὴν σὴν δύναμίν τε καὶ προθυμίαν· ἐὰν γὰρ βληθείης ταλαιπωρῶν, καὶ πολεμῶν, ἢ τρωθείης ἐκ χειρὸς, οὐκ ἂν ὄπισθεν ἐν τῷ τραχήλῳ πέσοι τὸ βέλος, οὐδὲ ἐν τοῖς νώτοις, ἀλλὰ ἢ τῶν στέρνων ἂν ἀπαντήσειες, ἢ τῇ γαστρὶ εἰς τὸ πρόσω ὁρμῶντάς σου ἐπὶ τὴν ὁμιλίαν καὶ συναναστροφὴν, ἤγουν τὴν μάχην, τῶν πρωταγωνιστῶν· ἀλλ' ἄγε μὴ λέγωμεν ταῦτα ὡς νήπιοι καὶ ἄφρονες ἑστῶτες, μή τίς που ὑπερηφάνως μέμψηται, ἀλλὰ σὺ ἀφικόμενος εἰς τὴν σκηνὴν λάβε τὸ ἰσχυρὸν δόρυ. Οὕτως εἶπε. Μηριό-

Ὣς φάτο· Μηριόνης δὲ, θοῷ ἀτάλαντος Ἄρηϊ,
Καρπαλίμως κλισίηθεν ἀνείλετο χάλκεον ἔγχος·
Βῆ δὲ μετ' Ἰδομενῆα, μέγα πτολέμοιο μεμηλώς.
Οἷος δὲ βροτολοιγὸς Ἄρης πόλεμόνδε μέτεισι·
Τῷ δὲ Φόβος, φίλος υἱὸς, ἅμα κρατερὸς καὶ ἀταρβὴς
Ἕσπετο, ὅστ' ἐφόβησε ταλάφρονά περ πολεμιστήν.
Τὼ μὲν ἄρ' ἐκ Θρήκης Ἐφύρους μέτα θωρήσσεσθον,
Ἠὲ μετὰ Φλέγυας μεγαλήτορας· οὐδ' ἄρα τώγε
Ἔκλυον ἀμφοτέρων, ἑτέροισι δὲ κῦδος ἔδωκαν·
Τοῖοι Μηριόνης τε καὶ Ἰδομενεὺς, ἀγοὶ ἀνδρῶν,
Ἤϊσαν ἐς πόλεμον, κεκορυθμένοι αἴθοπι χαλκῷ.
Τὸν καὶ Μηριόνης πρότερος πρὸς μῦθον ἔειπε·
Δευκαλίδη, πῆ τ' ἂρ μέμονας καταδῦναι ὅμιλον;
Ἦ ἐπὶ δεξιόφιν παντὸς στρατοῦ, ἦ ἀνὰ μέσσους,
Ἦ ἐπ' ἀριστερόφιν; ἐπεὶ οὔποθι ἔλπομαι οὕτω
Δεύεσθαι πολέμοιο καρηκομόωντας Ἀχαιούς.
Τὸν δ' αὖτ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἀντίον ηὔδα·
Νηυσὶ μὲν ἐν μέσσῃσιν ἀμύνειν εἰσὶ καὶ ἄλλοι,
Αἴαντές τε δύω, Τεῦκρός θ', ὃς ἄριστος Ἀχαιῶν
Τοξοσύνῃ, ἀγαθὸς δὲ καὶ ἐν σταδίῃ ὑσμίνῃ·
Οἵ μιν ἄδην ἐλόωσι καὶ ἐσσύμενον πολέμοιο,
Ἕκτορα Πριαμίδην, καὶ εἰ μάλα καρτερός ἐστιν.
Αἰπύ οἱ ἐσσεῖται, μάλα περ μεμαῶτι μάχεσθαι,
Κείνων νικήσαντι μένος καὶ χεῖρας ἀάπτους,
Νῆας ἐνιπρῆσαι, ὅτε μὴ αὐτός γε Κρονίων
Ἐμβάλοι αἰθόμενον δαλὸν νήεσσι θοῇσιν.
Ἀνδρὶ δέ κ' οὐκ εἴξειε μέγας Τελαμώνιος Αἴας,
Ὃς θνητός τ' εἴη, καὶ ἔδοι Δημήτερος ἀκτὴν,

νης δὲ ὅμοιος τῷ ταχεῖ Ἄρει ταχέως ἀπὸ τῆς σκηνῆς ἀνελάβετο τὸ σιδηροῦν δόρυ, ἐπορεύθη δὲ πρὸς τὸν Ἰδομενέα μεγάλως τοῦ πολέμου ἐπιμέλειαν καὶ φροντίδα ποιούμενος· οἷος δὲ ὁ ἀνθρωποκτόνος Ἄρης εἰς τὸν πόλεμον παραγίνεται, τούτῳ δὲ Φόβος ὁ ἀγαπητὸς υἱὸς ἅμα, ἰσχυρός τε καὶ ἄφοβος ἀκολουθεῖ, ὅστις εἰς φυγὴν ἔτρεψε, καὶ καρτερικὸν φρόνημα ἔχοιτα, ἤτοι ἀνδρεῖον μαχητὴν, οὗ δὴ ἐκ Θρᾴκης καθοπλίζονται ἐπὶ τοὺς Ἐπύρους, ἢ ἐπὶ τοὺς Φλέγυας (τοὺς Γορτυνίους) τοὺς μεγαλοψύχους, οὐδὲ δὴ οὗτοί γε ἐπήκουσαν ἀμφοτέρων, τῷ ἑτέρῳ δὲ μέρει δόξαν παρέσχον· τοιοῦτοι ὅ, τε Μηριόνης καὶ ὁ Ἰδομενεὺς οἱ ἀρχηγοὶ τῶν ἀνδρῶν ἐπορεύοντο εἰς τὸν πόλεμον καθωπλισμένοι σιδήρῳ λαμπρῷ. Πρὸς τοῦτον δὲ πρότερον εἶπε λόγον ὁ Μηριόνης· Ὦ υἱὲ τοῦ Δευκαλίωνος, ποῦ δὴ προθυμῇ εἰσελθεῖν τὸν ςρατὸν, ἢ ἐπὶ τὰ δεξιὰ παντὸς τοῦ λαοῦ, ἢ κατὰ τὸ μέσον, ἢ ἐπὶ τὰ ἀριστερὰ; οὐδαμοῦ γὰρ τοσοῦτον οἶμαι προσδεῖσθαι πολέμου τοὺς τὰς κεφαλὰς κομῶντας Ἕλληνας. Πρὸς τοῦτον δὲ Ἰδομενεὺς ὁ ἀρχηγὸς τῶν Κρητῶν ἐναντίον ἔλεγεν. Ἐν τῷ μέσῳ μὲν τῶν νεῶν εἰσι καὶ ἄλλοι βοηθεῖν, οἵ τε δύο Αἴαντες καὶ ὁ Τεῦκρος, ὃς κράτιστός ἐστιν ἁπάντων τῶν Ἑλλήνων τοξικῇ, χρηστὸς δέ ἐστι καὶ ἐν τῇ συστάδην καὶ ἐκ χειρὸς μάχῃ· οἵγ' αὐτὸν . . . .
Ἕκτορα τὸν υἱὸν τοῦ Πριάμου καὶ εἰ πάνυ ἰσχυρὸς καὶ γενναῖος ὑπάρχει, φοβερὸν αὐτῷ ἔσται, καίπερ πάνυ προθυμουμένῳ πολεμεῖν, ἐκείνων νικήσαντι τὴν προθυμίαν, καὶ τὴν ἰσχὺν τὴν ἄμαχον, ἐμπρῆσαι καὶ κατακαῦσαι τὰς ναῦς, εἰ μὴ αὐτὸς ὁ υἱὸς τοῦ Κρόνου ἐμβάλοι δαλὸν καιόμενον εἰς τὰς ταχείας ναῦς, ἀνδρὶ δὲ οὐκ ἂν ὑποχωρήσειεν ὁ τοῦ Τελαμῶνος μέγας Αἴας, ὃς ἂν θνητός τε ὑπάρχοι, καὶ τὸν τῆς Δήμητρος σῖτον ἐσθίοι, καὶ σιδήρῳ τρωτὸς

Χαλκῷ τε ῥηκτὸς, μεγάλοισί τε χερμαδίοισιν·
Οὐδ' ἂν Ἀχιλλῆϊ ῥηξήνορι χωρήσειεν,
Ἔν γ' αὐτοσταδίῃ· ποσὶ δ' οὔπως ἐστὶν ἐρίζειν,
Νῶϊν δ' ὧδ' ἐπ' ἀριστέρ' ἔχε στρατοῦ, ὄφρα τάχιστα
Εἴδομεν, ἠέ τῳ εὖχος ὀρέξομεν, ἠέ τις ἡμῖν.
Ὣς φάτο· Μηριόνης δὲ, θοῷ ἀτάλαντος Ἄρηϊ,
Ἦρχ' ἴμεν, ὄφρ' ἀφίκοντο κατὰ στρατὸν, ᾗ μιν ἀνώγει·
Οἱ δ' ὡς Ἰδομενῆα ἴδον, φλογὶ εἴκελον ἀλκὴν,
Αὐτὸν καὶ θεράποντα σὺν ἔντεσι δαιδαλέοισι,
Κεκλόμενοι καθ' ὅμιλον, ἐπ' αὐτῷ πάντες ἔβησαν·
Τῶν δ' ὁμὸν ἵστατο νεῖκος, ἐπὶ πρύμνῃσι νέεσσιν.
Ὡς δ' ὅθ' ὑπὸ λιγέων ἀνέμων σπέρχωσιν ἄελλαι
Ἤματι τῷ, ὅτε τε πλείστη κόνις ἀμφὶ κελεύθους·
Οἵ τ' ἄμυδις κονίης μεγάλην ἱστᾶσιν ὀμίχλην·
Ὣς ἄρα τῶν ὁμόσ' ἦλθε μάχη, μέμασαν δ' ἐνὶ θυμῷ
Ἀλλήλους καθ' ὅμιλον ἐναιρέμεν ὀξέϊ χαλκῷ.
Ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσι
Μακρῇς, ἃς εἶχον ταμεσίχροας· ὄσσε δ' ἄμερδεν
Αὐγὴ χαλκείη, κορύθων ἀπὸ λαμπομενάων,
Θωρήκων τε νεοσμήκτων, σακέων τε φαεινῶν,
Ἐρχομένων ἄμυδις· μάλα κεν θρασυκάρδιος εἴη,
Ὃς τότε γηθήσειεν ἰδὼν πόνον, οὐδ' ἀκάχοιτο.
Τὼ δ' ἀμφὶς φρονέοντε δύω Κρόνου υἷε κραταιὼ,
Ἀνδράσιν ἡρώεσσι τετεύχατον ἄλγεα λυγρά.
Ζεὺς μὲν ἄρα Τρώεσσι καὶ Ἕκτορι βούλετο νίκην,
Κυδαίνων Ἀχιλῆα πόδας ταχὺν, οὐδ' ὅγε πάμπαν
Ἤθελε λαὸν ὀλέσθαι Ἀχαιϊκὸν Ἰλιόθι πρό·
Ἀλλὰ Θέτιν κύδαινε καὶ υἱέα καρτερόθυμον·

εἴη, καὶ μεγάλοις χειροπληθέσι λίθοις· οὐδ᾽ ἂν Ἀχιλλεῖ τῷ ἀνδρείῳ παραχωρήσειεν ἐν τῇ ἐκ συστάσεως μάχῃ, τοῖς ποσὶ δὲ ἀμιλλᾶσθαι οὐκ ἔστι δυνατόν. ἡμῖν δὲ ἐνταῦθα ἐπὶ τὰ ἀριστερὰ τοῦ στρατοῦ χώρει, ὅπως ὡς τάχος θεασώμεθα, ἢ δώσομέν τινι καύχημα, ἤ τις δώσει ἡμῖν. Οὕτως εἶπε. Μηριόνης δὲ ὅμοιος τῷ ταχεῖ Ἄρει ἤρχετο πορεύεσθαι, ἕως παρεγένοντο κατὰ τὸ μέρος ἐκεῖνο τοῦ στρατοῦ, ὅπου αὐτῷ προσέταξεν. οὗτοι δὲ ἐπειδὴ ἐθεάσαντο αὐτὸν τὸν Ἰδομενέα, τὸν ὅμοιον φλογὶ κατὰ δύναμιν, καὶ τὸν θεράποντα αὐτοῦ μετὰ τῶν ποικίλων ὅπλων, παρακελευόμενοι κατὰ τὸν στρατὸν, ἐπ᾽ αὐτὸν ἅπαντες ὥρμησαν· τούτων χαλεπὴ φιλονεικία καὶ μάχη ἐγίνετο παρὰ ταῖς πρύμναις τῶν νεῶν. ὥσπερ δὲ ὅταν ὑπὸ ἀνέμων κατὰ τὸν ἦχον ὀξέων διεγείρωνται συστροφαὶ τῇ ἡμέρᾳ ἐκείνῃ, ὁπηνίκα πλείστη κόνις περὶ τὰς ὁδοὺς ἐστιν, οἵτινες ὁμοῦ πνέοντες μεγάλην ὁμίχλην ποιοῦσι ψαρᾶς γῆς· οὕτω δὴ τούτων εἰς τὸ αὐτὸ συμπεφυρμένως ἦλθεν ἡ μάχη, προτεθύμηνται δὲ ἐν τῇ ψυχῇ ἀλλήλους κατὰ τὸν στρατὸν ἀποκτείνειν σιδήρῳ ὀξεῖ, ἐπυκνώθη δὲ ἡ μάχη ἡ ἀνθρωποφθόρος τῇ ἐκτάσει τῶν δοράτων τῶν μακρῶν, ἅπερ τμητικὰ τῶν σωμάτων κατεῖχον, τὰς ὄψεις δὲ ἠμαύρου καὶ ἔβλαπτεν ἡ λαμπηδὼν τοῦ χαλκοῦ τῶν περιλαμπουσῶν περικεφαλαίων, καὶ τῶν νεοκαθάρτων θωράκων, καὶ τῶν λαμπρῶν ἀσπίδων ὁμοῦ πορευομένων· πάνυ ἂν τις εὔτολμος εἴη, ὃς ἂν τότε ἐχάρη θεασάμενος τὸν πόλεμον, καὶ οὐκ ἐλυπήθη. οἱ δύο δὲ κραταιοὶ υἱοὶ τοῦ Κρόνου διχονοοῦντες ἀνδράσιν ἥρωσι κατεσκεύαζον λύπας χαλεπάς. Ὁ Ζεὺς μὲν οὖν τοῖς Τρωσὶ καὶ τῷ Ἕκτορι ἐβούλετο νίκην δοξάζων τὸν κατὰ πόδας ταχὺν Ἀχιλλέα. οὐ μὴν οὗτός γε παντελῶς ἐβούλετο ἀπολέσθαι τὸν Ἑλληνικὸν στρατὸν πρὸ τοῦ Ἰλίου, ἀλλὰ τὴν Θέτιν ἐτίμα, καὶ τὸν ἀνδρεῖον αὐτῆς υἱόν. Ποσειδῶν δὲ τοὺς

Ἀργείους δὲ Ποσειδάων ὀρόθυνε μετελθὼν,
Λάθρη ὑπεξαναδὺς πολιῆς ἁλός· ἤχθετο γάρ ῥα
Τρωσὶν δαμναμένους, Διῒ δὲ κρατερῶς ἐνεμέσσα.
Ἦ μὰν ἀμφοτέροισιν ὁμὸν γένος, ἠδ' ἴα πάτρη,
Ἀλλὰ Ζεὺς πρότερος γεγόνει καὶ πλείονα ᾔδη.
Τῷ ῥα καὶ ἀμφαδίη μὲν ἀλεξέμεναι ἀλέεινε,
Λάθρη δ' αἰὲν ἔγειρε κατὰ στρατὸν, ἀνδρὶ ἐοικώς.
Τοὶ δ' ἔριδος κρατερῆς καὶ ὁμοιΐου πτολέμοιο
Πεῖραρ ἐπαλλάξαντες, ἐπ' ἀμφοτέροισι τάνυσσαν,
Ἄῤῥηκτόν τ' ἄλυτόν τε, τὸ πολλῶν γούνατ' ἔλυσεν.
Ἔνθα, μεσαιπόλιός περ ἐὼν, Δαναοῖσι κελεύσας
Ἰδομενεὺς Τρώεσσιν ἐπάλμενος ἐν φόβον ὦρσε.
Πέφνε δ' ἄρ Ὀθρυονῆα, Καβησόθεν ἔνδον ἐόντα·
Ὅς ῥα νέον πολέμοιο μετὰ κλέος εἰληλούθει·
Ἤιτεε δὲ Πριάμοιο θυγατρῶν εἶδος ἀρίστην,
Κασσάνδρην, ἀνάεδνον· ὑπέσχετο δὲ μέγα ἔργον,
Ἐκ Τροίης ἀέκοντας ἀπωσέμεν υἷας Ἀχαιῶν.
Τῷ δ' ὁ γέρων Πρίαμος ὑπέσχετο, καὶ κατένευσε
Δωσέμεναι· ὁ δὲ μάρναθ', ὑποσχεσίῃσι πιθήσας.
Ἰδομενεὺς δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
Καὶ βάλεν ὕψι βιβάντα τυχών· οὐδ' ἤρκεσε θώρηξ
Χάλκεος, ὃν φορέεσκε, μέσῃ δ' ἐν γαστέρι πῆξε·
Δούπησεν δὲ πεσών· ὁ δ' ἐπεύξατο, φώνησέν τε·
Ὀθρυονεῦ, πέρι δή σε βροτῶν αἰνίζομ' ἁπάντων
Εἰ ἐτεὸν δὴ πάντα τελευτήσεις, ὅσ' ὑπέστης
Δαρδανίδῃ Πριάμῳ· ὁ δ' ὑπέσχετο θυγατέρα ἥν.
Καί κέ τοι ἡμεῖς ταῦτά γ' ὑποσχόμενοι τελέσαιμεν·
Δοῖμεν δ' Ἀτρείδαο θυγατρῶν εἶδος ἀρίστην,

Ἕλληνας παρώξυνε παρελθὼν, κρύβδην ὑπεξελθὼν τῆς λευκῆς θαλάσσης, ἐλυπεῖτο γὰρ αὐτοὺς δαμαζομένους, καὶ νικωμένους ὑπὸ τῶν Τρώων, τῷ Διῒ δὲ ὑπερβαλλόντως ἐμέμφετο ὄντως δὴ ἑκατέρῳ ὅμοιον τὸ γένος καὶ μία πατρὶς, ἀλλ᾽ ὁ Ζεὺς πρότερον ἐγένετο, καὶ πλείω οἶδε, δι᾽ ὃ δὴ καὶ φανερῶς βοηθεῖν ἐφυλάττετο, κρυφίως δὲ ἀεὶ ἠρέθιζε κατὰ τὸν λαὸν, ὅμοιος ὢν ἀνδρί· οὗτοι δὲ τῆς ἰσχυρᾶς φιλονεικίας καὶ τοῦ χαλεποῦ πολέμου πέρας καὶ τέλος ἐξέτεινον κατ᾽ ἀμφοτέρων τῶν στρατῶν ἐπιπλέξαντες τὰς χεῖρας, καὶ οἱονεὶ δήσαντες ἄθραυστόν τε καὶ ἀδιάλυτον, ὅπερ πολλῶν γόνατα διέλυσε καὶ ἐνέκρωσε. Τότε καίπερ σπαρτοπόλιος καὶ μεσῆλιξ ὑπάρχων τοῖς Ἕλλησι παρακελευσάμενος ὁ Ἰδομενεὺς ἐπιπηδήσας τοῖς Τρωσὶν ἐνέβαλε φόβον· ἀπέκτεινε δ᾽ οὖν Ὀθρυονέα τὸν ἐκ τῆς Καβήσου παρόντα, ὃς δὴ νεωστὶ ἀφίκετο εἰς τὴν τοῦ πολέμου φήμην, ἐζήτει δὲ τὴν κατὰ τὴν μορφὴν βελτίστην πασῶν τῶν θυγατέρων τοῦ Πριάμου τὴν Κασσάνδραν ἄνευ προικὸς, ἐπηγγείλατο δὲ πρᾶξιν μεγάλην, ἄκοντας καὶ βίᾳ ἐξελάσειν τῆς Τροίας τοὺς υἱοὺς τῶν Ἑλλήνων. Τοῦτο δὲ ὁ γέρων Πρίαμος ἐπηγγείλατο καὶ ἐπένευσε δώσειν, οὗτος δὲ πισεύσας ταῖς ὑποσχέσεσιν ἐμάχετο. Ἰδομενεὺς δὲ ἐστοχάζετο αὐτοῦ δόρατι λαμπρῷ, καὶ ἐπιτυχὼν ἔτρωσεν αὐτὸν ἐπηρμένως πορευόμενον, οὐδὲ ἐβοήθησεν ὁ θώραξ ὁ σιδηροῦς ὃν ἐφόρει, ἔπηξε δὲ ἐν τῷ μέσῳ τῆς γαστρός· καταπεσὼν δὲ ἐψόφησεν, οὗτος δὲ ἐπεκαυχήσατο, καὶ εἶπεν· Ὦ Ὀθρυονεῦ, ὑπὲρ πάντας τοὺς ἀνθρώπους σὲ ἐπαινῶ, εἰ ἀληθῶς πάντα τελέσεις, καθάπερ ὑπέσχου τῷ ἀπογόνῳ τοῦ Δαρδάνου Πριάμῳ· οὗτος δὲ ὑπέσχετο τὴν ἑαυτοῦ θυγατέρα, καὶ ἡμεῖς δ᾽ ἂν σοι ταῦτα ἐπαγγειλαμενοι ἐκτελέσαιμεν, δοίημεν δὲ τὴν κατὰ τὸ εἶδος βελτίςην τῶν θυγατέρων τοῦ υἱοῦ τοῦ Ἀτρέως, ἐξαγαγόντες ἐκ τοῦ

Ἄργεος ἐξαγαγόντες, ὀπυιέμεν· εἶκε σὺν ἄμμιν
Ἰλίου ἐκπέρσης εὐναιόμενον πτολίεθρον.
Ἀλλ' ἕπευ, ὄφρ' ἐπὶ νηυσὶ συνώμεθα ποντοπόροισιν
Ἀμφὶ γάμῳ· ἐπεὶ οὔτοι ἐεδνωταὶ κακοὶ εἰμέν.
Ὣς εἰπὼν, ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην
Ἥρως Ἰδομενεύς. τῷ δ' Ἄσιος ἤλθεν ἀμύντωρ,
Πεζὸς πρόσθ' ἵππων· τὼ δὲ πνείοντε κατ' ὤμων
Αἰὲν ἔχ' ἡνίοχος θεράπων· ὁ δὲ ἵετο θυμῷ
Ἰδομενῆα βαλεῖν, ὁ δέ μιν φθάμενος βάλε δουρὶ
Λαιμὸν ὑπ' ἀνθερεῶνα, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν·
Ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωΐς,
Ἠὲ πίτυς βλωθρὴ, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
Ἐξέταμον πελέκεσσι νεήκεσι, νήϊον εἶναι·
Ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς,
Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
Ἐκ δέ οἱ ἡνίοχος πλήγη φρένας, ἃς πάρος εἶχεν·
Οὐδ' ὅγε τόλμησεν, δηΐων ὑπὸ χεῖρας ἀλύξας,
Ἂψ ἵππους στρέψαι. τὸν δ' Ἀντίλοχος μενεχάρμης
Δουρὶ μέσον περόνησε τυχών· οὐδ' ἤρκεσε θώρηξ
Χάλκεος, ὃν φορέεσκε· μέσῃ δ' ἐν γαστέρι πῆξεν.
Αὐτὰρ ὅγ' ἀσθμαίνων εὐεργέος ἔκπεσε δίφρου·
Ἵππους δ' Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς,
Ἐξέλασε Τρώων μετ' ἐϋκνήμιδας Ἀχαιούς·
Δηΐφοβος δὲ μάλα σχεδὸν ἤλυθεν Ἰδομενῆος,
Ἀσίου ἀχνύμενός, καὶ ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Ἰδομενεύς· κρύφθη γὰρ ὑπ' ἀσπίδι πάντοσ' ἐΐσῃ,
Τὴν ἄρ ὅγ' ἐν ῥινοῖσι βοῶν καὶ νώροπι χαλκῷ

Ἄργους, συγγίνεσθαι αὐτῇ, ἐὰν σὺν ἡμῖν ἐκπορθήσῃς τὸ καλῶς οἰκούμενον πόλισμα τῆς Ἰλίου· ἀλλ' ἕπου, ἵνα παρὰ ταῖς ναυσὶ ταῖς θαλασσοπλόοις συνθήκην ποιησώμεθα περὶ γάμου, ἐπειδὴ οὐ κακοὶ πενθεροί σοι ἐσμέν. Οὕτως εἰπὼν εἷλκεν ἀπὸ τοῦ ποδὸς κατὰ τὴν ἰσχυρὰν μάχην ὁ ἥρως Ἰδομενεὺς, τούτῳ δὲ Ἄσιος παρεγένετο βοηθὸς πεζὸς ἔμπροσθεν τῶν ἵππων· τοὺς δὲ καταπνέοντας αὐτοῦ τοὺς ὤμους ἀεὶ ἤλαυνεν ὁ ἡνίοχος ὁ θεράπων αὐτοῦ. οὗτος δὲ προὐθυμεῖτο τρῶσαι τὸν Ἰδομενέα· οὗτος ὅμως προφθὰς ἔτρωσεν αὐτὸν δόρατι κατὰ τὸν λαιμὸν ὑποκάτω τοῦ ἀπογενείου, εἰς τὸ ἔμπρόσθεν δὲ διεπέρασε τὸν σίδηρον, κατέπεσε δὲ, ὥσπερ ὅτε τις δρῦς κατέπεσεν, ἢ λεῦκος ἢ πίτυς μακρὰ, ἣν ἐν τοῖς ὄρεσιν ἄνδρες ξυλουργοὶ ἐξέκοψαν πελέκεσι νεωστὶ ἠκονημένοις, ναυπηγήσιμον εἶναι. Οὕτως αὐτὸς ἔμπροσθεν τῶν ἵππων καὶ τοῦ ὀχήματος ἐξαπλωθεὶς ἔκειτο βρυχόμενος καὶ τοὺς ὀδόντας συγκρούων, δραξάμενος τῆς αἵματι πεφυρμένης κόνεως· ὁ ἡνίοχος δὲ αὐτοῦ ἐξεπλάγη τὰς φρένας, ἃς πρότερον εἶχε, καὶ ἔκφρων ἐγένετο, οὐδὲ ἐτόλμησεν οὗτος ἐκφυγὼν τὰς χεῖρας τῶν πολεμίων εἰς τοὐπίσω στρέψαι τοὺς ἵππους· τοῦτον δὲ Ἀντίλοχος ὁ καρτερικὸς ἐν πολέμῳ δόρατι κατὰ τὸ μέσον ἐπιτυχὼν διεπόρπησε, καὶ διήλασεν, οὐδὲ ἐβοήθησεν ὁ θώραξ ὁ σιδηροῦς, ὃν ἐφόρει, ἔπηξε δὲ ἐν τῷ μέσῳ τῆς γαστρός· οὗτος δὲ πνευστιῶν κατέπεσεν ἐκ τοῦ ἐπιμελῶς εἰργασμένου ὀχήματος, τοὺς ἵππους δὲ Ἀντίλοχος ὁ υἱὸς τοῦ μεγαλοψύχου Νέστορος ἐξήγαγεν ἀπὸ τῶν Τρώων πρὸς τοὺς εὐόπλους Ἕλληνας· Ὁ Δηίφοβος δὲ πάνυ πλησίον τοῦ Ἰδομενέως παρεγένετο λυπούμενος χάριν τοῦ Ἀσίου, καὶ ἔβαλε δόρατι λαμπρῷ· ἀλλ' οὗτος μὲν ἐξ ἐναντίας θεασάμενος ἐφυλάξατο τὸ σιδηροῦν δόρυ ὁ Ἰδομενεὺς, ἐκαλύφθη γὰρ ὑπὸ τῇ κυκλοτερῇ ἀσπίδι, ἣν δὴ οὗτος ἐν δέρμασι βοῶν καὶ σιδήρῳ λαμπροτάτῳ στρογγύλην ἔφερε δυσὶ ῥάβδοις

Δινωτὴν φορέεσκε, δύω κανόνεσσ' ἀραρυῖαν·
Τῇ δ' ὕπο πᾶς ἐάλη, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος·
Καρφαλέον δέ οἱ ἀσπὶς ἐπιθρέξαντος ἄϋσεν
Ἔγχεος· οὐδ' ἅλιόν ῥα βαρείης χειρὸς ἀφῆκεν,
Ἀλλ' ἔβαλ' Ἱππασίδην Ὑψήνορα, ποιμένα λαῶν,
Ἧπαρ ὑπὸ πραπίδων, εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσε.
Δηΐφοβος δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Οὐ μὰν αὖτ' ἄτιτος κεῖτ' Ἄσιος· ἀλλά ἑ φημὶ,
Εἰς Ἄϊδός περ ἰόντα πυλάρταο κρατεροῖο,
Γηθήσειν κατὰ θυμόν· ἐπεί ῥά οἱ ὤπασα πομπόν·
Ὣς ἔφατ'· Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο,
Ἀντιλόχῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
Ἀλλ' οὐδ', ἀχνύμενός περ, ἑοῦ ἀμέλησεν ἑταίρου,
Ἀλλὰ θέων περίβη, καί οἱ σάκος ἀμφεκάλυψε.
Τὸν μὲν ἔπειθ' ὑποδύντε δύω ἐρίηρες ἑταῖροι,
Μηκιστεὺς, Ἐχίοιο πάϊς, καὶ δῖος Ἀλάστωρ·
Νῆας ἐπὶ γλαφυρὰς φερέτην, βαρέα στενάχοντε.
Ἰδομενεὺς δ' οὐ λῆγε μένος μέγα· ἵετο δ' αἰεὶ
Ἠέ τινα Τρώων ἐρεβεννῇ νυκτὶ καλύψαι,
Ἢ αὐτὸς δουπῆσαι, ἀμύνων λοιγὸν Ἀχαιοῖς.
Ἔνθ' Αἰσυήταο διοτρεφέος φίλον υἱὸν
Ἥρω' Ἀλκάθοον· γαμβρὸς δ' ἦν Ἀγχίσαο·
Πρεσβυτάτην δ' ὤπυιε θυγατρῶν Ἱπποδάμειαν,
Τὴν πέρι κῆρι φίλησε πατὴρ καὶ πότνια μήτηρ
Ἐν μεγάρῳ· πᾶσαν γὰρ ὁμηλικίην ἐκέκαστο
Κάλλεϊ, καὶ ἔργοισιν, ἰδὲ φρεσί· τοὔνεκα καί μιν
Γῆμεν ἀνὴρ ὤριστος ἐνὶ Τροίῃ εὐρείῃ·
Τὸν τόθ' ὑπ' Ἰδομενῆϊ Ποσειδάων ἐδάμασσε,

προσηρμοσμένην, ὑπὸ ταύτῃ πᾶς συνειλήθη καὶ συνεκρύβη, τὸ σιδηροῦν δὲ δόρυ ὑπεράνω ἠνέχθη, σκληρῶς δὲ ἤχησεν ἡ ἀσπὶς, αὐτοῦ ἐπιψαύσαντος, οὐδέ γε ματαίως ἀφῆκεν αὐτὸ ἀπὸ τῆς βαρείας καὶ ἰσχυρᾶς χειρὸς, ἀλλ' ἔτρωσε τὸν Ὑψήνορα τὸν υἱὸν τοῦ Ἱππάσου τὸν βασιλέα τοῦ λαοῦ κατὰ τὸ ἧπαρ ὑποκάτω τῶν φρενῶν, αὐτίκα δὲ διέλυσε καὶ ἐνέκρωσε τὰ γόνατα. Δηΐφοβος δὲ ἐκπληκτικῶς καὶ θαυμαστῶς ἐπεκαυχήσατο, μεγάλως βοήσας· Οὐ μὴν ἀτιμώρητος κεῖται ὁ Ἄσιος, ἀλλ' οἴομαι αὐτὸν καίπερ ὄντα ἐν Ἅδου τοῦ τὰς πύλας ἐφαρμόζοντος τοῦ ἰσχυροῦ, χαρήσεσθαι κατὰ ψυχὴν, ἐπειδὴ παρέσχον αὐτῷ προοδοποιόν. Οὕτως εἶπε. Τοῖς Ἕλλησι δὲ λύπη ἐγένετο ἐπικαυχησαμένου, τῷ Ἀντιλόχῳ δὲ μάλιστα τῷ συνετῷ διήγειρε καὶ παρώξυνε τὴν ψυχὴν, ἀλλ' οὐδὲ λυπούμενος τοῦ ἑαυτοῦ φίλου ἠμέλησεν, ἀλλὰ τρέχων περὶ αὐτὸν ἔστη, καὶ περιέθηκεν αὐτῷ τὴν ἀσπίδα· τοῦτον μὲν οὖν ἀνελόμενοι δύο ἐπιτήδειοι καὶ εὐάρμοστοι φίλοι Μηκιστεὺς ὁ υἱὸς τοῦ Ἐχίου, καὶ ὁ ἔνδοξος Ἀλάστωρ ἔφερον ἐπὶ τὰς κοίλας ναῦς, βαρέως στενάζοντα. Ὁ Ἰδομενεὺς δὲ οὐκ ἐπαύετο τῆς μεγάλης καὶ εὐτόλμου προθυμίας, ἐφίετο δὲ ἀεὶ ἤ τινα τῶν Τρώων καλύψαι νυκτὶ σκοτεινῇ, ἢ αὐτὸς καταπεσὼν ψοφῆσαι, ἀποσοβῶν τοῖς Ἕλλησι τὴν φθοράν. τότε τὸν ἀγαπητὸν υἱὸν τοῦ ἐνδοξότατα τεθραμμένου Αἰσυήτου τὸν ἥρωα Ἀλκάθουν, γαμβρὸς δὲ ἦν τοῦ Ἀγχίσου, Ἱπποδάμειαν δὲ τὴν πρεσβυτέρην τῶν θυγατέρων ἐπέραινεν, ἣν ὁ πατὴρ καὶ ἡ σεβαστὴ μήτηρ περισσῶς κατὰ ψυχὴν ἐφίλησαν ἐν τῷ οἴκῳ· πασῶν γὰρ τῶν ὁμηλίκων διέφερε κάλλει, καὶ ἔργοις, καὶ νῷ, τούτου ἕνεκα καὶ ἔγημεν αὐτὴν ἀνὴρ ἄριστος ἐν τῇ εὐρυχώρῳ Τροίᾳ· τοῦτον τότε ἀπέκτεινεν ὁ Ποσειδῶν διὰ τοῦ Ἰδομενέως ἀπατήσας τοὺς λαμπροὺς

Θέλξας ὄσσε φαεινὼ, πέδησε δὲ φαίδιμα γυῖα.
Οὔτε γὰρ ἐξοπίσω φυγέειν δύνατ᾽, οὔτ᾽ ἀλέασθαι·
Ἀλλ᾽, ὥστε στήλην, ἢ δένδρεον ὑψιπέτηλον,
Ἀτρέμας ἑσταότα, στῆθος μέσον οὔτασε δουρὶ
Ἥρως Ἰδομενεὺς, ῥῆξεν δέ οἱ ἀμφὶ χιτῶνα
Χάλκεον, ὅς οἱ πρόσθεν ἀπὸ χροὸς ἤρκει ὄλεθρον.
Δὴ τότε γ᾽ αὖον ἄϋσεν, ἐρεικόμενος περὶ δουρί·
Δούπησεν δὲ πεσὼν, δόρυ δ᾽ ἐν κραδίῃ ἐπεπήγει,
Ἥ ῥά οἱ ἀσπαίρουσα, καὶ οὐρίαχον πελέμιξεν
Ἔγχεος· ἔνθα δ᾽ ἔπειτ᾽ ἀφίει μένος ὄβριμος Ἄρης.
Ἰδομενεὺς δ᾽ ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Δηΐφοβ᾽, ἦ ἄρα δή τι ἐΐσκομεν ἄξιον εἶναι,
Τρεῖς ἑνὸς ἀντιπεφάσθαι, ἐπεὶ σύ περ εὔχεαι αὔτως;
Δαιμόνι᾽, ἀλλὰ καὶ αὐτὸς ἐναντίος ἵστασ᾽ ἐμεῖο,
Ὄφρα ἴδῃς, οἷος Ζηνὸς γόνος ἐνθάδ᾽ ἱκάνω·
Ὃς πρῶτος Μίνωα τέκε Κρήτῃ ἐπίουρον·
Μίνως δ᾽ αὖ τέκεθ᾽ υἱὸν ἀμύμονα Δευκαλίωνα·
Δευκαλίων δ᾽ ἐμὲ τίκτε, πολέσσ᾽ ἄνδρεσσιν ἄνακτα,
Κρήτῃ ἐν εὐρείῃ· νῦν δ᾽ ἐνθάδε νῆες ἔνεικαν,
Σοί τε κακὸν, καὶ πατρὶ, καὶ ἄλλοισι Τρώεσσιν.
Ὣς φάτο· Δηΐφοβος δὲ διάνδιχα μερμήριξεν,
Ἤ τινά που Τρώων ἑταρίσσαιτο μεγαθύμων,
Ἂψ ἀναχωρήσας· ἦ πειρήσαιτο καὶ οἶος.
Ὧδε δέ οἱ φρονέοντι, δοάσσατο κέρδιον εἶναι,
Βῆναι ἐπ᾽ Αἰνείαν· τὸν δ᾽ ὕστατον εὗρεν ὁμίλου
Ἑσταότ᾽· αἰεὶ γὰρ Πριάμῳ ἐπεμήνιε δίῳ,
Οὕνεκ᾽ ἄρ᾽, ἐσθλὸν ἐόντα μετ᾽ ἀνδράσιν, οὔτι τίεσκεν·
Ἀγχοῦ δ᾽ ἱστάμενος ἔπεα πτερόεντα προσηύδα

ὀφθαλμοὺς, κατέσχε δὲ καὶ ἔδησε τὰ φαιδρὰ μέλη· οὔτε γὰρ εἰς τοὐπίσω φυγεῖν ἐδύνατο, οὔτε φυλάξασθαι, ἀλλ᾽ ὥσπερ στήλην, ἢ δένδρον ἐφ᾽ ὕψους τὰ φύλλα ἔχον, ἀμετακινήτως ἑστῶτα κατὰ τὸ μέσον τοῦ στήθους ἔβαλε τῷ δόρατι ὁ ἥρως Ἰδομενεὺς, ἔῤῥηξε δὲ περὶ αὐτὸν τὸν χιτῶνα τὸν σιδηροῦν, ὃς αὐτῷ πρότερον ἀπεσόβει ἀπὸ τοῦ σώματος τὴν φθοράν. τότε δὴ σκληρῶς ἤχησε σχιζόμενος περὶ τὸ δόρυ, καταπεσὼν δὲ ἐψόφησε, τὸ δόρυ δὲ εἰσεπάγη εἰς τὴν καρδίαν, ἣ δὴ αὐτῷ κινουμένη καὶ τὸν σαυρωτῆρα διέσεισε τοῦ δόρατος, ἐκεῖ δὲ μετὰ ταῦτα τὴν ψυχὴν ἀφιέναι τὴν ἰσχὺν ἐποίει ὁ ἰσχυρὸς σίδηρος. Ἰδομενεὺς δὲ ἐκπληκτικῶς καὶ θαυμαστῶς ἐπεκαυχήσατο μεγάλως βοήσας. Ὦ Δηΐφοβε, ὄντως που ἄξιόν τι νομίζομεν εἶναι, τρεῖς ἀνθ᾽ ἑνὸς ἀνῃρῆσθαι, ἐπειδὴ σύγε μάτην αὐχεῖς καὶ φιλοτιμῇ, ὦ εὐτυχέστατε, ἀλλὰ καὶ σὺ στᾶθι ἐναντίον ἐμοῦ, ὅπως θεάσῃ ὁποῖος ἔκγονος τοῦ Διὸς δεῦρο ἀφικόμην, ὃς πρῶτον ἐγέννησε τὸν Μίνωα φύλακα τῇ Κρήτῃ νήσῳ· ὁ Μίνως δὲ ἐγέννησεν υἱὸν τὸν ἄμεμπτον Δευκαλίωνα· Δευκαλίων δὲ ἐγέννησεν ἐμὲ πολλῶν ἀνδρῶν βασιλέα ἐν τῇ μεγάλῃ πλατείᾳ Κρήτῃ, νυνὶ δὲ αἱ νῆες δεῦρο με ἤνεγκαν κακὸν καὶ δυστυχίαν σοί τε καὶ τῷ σῷ πατρὶ, καὶ τοῖς ἄλλοις Τρωσίν. Οὕτως εἶπε. Δηΐφοβος δὲ διχῶς ἐμερίμνησεν, ἤ τινα τῶν μεγαλοψύχων Τρώων ἑταῖρον λάβοι που καὶ συνεργὸν, εἰς τοὐπίσω ἀνακάμψας, ἢ καὶ μόνος πειραθείη· οὕτω δ᾽ αὐτῷ φρονοῦντι καὶ λογιζομένῳ ἔδοξε λυσιτελέστερον εἶναι πορευθῆναι πρὸς τὸν Αἰνείαν, τοῦτον δὲ εὗρεν ἔσχατον πάντων ἑστῶτα, ἀεὶ γὰρ τῷ ἐνδοξοτάτῳ Πριάμῳ ἐμνησικάκει, καὶ ἐπεμέμφετο, διότι δὴ ἀνδρεῖον ὄντα οὐδαμῶς ἐν τοῖς ἀνδράσιν ἐτίμα· πλησίον δὲ στὰς λόγους ταχεῖς ἔλεγε πρὸς αὐτόν·

Αἰνεία, Τρώων βουληφόρε, νῦν σε μάλα χρὴ
Γαμβρῷ ἀμυνέμεναι, εἴπερ τί σε κῆδος ἱκάνει.
Ἀλλ' ἕπευ, Ἀλκαθόῳ ἐπαμύνομεν, ὅς σε πάρος πέρ
Γαμβρὸς ἐὼν ἔθρεψε, δόμοις ἔνι, τυτθὸν ἐόντα·
Τὸν δέ τοι Ἰδομενεὺς δουρικλυτὸς ἐξενάριξεν.
Ὣς φάτο· τῷ δ' ἄρα θυμὸν ἐνὶ στήθεσσιν ὄρινεν·
Βῆ δὲ μετ' Ἰδομενῆα, μέγα πτολέμοιο μεμηλώς.
Ἀλλ' οὐκ Ἰδομενῆα φόβος λάβε, τηλύγετον ὥς·
Ἀλλ' ἔμεν', ὡς ὅτε τις σῦς οὔρεσιν ἀλκὶ πεποιθὼς,
Ὅς τε μένει κολοσυρτὸν ἐπερχόμενον πολὺν ἀνδρῶν
Χώρῳ ἐν οἰοπόλῳ, φρίσσει δέ τε νῶτον ὕπερθεν·
Ὀφθαλμὼ δ' ἄρα οἱ πυρὶ λάμπετον· αὐτὰρ ὀδόντας
Θήγει, ἀλέξασθαι μεμαὼς κύνας ἠδὲ καὶ ἄνδρας.
Ὣς μένεν Ἰδομενεὺς δουρικλυτὸς, οὐδ' ὑπεχώρει
Αἰνείαν ἐπιόντα βοὴν θοόν· αὖε δ' ἑταίρους,
Ἀσκάλαφόν τ' ἐσορῶν, Ἀφαρῆά τε, Δηΐπυρόν τε,
Μηριόνην τε, καὶ Ἀντίλοχον, μήστωρας ἀϋτῆς.
Τοὺς ὅγ' ἐποτρύνων ἔπεα πτερόεντα προσηύδα·
Δεῦτε, φίλοι, καί μ' οἴῳ ἀμύνατε· δείδια δ' αἰνῶς
Αἰνείαν ἐπιόντα πόδας ταχὺν, ὅς μοι ἔπεισιν·
Ὃς μάλα καρτερός ἐστι μάχῃ ἔνι φῶτας ἐναίρειν·
Καὶ δ' ἔχει ἥβης ἄνθος, ὅ, τε κράτος ἐστὶ μέγιστον.
Εἰ γὰρ ὁμηλικίῃ γεγενοίμεθα τῷδ' ἐνὶ θυμῷ·
Αἶψά κεν ἠὲ φέροιτο μέγα κράτος, ἠὲ φεροίμην.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἕνα φρεσὶ θυμὸν ἔχοντες,
Πλησίοι ἔστησαν, σάκε' ὤμοισι κλίναντες.
Αἰνείας δ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισι,
Δηΐφοβόν τε, Πάριν τ' ἐσορῶν, καὶ Ἀγήνορα δῖον,

Ὦ Αἰνεία γνωμοδότα τῶν Τρώων, νῦν σε δεῖ πάνυ βοηθῆσαι τῷ σῷ γαμβρῷ, εἴ γέ σε λύπη τις καταλαμβάνοι· ἀλλ' ἕπου ἵνα τῷ Ἀλκάθῳ βοηθήσωμεν, ὅς σε τὸ πρῶτον γαμβρὸς ὤν, ἀνέθρεψεν ἐν τοῖς οἴκοις μικρὸν ὄντα· τοῦτον δὲ Ἰδομενεὺς ὁ κατὰ πόλεμον ἔνδοξος ἀπέκτεινεν. Οὕτως εἶπε· τούτῳ δὲ ἄρα τὴν ψυχὴν ἐν τῷ στήθει παρώξυνεν. ὥρμησε δὲ ἐπὶ τὸν Ἰδομενέα μεγάλως τοῦ πολέμου φροντίζων, ἀλλ' οὐ τὸν Ἰδομενέα κατέλαβε φόβος, ὥσπερ τινὰ υἱὸν μονογενῆ, ἀλλὰ παρέμενεν, ὥσπερ ὅτε τις χοῖρος ἐν τοῖς ὄρεσι τῇ δυνάμει θαῤῥῶν οὐ φεύγει, ὅστις παραμένει ἐπερχόμενον τὸν μέγιστον θόρυβον τῶν ἀνδρῶν, ἐν ᾧ τόπῳ μόνος ἀναστρέφεται, ἐξορθοῦται δὲ τὴν χαίτην ἄνωθεν, ὀφθαλμοὶ δὲ αὐτῷ ὥσπερ πύρινοι λάμπουσι, τοὺς ὀδόντας δὲ ἀκονᾷ καὶ ὀξύνει, ἀμύνασθαι προθυμούμενος τοὺς κύνας καὶ τοὺς ἄνδρας. Οὕτω παρέμενεν ὁ Ἰδομενεὺς ὁ κατὰ πόλεμον ἔνδοξος, οὐδὲ ἀνεχώρει καὶ ἐφυλάττετο Αἰνείαν τὸν ἐν τῇ μάχῃ ταχὺν καὶ ἀνδρεῖον· ἐκάλει δὲ τοὺς φίλους, τόν τε Ἀσκάλαφον βλέπων, καὶ τὸν Ἀφαρέα, καὶ τὸν Δηΐπυρον, καὶ τὸν Μηριόνην, καὶ τὸν Ἀντίλοχον τοὺς ἐπιστήμονας τῆς μάχης. τούτους οὗτος διεγείρων λόγους ταχεῖς ἔλεγεν· Ἄγετ', ὦ φίλοι, ἔλθετε, κἀμοὶ μονωθέντι βοηθήσατε, δέδοικα δὲ χαλεπῶς ἐπερχόμενον τὸν κατὰ πόδας ταχὺν Αἰνείαν, ὅστις ὁρμᾷ κατ' ἐμοῦ, ὃς πάνυ ἰσχυρός ἐστιν ἀποκτείνειν τοὺς ἄνδρας ἐν τῷ πολέμῳ, καὶ δὴ καὶ τὸ ἄνθος τῆς ἀκμαζούσης ἡλικίας ἔχει, ὅπερ ἐστὶ μέγιστον ἐπικράτεια καὶ ἰσχύς· εἰ γὰρ ὁμοίας ἡλικίας εἴημεν, ἐφ' ᾗ ψυχῇ νῦν ἐγώ εἰμι, ταχέως ἂν ἢ ἀπηνέγκατο δόξαν μεγάλην κατ' ἐμοῦ, ἢ ἀπηνεγκάμην κατ' αὐτοῦ. Οὕτως εἶπεν. οὗτοι δ' ἄρα πάντες ἓν καὶ τὸ αὐτὸ φρονοῦντες ἐγγὺς ἔστησαν, τὰς τῶν ἀσπίδων περιφερείας κλίναντες, καὶ ἐπιθέντες τοῖς ὤμοις. Αἰνείας δὲ ἀφ' ἑτέρου μέρους προσεκαλέσατο τοὺς ἑαυτοῦ φίλους, τόν τε Δηΐφοβον, καὶ τὸν Πάριν, καὶ τὸν ἐν-

Οἵ οἱ ἅμ᾽ ἡγεμόνες Τρώων ἔσαν· αὐτὰρ ἔπειτα
Λαοὶ ἕπονθ᾽, ὡσεί τε μετὰ κτίλον ἕσπετο μῆλα
Πιόμεν᾽, ἐκ βοτάνης· γάνυται δ᾽ ἄρα τε φρένα ποιμήν·
Ὣς Αἰνείᾳ θυμὸς ἐνὶ στήθεσσι γεγήθει,
Ὡς ἴδε λαῶν ἔθνος ἐπισπόμενον ἑοῖ αὐτῷ.
Οἱ δ᾽ ἀμφ᾽ Ἀλκαθόῳ αὐτοσχεδὸν ὡρμήθησαν
Μακροῖσι ξυστοῖσι· περὶ στήθεσσι δὲ χαλκὸς
Σμερδαλέον κονάβιζε, τιτυσκομένων καθ᾽ ὅμιλον
Ἀλλήλων. δύο δ᾽ ἄνδρες ἀρήϊοι, ἔξοχοι ἄλλων,
Αἰνείας τε, καὶ Ἰδομενεὺς, ἀτάλαντοι Ἄρηϊ,
Ἵεντ᾽ ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ·
Αἰνείας δὲ πρῶτος ἀκόντισεν Ἰδομενῆος·
Ἀλλ᾽ ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
Αἰχμὴ δ᾽ Αἰνείαο κραδαινομένη κατὰ γαίης
Ὤιχετ᾽, ἐπεί ῥ᾽ ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.
Ἰδομενεὺς δ᾽ ἄρα Οἰνόμαον βάλε γαστέρα μέσσην.
Ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ᾽ ἔντερα χαλκὸς
Ἤφυσ᾽· ὁ δ᾽ ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Ἰδομενεὺς δ᾽ ἐκ μὲν νέκυος δολιχόσκιον ἔγχος
Ἐσπάσατ᾽, οὐδ᾽ ἄρ᾽ ἔτ᾽ ἄλλα δυνήσατο τεύχεα καλὰ
Ὤμοιϊν ἀφελέσθαι· ἐπείγετο γὰρ βελέεσσιν.
Οὐ γὰρ ἔτ᾽ ἔμπεδα γυῖα ποδῶν ἦν ὁρμηθέντι·
Οὔτ᾽ ἄρ᾽ ἐπαΐξαι μεθ᾽ ἑὸν βέλος, οὔτ᾽ ἀλέασθαι.
Τῷ ῥα καὶ ἐν σταδίῃ μὲν ἀμύνετο νηλεὲς ἦμαρ,
Τρέσσαι δ᾽ οὐκέτι ῥίμφα πόδες φέρον ἐκ πολέμοιο.
Τοῦ δὲ βάδην ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ
Δηΐφοβος· δὴ γάρ οἱ ἔχεν κότον ἐμμενὲς αἰεί.
Ἀλλ᾽ ὅγε καὶ τόθ᾽ ἅμαρτεν· ὁ δ᾽ Ἀσκάλαφον βάλε δουρί,

δοξότατον Ἀγήνορα βλέπων, οἳ σὺν αὐτῷ ἦσαν ἡγεμόνες τῶν Τρώων· μετὰ ταῦτα δὲ τὸ πλῆθος ἠκολούθει, ὥσπερ μετὰ τὸν προηγούμενον τῆς ποίμνης κριὸν ἀκολουθοῦσι τὰ πρόβατα ἐπὶ τὸ ποτὸν, μετὰ τὴν τροφὴν, χαίρει δὲ καὶ διαχεῖται κατὰ διάνοιαν ὁ ποιμήν· οὕτως Αἰνείᾳ ἡ ψυχὴ ἐν τῷ στήθει ἔχαιρεν, ἐπειδὴ ἐθεάσατο τὸ πλῆθος τοῦ στρατοῦ ἀκολουθοῦν ἑαυτῷ. οὗτοι δὲ περὶ τὸν Ἀλκάθουν ἐκ τοῦ σύνεγγυς ὥρμησαν δόρασι μακροῖς, ὁ σίδηρος δὲ περὶ τὰ στήθη καταπληκτικῶς ἤχει καταστοχαζομένων καὶ βαλλόντων κατὰ στρατὸν ἀλλήλους· δύο δὲ ἄνδρες πολεμικοὶ ὑπὲρ τοὺς ἄλλους, ὅ τε Αἰνείας, καὶ ὁ Ἰδομενεὺς ὅμοιοι τῷ Ἄρει ἐφίεντο ἀλλήλων κατακόψαι τὸ σῶμα σιδήρῳ ἀνηλεεῖ. πρῶτον δὲ ὁ Αἰνείας ἔβαλε τὸ δόρυ κατὰ τοῦ Ἰδομενέως, ἀλλ᾽ οὗτος μὲν ἐξ ἐναντίας ἰδὼν ἐφυλάξατο τὸ σιδηροῦν δόρυ· ἡ ἐπιδορατὶς δὲ τοῦ Αἰνείου περισειομένη ἐπὶ τῆς γῆς ἠνέχθη, ἐπειδὴ μάτην ἀπὸ τῆς ἰσχυρᾶς χειρὸς ὥρμησεν. Ὁ Ἰδομενεὺς δὲ ἔτρωσε τὸν Οἰνόμαον κατὰ τὸ μέσον τῆς γαστρὸς, διέρρηξε δὲ καὶ ἔθραυσε τὸ κοῖλον τοῦ θώρακος, τὰ ἔντερα δὲ αὐτοῦ ὁ σίδηρος διήντλησεν· οὗτος δὲ καταπεσὼν ἐν τῇ κόνει ἐλάβετο τῆς γῆς τῇ δρακί. Ὁ Ἰδομενεὺς δὲ ἐκ μὲν τοῦ νεκροῦ τὸ μακρὸν δόρυ ἀπέσπασεν, οὐκέτι δὲ τὰ ἄλλα καλὰ ὅπλα ἐδυνήθη ἀφελέσθαι ἀπὸ τῶν ὤμων, κατηναγκάζετο γὰρ ὑπὸ τῶν βελῶν, οὐκέτι γὰρ ἦσαν οἱ πόδες ἀσφαλεῖς ὁρμήσαντι, οὔτε δὴ ἐφορμῆσαι μετὰ τὸ ἑαυτοῦ βέλος, οὔτε φυλάξασθαι, δι᾽ ὃ δὴ καὶ ἐν τῇ ἐκ συστάσεως μάχῃ ἀπεσόβει τὴν ἀνηλεῆ καὶ θανατηφόρον ἡμέραν, τραπῆναι δὲ εἰς φυγὴν οὐ ῥαδίως οἱ πόδες ἐξέφερον ἀπὸ τοῦ πολέμου· τούτου δὲ ἠρέμα ἀπερχομένου ἔβαλε δόρατι λαμπρῷ ὁ Δηΐφοβος· εἶχε γὰρ αὐτῷ ἀεὶ ἐπιμόνως μνησικακίας· ἀλλ᾽ οὗτός γε καὶ τότε ἀπέτυχεν, Ἀσκάλαφον δὲ αὐτὸς ἔτρωσε τῷ δόρατι τὸν υἱὸν τοῦ Ἄρεος, διὰ

Υἱὸν Ἐνυαλίοιο, δι' ὤμου δ' ὄβριμον ἔγχος
Ἔσχεν· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Οὐδ' ἄρα πώ τι πέπυστο βριήπυος ὄβριμος Ἄρης,
Υἷος ἑοῖο πεσόντος ἐνὶ κρατερῇ ὑσμίνῃ·
Ἀλλ' ὅγ' ἄρ' ἄκρῳ Ὀλύμπῳ ὑπὸ χρυσέοισι νέφεσσιν
Ἧστο, Διὸς βουλῇσιν ἐελμένος, ἔνθα περ ἄλλοι
Ἀθάνατοι θεοὶ ἦσαν ἐεργόμενοι πολέμοιο.
Οἱ δ' ἀμφ' Ἀσκαλάφου αὐτοσχεδὸν ὡρμήθησαν·
Δηΐφοβος μὲν ἀπ' Ἀσκαλάφου πήληκα φαεινὴν
Ἥρπασε· Μηριόνης δὲ θοῷ ἀτάλαντος Ἄρηϊ
Δουρὶ βραχίονα τύψεν ἐπάλμενος, ἐκ δ' ἄρα χειρὸς
Αὐλῶπις τρυφάλεια χαμαὶ βόμβησε πεσοῦσα.
Μηριόνης δ' ἐξαῦτις ἐπάλμενος, αἰγυπιὸς ὥς,
Ἐξέρυσε πρυμνοῖο βραχίονος ὄβριμον ἔγχος·
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο. τὸν δὲ Πολίτης,
Αὐτοκασίγνητος, περὶ μέσσῳ χεῖρε τιτήνας,
Ἐξῆγεν πολέμοιο δυσηχέος, ὄφρ' ἵκεθ' ἵππους
Ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
Ἕστασαν, ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
Οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα,
Τειρόμενον· κατὰ δ' αἷμα νεουτάτου ἔῤῥεε χειρός.
Οἱ δ' ἄλλοι μάρναντο, βοὴ δ' ἄσβεστος ὀρώρει.
Αἰνείας δ' Ἀφαρῆα Καλητορίδην ἐπορούσας,
Λαιμὸν τύψ', ἐπί οἱ τετραμμένον, ὀξέϊ δουρί.
Ἐκλίνθη δ' ἑτέρωσε κάρη, ἐπὶ δ' ἀσπὶς ἑάφθη,
Καὶ κόρυς· ἀμφὶ δέ οἱ θάνατος χύτο θυμοραϊστής.
Ἀντίλοχος δὲ Θόωνα μεταστρεφθέντα δοκεύσας,
Οὔτασ' ἐπαΐξας· ἀπὸ δὲ φλέβα πᾶσαν ἔκερσεν,

τοῦ ὤμου δὲ τὸ ἰσχυρὸν δόρυ διέσχε καὶ διῆλθεν, οὗτος δὲ καταπεσὼν ἐν τῇ κόνει ἐλάβετο τῆς γῆς τῇ δρακὶ, οὔπω δ' ἄρα τι ἐμεμαθήκει ὁ μέγα καὶ βαρὺ βοῶν ἰσχυρὸς Ἄρης ἀποθανόντος τοῦ ἑαυτοῦ υἱοῦ ἐν τῇ ἰσχυρᾷ μάχῃ· ἀλλ' οὗτος ἐν τῷ ἄκρῳ τοῦ Ὀλύμπου ὑπὸ νέφεσι χρυσοῖς ἐκάθητο τῇ τοῦ Διὸς βουλῇ ἐληλάμενος καὶ συγκεκλεισμένος, ὅπου οἱ ἄλλοι ἀθάνατοι θεοὶ ἦσαν κωλυόμενοι καὶ εἰργόμενοι τοῦ πολέμου. οὗτοι δὲ περὶ τὸν Ἀσκάλαφον ἐκ τοῦ σύνεγγυς ὥρμησαν. Δηΐφοβος μὲν οὖν ἀπὸ τοῦ Ἀσκαλάφου τὴν λαμπρὰν περικεφαλαίαν ἥρπασεν· ὁ Μηριόνης δὲ ὅμοιος τῷ ταχεῖ Ἄρει ἐπιπηδήσας ἔτυψε τὸν βραχίονα αὐτοῦ δόρατι, ἐκ τῆς χειρὸς δ' ἄρα ἡ αὐλοὺς ἔχουσα περικεφαλαία εἰς γῆν καταπεσοῦσα ἤχησεν. Ὁ Μηριόνης δὲ πάλιν ἐπιπηδήσας ὥσπερ τις ἀετὸς ἐξείλκυσεν ἀπὸ τοῦ ἐσχάτου μέρους τοῦ βραχίονος τὸ ἰσχυρὸν δόρυ, ὀπίσω δὲ εἰς τὸ πλῆθος τῶν φίλων ἀνεχώρει· τοῦτον δὲ ὁ Πολίτης ὁ αὐτάδελφος περὶ τὰ μέσα αὐτοῦ τὰς χεῖρας διατείνας, ἐξῆγεν ἀπὸ τοῦ κακὸν ἦχον φέροντος πολέμου, ἕως ἀφίκετο εἰς τοὺς ἵππους αὐτοῦ τοὺς ταχεῖς, οἵτινες αὐτῷ ὄπισθεν τῆς μάχης καὶ τοῦ πολέμου ἵσταντο, τὸν ἡνίοχον καὶ τὰ ποικίλως εἰργασμένα ὀχήματα ἔχοντες, οἳ τοῦτον εἰς τὴν πόλιν ἀπέφερον βαρέως στενάζοντα, καταπονούμενον· τὸ αἷμα δὲ κατέῤῥει ἐκ τῆς νεοτρώτου χειρός. Οἱ ἄλλοι δὲ ἐμάχοιντο, θόρυβος δὲ ἀκατάπαυστος διηγέρθη· τότε Αἰνείας ὁρμήσας ἐπὶ τὸν Ἀφαρέα τὸν υἱὸν τοῦ Καλήτορος ἔπληξε κατὰ τὸν λαιμὸν δόρατι ὀξεῖ ἐρχόμενον κατ' αὐτοῦ, ἐκάμφθη δὲ εἰς τὸ ἕτερον μέρος ἡ κεφαλὴ, ἐπηκολούθησε δὲ καὶ ἐπικατήχθη αὐτῷ ἡ ἀσπὶς, καὶ ἡ περικεφαλαία, περὶ αὐτὸν δὲ θάνατος ἐχύθη ὁ τὴν ψυχὴν διαχωρίζων (ὁ τὴν ζωὴν φθείρων)· ὁ Ἀντίλοχος δὲ τὸν Θόωνα μεταστραφέντα ἐπιτηρήσας, ἔτρωσεν ἐφορμήσας, ἀπέκοψε δὲ πᾶσαν τὴν φλέβα, ἥτις

Ἧτ' ἀνὰ νῶτα θέουσα διαμπερὲς, αὐχέν' ἱκάνει·
Τὴν ἀπὸ πᾶσαν ἔκερσεν· ὁ δ' ὕπτιος ἐν κονίῃσι
Κάππεσεν, ἄμφω χεῖρε φίλοις ἑτάροισι πετάσσας.
Ἀντίλοχος δ' ἐπόρουσε, καὶ αἴνυτο τεύχε' ἀπ' ὤμων,
Παπταίνων· Τρῶες δὲ περισταδὸν ἄλλοθεν ἄλλος
Οὔταζον σάκος εὐρὺ πανάιολον· οὐδὲ δύναντο
Εἴσω ἐπιγράψαι τέρενα χρόα νηλέϊ χαλκῷ,
Ἀντιλόχου· πέρι γάρ ῥα Ποσειδάων ἐνοσίχθων,
Νέστορος υἱὸν ἔρυτο, καὶ ἐν πολλοῖσι βέλεσσιν.
Οὐ μὲν γάρ ποτ' ἄνευ δηΐων ἦν, ἀλλὰ κατ' αὐτοὺς
Στρωφᾶτ'· οὐδέ οἱ ἔγχος ἔχ' ἀτρέμας, ἀλλὰ μάλ' αἰεὶ
Σειόμενον ἐλέλικτο· τιτύσκετο δὲ φρεσὶν ᾗσιν,
Ἤ τευ ἀκοντίσαι, ἠὲ σχεδὸν ὁρμηθῆναι.
Ἀλλ' οὐ λῆθ' Ἀδάμαντα τιτυσκόμενος καθ' ὅμιλον
Ἀσιάδην, ὅς οἱ οὖτα μέσον σάκος ὀξέϊ δουρὶ,
Ἐγγύθεν ὁρμηθείς· ἀμενήνωσεν δέ οἱ αἰχμὴν
Κυανοχαῖτα Ποσειδάων, βιότοιο μεγήρας.
Καὶ τὸ μὲν αὐτοῦ μεῖν', ὥστε σκῶλος πυρίκαυστος,
Ἐν σάκει Ἀντιλόχοιο, τὸ δ' ἥμισυ κεῖτ' ἐπὶ γαίης·
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων·
Μηριόνης δ' ἀπιόντα μετασπόμενος βάλε δουρὶ
Αἰδοίων τε μεσηγὺ καὶ ὀμφαλοῦ, ἔνθα μάλιστα
Γίνετ' ἄρης ἀλεγεινὸς ὀϊζυροῖσι βροτοῖσιν·
Ἔνθα οἱ ἔγχος ἔπηξεν· ὁ δ' ἑσπόμενος περὶ δουρὶ
Ἤσπαιρ' ὡς ὅτε βοῦς τόν τ' οὔρεσι βουκόλοι ἄνδρες
Ἰλλάσιν οὐκ ἐθέλοντα βίῃ δήσαντες ἄγουσιν·
Ὣς ὁ τυπεὶς ἤσπαιρε μίνυνθά περ, οὔτι μάλα δὴν,
Ὄφρα οἱ ἐκ χροὸς ἔγχος ἀνεσπάσατ', ἐγγύθεν ἐλθὼν

ἀνὰ τὰ νῶτα διερχομένη διόλου εἰς τὸν τράχηλον διήκει, ταύτην ὅλην ἀπέτεμεν· οὗτος δὲ ἐπὶ τὰ μετάφρενα ἐν τῇ κόνει κατέπεσεν, ἄμφω τὰς χεῖρας τοῖς ἀγαπητοῖς φίλοις ἐκτείνας· ὁ Ἀντίλοχος δὲ ἐφώρμησε, καὶ ἀφῄρει τὰ ὅπλα ἀπὸ τῶν ὤμων περιβλέπων. Οἱ Τρῶες δὲ ἐκ περιστάσεως ἄλλοθεν ἄλλος ἔβαλλον τὴν ποικιλωτάτην πλατεῖαν ἀσπίδα, οὐδὲ ἐδύναντο ἐντὸς ἐπιξέσαι τὸ ἁπαλὸν σῶμα σιδήρῳ ἀνηλεεῖ τοῦ Ἀντιλόχου· μάλα γὰρ δὴ ὁ τὴν γῆν κινῶν Ποσειδῶν τὸν υἱὸν τοῦ Νέστορος ἔσωζε καὶ ἐν πολλοῖς δόρασιν, οὐ μὲν γάρ ποτε ἄνευ πολεμίων ἦν, ἀλλὰ κατ' αὐτοὺς ἀνεστρέφετο, οὐδὲ τὸ δόρυ αὐτῷ εἶχεν ἡσύχως, ἀλλὰ πάνυ ἀεὶ κινούμενον περιέστραπτο, προσεῖχε δὲ καὶ ἐσκοπεῖτο κατὰ τὸ ἑαυτοῦ λογιστικὸν, ἢ κατά τινος τὸ δόρυ βαλεῖν, ἢ πλησίον ὁρμῆσαι, ἀλλ' οὐκ ἐλάνθανε τὸν Ἀδάμαντα στοχαζόμενος κατὰ τὸν στρατὸν τὸν υἱὸν τοῦ Ἀσίου, ὅστις αὐτῷ ἔβαλε τὸ μέσον τῆς ἀσπίδος δόρατι ὀξεῖ πλησίον ὁρμήσας, ἀσθενῆ δὲ ἐποίησεν αὐτῷ τὴν ἐπιδορατίδα ὁ μελανόθριξ Ποσειδῶν, φθονήσας αὐτῷ τῆς ζωῆς. καὶ τοῦτο μὲν αὐτόθι κατελείφθη, καθάπερ ξύλον κατὰ τὸ ἄκρον ἀπεξεσμένον πεπυρακτωμένον ἐν τῇ ἀσπίδι τοῦ Ἀντιλόχου, τὸ ἥμισυ δὲ ἔκειτο ἐπὶ τῆς γῆς. ὀπίσω δὲ εἰς τὸ πλῆθος τῶν φίλων ἀνεχώρει φυλαττόμενος τὴν θανατηφόρον μοῖραν. Ὁ Μηριόνης δὲ ἀπερχόμενον ἐπιδιώξας, ἔτρωσε τῷ δόρατι μεταξὺ τῶν ὀρχέων καὶ τοῦ ὀμφαλοῦ, ὅπου μάλιστα γίνεται ἡ τρῶσις ὀδυνηρὰ τοῖς ἀθλίοις ἀνθρώποις· ἐκεῖ τὸ δόρυ αὐτῷ ἐνέπηξεν· ὁ δὲ ἑπόμενος (συνεχόμενος) περὶ τὸ δόρυ ἐκινεῖτο ὥσπερ βοῦς, ὃν ἐν τοῖς ὄρεσιν ἄνδρες φύλακες τῶν βοῶν δεσμοῖς ἄκοντα βιαίως δεσμεύσαντες ἄγοισιν. Οὕτως αὐτὸς τραθεὶς ἐκινεῖτο, ἐπ' ὀλίγον μέντοι, οὐ πάνυ γ' ἐπὶ πολὺ, ἕως οὗ τὸ δόρυ ἀνέσπασεν, ἐγγὺς παραγενόμενος ὁ ἥρως Μηριό-

Ἥρως Μηριόνης· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Δηΐπυρον δ' Ἕλενος ξίφεϊ σχεδὸν ἤλασε κόρσην
Θρηϊκίῳ, μεγάλῳ, ἀπὸ δὲ τρυφάλειαν ἄραξεν·
Ἡ μὲν ἀποπλαγχθεῖσα, χαμαὶ πέσε· καί τις Ἀχαιῶν
Μαρναμένων μετὰ ποσσὶ κυλινδομένην ἐκόμισσε·
Τὸν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν.
Ἀτρείδην δ' ἄχος εἷλε, βοὴν ἀγαθὸν Μενέλαον·
Βῆ δ' ἐπαπειλήσας Ἑλένῳ ἥρωϊ ἄνακτι,
Ὀξὺ δόρυ κραδάων· ὁ δὲ τόξου πῆχυν ἀνεῖλκε.
Τὼ δ' ἄρ' ὁμαρτήτην, ὁ μὲν ἔγχεϊ ὀξυόεντι
Ἵετ' ἀκοντίσσαι, ὁ δ' ἀπὸ νευρῆφιν ὀϊστῷ·
Πριαμίδης μὲν ἔπειτα κατὰ στῆθος βάλεν ἰῷ
Θώρηκος γύαλον, ἀπὸ δ' ἔπτατο πικρὸς ὀϊστός.
Ὡς δ' ὅτ' ἀπὸ πλατέος πτυόφιν μεγάλην κατ' ἀλωὴν
Θρώσκουσιν κύαμοι μελανόχροες, ἢ ἐρέβινθοι,
Πνοιῇ ὑπὸ λιγυρῇ καὶ λικμητῆρος ἐρωῇ·
Ὣς ἀπὸ θώρηκος Μενελάου κυδαλίμοιο
Πολλὸν ἀποπλαγχθεὶς, ἑκὰς ἔπτατο πικρὸς ὀϊστός.
Ἀτρείδης δ' ἄρα χεῖρα, βοὴν ἀγαθὸς Μενέλαος,
Τὴν βάλεν, ᾗ ῥ' ἔχε τόξον ἐΰξοον· ἐν δ' ἄρα τόξῳ
Ἀντικρὺ διὰ χειρὸς ἐλήλατο χάλκεον ἔγχος.
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων,
Χεῖρα παρακρεμάσας· τὸ δ' ἐφέλκετο μείλινον ἔγχος·
Καὶ τὸ μὲν ἐκ χειρὸς ἔρυσεν μεγάθυμος Ἀγήνωρ,
Αὐτὴν δὲ ξυνέδησεν ἐϋστρόφῳ οἰὸς ἀώτῳ,
Σφενδόνῃ, ἣν ἄρα οἱ θεράπων ἔχε ποιμένι λαῶν.
Πείσανδρος δ' ἰθὺς Μενελάου κυδαλίμοιο
Ἤϊε· τὸν δ' ἄγε μοῖρα κακὴ θανάτοιο τέλοσδε·

νης· τοῦτον δὲ σκότος κατ᾽ ὀφθαλμοὺς περιεκάλυψεν. Ὁ Ἕλενος δὲ τὸν Δηΐπυρον ξίφει κατὰ τὴν κεφαλὴν ἐκ τοῦ σύνεγγυς ἔτρωσε, θρακικῷ, μεγάλῳ, τοὺς ἱμάντας δὲ τῆς περικεφαλαίας ἀπέκοψεν· αὕτη μὲν οὖν ἀποπλανηθεῖσα εἰς γῆν κατέπεσε, καί τις τῶν μαχομένων Ἑλλήνων κυλιομένην ἐν τοῖς ποσὶν ἀνέλαβε· τοῦτον δὲ ἐν ὀφθαλμοῖς νὺξ σκοτεινὴ περιεκάλυψε. τὸν υἱὸν δὲ τοῦ Ἀτρέως λύπη κατέλαβε τὸν κατὰ πόλεμον ἀγαθὸν Μενέλαον, ὥρμησε δὲ ὀργισθεὶς καὶ ἀπειλήσας τῷ Ἥρωϊ Ἑλένῳ τῷ βασιλεῖ, τὸ ὀξὺ δόρυ περισείων· οὗτος δὲ τὴν νευρὰν (τὸ κέρας) τοῦ τόξου ἀνείλκυεν. οὗτοι δ᾽ οὖν ὁμοῦ ἀφῆκαν, καὶ συνέτυχον, ὁ μὲν δόρατι ὀξυμένῳ ἐφίετο βαλεῖν, ὁ δὲ ἰῷ ἀπὸ τῆς νευρᾶς. Ὁ υἱὸς μὲν οὖν τοῦ Πριάμου ἔπληξε τῷ οἰστῷ κατὰ τὸ στῆθος τὸ κοῖλον τοῦ θώρακος, ἀπέπτη δὲ καὶ ἀπηνέχθη ὁ δεινὸς ἰός· ὥσπερ δὲ ὅταν ἀπὸ τοῦ πλατέος πτύου κατὰ τὴν μεγάλην ἅλων ἐφάλλωνται καὶ πηδῶσιν οἱ μέλανες κύαμοι, ἢ οἱ ἐρέβινθοι, ὑπὸ αὔρας ὀξέως πνεούσης, καὶ τῆς τοῦ λικμῶντος ῥωμαλεότητος· οὕτως ἀπὸ τοῦ θώρακος τοῦ ἐνδόξου Μενελάου πολὺ ἀποπλανηθεὶς μακρὰν ἀπηνέχθη ὁ χαλεπὸς ἰός. ὁ υἱὸς δὲ τοῦ Ἀτρέως ὁ κατὰ μάχην ἀγαθὸς Μενέλαος τὴν χεῖρα ταύτην ἔτρωσεν, ἥτις δὴ κατεῖχε τὸ εὔξυστον τόξον, ἐν τῷ τόξῳ δ᾽ ἄρα καταντικρὺ διὰ τῆς χειρὸς διῆλθε τὸ σιδηροῦν δόρυ. ὀπίσω δὲ εἰς τὸ πλῆθος τῶν φίλων ἀνεχώρει τὴν θανατηφόρον φυλαττόμενος μοῖραν τὴν χεῖρα παραχαλάσας, τὸ δὲ ἐκ μελίας δένδρου δόρυ ἐφείλκετο, καὶ τοῦτο μὲν ἐξείλκυσε ἀπὸ τῆς χειρὸς Ἀγήνωρ ὁ μεγαλόψυχος, αὐτὴν δὲ περιεδέσμευσεν ἄνθει καὶ ἐκκρίτῳ ἐρίῳ προβάτου καλῶς περιεστραμμένῳ τῇ σφενδόνῃ, ἣν δὴ ὁ θεράπων αὐτοῦ τοῦ βασιλέως τῶν λαῶν εἶχεν. Ὁ Πείσανδρος δὲ εὐθὺ Μενελάου τοῦ ἐνδόξου ἐχώρει, τοῦτον δὲ ἦγεν ἡ ἰσχυρὰ μοῖρα εἰς τὸ τοῦ θανάτου τέλος, ὑπὸ σοῦ, ὦ Με-

Σοὶ, Μενέλαε, δαμῆναι ἐν αἰνῇ δηϊοτῆτι.
Οἱ δ᾽ ὅτε δὴ σχεδὸν ἦσαν, ἐπ᾽ ἀλλήλοισιν ἰόντες·
Ἀτρείδης μὲν ἅμαρτε, παραὶ δέ οἱ ἐτράπετ᾽ ἔγχος·
Πείσανδρος δὲ σάκος Μενελάου κυδαλίμοιο
Οὔτασεν, οὐδὲ διὰ πρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
Ἔσχετο γὰρ σάκος εὐρὺ, κατεκλάσθη δ᾽ ἐνὶ καυλῷ
Ἔγχος· ὁ δὲ φρεσὶν ᾗσι χάρη, καὶ ἐέλπετο νίκην·
Ἀτρείδης δὲ ἐρυσσάμενος ξίφος ἀργυρόηλον,
Ἆλτ᾽ ἐπὶ Πεισάνδρῳ· ὁ δ᾽ ὑπ᾽ ἀσπίδος εἵλετο καλὴν
Ἀξίνην εὔχαλκον, ἐλαΐνῳ ἀμφιπελέκκῳ,
Μακρῷ, ἐϋξέστῳ· ἅμα δ᾽ ἀλλήλων ἐφίκοντο.
Ἤτοι ὁ μὲν κόρυθος φάλον ἤλασεν ἱπποδασείης
Ἄκρον ὑπαὶ λόφον αὐτόν· ὁ δὲ προσιόντα, μέτωπον,
Ῥινὸς ὑπὲρ πυμάτης· λάκε δ᾽ ὀστέα, τὼ δέ οἱ ὄσσε
Πὰρ ποσὶν αἱματόεντε χαμαὶ πέσον ἐν κονίῃσιν·
Ἰδνώθη δὲ πεσών· ὁ δὲ λὰξ ἐν στήθεσι βαίνων,
Τεύχεά τ᾽ ἐξενάριξε, καὶ εὐχόμενος ἔπος ηὔδα·
Λείψετέ θην οὕτω γε νέας Δαναῶν ταχυπώλων,
Τρῶες ὑπερφίαλοι, δεινῆς ἀκόρητοι ἀϋτῆς·
Ἄλλης μὲν λώβης τε καὶ αἴσχεος οὐκ ἐπιδευεῖς,
Ἣν ἐμὲ λωβήσασθε κακαὶ κύνες· οὐδέ τι θυμῷ
Ζηνὸς ἐριβρεμέτεω χαλεπὴν ἐδδείσατε μῆνιν,
Ξεινίου· ὅς τε πότ᾽ ὔμμι διαφθέρσει πόλιν αἰπήν.
Οἵ μευ κουριδίην ἄλοχον καὶ κτήματα πολλὰ
Μὰψ οἴχεσθ᾽ ἀνάγοντες, ἐπεὶ φιλέεσθε παρ᾽ αὐτῇ·
Νῦν αὖτ᾽ ἐν νηυσὶν μενεαίνετε ποντοπόροισι
Πῦρ ὀλοὸν βαλέειν, κτεῖναι δ᾽ ἥρωας Ἀχαιούς·
Ἀλλά ποθι σχήσεσθε, καὶ ἐσσύμενοί περ, Ἄρηος.

νέλαε, ἀναιρεθῆναι ἐν τῇ χαλεπῇ μάχῃ. οὗτοι δὲ ὁπηνίκα δὴ πλησίον ἐγένοντο καταλλήλων ἐπερχόμενοι, ὁ μὲν υἱὸς τοῦ Ἀτρέως ἀπέτυχε, παρετράπη δὲ τὸ δορυ αὐτοῦ. ὁ Πείσανδρος δὲ τὴν ἀσπίδα τοῦ ἐνδόξου Μενελάου ἔβαλεν, οὐδὲ εἰς τὸ πρόσω ἐδυνήθη περᾶσαι τὸν σίδηρον, ἐπέσχε γὰρ τὴν ὁρμὴν τὸ πλατὺ σάκος, συνετρίβη δὲ ἐν τῷ τῆς ἐπιδορατίδος αὐλῷ τὸ δόρυ· οὗτος δὲ ἐχάρη κατὰ τὸ ἑαυτοῦ λογιστικὸν, καὶ ἤλπιζε νίκην· ὁ υἱὸς δὲ τοῦ Ἀτρέως σπασάμενος τὴν ἀργυροῦς ἥλους ἔχουσαν ῥομφαίαν ἐπήδησε κατὰ τοῦ Πεισάνδρου. οὗτος δὲ ἔλαβε τὴν ὑπὸ τὴν ἀσπίδα κρυπτομένην καλὴν ἀξίνην τὴν εὐσίδηρον τῷ ἐξ ἐλαίας στειλειῷ τῷ μακρῷ, καὶ καλῶς ἐξεσμένῳ. ὁμοῦ δὲ καὶ ὑπὸ τὸ αὐτὸ ἔτυχον ἀλλήλων· ὁ μὲν γὰρ τὸν λοφον τῆς ἱππείας τρίχας ἐχούσης περικεφαλαίας διέκοψεν ὑπ᾽ αὐτὸ τὸ κατὰ τὸ ἄκρον ἐπανεστηκός· ὁ δὲ ἐπερχόμενον κατὰ τὸ μέτωπον ὑπεράνω τοῦ ἐσχάτου τῆς ῥινὸς, συνεθλάσθησαν δὲ τὰ ὀστᾶ, οἱ ὀφθαλμοὶ δὲ αὐτοῦ αἵματος πλήρεις παρὰ τοῖς ποσὶ κατέπεσον εἰς γῆν ἐν τῇ κόνει, πεσὼν δὲ ἐξετανύσθη· οὗτος δὲ τῷ πλάτει τοῦ ποδὸς ἐν τῷ στήθει βὰς, τὰ ὅπλα ἐσκύλευσε, καὶ ἐπικαυχώμενος λόγον, εἶπεν· Οὕτω γε, καταλείψετε δὴ τὰς ναῦς τῶν ταχεῖς ἵππους ἐχόντων Ἑλλήνων, ὦ Τρῶες ἄσπονδοι καὶ παράνομοι, ἄπληστοι τῆς χαλεπῆς μάχης, ἄλλης μὲν βλάβης τε καὶ αἰσχύνης οὐκ ἐνδεεῖς, ἀλλὰ πλήρεις ἐστὲ, ἣν ἐμὲ ἐλυμήνασθε, ὦ κακαὶ κύνες, οὐδέ τι ἐν τῇ ψυχῇ ἐφοβήθητε τὴν ὀργὴν τὴν χαλεπὴν καὶ βαρεῖαν τοῦ μεγάλως ἠχοῦντος Διὸς τοῦ τῆς ξενίας ἐφόρου, ὅστις διαφθερεῖ ποτὲ καὶ ἀπολέσει ὑμῖν τὴν ὑψηλὴν πόλιν, οἵ μου τὴν ἐκ παρθενίας γαμετὴν καὶ πολλὰ κτήματα ἀδίκως ἀπήλθετε ἔχοντες, ὅτε φιλοφροσύνης ἐτυγχάνετε παρ᾽ αὐτῇ. καὶ νῦν ἐν ταῖς θαλασσοπλόοις ναυσὶν προθυμεῖσθε βαλεῖν πῦρ ἀφανιστικὸν, ἀνελεῖν δὲ τοὺς ἥρωας Ἕλληνας· ἀλλὰ δὴ κωλυθήσεσθε καὶ στήσεσθε τοῦ πολέμου, καίπερ προθύ-

Ζεῦ πάτερ, ἦ τέ σέ φασι περὶ φρένας ἔμμεναι ἄλλων
Ἀνδρῶν, ἠδὲ θεῶν· σέο δ' ἐκ τάδε πάντα πέλονται·
Οἷον δὴ ἄνδρεσσι χαρίζεαι ὑβριστῇσι
Τρωσὶν, τῶν μένος αἰὲν ἀτάσθαλον, οὐδὲ δύνανται
Φυλόπιδος κορέσασθαι ὁμοιΐου πολέμοιο.
Πάντων μὲν κόρος ἐστὶ, καὶ ὕπνου, καὶ φιλότητος,
Μολπῆς τε γλυκερῆς, καὶ ἀμύμονος ὀρχηθμοῖο,
Τῶν πέρ τις καὶ μᾶλλον ἐέλδεται ἐξ ἔρον εἶναι,
Ἢ πολέμου· Τρῶες δὲ μάχης ἀκόρητοι ἔασιν.
Ὣς εἰπὼν, τὰ μὲν ἔντε ἀπὸ χροὸς αἱματόεντα
Συλήσας, ἑτάροισι δίδου Μενέλαος ἀμύμων·
Αὐτὸς δ' αὖτ' ἐξαῦτις ἰὼν προμάχοισιν ἐμίχθη.
Ἔνθα οἱ υἱὸς ἐπᾶλτο Πυλαιμένεος βασιλῆος
Ἁρπαλίων, ὅ ῥα πατρὶ φίλῳ ἕπετο πτολεμίζειν
Ἐς Τροίην· οὐδ' αὖτις ἀφίκετο πατρίδα γαῖαν·
Ὅς ῥα τότ' Ἀτρείδαο μέσον σάκος οὔτασε δουρὶ
Ἐγγύθεν, οὐδὲ διὰ πρὸ δυνήσατο χαλκὸν ἐλάσσαι·
Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων,
Πάντοσε παπταίνων, μή τις χρόα χαλκῷ ἐπαύρῃ.
Μηριόνης δ' ἀπιόντος ἵει χαλκήρε' ὀϊστόν·
Καί ῥ' ἔβαλε γλουτὸν κατὰ δεξιόν· αὐτὰρ ὀϊστὸς
Ἀντικρὺ κατὰ κύστιν ὑπ' ὀστέον ἐξεπέρησεν.
Ἑζόμενος δὲ κατ' αὖθι, φίλων ἐν χερσὶν ἑταίρων,
Θυμὸν ἀποπνείων, ὥστε σκώληξ, ἐπὶ γαίῃ
Κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
Τὸν μὲν Παφλαγόνες μεγαλήτορες ἀμφεπένοντο·
Ἐς δίφρον δ' ἀνέσαντες ἄγον προτὶ Ἴλιον ἱρὴν
Ἀχνύμενοι· μετὰ δέ σφι πατὴρ κίε, δάκρυα λείβων.

μως ὁρμῶντες· ὦ Ζεῦ πάτερ, ὄντως πού σε φασὶ διαφέρειν φρονήσει καὶ ὑπὲρ πάντας εἶναι τοὺς ἄλλους ἄνδρας τε καὶ θεοὺς, ἐκ σοῦ δὲ ταῦτα πάντα γίνονται· ὦ πῶς νῦν χαρίζῃ ανδράσιν ὑβρισταῖς καὶ ἀδίκοις τοῖς Τρωσὶν, ὧν ἡ προθυμία ἀεὶ ἄδικός ἐστιν, οὐδὲ δύνανται μάχης ἐμπλησθῆναι τοῦ κοινοῦ (χαλεποῦ) πολέμου, πάντων μὲν πλησμονή ἐστι καὶ ὕπνου καὶ συνουσίας, καὶ ᾠδῆς γλυκείας, καὶ ὀρχήσεως ἀμωμήτου, ὧν δή τις καὶ μᾶλλον ἐπιθυμεῖ τὸν ἔρωτα ἐκπληρῶσαι, ἢ τοῦ πολέμου, οἱ Τρῶες δὲ ἄπληστοι μάχης εἰσίν. Οὕτως εἰπὼν, τὰ μὲν αἵματι βεβαμμένα ὅπλα ἀπὸ τοῦ σώματος σκυλεύσας τοῖς φίλοις ἔδωκεν ὁ ἄμεμπτος Μενέλαος· αὐτὸς δὲ πάλιν πορευθεὶς τοῖς πρωταγωνισταῖς συνεμίγη. τότε αὐτῷ ἐπεπήδησεν ὁ υἱὸς Πυλαιμένους τοῦ βασιλέως ὁ Ἁρπαλίων, ὃς δὴ τῷ ἀγαπητῷ πατρὶ ἠκολούθει πολεμεῖν εἰς τὴν Τροίαν, οὐδὲ πάλιν ἐπανήκεν εἰς τὴν πατρίδα γῆν, ὃς δὴ τότε ἔβαλε δόρατι τὸ μέσον τῆς ἀσπίδος τοῦ υἱοῦ τοῦ Ἀτρέως ἐκ τοῦ σύνεγγυς, οὐδὲ ἐδυνήθη εἰς τὸ πρόσω διαπεράσαι τὸν σίδηρον, ὀπίσω δὲ εἰς τὸ πλῆθος τῶν φίλων ἀνεχώρει φυλαττόμενος τὴν θανατηφόρον μοῖραν εἰς πάντα τόπον περιβλέπων μή τις σιδήρῳ τὸ σῶμα βάλῃ. Ὁ Μηριόνης δὲ ἀπερχομένου ἀφῆκε τὸν σιδήρῳ ἡρμοσμένον ἰὸν, καὶ ἔτρωσεν κατὰ τὸν δεξιὸν σφαίρωμα· ὁ ἰὸς δὲ ἀπαντικρὺς κατὰ τὴν φύσαν ὑπὸ τὸ ὀστοῦν διεξῆλθε· καθεζόμενος δὲ αὐτόθι ἐν ταῖς χερσὶ τῶν ἀγαπητῶν φίλων ἀποπνέων τὴν ψυχὴν, ἤτοι τὸ πνεῦμα ὥσπερ σκώληξ, ἐπὶ γῆς τανυσθεὶς ἔκειτο, ἐξέρρει δὲ τὸ μέλαν αἷμα, ἔβρεχε (ἔβαπτε ἐμάλαττε) δὲ τὴν γῆν· περὶ μὲν οὖν τοῦτον, οἱ μεγαλόψυχοι Παφλαγόνες ἠσχολοῦντο, εἰς τὸν δίφρον δὲ ἀναβιβάσαντες ἦγον εἰς τὴν ἱερὰν Ἴλιον λυπούμενοι, μετ' αὐτῶν δὲ ὁ πατὴρ ἐπορεύετο δακρυῤῥοῶν, τιμωρία δὲ οὐδαμῶς ἐγένετο τοῦ

Ποινὴ δ' οὔτις παιδὸς ἐγίνετο τεθνειῶτος.
Τοῦ δὲ Πάρις μάλα θυμὸν ἀποκταμένοιο χολώθη.
Ξεῖνος γάρ οἱ ἔην, πολέσιν μετὰ Παφλαγόνεσσι.
Τοῦ ὅγε χωόμενος προΐει χαλκήρε' ὀϊστόν·
Ἦν δέ τις Εὐχήνωρ, Πολυΐδου μάντιος υἱὸς,
Ἀφνειός τ', ἀγαθός τε, Κορινθόθι οἰκία ναίων,
Ὅς ῥ' εὖ εἰδὼς κῆρ' ὀλοὴν, ἐπὶ νηὸς ἔβαινε·
Πολλάκι γάρ οἱ ἔειπε γέρων ἀγαθὸς Πολύϊδος.
Νούσῳ ὑπ' ἀργαλέῃ φθίσθαι οἷς ἐν μεγάροισιν,
Ἢ μετ' Ἀχαιῶν νηυσὶν ὑπὸ Τρώεσσι δαμῆναι·
Τῷ ῥ' ἅμα τ' ἀργαλέην θωὴν ἀλέεινεν Ἀχαιῶν,
Νοῦσόν τε στυγερὴν, ἵνα μὴ πάθοι ἄλγεα θυμῷ·
Τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
Ὤιχετ' ἀπὸ μελέων· στυγερὸς δ' ἄρα μιν σκότος εἷλεν.
Ὣς οἱ μὲν μάρναντο, δέμας πυρὸς αἰθομένοιο·
Ἕκτωρ δ' οὐκ ἐπέπυστο Διῒ φίλος, οὐδέ τι ᾔδει,
Ὅττι ῥά οἱ νηῶν ἐπ' ἀριστερὰ δηϊόωντο
Λαοὶ ὑπ' Ἀργείων· τάχα δ' ἂν καὶ κῦδος Ἀχαιῶν
Ἔπλετο· τοίως γὰρ γαιήοχος Ἐννοσίγαιος
Ὤτρυν' Ἀργείους, πρὸς δὲ σθένει αὐτὸς ἄμυνεν·
Ἀλλ' ἔχεν, ᾗ τὰ πρῶτα πύλας καὶ τεῖχος ἐσᾶλτο,
Ῥηξάμενος Δαναῶν πυκινὰς στίχας ἀσπιστάων·
Ἔνθ' ἔσαν Αἴαντός τε νέες καὶ Πρωτεσιλάου,
Θῖν' ἐφ' ἁλὸς πολιῆς εἰρυμέναι· αὐτὰρ ὕπερθε
Τεῖχος ἐδέδμητο χθαμαλώτατον, ἔνθα μάλιστα
Ζαχρηεῖς γίνοντο μάχῃ αὐτοί τε καὶ ἵπποι·
Ἔνθα δὲ Βοιωτοὶ, καὶ Ἰάονες ἑλκεχίτωνες,
Λοκροὶ, καὶ Φθίοι, καὶ φαιδιμόεντες Ἐπειοὶ,

υἱοῦ ἀποθανόντος· τούτου δὲ ἀναιρεθέντος, πάνυ κατὰ ψυχὴν ὠργίσθη ὁ Πάρις, ξένος γὰρ αὐτῷ ἦν ἐν πολλοῖς Παφλαγόσι· τούτου ἕνεκα οὗτος βαρέως ὀργιζόμενος ἀφῆκε σιδήρῳ ἡρμοσμένον ἰόν· ἦν δέ τις Εὐχήνωρ υἱὸς Πολυΐδου τοῦ μάντεως πλούσιος καὶ χρηστὸς, ἐν Κορίνθῳ τὴν οἰκίαν οἰκῶν, ὃς δὴ καλῶς ἐπιστάμενος τὴν ἀφανιστικὴν μοῖραν ἐπέβαινε τῆς νεώς· πολλάκις γὰρ προεῖπεν αὐτῷ ὁ πατὴρ ὁ χρηστὸς Πολυΐδος, ὑπὸ νόσου χαλεπῆς ἀποθανεῖν ἐν τοῖς ἰδίοις οἴκοις, ἢ ἐν ταῖς ναυσὶ τῶν Ἑλλήνων ὑπὸ τῶν Τρώων ἀναιρεθῆναι, δι' ὃ δὴ ἅμα καὶ τὴν ὀδυνηρὰν βλάβην τῶν Ἑλλήνων ἐξέκλινε, καὶ τὴν μισητὴν νόσον, ὅπως μὴ πάθῃ λύπας, καὶ ὀδύνας ἐν τῇ ψυχῇ· τοῦτον ἔτρωσεν ὑποκάτω τοῦ ὠτὸς καὶ τῆς γνάθου (σιαγόνος), ταχέως δὲ ἡ ψυχὴ ἀνεχώρησε τῶν μελῶν, μισητὸν δὲ σκότος αὐτὸν κατέλαβεν. Οὕτως οὗτοι μὲν ἐμάχοντο, δίκην σώματος πυρὸς καιομένου. Ἕκτωρ δὲ ὁ τῷ Διῒ προσφιλὴς οὐκ ἤκουσεν, οὐδέτι ἠπίστατο ὅτι δὴ αὐτῷ ἐπὶ τὰ ἀριστερὰ τῶν νεῶν ἀνῃροῦντο οἱ λαοὶ ὑπὸ τῶν Ἑλλήνων, ταχέως δ' ἂν καὶ δόξα τῶν Ἑλλήνων ἐγένετο, οὕτω γὰρ ὁ συνέχων τὴν γῆν καὶ κινῶν αὐτὴν παρώξυνε τοὺς Ἕλληνας, πρὸς δὲ τῷ αὐτῶν σθένει καὶ αὐτὸς ἐπεκούρει· ἀλλ' ἐχώρει ὅπου τὸ πρῶτον τὰς πύλας καὶ τὸ τεῖχος εἰσεπήδησε, διαλύσας τὰς πυκνὰς καὶ ἰσχυρὰς τάξεις τῶν ὁπλιτῶν Ἑλλήνων, ὅπου ἦσαν αἱ νῆες τοῦ Αἴαντος καὶ τοῦ Πρωτεσιλάου, εἰς τὸν αἰγιαλὸν τῆς λευκῆς θαλάσσης εἱλκυσμέναι, ὑπεράνω δὲ τεῖχος ᾠκοδόμητο χθαμαλώτατον, ἐκεῖ μάλιστα χρειώδεις ἦσαν τῇ μάχῃ αὐτοί τε καὶ οἱ ἵπποι, ἐκεῖ δὲ Βοιωτοὶ καὶ Ἰάονες, οἱ σιδηροθώρακες (οἱ ποδήρεις χιτῶνας ἔχοντες), Λοκροὶ, καὶ οἱ Φθῖοι, καὶ οἱ λαμπρὰς πανοπλίας ἔχοντες Ἐπειο

Σπουδῇ ἐπαΐσσοντα, νεῶν ἔχον· οὐδ' ἐδύναντο
Ὦσαι ἀπὸ σφείων φλογὶ εἴκελον Ἕκτορα δῖον·
Οἱ μὲν Ἀθηναίων προλελεγμένοι· ἐν δ' ἄρα τοῖσιν
Ἦρχ' υἱὸς Πετεῶο Μενεσθεύς· οἱ δ' ἅμ' ἕποντο
Φείδας τε, Στιχίος τε, Βίας τ' ἐΰς· αὐτὰρ Ἐπειῶν
Φυλείδης τε Μέγης, Ἀμφίων τε, Δρακίος τε.
Πρὸ Φθίων δὲ, Μέδων τε, Μενεπτόλεμός τε ποδάρκης,
Ἤτοι ὁ μὲν, νοθος υἱὸς Ὀϊλῆος θείοιο
Ἔσκε Μέδων, Αἴαντος ἀδελφέος· αὐτὰρ ἔναιεν
Ἐν Φυλάκῃ γαίης ἄπο πατρίδος, ἄνδρα κατακτὰς,
Γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς.
Αὐτὰρ ὁ, Ἰφίκλοιο πάϊς τοῦ Φυλακίδαο·
Οἱ μὲν πρὸ Φθίων μεγαθύμων θωρηχθέντες,
Ναῦφιν ἀμυνόμενοι, μετὰ Βοιωτῶν ἐμάχοντο.
Αἴας δ' οὐκέτι πάμπαν, Ὀϊλῆος ταχὺς υἱὸς,
Ἵστατ' ἀπ' Αἴαντος Τελαμωνίου, οὐδ' ἠβαιόν·
Ἀλλ' ὥστ' ἐν νειῷ βόε οἴνοπε πηκτὸν ἄροτρον,
Ἶσον θυμὸν ἔχοντε τιταίνετον, ἀμφὶ δ' ἄρα σφι
Πρυμνοῖσιν κεράεσσι πολὺς ἀνακηκίει ἱδρώς·
Τὼ μέν τε ζυγὸν οἶον ἐΰξοον ἀμφὶς ἐέργει,
Ἱεμένω κατὰ ὦλκα, τέμνει δέ τε τέλσον ἀρούρης·
Ὣς τὼ, παρβεβαῶτε μάλ' ἕστασαν ἀλλήλοιϊν.
Ἀλλ' ἤτοι Τελαμωνιάδῃ πολλοί τε καὶ ἐσθλοὶ
Λαοὶ ἕπονθ' ἕταροι, οἵ οἱ σάκος ἐξεδέχοντο,
Ὁππότε μιν κάματός τε καὶ ἱδρὼς γούναθ' ἵκοιτο·
Οὐδ' ἄρ' Ὀϊλιάδῃ μεγαλήτορι Λοκροὶ ἕποντο·
Οὐ γάρ σφι σταδίῃ ὑσμίνῃ μίμνε φίλον κῆρ·
Οὐ γὰρ ἔχον κόρυθας χαλκήρεας ἱπποδασείας,

μόλις ἐφορμῶντα κατὰ τῶν νεῶν ἐκώλυον, οὐδὲ ἠδύναντο ἀπελάσαι ἀφ' ἑαυτῶν τὸν ὅμοιον φλογὶ ἐνδοξότατον Ἕκτορα· . . . .

ἡγεμόνευεν ὁ τοῦ Πετεοῦ υἱὸς Μενεσθεύς· οὗτοι δὲ συνείποντο, ὅ τε Φείδας, καὶ ὁ Στιχίος, καὶ ὁ γενναῖος Βίας· τῶν Ἐπειῶν δὲ ὅτε Μέγης ὁ υἱὸς τοῦ Φυλέως, καὶ ὁ Ἀμφίων, καὶ ὁ Δράκιος. πρὸ τῶν Φθίων δὲ . . . .

ὁ μὲν υἱὸς νόθος τοῦ θείου Οἰλέως ἦν ὁ Μέδων, ἀδελφὸς τοῦ Αἴαντος, κατῴκει δὲ ἐν τῇ Φυλάκῃ πόῤῥω τῆς πατρίδος γῆς, ἄνδρα ἀποκτείνας, ἀδελφὸν τῆς μητρυιᾶς αὐτοῦ τῆς Ἐριώπιδος, ἣν εἶχεν ὁ Οἰλεύς. ὁ δὲ ἦν υἱὸς Ἰφίκλου τοῦ υἱοῦ τοῦ Φυλάκου· οὗτοι μὲν πρὸ τῶν μεγαλοψύχων Φθίων καθοπλισθέντες παρὰ ταῖς ναυσὶν ἀντιμαχόμενοι μετὰ τῶν Βοιωτῶν ἐπολέμουν. Αἴας δὲ ὁ ταχύπους υἱὸς τοῦ Οἰλέως οὐδαμῶς ἵστατο πόῤῥω τοῦ Αἴαντος τοῦ υἱοῦ τοῦ Τελαμῶνος, οὐδ' ὀλίγον· ἀλλ' ὥσπερ ἐν γῇ νεωστὶ ἠροτριωμένῃ βόες μέλανες ἄροτρον ἡρμοσμένον ἕλκουσιν ἴσην ἔχοντες προθυμίαν, περὶ δὲ τὰ κάτω περὶ τὴν σάρκα τῶν κεράτων αὐτῶν πολὺς ἱδρὼς ἀναφέρεται, τούτους μέντοι ὁ εὔξεστος ζυγὸς μόνον διαχωρίζει προθύμως ἰόντας κατὰ τὴν αὔλακα, τέμνει δὲ τὸ ἄροτρον τὸ πέρας τῆς γῆς· οὕτως οὗτοι ἵσταντο πάνυ πλησίον ἀλλήλων· ἀλλὰ τῷ μὲν υἱῷ τοῦ Τελαμῶνος πολλοὶ καὶ καλοὶ λαοὶ ἠκολούθουν φίλοι, οἵτινες αὐτῷ τὴν ἀσπίδα παρελάμβανον, ὁπηνίκα αὐτὸν κόπος τε καὶ ἱδρὼς κατὰ τὰ γόνατα κατελάμβανε. τῷ υἱῷ δὲ τοῦ Οἰλέως τῷ μεγαλοψύχῳ οὐκ ἠκολούθουν οἱ Λοκροί, οὐ γὰρ ἐν τῇ κατὰ σύστασιν μάχῃ παρέμενεν ἡ προσφιλὴς αὐτῶν ψυχή, οὐ γὰρ εἶχον περικεφαλαίας σιδηρᾶς, ἱππείας τρίχας ἐχούσας, οὐδὲ εἶχον ἀσπίδας εὐπεριφερεῖς,

Οὐδ' ἔχον ἀσπίδας εὐκύκλους, καὶ μείλινα δοῦρα·
Ἀλλ' ἄρα τόξοισιν καὶ ἐϋστρόφῳ οἰὸς ἀώτῳ,
Ἴλιον εἰς ἅμ' ἕποντο πεποιθότες· οἷσιν ἔπειτα
Ταρφέα βάλλοντες, Τρώων ῥήγνυντο φάλαγγας·
Δή ῥα τόθ' οἱ μὲν πρόσθε, σὺν ἔντεσι δαιδαλέοισι,
Μάρναντο Τρωσίν τε καὶ Ἕκτορι χαλκοκορυστῇ·
Οἱ δ' ὄπιθεν βάλλοντες ἐλάνθανον· οὐδέ τι χάρμης
Τρῶες μιμνήσκοντο· συνεκλόνεον γὰρ ὀϊστοί·
Ἔνθα κε λευγαλέως νηῶν ἄπο καὶ κλισιάων
Τρῶες ἐχώρησαν προτὶ Ἴλιον ἠνεμόεσσαν·
Εἰ μὴ Πουλυδάμας θρασὺν Ἕκτορα εἶπε παραστάς·
Ἕκτορ, ἀμήχανός ἐσσι παραῤῥητοῖσι πιθέσθαι.
Οὕνεκά τοι πέρι δῶκε θεὸς πολεμήϊα ἔργα,
Τοὔνεκα καὶ βουλῇ ἐθέλεις περιΐδμεναι ἄλλων;
Ἀλλ' οὔπως ἅμα πάντα δυνήσεται αὐτὸς ἑλέσθαι·
Ἄλλῳ μὲν γὰρ ἔδωκε θεὸς πολεμήϊα ἔργα·
Ἄλλῳ δ' ὀρχηστὺν, ἑτέρῳ κίθαριν καὶ ἀοιδήν·
Ἄλλῳ δ' ἐν στήθεσσι τίθει νόον εὐρύοπα Ζεὺς
Ἐσθλὸν, τοῦ δέ τε πολλοὶ ἐπαυρίσκοντ' ἄνθρωποι·
Καί τε πόλεις ἐσάωσε, μάλιστα δέ κ' αὐτὸς ἀνέγνω·
Αὐτὰρ ἐγὼν ἐρέω, ὥς μοι δοκεῖ εἶναι ἄριστα.
Πάντη γάρ σε πέρι στέφανος πολέμοιο δέδηε·
Τρῶες δὲ μεγάθυμοι, ἐπεὶ κατὰ τεῖχος ἔβησαν,
Οἱ μὲν ἀφεστᾶσιν σὺν τεύχεσιν, οἱ δὲ μάχονται
Παυρότεροι πλεόνεσσι, κεδασθέντες κατὰ νῆας.
Ἀλλ' ἀναχασσάμενος κάλει ἐνθάδε πάντας ἀρίστους·
Ἔνθεν δ' ἂν μάλα πᾶσαν ἐπιφρασσαίμεθα βουλήν·
Ἤ κεν ἐνὶ νήεσσι πολυκλήϊσι πέσωμεν,

καὶ δόρατα ἐκ μελίας, ἀλλὰ τόξοις καὶ καλῶς περιεστραμμένῳ ἐρίῳ προβάτου θαῤῥοῦντες, εἰς τὸ Ἴλιον συνείποντο, οἷς μετὰ ταῦτα πυκνῶς ἀφιέντες ἐῤῥήγνυον καὶ διέλυον τὰς τάξεις τῶν Τρώων. Τότε δ' οὖν οὗτοι μὲν ἔμπροσθεν σὺν τοῖς ποικίλως εἰργασμένοις ὅπλοις ἐμάχοντο τοῖς τε Τρωσὶ, καὶ τῷ σιδήρῳ καθωπλισμένῳ Ἕκτορι· οὗτοι δὲ ὄπισθεν ἀφιέντες καὶ πλήττοντες ἐλάνθανον, οὐδέτι πολέμου καὶ μάχης οἱ Τρῶες ἐμέμνηντο, συνέχεον γὰρ καὶ συνετάραττον αὐτοὺς οἱ ἰοί· τότ' ἂν χαλεπῶς ἀπὸ τῶν νεῶν καὶ τῶν σκηνῶν οἱ Τρῶες ἀνεχώρησαν ἐπὶ τὴν ἀνέμοις καταπνεομένην καὶ ὑψηλὴν Ἴλιον, εἰ μὴ ὁ Πολύδαμας παραγενόμενος εἶπε πρὸς τὸν εὔτολμον Ἕκτορα· Ὦ Ἕκτορ ἀνίκητος, καὶ ἀπαραμύθητος εἶ λόγοις παρηγορητοῖς, ἤτοι παραμυθήμασι καὶ ὑποθήκαις πείθεσθαι, διότι σοι περιττῶς ἔδωκεν ὁ θεὸς τὰς πολεμικὰς πράξεις, τούτου χάριν καὶ βουλῇ θέλεις μᾶλλον τῶν ἄλλων εἰδέναι, ἀλλ' οὐδαμῶς ὁμοῦ πάντα δυνήσεται ὁ αὐτὸς λαβεῖν· ἄλλῳ μὲν γὰρ ἔδωκεν ὁ θεὸς τὰς πολεμικὰς πράξεις, ἄλλῳ δὲ τὸ ὀρχεῖσθαι, ἄλλῳ δὲ τὸ κιθαρίζειν, καὶ ᾄδειν, ἄλλῳ δὲ τίθησιν ἐν τῷ στήθει νοῦν ὁ μεγαλόφωνος Ζεὺς ἀγαθὸν, τούτου δὲ πολλοὶ ἄνθρωποι ἀπολαύουσι, καὶ πολλοὺς ἔσωσε, μᾶλλον δὲ τῶν ἄλλων αὐτὸς διέγνω τὴν ἐκ τοῦ πράγματος ὠφελείαν καὶ σωτηρίαν· ἐγὼ δὲ λέξω καθάπερ μοι δοκεῖ ἔχειν ἀρίστως· πανταχόθεν δή σε ὁ τοῦ πολέμου κύκλος περιείληφεν· οἱ δὲ μεγαλόψυχοι Τρῶες ἀφ' οὗ τὸ τεῖχος διέβησαν, οἱ μὲν ποῤῥωτέρον ἵστανται ἔνοπλοι, οἱ δὲ πολεμοῦσιν ἐλάττους πλείοσι διαμερισθέντες κατὰ τὰς ναῦς· ἀλλ' ἀναχωρήσας, κάλει δεῦρο πάντας τοὺς κρατίστους, ἐντεῦθεν δ' ἂν πάνυ πᾶσαν βουλευσαίμεθα βουλὴν, ἢ ἵνα εἰς τὰς πολυκαθέδρους ναῦς ἐπιπέσωμεν, ἐὰν ὁ θεὸς ἐθέλῃ δοῦναι

Αἴκ' ἐθέλῃσι θεὸς δόμεναι κράτος, ἤ κεν ἔπειτα
Πὰρ νηῶν ἔλθοιμεν ἀπήμονες. ἦ γὰρ ἔγωγε
Δείδω, μὴ τὸ χθιζὸν ἀποτίσωνται Ἀχαιοὶ
Χρεῖος, ἐπεὶ παρὰ νηυσὶν ἀνὴρ ἆτος πολέμοιο
Μίμνει, ὃν οὐκέτι πάγχυ μάχης σχήσεσθαι ὀΐω.
Ὣς φάτο Πουλυδάμας· ἅδε δ' Ἕκτορι μῦθος ἀπήμων·
Καί μιν φωνήσας, ἔπεα πτερόεντα προσηύδα·
Πουλυδάμα, σὺ μὲν αὐτοῦ ἐρύκακε πάντας ἀρίστους·
Αὐτὰρ ἐγὼ κεῖσ' εἶμι, καὶ ἀντιόω πολέμοιο·
Αἶψα δ' ἐλεύσομαι αὖτις, ἐπὴν εὖ τοῖς ἐπιτείλω.
Ἦ ῥα, καὶ ὡρμήθη, ὄρεϊ νιφόεντι ἐοικὼς,
Κεκληγὼς, διὰ δὲ Τρώων πέτετ', ἠδ' ἐπικούρων.
Οἱ δ' ἐς Πανθοΐδην ἀγαπήνορα Πουλυδάμαντα
Πάντες ἐπεσσεύοντ', ἐπεὶ Ἕκτορος ἔκλυον αὐδήν.
Αὐτὰρ ὁ Δηΐφοβόν τε, βίην θ' Ἑλένοιο ἄνακτος,
Ἀσιάδην τ' Ἀδάμαντα, καὶ Ἄσιον Ὑρτάκου υἱὸν,
Φοίτα ἀνὰ προμάχους διζήμενος, εἴ που ἐφεύροι.
Τοὺς δ' εὗρ' οὐκέτι πάμπαν ἀπήμονας, οὐδ' ἀνολέθρους·
Ἀλλ' οἱ μὲν δὴ, νηυσὶν ἐπὶ πρύμνῃσιν Ἀχαιῶν,
Χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες·
Οἱ δ' ἐν τείχει ἔσαν βεβλημένοι, οὐτάμενοί τε.
Τὸν δὲ τάχ' εὗρε μάχης ἐπ' ἀριστερὰ δακρυοέσσης
Δῖον Ἀλέξανδρον, Ἑλένης πόσιν ἠϋκόμοιο,
Θαρσύνονθ' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
Ἀγχοῦ δ' ἱστάμενος προσέφη αἰσχροῖς ἐπέεσσι·
Δύσπαρι, εἶδος ἄριστε, γυναιμανὲς, ἠπεροπευτὰ,
Ποῦ τοι Δηΐφοβός τε, βίη θ' Ἑλένοιο ἄνακτος,
Ἀσιάδης τ' Ἀδάμας, ἠδ' Ἄσιος Ὑρτάκου υἱός;

νίκην, ἢ ἵνα μετὰ ταῦτα ἐκ τῶν νεῶν πορευθῶμεν μηδὲν παθόντες· ὄντως γὰρ ἔγωγε δέδοικα μὴ τὸ χθεσινὸν ἀποδώσωσιν οἱ Ἕλληνες χρέος· ἐπειδὴ παρὰ ταῖς ναυσὶν ἀνὴρ ἀκόρεστος μάχης μένει, ὃν οὐδαμῶς τοῦ λοιποῦ κωλυθήσεσθαι καὶ στήσεσθαι τοῦ πολεμεῖν ὑπολαμβάνω. Οὕτως εἶπεν ὁ Πολυδάμας. ἤρεσε δὲ τῷ Ἕκτορι ὁ ἀβλαβὴς λόγος, καὶ φωνήσας ἔλεγε λόγους ταχεῖς πρὸς αὐτόν· Ὦ Πολυδάμα, σὺ μὲν αὐτόθι κάτεχε πάντας τοὺς ἀριστεῖς, ἐγὼ δὲ ἐκεῖσε πορεύσομαι, καὶ τῆς μάχης μεθέξω, ταχέως δὲ πάλιν ἐλεύσομαι, ἐπειδὰν τούτοις ἐπιτάξω καλῶς. Εἶπε δὴ καὶ ὥρμησεν ὅμοιος ὄρει χίονι κεκαλυμμένῳ, βοῶν, ἐπέτετο δὲ διὰ τῶν Τρώων καὶ τῶν ἐπικούρων· οὗτοι δὲ πρὸς τὸν διὰ τὴν ἀνδρίαν ἀγαπώμενον Πολυδάμαντα τὸν υἱὸν τοῦ Πάνθου ἅπαντες ἐπήεσαν, ἐπειδὴ ἤκουσαν τὴν φωνὴν τοῦ Ἕκτορος. οὗτος δὲ τόν τε Δηΐφοβον, καὶ τὴν ἰσχὺν Ἑλένου τοῦ βασιλέως, ἤτοι τὸν Ἕλενον, καὶ Ἀδάμαντα τὸν υἱὸν τοῦ Ἀσίου, καὶ Ἄσιον τὸν υἱὸν τοῦ Ὑρτάκου διήρχετο ζητῶν ἀνὰ τοὺς πρωταγωνιστὰς, εἴ που εὕροι· τούτους δὲ εὗρεν οὐδαμῶς ἄνευ βλάβους, οὐδὲ ἄνευ φθορᾶς, καὶ θανάτου· ἀλλ' οἱ μὲν δὴ παρὰ ταῖς πρύμναις τῶν νεῶν τῶν Ἑλλήνων ἔκειντο ἀπολέσαντες τὰς ψυχὰς ὑπὸ τῶν χειρῶν τῶν Ἑλλήνων· οἱ δὲ ἦσαν ἐν τῷ τείχει πόῤῥωθεν καὶ ἐκ τοῦ σύνεγγυς τετρωμένοι. ταχέως δὲ εὗρεν ἐπὶ τὸ ἀριστερὸν μέρος τῆς δακρύων γεμούσης μάχης τὸν ἐνδοξότατον Ἀλέξανδρον, τὸν ἄνδρα τῆς καλλικόμου Ἑλένης θαρσοποιοῦντα τοὺς φίλους, καὶ παροξύνοντα πολεμεῖν. πλησίου δὲ στὰς εἶπε πρὸς αὐτὸν λόγοις αἰσχροῖς, καὶ ἀναιδέσιν· Ὦ Πάρι κακὲ, βέλτιστε κατὰ τὴν μορφὴν, ἐπὶ γυναιξὶ μαινόμενε, ψεῦστα καὶ ἀπατεῶν, ποῦ σοι ὁ Δηΐφοβος, καὶ ἡ ἰσχὺς Ἑλένου τοῦ βασι-

Ποῦ δέ τοι Ὀθρυονεύς; νῦν ὤλετο πᾶσα κατ᾽ ἄκρης
Ἴλιος αἰπεινή· νῦν τοι σῶς αἰπὺς ὄλεθρος.
Τὸν δ᾽ αὖτε προσέειπεν Ἀλέξανδρος θεοειδής.
Ἕκτορ, ἐπεί τοι θυμὸς ἀναίτιον αἰτιάασθαι,
Ἄλλοτε δήποτε μᾶλλον ἐρωῆσαι πολέμοιο
Μέλλω, ἐπεὶ οὐδ᾽ ἐμὲ πάμπαν ἀνάλκιδα γείνατο μήτηρ·
Ἐξ οὗ γὰρ παρὰ νηυσὶ μάχην ἤγειρας ἑταίρων,
Ἐκ τοῦδ᾽ ἐνθάδ᾽ ἐόντες ὁμιλέομεν Δαναοῖσι
Νωλεμέως· ἕταροι δὲ κατέκταθεν, οὓς σὺ μεταλλᾷς.
Οἴω Δηΐφοβός τε, βίη θ᾽ Ἑλένοιο ἄνακτος,
Οἴχεσθον, μακρῇσι τετυμμένω ἐγχείῃσιν,
Ἀμφοτέρω κατὰ χεῖρα· φόνον δ᾽ ἤμυνε Κρονίων.
Νῦν δ᾽ ἄρχ᾽, ὅππῃ σε κραδίη θυμός τε κελεύει·
Ἡμεῖς δ᾽ ἐμμεμαῶτες ἅμ᾽ ἑψόμεθ᾽, οὐδέ τί φημι
Ἀλκῆς δευήσεσθαι, ὅση δύναμίς γε πάρεστι·
Πὰρ δύναμιν δ᾽ οὐκ ἔστι καὶ ἐσσύμενον πολεμίζειν.
Ὣς εἰπὼν παρέπεισεν ἀδελφειοῦ φρένας ἥρως·
Βὰν δ᾽ ἴμεν ἔνθα μάλιστα μάχη καὶ φύλοπις ἦεν·
Ἀμφί τε Κεβριόνην, καὶ ἀμύμονα Πουλυδάμαντα,
Φάλκην, Ὀρθαῖόν τε, καὶ ἀντίθεον Πολυφήτην,
Πάλμυν τ᾽, Ἀσκάνιόν τε, Μόρυν θ᾽, υἷ᾽ Ἱπποτίωνος·
Οἵ ῥ᾽ ἐξ Ἀσκανίης ἐριβώλακος ἦλθον ἀμοιβοὶ
Ἠοῖ τῇ προτέρῃ· τότε δὲ Ζεὺς ὦρσε μάχεσθαι.
Οἱ δ᾽ ἴσαν, ἀργαλέων ἀνέμων ἀτάλαντοι ἀέλλῃ,
Ἥ ῥά θ᾽ ὑπὸ βροντῆς πατρὸς Διὸς εἶσι πέδονδε,
Θεσπεσίῳ δ᾽ ὁμάδῳ ἁλὶ μίσγεται, ἐν δέ τε πολλὰ
Κύματα παφλάζοντα πολυφλοίσβοιο θαλάσσης,
Κυρτὰ, φαληριόωντα, πρὸ μέν τ᾽ ἄλλ᾽, αὐτὰρ ἐπ᾽ ἄλλα·

λέως, καὶ Ἀδάμας ὁ τοῦ Ἀσίου υἱὸς, καὶ Ἄσιος ὁ υἱὸς τοῦ Ὑρτάκου; ποῦ δέ σοι ὁ Ὀθρυονεὺς; νυνὶ ἀπώλετο καὶ ἐφθάρη ἕως τῆς ἀκροπόλεως καὶ διόλου ἡ ὑψηλὴ Ἴλιος· νυνί σοι πλήρης καὶ ἀνελλιπὴς ὀλεθρία φθορά. Πρὸς τοῦτον δὲ εἶπεν ὁ θεῖον εἶδος ἔχων Ἀλέξανδρος· Ὦ Ἕκτορ, ἐπειδή σοι προθυμία ἐστὶ αἰτιᾶσθαι τὸν ἀνυπαίτιον, ἄλλοτε δήποτε μᾶλλον ἀναχωρήσειν τῆς μάχης μέλλω, ἐπειδὴ οὐδ' ἐμὲ παντελῶς ἀσθενῆ ἔτεκεν ἡ μήτηρ· ἀφ' οὗ γὰρ τὴν τῶν φίλων μάχην παρώξυνας παρὰ ταῖς ναυσὶν, ἐξ ἐκείνου ἐνταῦθα ὄντες κατὰ ἴλας συμβάλλομεν τοῖς Ἕλλησιν ἀδιαλείπτως, οἱ φίλοι δὲ οὓς σὺ ζητεῖς, ἀνῃρέθησαν. μόνοι ὁ Δηΐφοβος, καὶ ἡ ἰσχὺς τοῦ βασιλέως Ἑλένου ἀνεχώρησαν, βεβλημένοι δόρασι μακροῖς ἀμφότεροι κατὰ τὴν χεῖρα, τὸν φόνον δὲ καὶ τὸν θάνατον ἀπεσόβησεν ὁ υἱὸς τοῦ Κρόνου· νῦν δὲ ἡγοῦ ὅπου σοι ἡ καρδία, καὶ ἡ προαίρεσις ἐπιτάσσει· ἡμεῖς δὲ προθύμως ὁμοῦ ἀκολουθήσομεν, οὐδέτι οἴομαι δυνάμεως ἐνδεεῖς ἔσεσθαι ταύτης, ὅση μοι πάρεστι νῦν ἰσχύς· παρὰ δύναμιν δὲ οὐκ ἔστι δυνατὸν καὶ προθυμούμενον μάχεσθαι. Οὕτως εἰπὼν ἀνέπεισε τὴν τοῦ ἀδελφοῦ διάνοιαν ὁ ἥρως· ὥρμησαν δὲ πορεύεσθαι ὅπου μᾶλλον ὁ πόλεμος καὶ ἡ μάχη ἦν, περί τε τὸν Κεβριόνην, καὶ τὸν ἀμώμητον Πολυδάμαντα, καὶ τὸν Φάλκην, καὶ τὸν Ὀρθαῖον, καὶ τὸν ἰσόθεον Πολυφήτην, καὶ τὸν Πάλμυν, καὶ τὸν Ἀσκάνιον, καὶ Μόρυν τὸν υἱὸν τοῦ Ἱπποτίωνος, οἳ δὴ ἀφίκοντο ἐκ τῆς εὐγαίου Ἀσκανίας ἐξαμοιβῆς καὶ διαδοχῆς βοηθοὶ τῇ προτέρᾳ ἡμέρᾳ· τότε δὲ ὁ Ζεὺς διήγειρε πολεμεῖν· οὗτοι δὲ ἐπορεύοντο ὅμοιοι συστροφῇ ἀνέμων χαλεπῶν, καὶ σφοδρῶν, ἣ δὴ μετὰ βροντῆς τοῦ Διὸς τοῦ πατρὸς ἐπιφέρεται μὲν ὡς ἐπὶ τὴν γῆν, θείῳ δὲ θορύβῳ συμμίγνυται τῇ θαλάσσῃ, ἐν αὐτῇ δὲ πολλὰ κύματα ἐν τῷ ἀναζέειν ἠχοῦντα τῆς πολυταράχου θαλάσσης ἐξογκούμενα, λευκὰ τῷ ἀφρῷ, πρό-

Ὣς Τρῶες πρὸ μὲν ἄλλοι ἀρηρότες, αὐτὰρ ἐπ' ἄλλοι
Χαλκῷ μαρμαίροντες ἅμ' ἡγεμόνεσσιν ἕποντο·
Ἕκτωρ δ' ἡγεῖτο, βροτολοιγῷ ἶσος Ἄρηϊ,
Πριαμίδης· πρὸ ἕθεν δ' ἔχεν ἀσπίδα πάντοσε ἴσην,
Ῥινοῖσιν πυκινήν· πολλὸς δ' ἐπελήλατο χαλκός·
Ἀμφὶ δέ οἱ κροτάφοισι φαεινὴ σείετο πήληξ.
Πάντη δ' ἀμφὶ φάλαγγας ἐπειρᾶτο προποδίζων,
Εἴ πως οἱ εἴξειαν ὑπασπίδια προβιβῶντι·
Ἀλλ' οὐ σύγχει θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αἴας δὲ πρῶτος προκαλέσσατο, μακρὰ βιβάσθων·
Δαιμόνιε, σχεδὸν ἐλθέ· τίη δειδίσσεαι οὕτως
Ἀργείους; οὔτοι τι μάχης ἀδαήμονές εἰμεν,
Ἀλλὰ Διὸς μάστιγι κακῇ ἐδάμημεν Ἀχαιοί.
Ἦ θήν πού τοι θυμὸς ἐέλπεται ἐξαλαπάξειν
Νῆας, ἄφαρ δέ τε χεῖρες ἀμύνειν εἰσὶ καὶ ἡμῖν.
Ἦ κε πολὺ φθαίη εὖ ναιομένη πόλις ὑμὴ
Χερσὶν ὑφ' ἡμετέρῃσιν ἁλοῦσά τε, περθομένη τε.
Σοὶ δ' αὐτῷ φημὶ σχεδὸν ἔμμεναι, ὁππότε φεύγων
Ἀρήσῃ Διῒ πατρὶ καὶ ἄλλοις ἀθανάτοισι,
Θάσσονας ἰρήκων ἔμεναι καλλίτριχας ἵππους,
Οἵ σε πόλινδ' οἴσουσι, κονίοντες πεδίοιο·
Ὣς ἄρα οἱ εἰπόντι ἐπέπτατο δεξιὸς ὄρνις,
Αἰετὸς ὑψιπέτης· ἐπὶ δ' ἴαχε λαὸς Ἀχαιῶν,
Θάρσυνος οἰωνῷ· ὁ δ' ἀμείβετο φαίδιμος Ἕκτωρ·
Αἶαν ἁμαρτοεπὲς, βουγάϊε, ποῖον ἔειπες;
Αἲ γὰρ ἐγὼν οὕτω γε Διὸς παῖς Αἰγιόχοιο
Εἴην ἤματα πάντα, τέκοι δέ με πότνια Ἥρη,
Τιοίμην δ', ὡς τίετ' Ἀθηναίη καὶ Ἀπόλλων·

σω μὲν ἄλλα, ὀπίσω δὲ ἄλλα ἀποτελοῦνται. Οὕτως οἱ Τρῶες ἄλλοι μὲν ἔμπροσθεν ἰσχυρῶς ἡρμοσμένοι, ὀπίσω δὲ ἄλλοι σιδήρῳ περιλάμποντες μετὰ τῶν ἡγεμόνων ἠκολούθουν. ὁ Ἕκτωρ δὲ προηγεῖτο ὅμοιος τῷ ἀνθρωποκτόνῳ Ἄρει, ὁ υἱὸς τοῦ Πριάμου, ἐκράτει δ' ἔμπροσθεν τὴν πανταχόθεν ἴσην ἀσπίδα καὶ κυκλοτερῆ, πυκνὴν καὶ στερεὰν τοῖς δέρμασιν, πολὺς δὲ ἐφήπλωτο χαλκὸς, περὶ δὲ τοὺς κροτάφους αὐτοῦ περιεκινεῖτο ἡ λαμπρὰ περικεφαλαία, εἰς πάντα δὲ τοπον περὶ τὰς τάξεις ἠρέμα χωρῶν ἐπεχείρει, εἴ πως αὐτῷ ὑποχωρήσειαν ὑπὸ τὴν ἀσπίδα τιθέντι τοὺς πόδας καὶ οὕτω προβαίνοντι, ἀλλ' οὐ συνείχει καὶ εθορύβει τὴν τῶν Ἑλλήνων ψυχὴν ἐν τοῖς στήθεσιν. Αἴας δὲ πρῶτον εἰς μάχην ἐκάλεσε μεγάλως προποδίζων καὶ διασκελῶν λέγων· Ὦ εὐτυχέστατε, ἴθι πλησίον, τί δὴ οὕτω δέδοικας τοὺς Ἕλληνας; οὐδαμῶς ἀνεπιστήμονες καὶ ἄπειροι πολέμου εσμὲν, ἀλλὰ πλήκτρῳ κακῷ καὶ πληγῇ θείᾳ ἐδαμάσθημεν καὶ ἡττήθημεν οἱ Ἕλληνες. ὄντως δήπου σοι ἡ ψυχὴ ἐλπίζει ἐκπορθήσειν τὰς ναῦς, εὐθέως (ῥᾳδίως) μέντοι βοηθεῖν, χεῖρές εἰσι καὶ ἡμῖν· ὄντως ἂν πολλῷ προτερον ἡ ὑμέτερα καλῶς οἰκουμένη πόλις φανείη κρατηθεῖσα καὶ ἐκπορθουμένη ὑπὸ τῶν ἡμετέρων χειρῶν· σοὶ δὲ αὐτῷ οἴομαι ἐγγὺς εἶναι, ὁπηνίκα φεύγων εὔξῃ τῷ πατρὶ τῷ Διῒ καὶ τοῖς ἄλλοις ἀθανάτοις θεοῖς ταχίονας ἱεράκων εἶναι τοὺς ὡραιότριχας ἵππους, οἵ σε εἰς τὴν πόλιν κομίσουσι τρέχοντες διὰ τοῦ πεδίου. Οὕτω δὴ εἰπόντι αὐτῷ ἐπέπτη ὄρνεον αἴσιον καὶ εὐσύμβολον, ἀετὸς ἐφ' ὕψους πετάμενος, ἐπεβόησε δὲ ὁ λαὸς τῶν Ἑλλήνων εὔελπις καὶ τεθαῤῥηκὼς τῷ ὄρνιθι. ὁ δὲ Ἕκτωρ ὁ λαμπρὸς ἀπεκρίνετο οὕτως· Ὦ Αἶαν, ἁμαρτάνων ἐν τῷ λέγειν, βοῦ ἐργαζόμενε τὴν γῆν, ποῖον εἶπας; εἴθε γὰρ ἐγὼ οὕτως υἱὸς τοῦ τὴν αἰγίδα φοροῦντος Διὸς ὑπάρχοιμι (γενοίμην) κατὰ πάντα τὸν χρόνον, τέκοι δέ με

Ὡς νῦν ἡμέρη ἥδε κακὸν φέρει Ἀργείοισι
Πᾶσι μάλ'· ἐν δὲ σὺ τοῖσι πεφήσεαι, αἴκε ταλάσσῃς
Μεῖναι ἐμὸν δόρυ μακρὸν, ὅ τοι χρόα λειριόεντα
Δάψει· ἀτὰρ Τρώων κορέεις κύνας ἠδ' οἰωνοὺς
Δημῷ καὶ σάρκεσσι, πεσὼν ἐπὶ νηυσὶν Ἀχαιῶν.
Ὣς ἄρα φωνήσας ἡγήσατο. τοὶ δ' ἅμ' ἕποντο
Ἠχῇ θεσπεσίῃ, ἐπὶ δ' ἴαχε λαὸς ὄπισθεν.
Ἀργεῖοι δ' ἑτέρωθεν ἐπίαχον, οὐδ' ἐλάθοντο
Ἀλκῆς, ἀλλ' ἔμενον Τρώων ἐπιόντας ἀρίστους.
Ἠχὴ δ' ἀμφοτέρων ἵκετ' αἰθέρα, καὶ Διὸς αὐγάς.

ἡ σεβαστὴ Ἥρα, τιμῴμην δὲ ὡς τιμᾶται ἡ Ἀθηνᾶ καὶ ὁ Ἀπόλλων, ὥσπερ νῦν ἡ παροῦσα ἡμέρα κακὸν ἐπάγει τοῖς Ἕλλησιν ἅπασι μάλα· ἐν τούτοις δὲ σὺ τεθνήξῃ ἐὰν ὑπομείνῃς καὶ τολμήσῃς παραμεῖναι τὸ ἐμὸν μέγα δόρυ, ὅπερ σοι τὸ ἀνθηρὸν σῶμα διακόψει, τοὺς κύνας δὲ τῶν Τρῴων ἐμπλήσεις, καὶ τὰ μεγάλα ὄρνεα λίπει καὶ σαρξίν, ἀποθανὼν παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων. Οὕτω δὴ εἰπὼν, προεχώρησεν· οὗτοι δὲ συνείποντο βοῇ μεγίστῃ καὶ θείᾳ, ἐπέβοησε δὲ ὁ στρατὸς ὄπισθεν, ἐπεβόησαν δὲ καὶ οἱ Ἕλληνες ἐκ τοῦ ἑτέρου μέρους, οὐδὲ ἐπελάθοντο τῆς δυνάμεως, ἀλλὰ παρέμενον τοὺς ἀριστεῖς τῶν Τρῴων ἐπερχομένους· ἀμφοτέρων δὲ τῶν στρατευμάτων ἡ βοὴ ἤρθη εἰς τὸν αἰθέρα, καὶ τὸν οὐρανόν.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Ξ.

Νέστορα δ' οὐκ ἔλαθεν ἰαχὴ, πίνοντά περ ἔμπης,
Ἀλλ' Ἀσκληπιάδην ἔπεα πτερόεντα προσηύδα·
Φράζεο, δῖε Μαχᾶον, ὅπως ἔσται τάδε ἔργα·
Μείζων δὴ παρὰ νηυσὶ βοὴ θαλερῶν αἰζηῶν.
Ἀλλὰ σὺ μὲν νῦν πῖνε καθήμενος αἴθοπα οἶνον,
Εἰσόκε θερμὰ λοετρὰ ἐϋπλόκαμος Ἑκαμήδη
Θερμήνῃ, καὶ λούσῃ ἄπο βρότον αἱματόεντα·
Αὐτὰρ ἐγὼν ἐλθὼν τάχα εἴσομαι ἐς περιωπήν.
Ὣς εἰπὼν, σάκος εἷλε τετυγμένον υἷος ἑοῖο,
Κείμενον ἐν κλισίῃ Θρασυμήδεος ἱπποδάμοιο,
Χαλκῷ παμφαῖνον· ὁ δ' ἔχ' ἀσπίδα πατρὸς ἑοῖο.
Εἵλετο δ' ἄλκιμον ἔγχος ἀκαχμένον ὀξέϊ χαλκῷ·
Στῆ δ' ἐκτὸς κλισίης, τάχα δ' εἴσιδεν ἔργον ἀεικὲς,
Τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθε,

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑΣ Ξ

ΠΑΡΑΦΡΑΣΙΣ.

Τὸν Νέστορα δὲ οὐκ ἔλαθεν ἡ βοὴ καίπερ πίνοντα, ἀλλὰ πρὸς τὸν υἱὸν τοῦ Ἀσκληπιοῦ λόγους ταχεῖς ἔλεγεν οὕτω· Σκόπει, ὦ ἐνδοξότατε Μαχᾶον, πῶς γενήσονται ταῦτα τὰ ἔργα· μείζων νῦν ἐστι παρὰ ταῖς ναυσὶ βοὴ καὶ θόρυβος νέων θαλλόντων καὶ ἀκμαζόντων· ἀλλὰ σὺ μὲν νυνὶ καθήμενος πῖνε οἶνον θερμὸν, ἕως ἂν λουτρὰ θερμὰ ἡ καλλίκομος Ἑκαμήδη θερμήνῃ, καὶ ἀπολούσῃ τὸν ᾑμαγμένον λύθρον· ἐγὼ δὲ παραγενόμενος ταχέως εἰς ὑψηλότερόν τινα τόπον γνώσομαι. Οὕτως εἰπὼν ἔλαβε τὴν κατεσκευασμένην ἀσπίδα τοῦ ἑαυτοῦ υἱοῦ τοῦ ἱππικοῦ Θρασυμήδους, κειμένην ἐν τῇ σκηνῇ, περιλάμπουσαν τῷ χαλκῷ, οὗτος δὲ εἶχε τὴν ἀσπίδα τοῦ ἑαυτοῦ πατρὸς, ἔλαβε δὲ τὸ ἰσχυρὸν δόρυ ἀκὴν ἔχον σιδήρῳ ὀξεῖ, ἔστη δὲ ἔξω τῆς σκηνῆς, ταχέως δὲ ἐθεάσατο ἔργον ἀπρεπὲς, τοὺς μὲν Ἕλληνας ταραττομένους, τοὺς δὲ μεγαλοψύχους Τρῶας συνταράττοντας ὄπι-

Τρῶας ὑπερθύμους· ἐρέριπτο δὲ τεῖχος Ἀχαιῶν.
Ὡς δ' ὅτε πορφύρῃ πέλαγος μέγα κύματι κωφῷ,
Ὀσσόμενον λιγέων ἀνέμων λαιψηρὰ κέλευθα
Αὔτως, οὐδ' ἄρα τε προκυλίνδεται οὐδ' ἑτέρωσε,
Πρίν τινα κεκριμένον καταβήμεναι ἐκ Διὸς οὖρον·
Ὣς ὁ γέρων ὥρμαινε, δαϊζόμενος κατὰ θυμὸν
Διχθάδ'· ἢ μεθ' ὅμιλον ἴοι Δαναῶν ταχυπώλων,
Ἠὲ μετ' Ἀτρείδην Ἀγαμέμνονα, ποιμένα λαῶν.
Ὧδε δέ οἱ φρονέοντι δοάσσατο κέρδιον εἶναι,
Βῆναι ἐπ' Ἀτρείδην. οἱ δ' ἀλλήλους ἐνάριζον,
Μαρνάμενοι· λάκε δέ σφι περὶ χροῒ χαλκὸς ἀτειρὴς,
Νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισι.
Νέστορι δὲ ξύμβληντο διοτρεφέες βασιλῆες.
Πὰρ νηῶν ἀνιόντες, ὅσοι βεβλήατο χαλκῷ,
Τυδείδης, Ὀδυσεύς τε, καὶ Ἀτρείδης Ἀγαμέμνων.
Πολλὸν γάρ ῥ' ἀπάνευθε μάχης εἰρύατο νῆες
Θῖν' ἐφ' ἁλὸς πολιῆς· τὰς γὰρ πρώτας πεδίονδε
Εἴρυσαν, αὐτὰρ τεῖχος ἐπὶ πρύμνῃσιν ἔδειμαν.
Οὐδὲ γὰρ οὐδ', εὐρύς περ ἐὼν, ἐδυνήσατο πάσας
Αἰγιαλὸς νῆας χαδέειν. στείνοντο δὲ λαοί.
Τῷ ῥα προκρόσσας ἔρυσαν, καὶ πλῆσαν ἁπάσης
Ἠϊόνος στόμα μακρὸν, ὅσον συνεέργαθον ἄκραι.
Τῷ ῥ' οἵγ' ὀψείοντες ἀϋτῆς καὶ πολέμοιο,
Ἔγχει ἐρειδόμενοι κίον ἀθρόοι. ἄχνυτο δέ σφι
Θυμὸς ἐνὶ στήθεσσιν· ὁ δὲ ξύμβλητο γεραιὸς
Νέστωρ, πτῆξε δὲ θυμὸν ἐνὶ στήθεσσιν Ἀχαιῶν·
Τὸν καὶ φωνήσας προσέφη κρείων Ἀγαμέμνων·
Ὦ Νέστορ Νηληϊάδη, μέγα κῦδος Ἀχαιῶν,

σθεν, καθήρητο δὲ τὸ τεῖχος τῶν Ἑλλήνων. ὥσπερ δὲ ὅταν μελαίνηται τὸ μέγα πέλαγος κύματι ἀψόφῳ, καὶ δίχα ἀνέμου ἐπαιρομένῳ, προσημαῖνον τὰς ταχείας ὁδοὺς τῶν ἐν τῷ πνεῖν ὀξέως ἠχούντων ἀνέμων εἰκῆ καὶ ὡς ἔτυχεν, οὐδέ γε ἔμπροσθεν ἀνακάμπτει οὐδ' ὄπισθεν, πρίν τινα ἄνεμον ἀπλανῆ καὶ σταθερὸν (τῶν ἄλλων κεχωρισμένον) καταβῆναι ἐκ τοῦ αἰθέρος· Οὕτως ὁ γέρων διεσκοπεῖτο ἐπὶ πολλὰ τὸν λογισμὸν μεταφέρων καὶ διαιρούμενος εἰς δύο, ἢ ἵνα ἐπὶ τὸν στρατὸν ἀπέλθοι τῶν ταχεῖς ἵππους ἐχόντων Ἑλλήνων, ἢ ἐπ' Ἀγαμέμνονα τὸν υἱὸν τοῦ Ἀτρέως τὸν βασιλέα τοῦ ϛρατοῦ. οὕτω δ' αὐτῷ φρονοῦντι ἔδοξε βέλτιον εἶναι, πορευθῆναι ἐπὶ τὸν υἱὸν τοῦ Ἀτρέως· οὗτοι δὲ ἀλλήλους ἀνῄρουν μαχόμενοι, ἤχει δὲ περὶ τὸ σῶμα αὐτῶν ὁ ἀκαταπόνητος σίδηρος, πληττομένων ῥομφαίαις καὶ δόρασιν ἀμφοτέρωθεν γυῖα ἔχουσιν, ἤτοι διστόμοις. τῷ Νέστορι δὲ συνέβαλον καὶ συνήντησαν οἱ ἐνδοξότατα τεθραμμένοι βασιλεῖς ἐκ τῶν νεῶν ἀνερχόμενοι, ὅσοι ἐτρώθησαν σιδήρῳ, ὅ τε υἱὸς τοῦ Τυδέως, καὶ Ὀδυσσεὺς, καὶ Ἀγαμέμνων ὁ υἱὸς τοῦ Ἀτρέως· πολλῷ γὰρ πόῤῥωθεν τῆς μάχης εἱλκυσμέναι ἦσαν αἱ νῆες εἰς τὸν αἰγιαλὸν τῆς λευκῆς θαλάσσης, ταύτας γὰρ πρῶτον εἰς τὴν πεδιάδα εἵλκυσαν, τεῖχος δὲ παρὰ ταῖς πρύμναις ᾠκοδόμησαν, οὐδὲ γὰρ ἐδυνήθη ὁ αἰγιαλὸς, καίπερ ὢν πλατὺς, ἁπάσας τὰς ναῦς χωρῆσαι· ἐστενοχωροῦντο δὲ τὰ πλήθη, δι' ὃ δὴ παραλλήλως καὶ κλιμακηδὸν εἵλκυσαν καὶ ἀνθυπέταξαν αὐτὰς ἀλλήλαις, καὶ ἐπλήρωσαν παντὸς τοῦ αἰγιαλοῦ τὸ μέγα ϛόμα, ὅσον συνέκλειον καὶ συνεδέσμουν αἱ τοῦ ναυϛάθμου ἄκραι, ἤτοι τὰ δύο κέρατα. ταύτῃ δὴ οὗτοι θέλοντες ἰδεῖν ἕνεκα τῆς κραυγῆς καὶ τῆς μάχης, δόρατι ἐπιστηριζόμενοι ἐπορεύοντο ὁμοῦ, ἤλγει δὲ καὶ ἐλυπεῖτο αὐτοῖς ἡ ψυχὴ ἐν τοῖς ϛήθεσιν, οὗτος δὲ συνήντησεν αὐτοῖς ὁ γέρων Νέϛωρ, ἐπτόησε δὲ τὴν τῶν Ἑλλήνων ψυχὴν ἐν τοῖς ϛήθεσι, πρὸς ὃν καὶ φωνήσας εἶπεν ὁ Βασι-

Τίπτε λιπὼν πόλεμον φθισήνορα δεῦρ' ἀφικάνεις;
Δείδω, μὴ δή μοι τελέσῃ ἔπος ὄβριμος Ἕκτωρ,
Ὥς ποτ' ἐπηπείλησεν ἐνὶ Τρώεσσ' ἀγορεύων,
Μὴ πρὶν πὰρ νηῶν προτὶ Ἴλιον ἀπονέεσθαι,
Πρὶν πυρὶ νῆας ἐνιπρῆσαι, κτεῖναι δὲ καὶ αὐτούς.
Κεῖνός γ' ὣς ἀγόρευε· τὰ δὴ νῦν πάντα τελεῖται.
Ὢ πόποι, ἦ ῥα καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ
Ἐν θυμῷ βάλλονται ἐμοὶ χόλον, ὥσπερ Ἀχιλλεύς·
Οὐδ' ἐθέλουσι μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσι.
Τὸν δ' ἠμείβετ' ἔπειτα Γερήνιος ἱππότα Νέστωρ·
Ἦ δὴ ταῦτά γ' ἑτοῖμα τετεύχαται, οὐδέ κεν ἄλλως
Ζεὺς ὑψιβρεμέτης αὐτὸς παρατεκτήναιτο.
Τεῖχος μὲν γὰρ δὴ κατερήριπεν, ᾧ ἐπέπιθμεν,
Ἄῤῥηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
Οἱ δ' ἐπὶ νηυσὶ θοῇσι μάχην ἀλίαστον ἔχουσι
Νωλεμές· οὐδ' ἂν ἔτι γνοίης, μάλα περ σκοπιάζων,
Ὁπποτέρωθεν Ἀχαιοὶ ὀρινόμενοι κλονέονται·
Ὣς ἐπιμὶξ κτείνονται, ἀϋτὴ δ' οὐρανὸν ἵκει.
Ἡμεῖς δὲ φραζώμεθ' ὅπως ἔσται τάδε ἔργα,
Εἴ τι νόος ῥέξει. πόλεμον δ' οὐκ ἄμμε κελεύω
Δύμεναι· οὐ γάρ πως βεβλημένον ἐστὶ μάχεσθαι.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Νέστορ, ἐπειδὴ νηυσὶν ἐπὶ πρύμνῃσι μάχονται,
Τεῖχος δ' οὐκ ἔχραισμε τετυγμένον, οὐδέ τι τάφρος,
Ἧ ἔπι πόλλ' ἔπαθον Δαναοὶ, ἔλποντο δὲ θυμῷ
Ἄῤῥηκτον νηῶν τε καὶ αὐτῶν εἶλαρ ἔσεσθαι·
Οὕτω που Διῒ μέλλει ὑπερμενέϊ φίλον εἶναι,
Νωνύμους ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιούς.

λεὺς Ἀγαμέμνων· Ὦ Νέςορ υἱὲ τοῦ Νηλέως, δόξα μεγάλη τῶν Ἑλλήνων, τίποτε καταλιπὼν τὸν τοὺς ἄνδρας φθείροντα πόλεμον, ἐνθάδε ἀφίκου; δέδοικα μή πως μοι τελειώσῃ τὸν λόγον ὁ ἰσχυρὸς Ἕκτωρ, ὥσπερ τῇ προτεραίᾳ διετείνατο δημηγορῶν ἐν τοῖς Τρωσὶ, μὴ πρότερον ἀπὸ τῶν νεῶν ἐπὶ τὸ Ἴλιον ὑποτρέψαι, πρὶν πυρὶ κατακαῦσαι τὰς ναῦς, ἀνελεῖν δὲ καὶ ἡμᾶς. κἀκεῖνος μὲν οὕτως ἔλεγε, ταῦτα δὲ πάντα νῦν τελεσιουργεῖται. Φεῦ, φεῦ, ὄντως δὴ καὶ οἱ ἄλλοι εὔοπλοι Ἕλληνες τιθέασιν ἐν τῇ ψυχῇ κατ' ἐμοῦ ὀργὴν, ὥσπερ ὁ Ἀχιλλεὺς, οὐδὲ βούλονται πολεμεῖν παρὰ ταῖς πρύμναις τῶν νεῶν. Πρὸς τοῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ ἀπὸ τῆς Γερήνης ἱππικὸς Νέστωρ· Ὄντως δὲ ταῦτα εὐπρεπῆ γεγόνασιν, οὐδ' ἂν ἄλλως ὁ Ζεὺς αὐτὸς ὁ ἐφ' ὕψους ἠχῶν παραποιήσειε, τὸ γὰρ τεῖχος καταβέβληται, ᾧ ἐθαῤῥοῦμεν ἔσεσθαι ἀλέξημα καὶ φύλαγμα ἀκατάλυτον τῶν νεῶν καὶ ἡμῶν· οὗτοι δὲ παρὰ ταῖς ταχείαις ναυσὶν ἄφυκτον πόλεμον ἔχουσιν ἀδιαλείπτως, οὐδ' ἂν ἔτι κατανοήσαις καὶ πάνυ στοχαζόμενος, πόθεν οἱ Ἕλληνες ἐρεθιζόμενοι συνταράττονται· οὕτως ὁμοῦ ἀναιροῦνται, ἡ βοὴ δὲ αὐτῶν εἰς τὸν οὐρανὸν ἀφικνεῖται· ἡμεῖς δὲ σκοπῶμεν καὶ βουλευώμεθα πῶς ταῦτα τὰ ἔργα γενήσονται, εἴ τι νοῦς καὶ βουλὴ πράξει, εἰς τὸν πόλεμον δὲ οὔ φημι ἡμᾶς εἰσελθεῖν, οὐ γάρ ἐστι δυνατὸν πολεμεῖν τινα τετρωμένον. Πρὸς τοῦτον δὲ εἶπεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων· Ὦ Νέστορ, ἐπειδὴ πολεμοῦσι παρὰ ταῖς πρύμναις τῶν νεῶν, τὸ κατεσκευασμένον δὲ τεῖχος οὐκ ἐβοήθησεν, οὐδέ τι ἡ τάφρος, ἐφ' ᾗ πολλὰ ἔπαθον οἱ Ἕλληνες, ἤλπιζον δὲ ἐν τῇ ψυχῇ ἔσεσθαι ἀλέξημα καὶ βοήθημα ἀκατάλυτον τῶν τε νεῶν καὶ ἑαυτῶν· οὕτω που τῷ μεγαλοδυνάμῳ Διῒ ἀρεστὸν εἶναι ἔοικεν· . . . . οἶδα.

Ἤιδεα μὲν γὰρ, ὅτε πρόφρων Δαναοῖσιν ἄμυνεν·
Οἶδα δὲ νῦν, ὅτι τοὺς μὲν ὁμῶς μακάρεσσι θεοῖσι
Κυδάνει, ἡμέτερον δὲ μένος καὶ χεῖρας ἔδησεν.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·
Νῆας, ὅσαι πρῶται εἰρύαται ἄγχι θαλάσσης,
Ἕλκωμεν, πάσας δὲ ἐρύσσομεν εἰς ἅλα δῖαν·
Ὕψι δ' ἐπ' εὐνάων ὁρμίσσομεν, εἰσόκεν ἔλθῃ
Νὺξ ἀβρότη, ἢν καὶ τῇ ἀπόσχωνται πολέμοιο
Τρῶες, ἔπειτα δέ κεν ἐρυσαίμεθα νῆας ἁπάσας.
Οὐ γάρ τις νέμεσις φυγέειν κακὸν, οὐδ' ἀνὰ νύκτα.
Βέλτερον, ὃς φεύγων προφύγῃ κακὸν, ἠὲ ἁλώῃ.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πολύμητις Ὀδυσσεύς·
Ἀτρείδη, ποῖόν σε ἔπος φύγεν ἕρκος ὀδόντων;
Οὐλόμεν', αἴθ' ὤφελλες ἀεικελίου στρατοῦ ἄλλου
Σημαίνειν, μηδ' ἄμμιν ἀνασσέμεν· οἷσιν ἄρα Ζεὺς
Ἐκ νεότητος ἔδωκε καὶ ἐς γῆρας τολυπεύειν
Ἀργαλέους πολέμους, ὄφρα φθιόμεσθα ἕκαστος.
Οὕτω δὴ μέμονας Τρώων πόλιν εὐρυάγυιαν
Καλλείψειν, ἧς εἵνεκ' ὀϊζύομεν κακὰ πολλά;
Σίγα, μήτις τ' ἄλλος Ἀχαιῶν τοῦτον ἀκούσῃ
Μῦθον, ὃν οὔ κεν ἀνήρ γε διὰ στόμα πάμπαν ἄγοιτο,
Ὅστις ἐπίσταιτο ᾗσι φρεσὶν ἄρτια βάζειν,
Σκηπτοῦχός τ' εἴη, καί οἱ πειθοίατο λαοὶ
Τόσσοι δ', ὅσσοισιν σὺ μετ' Ἀργείοισιν ἀνάσσεις.
Νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες·
Ὃς κέλεαι πολέμοιο συνεσταότος καὶ ἀϋτῆς,
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν, ὄφρ' ἔτι μᾶλλον
Τρωσὶ μὲν εὐκτὰ γένηται, ἐπικρατέουσί περ ἔμπης·

μὲν γὰρ ὅτε προθύμως τοῖς Ἕλλησιν ἐβοήθει· ἐπίσταμαι δὲ νυνὶ, ὅτι τούτους μὲν παραπλησίως τοῖς μακαρίοις θεοῖς δοξάζει, τὴν ἡμετέραν δὲ προθυμίαν καὶ δύναμιν ἀργὴν καὶ ἄπρακτον ἐποίησεν· ἀλλ᾽ ἄγετε, ὥσπερ ἂν αὐτὸς εἴπω, ὑπακούσωμεν ἅπαντες· τὰς ναῦς, ὅσαι πρῶται εἱλκύσθησαν ἐγγὺς τῆς θαλάσσης, ἑλκύωμεν καὶ ἐπισύρωμεν, πάσας δὲ ἐμβαλοῦμεν εἰς τὴν ἐνδοξοτάτην θάλασσαν· ἐφ᾽ ὕψους δὲ ἐπὶ τῶν ἀγκύρων στηρίξομεν ἕως ἂν ἀφίκηται ἡ νὺξ ἡ ἀμβροσία καὶ θεία (ἐν ᾗ βροτὸς οὐκ ἀναστρέφεται), ἐὰν καὶ κατ᾽ αὐτὴν ἀποστῶσι τοῦ πολέμου οἱ Τρῶες, μετὰ ταῦτα δ᾽ ἂν ἑλκύσαιμεν ἁπάσας τὰς ναῦς· οὐδεμία γὰρ μέμψις ἐστὶ φυγεῖν τὸ κακὸν, οὐδὲ κατὰ τὴν νύκτα· κρεῖσσόν ἐστιν, ὅς ἂν φεύγων ἐκφύγῃ τὸ κακὸν, ἢ κρατηθείη. Πρὸς τοῦτον δὲ δεινῶς ὑποβλεψάμενος, εἶπεν ὁ πολύβουλος Ὀδυσσεύς· Ὦ υἱὲ τοῦ Ἀτρέως, ποῖος λόγος διέφυγε τὸ περίφραγμα τῶν σῶν ὀδόντων, ὀλέθρων αἴτιε; εἴθε σοι ὀφειλόμενον ἐγένετο ἑτέρου στρατοῦ εὐτελοῦς ἄρχειν, μηδὲ ἡμῶν βασιλεύειν, οἷς ἄρα ὁ Ζεὺς ἔδωκεν ἐκ νεότητος μηχρι γήρως διοικεῖν καὶ ἐργάζεσθαι πολέμους χαλεποὺς καὶ ὀδυνηροὺς, ἕως ἀναιρεθῶμεν ἅπαντες· οὕτω δὴ προθυμῇ τὴν πλατείας ὁδοὺς ἔχουσαν πόλιν τῶν Τρώων καταλείψειν, ἧς ἕνεκα πάσχομεν δεινὰ πολλά· σιώπα, μηδεὶς ἄλλος ἀπὸ τῶν Ἑλλήνων ἀκούσῃ τοῦτον τὸν λόγον, ὃν οὐκ ἂν εἴποι κατὰ τὸ στόμα ἀνὴρ, ὅστις ἂν εἰδείη κατὰ τὴν ἑαυτοῦ διάνοιαν ὑγιᾶ καὶ προσήκοντα λέγειν, καὶ βασιλεὺς ὑπάρχοι, καὶ ὑπακούοιεν αὐτῷ λαοὶ τόσοι, ὅσων σὺ ἐν τοῖς Ἕλλησι βασιλεύεις. νυνὶ δέ σοι ἐμεμψάμην παντελῶς κατὰ διάνοιαν, ὁποῖον εἶπας· ὅστις κελεύεις, πολέμου συνεστῶτος καὶ θορύβου τὰς εὐκαθέδρους ναῦς εἰς τὴν θάλασσαν ἕλκειν, ὅπως ἔτι περισσοτέρως τοῖς μὲν Τρωσὶν εὐχῆς ἄξια γένωνται, καίπερ νικῶσι καὶ πε-

Ἡμῖν δ' αἰπὺς ὄλεθρος ἐπιῤῥέπῃ· οὐ γὰρ Ἀχαιοὶ
Σχήσουσιν πόλεμον, νηῶν ἅλαδ' ἑλκομενάων·
Ἀλλὰ ἀποπταμένουσιν, ἐρωήσουσι δὲ χάρμης.
Ἔνθα κε σὴ βουλὴ δηλήσεται, ὄρχαμε λαῶν.
Τὸν δ' ἠμείβετ' ἔπειτα ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Ὦ Ὀδυσεῦ, μάλα πώς με καθίκεο θυμὸν ἐνιπῇ
Ἀργαλέῃ· ἀτὰρ οὐ μὲν ἐγὼν ἀέκοντας ἄνωγα
Νῆας ἐϋσσέλμους ἅλαδ' ἑλκέμεν υἷας Ἀχαιῶν·
Νῦν δ' εἴη, ὃς τῆσδέ γ' ἀμείνονα μῆτιν ἐνίσποι,
Ἢ νέος, ἠὲ παλαιός· ἐμοὶ δέ κεν ἀσμένῳ εἴη.
Τοῖσι δὲ καὶ μετέειπε βοὴν ἀγαθὸς Διομήδης.
Ἐγγὺς ἀνὴρ, οὐ δηθὰ μαντεύσομεν, αἴκ' ἐθέλητε
Πείθεσθαι· καὶ μήτι κότῳ ἀγάσησθε ἕκαστος,
Οὕνεκα δὴ γενεῆφι νεώτατός εἰμι μεθ' ὑμῖν.
Πατρὸς δ' ἐξ ἀγαθοῦ καὶ ἐγὼ γένος εὔχομαι εἶναι
Τυδέος, ὃν Θήβῃσι χυτὴ κατὰ γαῖα κάλυψε.
Πορθεῖ γὰρ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
Ὤικεον δ' ἐν Πλευρῶνι καὶ αἰπεινῇ Καλυδῶνι,
Ἄγριος, ἠδὲ Μέλας, τρίτατος δ' ἦν ἱππότα Οἰνεὺς,
Πατρὸς ἐμεῖο πατήρ· ἀρετῇ δ' ἦν ἔξοχος αὐτῶν.
Ἀλλ' ὁ μὲν αὐτόθι μεῖνε, πατὴρ δ' ἐμὸς Ἄργεϊ νάσθη
Πλαγχθείς· ὡς γάρ που Ζεὺς ἤθελε καὶ θεοὶ ἄλλοι.
Ἀδρήστοιο δ' ἔγημε θυγατρῶν, ναῖε δὲ δῶμα
Ἀφνειὸν βιότοιο, ἅλις δέ οἱ ἦσαν ἄρουραι
Πυροφόροι, πολλοὶ δὲ φυτῶν ἔσαν ὄρχατοι ἀμφίς·
Πολλὰ δέ οἱ πρόβατ' ἔσκε, κέκαστο δὲ πάντας Ἀχαιοὺς
Ἐγχείῃ· τὰ δὲ μέλλετ' ἀκουέμεν, ὡς ἐτεόν περ.
Τῷ οὐκ ἄν με γένος γε κακὸν καὶ ἀνάλκιδα φάντες,

ριγινομένοις, ἡμῖν δὲ μεγίστη φθορὰ ἐπιπέσῃ· οὐ γὰρ οἱ Ἕλληνες ἕξουσι πόλεμον, ἑλκομένων τῶν νεῶν εἰς τὴν θάλασσαν, ἀλλὰ φεύξονται, ἀναχωρήσουσι δὲ τῆς μάχης· τότ' ἂν ἡ σὴ βουλὴ λυμανεῖται καὶ βλάψει, ὦ ἀρχηγὲ τοῦ στρατοῦ. Πρὸς τοῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων. Ὦ Ὀδυσσεῦ, πάνυ γέ πως μου καθήψω τῆς ψυχῆς, καὶ ἐλύπησάς με τῇ ἐπιπλήξει ταύτῃ τῇ χαλεπῇ· οὐ μὴν δὲ ἐγὼ ἄκοντας καὶ μὴ βουλομένους ἐκέλευσα τὰς εὐκαθέδρους ναῦς εἰς τὴν θάλασσαν ἕλκειν τοὺς υἱοὺς τῶν Ἑλλήνων· νυνὶ δὲ ἴτω, ὃς ταύτης γε βελτίονα βουλὴν ἂν εἴποι, ἢ νέος, ἢ γέρων, ἐμοὶ δ' ἂν διὰ χαρίτων γένοιτο. Ἐν τούτοις δὲ εἶπεν ὁ κατὰ πόλεμον ἀγαθὸς Διομήδης· πλησίον ἐστὶν ὁ ἀνὴρ, οὐκ ἐπὶ πολὺ στοχασόμεθα ἐὰν βούλησθε ὑπακούειν, καὶ μή τι ὀργῇ μέμψησθε ἅπαντες, διότι ἡλικίᾳ νεώτερός εἰμι ἐν ὑμῖν, ἐξ ἀγαθοῦ δὲ πατρὸς κἀγὼ κατὰ γένος καυχῶμαι ὑπάρχειν τοῦ Τυδέως, ὃν ἐν Θήβαις γῆ κεχυμένη ἐκάλυψε· τῷ Πορθεῖ γὰρ τρεῖς υἱοὶ ἀμώμητοι ἐγεννήθησαν, κατῴκουν δὲ ἐν τῇ Πλευρῶνι καὶ τῇ ὑψηλῇ Καλυδῶνι, ὅ τε Ἄγριος, καὶ ὁ Μέλας, τρίτος δὲ ἦν ὁ ἱππικὸς Οἰνεὺς ὁ πατὴρ τοῦ ἐμοῦ πατρὸς, ἄριστος δ' ἦν ἁπάντων κατ' ἀρετὴν, ἀλλ' οὗτος μὲν αὐτόθι ἔμεινεν, ὁ ἐμὸς δὲ πατὴρ ἐν τῷ Ἄργει κατῳκίσθη ἀποπλανηθεὶς, οὕτω γὰρ ὁ Ζεὺς ἐβούλετο καὶ οἱ ἄλλοι θεοί· ἔλαβε δὲ γυναῖκα μίαν τῶν θυγατέρων τοῦ Ἀδράστου, ᾤκει δὲ οἶκον πλούσιον τῇ περιουσίᾳ, ἱκανῶς δὲ αὐτῷ ἦσαν ἄρουραι σιτοφόροι. πολλοὶ δὲ πέριξ ὄρχοι καὶ συστοιχίαι φυτῶν ἦσαν, πολλὰ δὲ αὐτῷ πρόβατα (τετράποδα) ἦσαν, ἐνίκα δὲ πάντας τοὺς Ἕλληνας τῷ δόρατι καὶ τῇ μάχῃ· ταῦτα δὲ ἐμέλλετε ἀκούειν, ὅτι ἀληθῆ ἐστι, δι' ὃ οὐκ ἂν με φαῦλον τῷ γένει καὶ ἀσθενῆ οἰηθέντες, τὸν λόγον

Μῦθον ἀτιμήσαιτε πεφασμένον, ὅν κεν εὖ εἴπω.
Δεῦτ' ἴομεν πόλεμόνδε καὶ οὐτάμενοί περ, ἀνάγκη·
Ἔνθα δ' ἔπειτ' αὐτοὶ μὲν ἐχώμεθα δηϊοτῆτος,
Ἐκ βελέων, μή πού τις ἐφ' ἕλκεϊ ἕλκος ἄρηται·
Ἄλλους δ' ὀτρυνέοντες ἐνήσομεν· οἳ τοπάρος περ,
Θυμῷ ἦρα φέροντες ἀφεστᾶσ', οὐδὲ μάχονται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο·
Βὰν δ' ἴμεν, ἦρχε δ' ἄρα σφιν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Οὐδ' ἀλαοσκοπιὴν εἶχε κλυτὸς Ἐννοσίγαιος,
Ἀλλὰ μετ' αὐτοὺς ἦλθε, παλαιῷ φωτὶ ἐοικώς·
Δεξιτερὴν δ' ἕλε χεῖρ' Ἀγαμέμνονος Ἀτρείδαο,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἀτρείδη, νῦν δή που Ἀχιλλῆος ὀλοὸν κῆρ
Γηθεῖ ἐνὶ στήθεσσι, φόνον καὶ φύζαν Ἀχαιῶν
Δερκομένου· ἐπεὶ οὔ οἱ ἔνι φρένες οὐδ' ἠβαιαί.
Ἀλλ' ὁ μὲν ὣς ἀπόλοιτο, θεὸς δέ ἑ σιφλώσειε·
Σοὶ δ' οὔπω μάλα πάγχυ θεοὶ μάκαρες κοτέουσιν.
Ἀλλ' ἔτι που Τρώων ἡγήτορες ἠδὲ μέδοντες,
Εὐρὺ κονίσσουσιν πεδίον· σὺ δ' ἐπόψεαι αὐτοὺς
Φεύγοντας προτὶ ἄστυ, νεῶν ἄπο καὶ κλισιάων.
Ὣς εἰπὼν, μέγ' ἄϋσεν, ἐπεσσύμενος πεδίοιο.
Ὅσσον τ' ἐννεάχιλοι ἐπίαχον, ἢ δεκάχιλοι
Ἀνέρες ἐν πολέμῳ, ἔριδα ξυνάγοντες Ἄρηος·
Τόσσην ἐκ στήθεσφιν ὄπα κρείων Ἐνοσίχθων
Ἧκεν· Ἀχαιοῖσιν δὲ μέγα σθένος ἔμβαλ' ἑκάστῳ
Καρδίῃ, ἄλληκτον πολεμίζειν ἠδὲ μάχεσθαι.
Ἥρη δ' εἰσεῖδε χρυσόθρονος ὀφθαλμοῖσι,
Στᾶσ', ἐξ Οὐλύμποιο ἀπὸ ῥίου· αὐτίκα δ' ἔγνω

ἐξουδενώσαιτε εἰρημένον, ὃν καλῶς εἴπω· ἄγετε πορευθῶμεν ἐπὶ τὸν πόλεμον καὶ τετρωμένοι γε ἐξ ἀνάγκης, ἐκεῖ δὲ μετὰ ταῦτα ἡμεῖς μὲν ἀπεχώμεθα τῆς μάχης, μένοντες ἔξω τῶν βελῶν, μή τίς που ἐπὶ τῷ τραύματι τραῦμα ἄλλο λάβῃ, τοὺς ἄλλους δὲ παροξύνοντες ἐμβαλοῦμεν εἰς τὸν πόλεμον, οἱ τὸ πρότερον τῇ ψυχῇ τὰ πρὸς χάριν προσάγοντες ἀφεστήκασιν, οὐδὲ πολεμοῦσιν. Οὕτως εἶπεν. οὗτοι δὲ ἄρα πάνυ δὴ ἤκουον αὐτοῦ, καὶ ἐπείθοντο, ὥρμησαν δὲ πορεύεσθαι, ἡγεῖτο δ' αὐτοῖς ὁ βασιλεὺς τοῦ λαοῦ Ἀγαμέμνων, οὐδὲ ὁ ἔνδοξος Ποσειδῶν ὁ κινῶν τὴν γῆν τύφλωσιν τῶν ὀφθαλμῶν εἶχεν· ἀλλὰ πρὸς αὐτοὺς ἦλθεν ὅμοιος ἀνδρὶ γέροντι, ἐκράτησε δὲ τὴν δεξιὰν χεῖρα Ἀγαμέμνονος τοῦ υἱοῦ τοῦ Ἀτρέως, καὶ φωνήσας εἶπε πρὸς αὐτὸν λόγους ταχεῖς οὕτως· Ὦ υἱὲ τοῦ Ἀτρέως, νῦν δή που ἡ ὀλεθρία ψυχὴ τοῦ Ἀχιλλέως χαίρει ἐν τῷ στήθει τὴν φθορὰν, καὶ τὴν φυγὴν τῶν Ἑλλήνων ὁρῶντος· ἐπειδὴ οὐκ εἰσὶν ἐν αὐτῷ φρένες, οὐδὲ μικραὶ, ἀλλ' οὗτος μὲν εἴθε ἀπόλοιτο ὡς ἐστιν ἄδοξος, θεὸς δὲ αὐτὸν ἀφανίσειε· σοὶ δὲ οὔπω παντάπασιν οἱ μακάριοι θεοὶ ὀργίζονται· ἀλλ' ἔτι που οἱ ἡγεμόνες καὶ βασιλεῖς τῶν Τρώων διελεύσονται τρέχοντες τὸ μέγα πεδίον, ἤτοι φεύξονται, σὺ δὲ θεάσῃ αὐτοὺς φεύγοντας ἐπὶ τὴν πόλιν πόρρω τῶν νεῶν καὶ τῶν σκηνῶν. Οὕτως εἰπὼν, μεγάλως ἐβόησεν ἐφορμήσας διὰ τοῦ πεδίου, ὅσον τε ἐννέα χιλιάδες ἐβόησαν, ἢ δέκα χιλιάδες ἄνδρες ἐν τῷ πολέμῳ, φιλονεικίαν συνάπτοντες μάχης· τοσαύτην ἐκ τοῦ στήθους φωνὴν ὁ βασιλεὺς Ποσειδῶν ὁ κινῶν τὴν γῆν ἀφῆκε, πᾶσι δὲ τοῖς Ἕλλησι μεγάλην ἰσχὺν ἐνέβαλεν εἰς τὴν καρδίαν, ὥστε ἀπαύστως πολεμεῖν καὶ μάχεσθαι. Ἡ Ἥρα δὲ ἡ χρυσοῦν θρόνον ἔχουσα ἐθεάσατο τοῖς ὀφθαλμοῖς στᾶσα ἐκ τοῦ Ὀλύμπου ἀπὸ τῆς ἐξοχῆς, αὐτίκα δὲ ἐθεάσατο τὸν μὲν πονοῦντα

Τὸν μὲν ποιπνύοντα μάχην ἀνὰ κυδιάνειραν,
Αὐτοκασίγνητον καὶ δαέρα, χαῖρε δὲ θυμῷ·
Ζῆνα δ' ἐπ' ἀκροτάτης κορυφῆς πολυπίδακος Ἴδης
Ἥμενον εἰσεῖδε· στυγερὸς δέ οἱ ἔπλετο θυμῷ.
Μερμήριξε δ' ἔπειτα βοῶπις πότνια Ἥρη,
Ὅππως ἐξαπάφοιτο Διὸς νόον αἰγιόχοιο.
Ἥδε δέ οἱ κατὰ θυμὸν ἀρίστη φαίνετο βουλὴ,
Ἐλθεῖν εἰς Ἴδην, εὖ ἐντύνασαν ἓ αὐτὴν,
Εἴ πως ἱμείραιτο παραδραθέειν φιλότητι
Ἧι χροιῇ, τῷ δ' ὕπνον ἀπήμονά τε λιαρόν τε
Χεύῃ ἐπὶ βλεφάροισιν ἰδὲ φρεσὶ πευκαλίμῃσι.
Βῆ δ' ἴμεν ἐς θάλαμον, τόν οἱ φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσε
Κληῖδι κρυπτῇ· τὴν δ' οὐ θεὸς ἄλλος ἀνῷγεν.
Ἔνθ' ἥγ' εἰσελθοῦσα, θύρας ἐπέθηκε φαεινάς·
Ἀμβροσίῃ μὲν πρῶτον ἀπὸ χροὸς ἱμερόεντος
Λύματα πάντα κάθηρεν, ἀλείψατο δὲ λίπ' ἐλαίῳ,
Ἀμβροσίῳ, ἑδανῷ, τό ῥά οἱ τεθυωμένον ἦεν.
Τοῦ καὶ κινυμένοιο Διὸς ποτὶ χαλκοβατὲς δῶ,
Ἔμπης ἐς γαῖάν τε καὶ οὐρανὸν ἵκετ' ἀϋτμή.
Τῷ ῥ' ἥγε χρόα καλὸν ἀλειψαμένη, ἰδὲ χαίτας
Πεξαμένη χερσὶ πλοκάμους ἔπλεξε φαεινοὺς,
Καλοὺς, ἀμβροσίους, ἐκ κράατος ἀθανάτοιο.
Ἀμφὶ δ' ἄρ' ἀμβρόσιον ἑανὸν ἕσαθ', ὅν οἱ Ἀθήνη
Ἔξυσ' ἀσκήσασα, τίθει δ' ἐνὶ δαίδαλα πολλά·
Χρυσείῃς δ' ἐνετῇσι κατὰ στῆθος περονᾶτο.
Ζώσατο δὲ ζώνην ἑκατὸν θυσάνοις ἀραρυῖαν·
Ἐν δ' ἄρα ἕρματα ἧκεν ἐϋτρήτοισι λοβοῖσι,

κατὰ τὸν πόλεμον τὸν δοξάζοντα τοὺς ἄνδρας, τὸν αὐτάδελφον, καὶ ἀνδράδελφον, ἔχαιρε δὲ ἐν τῇ ψυχῇ· τὸν Δία δὲ ἐπὶ τῆς ὑψηλοτέρας κορυφῆς τῆς πολλὰς πηγὰς ἐχούσης Ἴδης καθήμενον ἐθεάσατο, μισητὸς δὲ αὐτῇ ἦν ἐν τῇ ψυχῇ· ἐμερίμνησε δὲ μετὰ ταῦτα ἡ εὐόφθαλμος σεβαστὴ Ἥρα, ἵν' ἐξαπατήσειε τὸν νοῦν τοῦ τὴν αἰγίδα φοροῦντος Διός. αὕτη δὲ αὐτῇ κατὰ ψυχὴν ἐδόκει βελτίστη βουλὴ, ἀφικέσθαι εἰς τὴν Ἴδην καλῶς εὐτρεπίσασαν ἑαυτὴν, ἵν' ἐπιθυμήσειε παρακοιμηθῆναι συνουσίᾳ, καὶ μίξει, χρώματι καὶ κάλλει τῷ ἑαυτῆς, τούτῳ δὲ ὕπνον· ἀβλαβῆ τε καὶ θερμὸν ἐπιχέαι κατὰ τῶν ὀμμάτων, καὶ τῶν πυκνῶν καὶ συνετῶν φρενῶν. ὥρμησε δὲ πορευεσθαι εἰς τὸ δωμάτιον, ὅπερ αὐτῇ ὁ ἀγαπητὸς υἱὸς κατεσκεύασεν ὁ Ἥφαιστος, πυκνὰς δὲ καὶ στιβαρὰς θύρας ἐπήρεισε καὶ ἐπεστήριξε τοῖς παραστάσι καὶ φλοιοῖς κλειδὶ κεκρυμμένῃ, ταύτην δὲ οὐδεὶς ἄλλος θεὸς ἤνοιγεν. ἐκεῖ εἰσελθοῦσα αὐτὴ ἐπεζύγωσε καὶ ἔκλεισε τὰς λαμπρὰς θύρας, καὶ πρῶτον μὲν τῷ θείῳ ὑγρῷ ἀπὸ τοῦ ἐπιθυμητοῦ σώματος πάντα ῥύπον ἐκάθηρεν, ἤλειπται δὲ λιπαρῷ ἐλαίῳ θείῳ ἡδεῖ, ὃ δὴ ἦν αὐτῇ ἡγνισμένον· τούτου καίπερ κινουμένου εἰς τὸ δῶμα τὸ χαλκῆν βάσιν ἔχον τοῦ Διὸς, ὅμως εἰς τὴν γῆν τε καὶ τὸν οὐρανὸν ἀφίκετο ἡ εὐωδία· τούτῳ δὴ αὕτη τὸ εὐειδὲς σῶμα ἀλείψασα καὶ τὰς τρίχας διακρίνασα καὶ διαχορίσασα ταῖς χερσὶν, ἔπλεξε πλοκάμους φαιδροὺς ὡραίους, θείους ἐκ τῆς ἀθανάτου κεφαλῆς· περιεβάλετο δὲ τὸν θεῖον λαμπρὸν πέπλον, ὃν αὐτῇ ἡ Ἀθηνᾶ ἐλέανεν (ἔγναψεν) ἐργασαμένη, ἐνέθηκε δὲ κόσμους πολλοὺς, χρυσαῖς δὲ εἰσβολαῖς περονῶν κατὰ τὸ στῆθος διεπορποῦστο, ἐζώσατο δὲ ζώνην πλείστοις κροσσοῖς προσηρμοσμένην, ἐνέβαλε δὲ τοῖς καλῶς τετρημένοις ἄκροις τῶν ὠτίων ἐνώτια πολλῆς θέας ἄξια (τρίκοκκα, ἢ πολλῶν κοσμίων ἄξια) μετὰ κακοπαθείας

Τρίγληνα, μορόεντα· χάρις δ' ἀπελάμπετο πολλή.
Κρηδέμνῳ δ' ἐφύπερθε καλύψατο δῖα θεάων,
Καλῷ, νηγατέῳ· λευκὸν δ' ἦν, ἠέλιος ὥς.
Ποσσὶ δ' ὑπαὶ λιπαροῖσιν ἐδήσατο καλὰ πέδιλα.
Αὐτὰρ ἐπειδὴ πάντα περὶ χροῒ θήκατο κόσμον,
Βῆ ῥ' ἴμεν ἐκ θαλάμοιο, καλεσσαμένη δ' Ἀφροδίτην,
Τῶν ἄλλων ἀπάνευθε θεῶν, πρὸς μῦθον ἔειπεν·
Ἦ ῥά νύ μοί τι πίθοιο, φίλον τέκος, ὅ, ττι κεν εἴπω,
Ἠέ κεν ἀρνήσαιο; κοτεσσαμένη τό γε θυμῷ,
Οὕνεκ' ἐγὼ Δαναοῖσι, σὺ δὲ Τρώεσσιν ἀρήγεις.
Τὴν δ' ἠμείβετ' ἔπειτα Διὸς θυγάτηρ Ἀφροδίτη·
Ἥρη, πρέσβα θεὰ, θύγατερ μεγάλοιο Κρόνοιο,
Αὔδα ὅ, τι φρονέεις· τελέσαι δέ με θυμὸς ἀνώγει,
Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί.
Τὴν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Δὸς νῦν μοι φιλότητα καὶ ἵμερον, ᾧ τε σὺ πάντας
Δαμνᾷ ἀθανάτους, ἠδὲ θνητοὺς ἀνθρώπους·
Εἶμι γὰρ ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε θεῶν γένεσιν, καὶ μητέρα Τηθύν·
Οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐΰτρεφον ἠδ' ἀτίταλλον,
Δεξάμενοι Ῥείης, ὅτε τε Κρόνον εὐρύοπα Ζεὺς
Γαίης νέρθε καθεῖσε καὶ ἀτρυγέτοιο θαλάσσης.
Τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω·
Ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
Εὐνῆς καὶ φιλότητος, ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
Εἰ κείνω γ' ἐπέεσσι παραιπεπίθουσα φίλον κῆρ,
Εἰς εὐνὴν ἀνέσαιμι ὁμωθῆναι φιλότητι·
Αἰεὶ κέ σφί φίλη τε καὶ αἰδοίη καλεοίμην.

εἰργασμένα, τέρψις δὲ πολλὴ ἀπέλαμπε, κεφαλοδεσμίῳ δὲ ἄνωθεν ἐκαλύψατο ἡ ἐνδοξοτάτη τῶν θεῶν περικαλλεῖ, νεωστὶ γεγενημένῳ, λευκὸν δὲ ἦν καθάπερ ἥλιος, ὑπὸ τοῖς ποσὶ δὲ τοῖς εὐτραφέσιν ἐβάλετο τὰ ὡραῖα σανδάλια. ἐπειδὴ δὲ πάντα τὸν κόσμον περιέθηκε τῷ σώματι, ὥρμησε πορεύεσθαι ἐκ τοῦ δώματος, καλέσασα δὲ τὴν Ἀφροδίτην, πόρρω τῶν ἄλλων θεῶν, εἶπε πρὸς αὐτὴν λόγον· Ἆρά γέ τι πεισθείης μοι, ὦ προσφιλὲς τέκνον, καθ᾽ ὅ, τι ἂν εἴπω, ἢ απαρνήσαιο ἂν καὶ ἀνανεύσειας χολωθεῖσα τοῦτο γ᾽ ἐν τῇ ψυχῇ, ὅτι ἐγὼ μὲν τοῖς Ἕλλησι, σὺ δὲ τοῖς Τρωσὶ βοηθεῖς; Πρὸς ταύτην δὲ ἀπεκρίνατο μετὰ ταῦτα ἡ θυγάτηρ τοῦ Διὸς Ἀφροδίτη· Ὦ Ἥρα, τιμία θεὰ, θύγατερ τοῦ μεγάλου Κρόνου, λέγε ὅτι φρονεῖς καὶ νοεῖς, ἐκτελέσαι δέ με ἡ ψυχὴ κελεύει, εἴ γε δύναμαι ἐκτελέσαι, καὶ εἰ ἑτέρῳ τινὶ τετελεσμένον τυγχάνει (εἰ τελεσθησόμενόν ἐστι). Πρὸς ταύτην δὲ ἐπιβουλεύουσα εἶπεν ἡ σεβαστὴ Ἥρα· Δός μοι νῦν τὴν συνουσίαν καὶ ἐπιθυμίαν, ᾗ γε σὺ πάντας τοὺς ἀθανάτους θεοὺς καὶ τοὺς θνητούς ἀνθρώπους δαμάζεις, πορεύσομαι γὰρ θεασομένη τὰ πέρατα τῆς πολλὰ τρεφούσης γῆς, τόν τε Ὠκεανὸν τὸν αἴτιον τῆς γενέσεως τῶν θεῶν, καὶ τὴν μητέρα Γῆν, οἵ με ἐν τοῖς ἑαυτῶν οἴκοις καλῶς ἔτρεφον, καὶ ἐπεμελοῦντο ἀνατρέφοντες, παραλαβόντες ἐκ τῆς Ῥέας, ὁπηνίκα τὸν Κρόνον ὁ μεγαλόφωνος Ζεὺς ὑποκάτω τῆς γῆς ἐκάθισε, καὶ τῆς θαλάσσης τῆς ἀκαταπονήτου: τούτους ἄπειμι θεασομένη, καὶ τὰς ἀδιακρίτους φιλονεικίας αὐτοῖς διαλύσω· ἤδη γὰρ πολὺν χρόνον ἀφίστανται τῆς ἀλλήλων κοίτης καὶ συνουσίας, ἐπειδὴ ὀργὴ ἐνέπεσεν εἰς τὴν ψυχὴν αὐτῶν· εἰ ἐκείνους γε λόγοις παραπείσασα τὴν ἀγαπητὴν ψυχὴν, εἰς τὴν κοίτην ἐμβάλοιμι εἰς ταὐτὸ συνελθεῖν μίξει καὶ συνουσίᾳ, ἀεὶ ἂν αὐτοῖς ἀγαπητή τε καὶ αἰδοῦς ἀξία κα-

Τὴν δ' αὖτε προσέειπε φιλομμειδὴς Ἀφροδίτη·
Οὐκ ἔστ', οὐδὲ ἔοικε τεὸν ἔπος ἀρνήσασθαι·
Ζηνὸς γὰρ τοῦ ἀρίστου ἐν ἀγκοίνῃσιν ἰαύεις.
Ἦ, καὶ ἀπὸ στήθεσφιν ἐλύσατο κεστὸν ἱμάντα,
Ποικίλον· ἔνθα δέ οἱ θελκτήρια πάντα τέτυκτο.
Ἔνθ' ἔνι μὲν φιλότης, ἐν δ' ἵμερος, ἐν δ' ὀαριστὺς,
Πάρφασις, ἥ τ' ἔκλεψε νόον πύκα περ φρονεόντων.
Τόν ῥά οἱ ἔμβαλε χερσὶν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τῆ νῦν τοῦτον ἱμάντα, τεῷ δ' ἐγκάτθεο κόλπῳ,
Ποικίλον, ᾧ ἔνι πάντα τετεύχαται· οὐδέ σε φημὶ
Ἄπρηκτόν γε νέεσθαι, ὅ, τι φρεσὶ σῇσι μενοινᾷς.
Ὣς φάτο· γήθησε δὲ βοῶπις πότνια Ἥρη,
Μειδήσασα δ' ἔπειτα μέσῳ ἐγκάτθετο κόλπῳ.
Ἡ μὲν ἔβη πρὸς δῶμα Διὸς θυγάτηρ Ἀφροδίτη:
Ἥρη δ' ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο,
Πιερίην δ' ἐπιβᾶσα, καὶ Ἠμαθίην ἐρατεινὴν,
Σεύατ' ἐφ' ἱπποπόλων Θρῃκῶν ὄρεα νιφόεντα,
Ἀκροτάτας κορυφάς· οὐδὲ χθόνα μάρπτε ποδοῖϊν.
Ἐξ Ἀθόω δ' ἐπὶ πόντον ἐβήσατο κυμαίνοντα·
Λῆμνον δ' εἰσαφίκανε, πόλιν θείοιο Θόαντος,
Ἔνθ' Ὕπνῳ ξύμβλητο, κασιγνήτῳ Θανάτοιο,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ὕπνε, ἄναξ πάντων τε θεῶν πάντων τ' ἀνθρώπων,
Εἰ μὲν δή ποτ' ἐμεῦ ἔπος ἔκλυες, ἠδ' ἔτι καὶ νῦν
Πείθευ, ἐγὼ δέ κέ τοι εἰδέω χάριν ἤματα πάντα·
Κοίμησόν μοι Ζηνὸς ὑπ' ὀφρύσιν ὄσσε φαεινὼ,
Αὐτίκ', ἐπεί κεν ἐγὼ παραλέξομαι ἐν φιλότητι.
Δῶρα δή τοι δώσω, καλὸν θρόνον, ἄφθιτον αἰεὶ,

λοίμην. Πρὸς ταύτην δὲ εἶπεν ἡ φιλόγελως Ἀφροδίτη· Οὐκ ἔστιν, οὐδὲ προσήκει ἀπαρνήσασθαι τὸν σὸν λόγον, ἐν γὰρ ταῖς ἀγκάλαις τοῦ ἀρίστου Διὸς ὑπνώττεις. Εἶπε, καὶ ἀπὸ τοῦ στήθους ἔλυσε τὸν διακεκεντημένον ἱμάντα τὸν ποικίλον, ἐκεῖ δ' ἐν αὐτῷ πάντα τὰ ἐφηδύνοντα μετ' ἐξαπάτης κατεσκεύαστο· ἐκεῖ ἐνῆν μὲν ἡ συνουσία, ἐνῆν δὲ ἡ ἐπιθυμία, ἐνῆν δὲ ἡ παραλογιστικὴ παραίνεσις, ἥτις ἐξηπάτησε τὸν νοῦν καὶ τῶν εὖ φρονούντων καὶ συνετῶν· τοῦτον δὴ ἐνέβαλε ταῖς χερσὶν αὐτῇ, καὶ λόγον εἶπε, καὶ ἐφθέγγετο· Λάβε νῦν τοῦτον τὸν ἱμάντα, καὶ ἐγκατάθου τῷ σῷ κόλπῳ τὸν πεποικιλμένον, ἐν ᾧ πάντα κατεσκεύασται, οὐδέ σε οἴομαι ἄπρακτον ἀπαλλάξεσθαι, καθ' ὅπερ ἐν τῇ σῇ διανοίᾳ προθυμῇ. Οὕτως εἶπεν· ἐχάρη δὲ ἡ εὐόφθαλμος σεβαστὴ Ἥρα, γελάσασα δὲ ἠρέμα μετὰ ταῦτα κατέθετο αὐτὸν εἰς τὸ μέσον τοῦ κόλπου· καὶ ἡ μὲν θυγάτηρ τοῦ Διὸς Ἀφροδίτη ἐπορεύθη εἰς τὸ δῶμα, ἡ Ἥρα δὲ ὁρμήσασα κατέλιπε τὸ ἀκρωτήριον τοῦ Ὀλύμπου, εἰς τὴν Πιερίαν δὲ ἀφικομένη, καὶ τὴν ἐπέραστον Ἠμαθίαν, ὥρμησεν ἐπὶ τὰ χιονόβλητα ὄρη τῶν ἱππικῶν Θρᾳκῶν, κατὰ τὰς ἀκροτάτας κορυφὰς ἰοῦσα, οὐδὲ τῆς γῆς ἥπτετο τοῖς ποσίν· ἐκ τοῦ Ἄθω δὲ εἰς τὸν Πόντον ἐχώρησε τὸν ταραττόμενον, ἀφίκετο δὲ εἰς τὴν Λῆμνον τὴν πόλιν τοῦ θείου Θόαντος· ἐκεῖ δὲ τῷ ὕπνῳ συνήντησε τῷ ἀδελφῷ τοῦ θανάτου· ἐνέφυ δ' αὐτῷ τῇ χειρὶ καὶ ἐνεπλάκη, καὶ λόγον εἶπε, καὶ ἐξ ὀνόματος ἐκάλει· Ὦ Ὕπνε βασιλεῦ πάντων τῶν θεῶν καὶ πάντων τῶν ἀνθρώπων, ὄντως μὲν καὶ ἄλλοτε ἤκουσας τοῦ ἐμοῦ λόγου, καὶ ἔτι καὶ νῦν ὑπάκουσον, ἐγὼ δ' ἄν σοι ὀφλήσω χάριν κατὰ πάντα τὸν χρόνον· κοίμησόν μοι ὑπὸ ταῖς ὀφρύσι τοὺς φωτεινοὺς ὀφθαλμοὺς τοῦ Διὸς εὐθέως, ἐπειδὰν ἐγὼ συγκατακλιθῶ αὐτῷ ἐν ἐπιθυμίᾳ συνουσίας καὶ μίξεως· δώσω δέ σοι δῶρα, θρόνον περικαλλῆ ἄφθαρτον διὰ παντὸς χρυσοῦν,

Χρύσεον· Ἥφαιστος δέ κ' ἐμὸς πάϊς ἀμφιγυήεις
Τεύξει ἀσκήσας, ὑπὸ δὲ θρῆνυν ποσὶν ἥσει,
Τῷ κεν ἐπισχοίης λιπαροὺς πόδας εἰλαπινάζων.
Τὴν δ' ἀπαμειβόμενος προσεφώνεε νήδυμος Ὕπνος·
Ἥρη, πρέσβα θεὰ, θύγατερ μεγάλοιο Κρόνοιο,
Ἄλλον μέν κεν ἔγωγε θεῶν αἰειγενετάων
Ῥεῖα κατευνήσαιμι· καὶ ἂν ποταμοῖο ῥέεθρα
Ὠκεανοῦ, ὅσπερ γένεσις πάντεσσι τέτυκται·
Ζηνὸς δ' οὐκ ἂν ἔγωγε Κρονίονος ἆσσον ἱκοίμην,
Οὐδὲ κατευνήσαιμ', ὅτε μὴ αὐτός γε κελεύοι.
Ἤδη γάρ με καὶ ἄλλο τεὴ ἐπίνυσσεν ἐφετμὴ,
Ἤματι τῷ, ὅτ' ἐκεῖνος ὑπέρθυμος Διὸς υἱὸς
Ἔπλεεν Ἰλιόθεν, Τρώων πόλιν ἐξαλαπάξας.
Ἤτοι ἐγὼ μὲν ἔθελξα Διὸς νόον αἰγιόχοιο
Νήδυμος ἀμφιχυθείς· σὺ δέ οἱ κακὰ μήσαο θυμῷ,
Ὄρσασ' ἀργαλέων ἀνέμων ἐπὶ πόντον ἀήτας·
Καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας,
Νόσφι φίλων πάντων· ὁ δ' ἐπεγρόμενος χαλέπαινε,
Ῥιπτάζων κατὰ δῶμα θεούς· ἐμὲ δ' ἔξοχα πάντων
Ζήτει, καί κέ μ' ἄϊστον ἀπ' αἰθέρος ἔμβαλε πόντῳ,
Εἰ μὴ Νὺξ δμήτειρα θεῶν ἐσάωσε καὶ ἀνδρῶν,
Τὴν ἱκόμην φεύγων· ὁ δ' ἐπαύσατο χωόμενός περ,
Ἅζετο γὰρ, μὴ Νυκτὶ θοῇ ἀποθύμια ἔρδοι.
Νῦν αὖ τοῦτό μ' ἄνωγας ἀμήχανον ἄλλο τελέσσαι.
Τὸν δ' αὖτε προσέειπε βοῶπις πότνια Ἥρη·
Ὕπνε, τίη δὲ σὺ ταῦτα μετὰ φρεσὶ σῇσι μενοινᾷς;
Ἦ φῂς ὣς Τρώεσσιν ἀρηγέμεν εὐρύοπα Ζῆν',
Ὡς Ἡρακλῆος πέρι χώσατο, παιδὸς ἑοῖο;

Ἥφαιστος δὲ ὁ ἐμὸς υἱὸς ὁ ἀμφοτέρους τοὺς πόδας χωλοὺς ἔχων κατασκευάσει ἐπιμελῶς διμιουργήσας, ὑπὸ τοῖς ποσὶ δὲ βαλεῖ μικρὸν ὑποπόδιον, ᾧ ἂν ἐπιθείης τοὺς εὐτραφεῖς πόδας εὐωχούμενος. Πρὸς ταύτην δὲ ἀποκρινόμενος ἔλεγεν ὁ δυσέκδυτος Ὕπνος· Ὦ Ἥρα, τιμία θεὰ, θύγατερ τοῦ μεγάλου Κρόνου, ἄλλον μὲν ἂν ἔγωγε ἀπὸ τῶν θεῶν τῶν ἀεὶ ὄντων ῥαδίως κοιμήσαιμι, καὶ δὴ ἂν τὰ ῥεύματα τοῦ ποταμοῦ τοῦ Ὠκεανοῦ, ὅστις αἰτία γενέσεως πᾶσι ὑπῆρξεν, ἐγγὺς δὲ τοῦ Διὸς τοῦ υἱοῦ τοῦ Κρόνου οὐκ ἂν ἔγωγε παραγενοίμην, οὐδὲ κοιμήσαιμι, ὁπηνίκα αὐτὸς οὐκ ἐπιτάττει· ἤδη γάρ με καὶ εἰς ἄλλο ἡ σὴ ἐπαίδευσε πρόσταξις, τῇ ἡμέρᾳ ἐκείνῃ ἡνίκα ἐκεῖνος ὁ μεγαλόψυχος υἱὸς τοῦ Διὸς ἀπέπλει ἐκ τῆς Ἰλίου ἐκπορθήσας τὴν πόλιν τῶν Τρώων, ἐγὼ μὲν ἐκοίμησα τὸν νοῦν τοῦ τὴν αἰγίδα φοροῦντος Διὸς, δυσέκδυτος περιχυθεὶς, σὺ δὲ αὐτῷ χαλεπὰ ἐβουλεύσω ἐν τῇ ψυχῇ, διεγείρασα τὰς τῶν ὀδυνηρῶν ἀνέμων πνοὰς κατὰ θάλασσαν, καὶ μετὰ ταῦτα αὐτὸν εἰς τὴν καλῶς οἰκουμένην Κῶν ἀπήνεγκας, ἄνευ τῶν φίλων ἁπάντων, οὗτος δὲ ἐγερθεὶς ὠργίζετο διαῤῥίπτων καὶ συγχέων κατ' οἶκον τοὺς θεοὺς, ἐμὲ δὲ μάλιστα πάντων ἐζήτει, καί με ἀπὸ τοῦ αἰθέρος ἐμβαλὼν εἰς τὴν θάλασσαν ἀνιστόρητον ἂν ἐποίησεν, εἰ μὴ ἡ Νὺξ ἡ δαμάζουσα τοὺς θεοὺς καὶ τοὺς ἀνθρώπους ἔσωσεν. εἰς ταύτην φεύγων ἀφικόμην, ὁ δὲ ἐπαύσατο καίτοι ὀργιζόμενος· ηὐλαβεῖτο γὰρ μὴ τῇ ταχείᾳ Νυκτὶ λυπηρὰ πράξῃ. νυνὶ δ' αὖ τοῦτό με κελεύεις, ἄλλο ἄπορον ἐκπληρῶσαι. Πρὸς τοῦτον δὲ εἶπεν ἡ εὐόφθαλμος σεβαστὴ Ἥρα· Ὦ Ὕπνε, τί δὲ σὺ ταῦτα ἐν τῇ σῇ διανοίᾳ σκοπεῖς; ἢ οἴει οὕτω τοῖς Τρωσὶ βοηθεῖν τὸν μεγαλόφωνον Δία, ὥσπερ ἕνεκα τοῦ Ἡρακλέοος ὠργίσθη τοῦ ἑαυτοῦ υἱοῦ; ἀλλὰ πορεύθη-

Ἀλλ' ἴθ', ἐγὼ δέ καί τοι Χαρίτων μίαν ὁπλοτεράων
Δώσω ὀπυιέμεναι, καὶ σὴν κεκλῆσθαι ἄκοιτιν,
Ὣς φάτο· χήρατο δ' Ὕπνος, ἀμειβόμενος δὲ προσηύδα·
Ἄγρει νῦν μοι ὄμοσσον ἀάατον Στυγὸς ὕδωρ.
Χειρὶ δὲ τῇ ἑτέρῃ μὲν ἕλε χθόνα πουλυβότειραν,
Τῇ δ' ἑτέρῃ ἅλα μαρμαρέην· ἵνα νῶϊν ἅπαντες
Μάρτυροι ὦσ' οἱ ἔνερθε θεοὶ Κρόνον ἀμφὶς ἐόντες·
Ἦ μὲν ἐμοὶ δώσειν Χαρίτων μίαν ὁπλοτεράων,
Πασιθέην, ἧς τ' αὐτὸς ἐέλδομαι ἤματα πάντα.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη·
Ὤμνυε δ', ὡς ἐκέλευε, θεοὺς δ' ὀνόμηνεν ἅπαντας
Τοὺς ὑποταρταρίους, οἳ Τιτῆνες καλέονται.
Αὐτὰρ ἐπεί ῥ' ὄμοσέν τε, τελεύτησέν τε τὸν ὅρκον,
Τὼ βήτην, Λήμνου τε καὶ Ἴμβρου ἄστυ λιπόντε,
Ἠέρα ἑσσαμένω, ῥίμφα πρήσσοντε κέλευθον·
Ἴδην δ' ἱκέσθην πολυπίδακα, μητέρα θηρῶν,
Λεκτὸν, ὅθι πρῶτον λιπέτην ἅλα· τὼ δ' ἐπὶ χέρσου
Βήτην· ἀκροτάτη δὲ ποδῶν ὕπ' ἐσείετο ὕλη.
Ἔνθ' Ὕπνος μὲν ἔμεινε, πάρος Διὸς ὄσσε ἰδέσθαι,
Εἰς ἐλάτην ἀναβὰς περιμήκετον, ἣ τότ' ἐν Ἴδῃ
Μακροτάτη πεφυυῖα δι' ἠέρος αἰθέρ' ἵκανεν·
Ἔνθ' ἧστ' ὄζοισιν πεπυκασμένος εἰλατίνοισιν,
Ὄρνιθι λιγυρῇ ἐναλίγκιος, ἥν τ' ἐν ὄρεσσι
Χαλκίδα κικλήσκουσι θεοὶ, ἄνδρες δὲ κύμινδιν.
Ἥρη δὲ κραιπνῶς προσεβήσετο Γάργαρον ἄκρον
Ἴδης ὑψηλῆς· ἴδε δὲ νεφεληγερέτα Ζεύς.
Ὡς δ' ἴδεν, ὥς μιν ἔρως πυκινὰς φρένας ἀμφεκάλυψεν,
Οἷον ὅτε πρώτιστον ἐμισγέσθην φιλότητι,

σι, ἐγὼ δ' ἄν σοι μίαν τῶν νεωτέρων χαρίτων δώσω ἀναβαίνειν, καὶ σὴν γαμετὴν ὀνομάζεσθαι. Οὕτως εἶπεν. ἐχάρη δὲ ὁ ὕπνος, ἀποκρινόμενος δὲ ἔλεγε πρὸς αὐτήν· Ἄγε νῦν ὄμοσόν μοι τὸ πολυβλαβὲς (καὶ ἀβλαβὲς) ὕδωρ τῆς Στυγὸς, χειρὶ δὲ τῇ μὲν ἑτέρᾳ κράτησον τὴν πολλὰ τρέφουσαν γῆν, τῇ ἑτέρᾳ δὲ τὴν λαμπροτάτην θρεπτικὴν θάλασσαν, ἵν' ὑμῖν ἅπαντες μάρτυρες ὦσιν, οἱ κάτω περὶ τὸν Κρόνον ὄντες θεοὶ, ὄντως μὲν ἐμοὶ δώσειν μίαν τῶν νεωτέρων χαρίτων, τὴν Πασιθέαν, ἧς ἔγωγ' ἐπιθυμῶ πάντα τὸν χρόνον. Οὕτως εἶπεν. ὑπήκουσε δὲ ἡ θεὰ ἡ λευκόχειρ Ἥρα, ὤμνυ δὲ ὡς ἐκέλευσε, τοὺς θεοὺς δὲ ἅπαντας ὠνόμασε τοὺς καταχθονίους, οἳ καλοῦνται Τιτᾶνες· ἐπεὶ δὲ ὤμοσε καὶ ἐτελείωσε τὸν ὅρκον, ἀπῆλθον οὗτοι καταλιπόντες τὴν πόλιν τῆς Λήμνου τε καὶ τῆς Ἴμβρου, ἀέρα ἐνδυσάμενοι, ῥαδίως ἀνύοντες τὴν ὁδὸν, ἀφίκοντο δὲ εἰς τὴν Ἴδην τὴν πολλὰς ἐξοχὰς ἔχουσαν, τὴν μητέρα τῶν θηρίων, εἰς τὸ Λεκτὸν ἀκρωτήριον· τῆς γῆς δὲ οὗτοι ἐπέβησαν, ὅπου πρῶτον κατέλιπον τὴν θάλασσαν, πᾶσα δὲ ἡ ὑψηλὴ καὶ μεγάλη ὕλη ἐκινεῖτο ὑπὸ τῶν ποδῶν· ἐκεῖ δὴ ὁ μὲν Ὕπνος παρέμεινε πρὶν ἰδεῖν τοὺς ὀφθαλμοὺς τοῦ Διὸς, ἀναβὰς εἰς ἐλάτην ὑψηλοτάτην, ἣ τότε ἐν τῇ Ἴδῃ ὑψηλοτάτη ἀιαβλαστήσασα διὰ τοῦ ἀέρος εἰς τὸν αἰθέρα ἀφικνεῖτο· ἐκεῖ ἐκάθητο κλάδοις ἐλατίνοις περικεκαλυμμένος, ὅμοιος ὄρνιθι ᾠδικῇ, ἣν ἐν τοῖς ὄρεσι διατρίβουσαν οἱ μὲν θεοὶ καλοῦσι χαλκίδα, οἱ ἄνθρωποι δὲ κύμινδιν. Ἡ Ἥρα δὲ ταχέως ἐπορεύθη εἰς τὸ Γάργαρον ἀκρωτήριον τῆς ὑψηλῆς Ἴδης, ἐθεάσατο δὲ αὐτὴν ὁ τὰς νεφέλας ἀθροίζων Ζεύς. ἐπεὶ δὲ ἐθεάσατο, λίαν αὐτὸν ἔρως κατὰ τὴν συνετὴν διάνοιαν περιεκάλυψεν, ὥσπερ ἡνίκα τὴν ἀρχὴν συνεγίνοντο ἐπιθυμίᾳ συνουσίας εἰς τὴν κοίτην

Εἰς εὐνὴν φοιτῶντε, φίλους λήθοντε τοκῆας·
Στῆ δ' αὐτῆς προπάροιθεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Ἥρη, πῆ μεμαυῖα κατ' Οὐλύμπου τόδ' ἱκάνεις;
Ἵπποι δ' οὐ παρέασι καὶ ἅρματα, τῶν κ' ἐπιβαίης.
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Ἔρχομαι ὀψομένη πολυφόρβου πείρατα γαίης,
Ὠκεανόν τε, θεῶν γένεσιν, καὶ μητέρα Τηθύν,
Οἵ μ' ἐν σφοῖσι δόμοισιν ἐΰτρεφον ἠδ' ἀτίταλλον·
Τοὺς εἶμ' ὀψομένη, καί σφ' ἄκριτα νείκεα λύσω.
Ἤδη γὰρ δηρὸν χρόνον ἀλλήλων ἀπέχονται
Εὐνῆς καὶ φιλότητος· ἐπεὶ χόλος ἔμπεσε θυμῷ.
Ἵπποι δ' ἐν πρυμνωρείῃ πολυπίδακος Ἴδης
Ἑστᾶσ', οἵ μ' οἴσουσιν ἐπὶ τραφερήν τε καὶ ὑγρήν.
Νῦν δέ σευ εἵνεκα δεῦρο κατ' Οὐλύμπου τόδ' ἱκάνω,
Μήπως μοι μετέπειτα χολώσεαι, αἴκε σιωπῇ
Οἴχωμαι πρὸς δῶμα βαθυῤῥόου Ὠκεανοῖο.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, κεῖσε μέν ἐστι καὶ ὕστερον ὁρμηθῆναι·
Νῶϊ δ', ἄγ', ἐν φιλότητι τραπείομεν εὐνηθέντε·
Οὐ γάρ πώποτέ μ' ὧδε θεᾶς ἔρος, οὐδὲ γυναικὸς
Θυμὸν ἐνὶ στήθεσσι περιπροχυθεὶς ἐδάμασσεν,
Οὐδ' ὁπότ' ἠρασάμην Ἰξιονίης ἀλόχοιο,
Ἣ τέκε Πειρίθοον, θεόφιν μήστωρ' ἀτάλαντον·
Οὐδ' ὅτε περ Δανάης καλλισφύρου Ἀκρισιώνης.
Ἣ τέκε Περσῆα, πάντων ἀριδείκετον ἀνδρῶν·
Οὐδ' ὅτε Φοίνικος κούρης τηλεκλειτοῖο,
Ἣ τέκε μοὶ Μίνω τε καὶ ἀντίθεον Ῥαδάμανθυν·
Οὐδ' ὅτε περ Σεμέλης, οὐδ' Ἀλκμήνης ἐνὶ Θήβῃ,

πορευόμενοι, λανθάνοντες τοὺς ἀγαπητοὺς γονέας· ἔστη δὲ ἔμπροσθεν αὐτῆς, καὶ λόγον εἶπε, καὶ ἐξ ὀνόματος ἐκάλει· Ὦ Ἥρα, ποῦ προθύμως ὁρμῶσα ἐκ τοῦ οὐρανοῦ δεῦρο ἀφίκου; ἵπποι δέ σοι οὐ πάρεισι, καὶ ὀχήματα, ὧν ἐπιβαίης. Πρὸς τοῦτον δὲ ἐπιβουλεύουσα ἔλεγεν ἡ σεβαστὴ Ἥρα· πορεύομαι θεασαμένη τὰ πέρατα τῆς πολλὰ τρεφούσης γῆς, τόν τε Ὠκεανὸν τὴν αἰτίαν τῆς γενέσεως τῶν θεῶν, καὶ τὴν μητέρα γῆν, οἵ με ἐν τοῖς ἑαυτῶν οἴκοις καλῶς ἔτρεφον, καὶ ἐπεμελοῦντό μου ἀνατρέφοντες. τούτους ἄπειμι θεασομένη, καὶ τὰς ἀδιακρίτους φιλονεικίας λύσω αὐτοῖς, ἤδη γὰρ πολὺν χρόνον ἀφίστανται τῆς ἀλλήλων κοίτης καὶ συνουσίας, ἐπειδὴ ὀργὴ ἐνέπεσεν εἰς τὴν ψυχὴν αὐτῶν. οἱ ἵπποι δὲ πρὸς τῇ ῥίζῃ καὶ προβάσει τῆς πολλὰς πηγὰς ἐχούσης Ἴδης ἵστανται, οἵ με κομίσουσι κατά τε ξηρὰν καὶ ὑγρὰν, ἤτοι γῆν καὶ θάλασσαν. νυνὶ δὲ σοῦ χάριν ἐκ τοῦ οὐρανοῦ ἐνθάδε εἰς τόδε τὸ ὄρος ἀφικόμην, μή πώς μοι μετὰ ταῦτα ὀργισθῇς, ἐὰν σιγῇ ἀπέλθω εἰς τὸν οἶκον τοῦ βαθέα ῥεύματα ἔχοντος Ὠκεανοῦ. Πρὸς ταύτην δὲ ἀποκρινόμενος εἶπεν ὁ τὰς νεφέλας ἀθροίζων Ζεύς· Ὦ Ἥρα ἐκεῖσε μὲν ἔστι καὶ μετὰ ταῦτα χωρῆσαι· ἡμεῖς δὲ ἄγε τερφθῶμεν ἐν συνουσίᾳ καὶ μίξει συγκατακλιθέντες, οὐδεπώποτε γάρ με οὕτως ἔρως θεᾶς, οὐδὲ γυναικὸς περιχυθεὶς ἐδάμασε καὶ ἐνίκησε τὴν ψυχὴν ἐν τῷ στήθει, οὐδὲ ὁπηνίκα ἠράσθην τῆς γαμετῆς τοῦ Ἰξίονος, ἥτις ἔτεκε τὸν Πειρίθουν τὸν τοῖς θεοῖς ὅμοιον ἐπιστήμονα, οὐδὲ ὁπηνίκα τῆς εὐειδοῦς Δανάης τῆς θυγατρὸς τοῦ Ἀκρισίου, ἥτις ἔτεκε τὸν Περσέα τὸν ἐνδοξότατον πάντων τῶν ἀνδρῶν, οὐδὲ ὁπηνίκα τῆς τοῦ Φοίνικος θυγατρὸς τῆς πόῤῥωθεν κληθείσης, ἥτις ἔτεκέ μοι τὸν Μίνω, καὶ τὸν ἰσόθεον Ῥαδάμανθυν, οὐδὲ ὁπηνίκα τῆς Σεμέλης, οὐδὲ τῆς Ἀλκμήνης ἐν ταῖς Θη-

Ἡ ῥ' Ἡρακλῆα κρατερόφρονα γείνατο παῖδα·
Ἡ δὲ Διώνυσον Σεμέλη τέκε, χάρμα βροτοῖσιν.
Οὐδ' ὅτε Δήμητρος, καλλιπλοκάμοιο ἀνάσσης·
Οὐδ' ὁπότε Λητοῦς ἐρικυδέος, οὐδὲ σεῦ αὐτῆς·
Ὡς σέο νῦν ἔραμαι, καί με γλυκὺς ἵμερος αἱρεῖ.
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη,
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
Εἰ νῦν ἐν φιλότητι λιλαίεαι εὐνηθῆναι
Ἴδης ἐν κορυφῇσι, τὰ δὲ προπέφανται ἅπαντα·
Πῶς κ' ἔοι, εἴτις νῶϊ θεῶν αἰειγενετάων
Εὕδοντ' ἀθρήσειε, θεοῖσι δὲ πᾶσι μετελθὼν
Πεφράδοι; οὐκ ἂν ἔγωγε τεὸν πρὸς δῶμα νεοίμην,
Ἐξ εὐνῆς ἀνστᾶσα· νεμεσσητὸν δέ κεν εἴη.
Ἀλλ' εἰ δή ῥ' ἐθέλεις, καί τοι φίλον ἔπλετο θυμῷ,
Ἔστιν τοι θάλαμος, τόν τοι φίλος υἱὸς ἔτευξεν
Ἥφαιστος, πυκινὰς δὲ θύρας σταθμοῖσιν ἐπῆρσεν·
Ἔνθ' ἴομεν κείοντες, ἐπεί νύ τοι εὔαδεν εὐνή.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, μήτε θεῶν τόγε δείδιθι, μήτε τίν' ἀνδρῶν
Ὄψεσθαι· τοῖόν τοι ἐγὼ νέφος ἀμφικαλύψω,
Χρύσεον· οὐδ' ἂν νῶϊ διαδράκοι Ἠέλιός περ,
Οὗ τε καὶ ὀξύτατον πέλεται φάος εἰσοράασθαι.
Ἦ ῥα, καὶ ἀγκὰς ἔμαρπτε Κρόνου παῖς ἣν παράκοιτιν·
Τοῖσι δ' ὑπὸ Χθὼν δῖα φύεν νεοθηλέα ποίην,
Λωτόν θ' ἑρσήεντα, ἰδὲ κρόκον, ἠδ' ὑάκινθον
Πυκνὸν καὶ μαλακόν· ὃς ἀπὸ χθονὸς ὑψόσ' ἔεργε.
Τῷ ἔνι λεξάσθην, ἐπὶ δὲ νεφέλην ἕσσαντο
Καλὴν, χρυσείην· στιλπναὶ δ' ἀπέπιπτον ἔερσαι.

βαις, ἣ δὴ τὸν Ἡρακλέα ἔτεκεν υἱὸν ἰσχυρογνώμονα, ἡ δὲ Σεμέλη τὸν Διόνυσον ἔτεκε χαρὰν καὶ εὐφροσύνην τοῖς ἀνθρώποις, οὐδὲ ὁπηνίκα τῆς Δήμητρος τῆς ὡραιοκόμου βασιλίδος, οὐδὲ ὁπηνίκα τῆς ὑπερενδόξου Λητοῦς, οὐδὲ σοῦ αὐτῆς, ὥσπερ νυνὶ σοῦ γε ἐρῶ, καί με γλυκεῖα ἐπιθυμία κατακρατεῖ. Πρὸς τοῦτον δὲ ἐπιβουλεύουσα ἔλεγεν ἡ σεβαστὴ Ἥρα· Ὦ χαλεπώτατε υἱὲ τοῦ Κρόνου, τίνα δὴ τοῦτον λόγον εἶπας, εἰ νῦν ἐπιθυμεῖς ἐν συνουσίᾳ καὶ μίξει συγκατακλιθῆναι ἐν ταῖς κορυφαῖς τῆς Ἴδης, ταῦτα δὲ ἅπαντα φανερὰ καὶ ἀπερικάλυπτά εἰσι· πῶς δ' ἂν εἴη, εἴ τις ἡμᾶς ἀπὸ τῶν ἀεὶ ὄντων θεῶν συγγινομένους θεάσαιτο, πᾶσι δὲ τοῖς θεοῖς παρελθὼν ἐνδοξότατον εἴποι καὶ δηλῶσαι, οὐκ ἂν ἔγωγε εἰς τὸν σὸν οἶκον πορευθείην, ἐγερθεῖσα ἐκ τῆς κοίτης· μεμψήμοιρον γὰρ ἂν καὶ μεμπτὸν τοῦτ' εἴη· ἀλλ' εἴγε δὴ ἐθέλεις, καί σοι ἀρεστὸν ὑπάρχει ἐν τῇ ψυχῇ, ἔστι σοι κοιτὼν, ὅν σοι ὁ ἀγαπητὸς υἱὸς κατεσκεύασεν Ἥφαιστος, θύρας δὲ πυκνὰς καὶ στιβαρὰς ἐφήρμοσε τοῖς φλυοῖς καὶ παραστᾶσιν· ἐκεῖσε πορευθῶμεν κοιμηθησόμενοι, ἐπειδή σοι ἤρεσεν ἡ κοίτη. Πρὸς ταύτην δὲ ἀποκρινόμενος εἶπεν ὁ τὰς νεφέλας ἀθροίζων Ζεύς. Ὦ Ἥρα, μήτε τινὰ τῶν θεῶν, μήτε τινὰ τῶν ἀνδρῶν φοβοῦ, τοῦτό γε θεάσεσθαι· τοιοῦτόν σοι νέφος ἐγὼ περιβαλῶ χρυσοῦν, οὐδ' ἂν ὁ ἥλιος θεάσαιτο ἡμᾶς, οὗπερ καὶ τὸ φῶς λαμπρότατόν ἐστιν ἰδεῖν. Εἶπε δὴ καὶ εἰς τὰς ἀγκάλας περιέλαβεν ὁ υἱὸς τοῦ Κρόνου τὴν ἑαυτοῦ γαμετήν. τούτοις δὲ ἡ ἐνδοξοτάτη γῆ ὑπεβλάστησε βοτάνην νέον ἀκμάζουσαν λωτόν τε δροσερὸν, καὶ κρόκον, καὶ ὑάκυνθον συνεχῆ καὶ μαλακὸν, ὃς ἀπὸ γῆς ὑψούμενος περιέκλειεν· ἐν τούτῳ κατεκλίθησαν, νεφέλην δὲ περιεβάλοντο ἄνωθεν (νεφέλῃ δ' ἄνωθεν ἐκαλύφθησαν) ὡραίαν χρυσῆν, λαμπραὶ δὲ δρόσοι κατεφέροντο. Οὕτως αὐτὸς μὲν

Ὣς ὁ μὲν ἀτρέμας εὗδε πατὴρ ἀνὰ Γαργάρῳ ἄκρῳ,
Ὕπνῳ καὶ φιλότητι δαμείς· ἔχε δ' ἀγκὰς ἄκοιτιν.
Βῆ δὲ θέειν ἐπὶ νῆας Ἀχαιῶν νήδυμος Ὕπνος,
Ἀγγελίην ἐρέων γαιηόχῳ Ἐννοσιγαίῳ·
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Πρόφρων νῦν Δαναοῖσι, Ποσείδαον, ἐπάμυναι,
Καί σφιν κῦδος ὄπαζε, μίνυνθά περ, ὄφρ' ἔτι εὕδει
Ζεύς· ἐπεὶ αὐτῷ ἐγὼ μαλακὸν περὶ κῶμα κάλυψα·
Ἥρη δ' ἐν φιλότητι παρήπαφεν εὐνηθῆναι.
Ὣς εἰπὼν, ὁ μὲν ᾤχετ' ἐπὶ κλυτὰ φῦλ' ἀνθρώπων·
Τὸν δ' ἔτι μᾶλλον ἀνῆκεν ἀμυνέμεναι Δαναοῖσιν.
Αὐτίκα δ' ἐν πρώτοισι μέγα προθορὼν ἐκέλευσεν·
Ἀργεῖοι, καὶ δ' αὖτε μεθίεμεν Ἕκτορι νίκην
Πριαμίδῃ, ἵνα νῆας ἕλῃ, καὶ κῦδος ἄρηται;
Ἀλλ' ὁ μὲν οὕτω φησὶ, καὶ εὔχεται, οὕνεκ' Ἀχιλλεὺς
Νηυσὶν ἐπὶ γλαφυρῇσι μένει κεχολωμένος ἦτορ·
Κείνου δ' οὔτι λίην ποθὴ ἔσσεται, εἴ κεν οἱ ἄλλοι
Ἡμεῖς ὀτρυνώμεθ' ἀμυνέμεν ἀλλήλοισιν.
Ἀλλ' ἄγεθ', ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
Ἀσπίδας, ὅσσαι ἄρισται ἐνὶ στρατῷ ἠδὲ μέγισται,
Ἑσσάμενοι, κεφαλὰς δὲ παναίθησιν κορύθεσσι
Κρύψαντες, χερσίν τε τὰ μακρότατ' ἔγχε' ἑλόντες,
Ἴομεν· αὐτὰρ ἐγὼν ἡγήσομαι, οὐδέ τι φημὶ
Ἕκτορα Πριαμίδην μενέειν, μάλα περ μεμαῶτα.
Ὃς δέ κ' ἀνὴρ μενέχαρμος, ἔχει δ' ὀλίγον σάκος ὤμῳ
Χείρονι φωτὶ δότω, ὁ δ' ἐν ἀσπίδι μείζονι δύτω.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Τοὺς δ' αὐτοὶ βασιλῆες ἐκόσμεον, οὐτάμενοί περ,

ἡσύχως ὑπνώττειν ὁ πατὴρ ἐπὶ τῷ Γαργάρῳ ἀκρωτηρίῳ, ὕπνῳ καὶ ἐπιθυμίᾳ μίξεως νικηθεὶς, εἶχε δὲ ἐν ταῖς ἀγκάλαις τὴν γαμετήν. ὁ δὲ δυσέκδυτος ὕπνος ὥρμησε τρέχειν εἰς τὰς ναῦς τῶν Ἑλλήνων, ἀγγελίαν μηνύσων, τῷ τὴν γῆν συνέχοντι· πλησίον δὲ στὰς λόγους ταχεῖς ἔλεγε πρὸς αὐτὸν προθύμως· Πρόθυμος νῦν, ὦ Πόσειδον, τοῖς Ἕλλησι, βοήθησον, καὶ δόξαν αὐτοῖς παρεχε εἰ καὶ ἐπ' ὀλίγον, ἐν ὅσῳ ἔτι ὑπνώττει ὁ Ζεὺς, ἐπειδὴ αὐτῷ ἐγὼ μαλακὸν ὕπνον περιέβαλον· ἡ Ἥρα δὲ ἐξηπάτησεν αὐτὸν ἐν ἐπιθυμίᾳ μίξεως συγκατακλιθῆναι. Οὕτως εἰπὼν, αὐτὸς ἐπορεύθη πρὸς τὰ ἔνδοξα γένη τῶν ἀνθρώπων, τοῦτον δὲ ἔτι μᾶλλον ἀνέπεισε καὶ παρώρμησε βοηθεῖν τοῖς Ἕλλησιν· εὐθέως δὲ ἐν πρώτοις μεγάλως προπηδήσας, εἶπεν· Ὦ Ἕλληνες, καὶ πάλιν καταλιμπάνομεν νίκην τῷ Ἕκτορι τῷ υἱῷ τοῦ Πριάμου, ὅπως τὰς ναῦς παραλάβῃ καὶ δόξαν κομίσηται. ἀλλ' οὗτος μὲν οὕτως οἴεται καὶ καυχᾶται, διότι Ἀχιλλεὺς μένει παρὰ ταῖς κοίλαις ναυσὶ κατὰ ψυχὴν ὀργισθεὶς, ἐκείνου δὲ οὐδαμῶς πόθος καὶ ζήτησις ἔσται, ἐὰν ἡμεῖς οἱ ἄλλοι διεγειρώμεθα βοηθεῖν ἀλλήλοις. ἀλλ' ἄγετε ὥσπερ ἂν αὐτὸς εἴπω ὑπακούωμεν ἅπαντες· τὰς ἀσπίδας ὅσαι βέλτισται ἐν τῷ στρατῷ καὶ μέγισταί εἰσιν, ἐνδυσάμενοι, τὰς κεφαλὰς δὲ ταῖς λαμπροτάταις περικεφαλαίαις καλύψαντες, ταῖς χερσὶ δὲ τὰ μακρὰ δόρατα λαβόντες πορευθῶμεν· ἐγὼ δὲ προηγήσομαι, οὐδέ τι οἴομαι Ἕκτορα τὸν υἱὸν τοῦ Πριάμου παραμενεῖν, καίπερ πάνυ προθύμως ὁρμῶντα· ὃς δ' ἂν ἀνὴρ πολεμικὸς καὶ ἀνδρεῖος ἔχῃ μικρὰν ἀσπίδα εἰς τὸν ὦμον, δότω αὐτὴν ἀνδρὶ ὑποδεεστέρῳ, οὗτος δὲ ἐν ἀσπίδι μείζονι δύτω. Οὕτως εἶπεν· οὗτοι δὲ πάνυ δὴ ἤκουον αὐτοῦ καὶ ἐπείθοντο. τούτους δὲ οἱ βασιλεῖς αὐτοὶ διέταττον, καί τοι τετρωμένοι,

Τυδείδης, Ὀδυσεύς τε, καὶ Ἀτρείδης Ἀγαμέμνων·
Οἰχόμενοι δ' ἐπὶ πάντας, ἀρήϊα τεύχἐ ἄμειβον·
Ἐσθλὰ μὲν ἐσθλὸς ἔδυνε, χέρεια δὲ χείρονι δόσκον.
Αὐτὰρ ἐπεί ῥ' ἕσσαντο περὶ χροῒ νώροπα χαλκὸν,
Βάν ῥ' ἴμεν. ἦρχε δ' ἄρα σφι Ποσειδάων ἐνοσίχθων,
Δεινὸν ἄορ τανύηκες ἔχων ἐν χειρὶ παχείῃ,
Εἴκελον ἀστεροπῇ· τῷ δ' οὐ θέμις ἐστὶ μιγῆναι
Ἐν δαῒ λευγαλέῃ, ἀλλὰ δέος ἰσχάνει ἄνδρας.
Τρῶας δ' αὖθ' ἑτέρωθεν ἐκόσμεε φαίδιμος Ἕκτωρ.
Δή ῥα τότ' αἰνοτάτην ἔριδα πτολέμοιο τάνυσσαν
Κυανοχαῖτα Ποσειδάων, καὶ φαίδιμος Ἕκτωρ·
Ἤτοι ὁ μὲν Τρώεσσιν, ὁ δ' Ἀργείοισιν ἀρήγων.
Ἐκλύσθη δὲ θάλασσα ποτὶ κλισίας τε νέας τε
Ἀργείων· οἱ δὲ ξύνισαν μεγάλῳ ἀλαλητῷ.
Οὔτε θαλάσσης κῦμα τόσον βοάα προτὶ χέρσον,
Ποντόθεν ὀρνύμενον πνοιῇ Βορέω ἀλεγεινῇ·
Οὔτε πυρὸς τόσσος γε ποτὶ βρόμος αἰθομένοιο,
Οὔρεος ἐν βήσσῃς, ὅτε τ' ὤρετο καιέμεν ὕλην·
Οὔτ' ἄνεμος τόσσον γε ποτὶ δρυσὶν ὑψικόμοισιν
Ἠπύει, ὅστε μάλιστα μέγα βρέμεται χαλεπαίνων·
Ὅσση ἄρα Τρώων καὶ Ἀχαιῶν ἔπλετο φωνὴ,
Δεινὸν ἀϋσάντων, ὅτ' ἐπ' ἀλλήλοισιν ὄρουσαν.
Αἴαντος δὲ πρῶτος ἀκόντισε φαίδιμος Ἕκτωρ
Ἔγχει, ἐπεὶ τέτραπτο πρὸς ἰθύ οἱ, οὐδ' ἀφάμαρτε·
Τῇ ῥα δύω τελαμῶνε περὶ στήθεσσι τετάσθην,
Ἤτοι ὁ μὲν σάκεος, ὁ δὲ φασγάνου ἀργυροήλου·
Τώ οἱ ῥυσάσθην τέρενα χρόα· χώσατο δ' Ἕκτωρ,
Ὅττι δή οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός·

ὅ τε υἱὸς τοῦ Τυδέως, καὶ Ὀδυσσεὺς, καὶ Ἀγαμέμνων ὁ υἱὸς τοῦ Ἀτρέως. πορευόμενοι δὲ πρὸς ἅπαντας ἐνήλλασσον τὰ πολεμικὰ ὅπλα, τὰ μὲν κρείσσονα ἀνδρεῖος ἐνεδύετο, τὰ χείρονα δὲ τῷ ὑποδεεστέρῳ ἐδίδουν. ἐπεὶ δὲ ἐνεδύσαντο περὶ τὸ σῶμα τὸν λαμπρότατον σίδηρον, ὥρμησαν πορεύεσθαι, ἡγεῖτο δ' ἄρα αὐτοῖς Ποσειδῶν ὁ συνέχων τὴν γῆν, φοβερὸν ξίφος ἐπίμηκες κρατῶν ἐν τῇ παχείᾳ καὶ ἰσχυρᾷ χειρὶ, ὅμοιον ἀστραπῇ, τούτῳ δὲ οὐχ ὅσιόν ἐστι συμμιγῆναι ἐν τῷ ὀλεθρίῳ πολέμῳ, ἀλλὰ φόβος κατέχει τοὺς ἄνδρας. Τοὺς Τρῶας δὲ ἀφ' ἑτέρου μέρους διέταττεν ὁ λαμπρὸς Ἕκτωρ. τότε δὴ χαλεπωτάτην φιλονεικίαν πολέμου ἐξέτειναν ὅτε μελανώθριξ Ποσειδῶν, καὶ ὁ λαμπρὸς Ἕκτωρ, ὁ μὲν τοῖς Τρωσὶν, ὁ δὲ τοῖς Ἕλλησι βοηθῶν, ἐπλήμυρε δὲ ἡ θάλασσα πρὸς τὰς σκηνάς τε καὶ τὰς ναῦς τῶν Ἑλλήνων, οὗτοι δὲ συνήρχοντο καὶ συνέβαλλον σὺν θορύβῳ μεγάλῳ. οὔτε τὸ κῦμα τῆς θαλάσσης τοσοῦτον βοᾷ καὶ ἠχεῖ εἰς τὴν χέρσον ἐκ τοῦ πόντου διεγειρόμενον πνοῇ χαλεπῇ καὶ ὀδυνηρᾷ τοῦ βορέου. οὔτε πυρὸς καιομένου τοσοῦτος ἦχος ἀποτελεῖται ἐν τοῖς κοιλώμασι τοῦ ὄρους, ὁπηνίκα διανέστη καὶ ἐξῆπτο καίειν τὸν δρυμόν. οὔτε ὁ ἄνεμος τοσοῦτον περὶ τὰς ὑψηλὰς δρῦς ἠχεῖ, ὅστις μάλιστα μεγάλως βοὴν ἀποτελεῖ οἷον ὀργιζόμενος διὰ τὴν τῶν δένδρων ἀντιτυπίαν. ὅση ἄρα τῶν Ἑλλήνων ἦν ἡ βοὴ φανερῶς φωνησάντων, ὁπηνίκα κατ' ἀλλήλων ἐφώρμησαν· Πρῶτος δὲ ὁ λαμπρὸς Ἕκτωρ ἔβαλε κατὰ τοῦ Αἴαντος δόρατι, ἐπειδὴ ἐτράπη εὐθὺ αὐτοῦ. οὐδὲ ἀπέτυχεν, ὅπου δὴ οἱ δύο λῶροι περὶ τὸ στῆθος αὐτοῦ ἐξετέταντο, ὁ μὲν τῆς ἀσπίδος ὢν, ὁ δὲ τοῦ ξίφους τοῦ ἀργυροῦς ἥλους ἔχοντος. οὗτοι αὐτῷ ἐῤῥύσαντο καὶ ἐφύλαξαν τὸ ἁπαλὸν σῶμα· ὠργίσθη δὲ ὁ Ἕκτωρ, ὅτι δὴ αὐτῷ τὸ ταχὺ δόρυ ματαίως ἐξῆλθεν ἀπὸ τῆς χειρὸς, ὀπίσω δὲ εἰς τὸ πλῆ-

Ἂψ δ' ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ' ἀλεείνων.
Τὸν μὲν ἔπειτ' ἀπιόντα μέγας Τελαμώνιος Αἴας
Χερμαδίῳ, τά ῥα πολλὰ, θοάων ἔχματα νηῶν,
Πὰρ ποσὶ μαρναμένων ἐκυλίνδετο· τῶν ἓν ἀείρας,
Στῆθος βεβλήκει ὑπὲρ ἄντυγος, ἀγχόθι δειρῆς·
Στρόμβον δ' ὣς, ἔσσευε βαλὼν, περὶ δ' ἔδραμε πάντη.
Ὡς δ' ὅθ' ὑπαὶ ῥιπῆς πατρὸς Διὸς ἐξερίπῃ δρῦς
Πρόῤῥιζος, δεινὴ δὲ θεείου γίνεται ὀδμὴ
Ἐξ αὐτῆς· τὸν δ' οὔπερ ἔχει θράσος, ὅσκεν ἴδηται
Ἐγγὺς ἐὼν, χαλεπὸς δὲ Διὸς μεγάλοιο κεραυνός·
Ὣς ἔπεσ' Ἕκτορος ὦκα χαμαὶ μένος ἐν κονίῃσι·
Χειρὸς δ' ἔκβαλεν ἔγχος, ἐπ' αὐτῷ δ' ἀσπὶς ἑάφθη,
Καὶ κόρυς, ἀμφὶ δέ οἱ βράχε τεύχεα ποικίλα χαλκῷ.
Οἱ δὲ μέγα ἰάχοντες ἐπέδραμον υἷες Ἀχαιῶν,
Ἐλπόμενοι ἐρύεσθαι, ἀκόντιζον δὲ θαμειὰς
Αἰχμάς· ἀλλ' οὔτις ἐδυνήσατο ποιμένα λαῶν
Οὐτάσαι, οὐδὲ βαλεῖν· πρὶν γὰρ περίβησαν ἄριστοι,
Πουλυδάμας τε, καὶ Αἰνείας, καὶ δῖος Ἀγήνωρ,
Σαρπηδών τ' ἀρχὸς Λυκίων, καὶ Γλαῦκος ἀμύμων·
Τῶν δ' ἄλλων οὔτις εὖ ἀκήδησ', ἀλλὰ πάροιθεν
Ἀσπίδας εὐκύκλους σχέθον αὐτοῦ· τὸν δ' ἄρ' ἑταῖροι
Χερσὶν ἀείραντες φέρον ἐκ πόνου, ὄφρ' ἵκεθ' ἵππους
Ὠκέας, οἵ οἱ ὄπισθε μάχης ἠδὲ πτολέμοιο
Ἕστασαν, ἡνίοχόν τε καὶ ἅρματα ποικίλ' ἔχοντες·
Οἳ τόν γε προτὶ ἄστυ φέρον βαρέα στενάχοντα.
Ἀλλ' ὅτε δὴ πόρον ἷξον ἐϋῤῥεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς·
Ἔνθα μιν ἐξ ἵππων πέλασαν χθονὶ, καδδέ οἱ ὕδωρ

θος τῶν φίλων ἀνεχώρει φυλασσόμενος τὴν θανατηφόρον μοῖραν. τοῦτον μὲν οὖν ἀπερχόμενον Αἴας ὁ μέγας υἱὸς τοῦ Τελαμῶνος λίθῳ χειροπληθεῖ, οἳ δὴ πολλοὶ ἐρείσματα καὶ ἐπιστηρίγματα τῶν ταχειῶν νεῶν παρὰ τοῖς ποσὶ τῶν μαχομένων ἐκυλίοντο, τούτων δὴ ἕνα ἀνελόμενος καὶ ἄρας, ἔβαλε κατὰ τὸ στῆθος ὑπεράνω τῆς περιφερείας τῆς ἀσπίδος ἐγγὺς τοῦ τραχήλου, ὥσπερ δὲ βέμβηκα διεκίνησε σφοδρῶς πλήξας, περιέδραμε δὲ πανταχοῦ. ὥσπερ δὲ ὅταν ὑπὸ κεραυνοῦ τοῦ πατρὸς τοῦ Διὸς ἀνασπᾶται καὶ καταπίπτῃ δρῦς σὺν αὐταῖς ταῖς ῥίζαις, βαρεῖα δὲ τοῦ θείου ὀσμὴ γίνεται ἐξ αὐτῆς, τούτῳ δὲ οὐ πρόσεστι τόλμη, ὃς ἂν θεάσηται παραγενόμενος, δεινὸς δὲ καὶ βαρύς ἐστιν ὁ τοῦ μεγάλου Διὸς κεραυνός. οὕτω κατέπεσε ταχέως εἰς τὴν κόνιν ἡ ἰσχὺς τοῦ Ἕκτορος, ἤτοι ὁ Ἕκτωρ, ἔῤῥιψε δὲ ἀπὸ τῆς χειρὸς τὸ δόρυ, ἐπ' αὐτῷ δὲ τῷ δόρατι ἐπισυνήφθη καὶ ἐπηκολούθησεν ἡ ἀσπὶς, καὶ ἡ περικεφαλαία, περὶ αὐτὸν δὲ ἤχησαν τὰ ποικίλως εἰργασμένα σιδήρῳ ὅπλα. οἱ υἱοὶ δὲ τῶν Ἑλλήνων μεγάλως βοῶντες ἐφώρμησαν, ἐλπίζοντες ἑλκύσειν αὐτὸν, ἔβαλλον δὲ πυκνῶς δόρατα, ἀλλ' οὐδεὶς ἐδυνήθη τὸν βασιλέα τοῦ στρατοῦ τρῶσαι, οὐδὲ πόῤῥωθεν πλῆξαι, πρότερον γὰρ περὶ αὐτὸν ἔστησαν οἱ κράτιστοι ὅ τε Πολυδάμας, καὶ ὁ Αἰνείας, καὶ ὁ ἐνδοξότατος Ἀγήνωρ, καὶ Σαρπηδὼν ὁ ἡγεμὼν τῶν Λυκίων, καὶ Γλαῦκος ὁ ἀμώμητος· τῶν ἄλλων δὲ οὐδεὶς αὐτοῦ ἠμέλησεν, ἀλλὰ ἔμπροσθεν αὐτοῦ εἶχον τὰς εὐπεριφερεῖς ἀσπίδας· τοῦτον δὲ οἱ φίλοι ἅπαντες ταῖς χερσὶν ἔφερον ἔξω τῆς μάχης, ἕως ἀφίκετο εἰς τοὺς ἵππους τοὺς ταχεῖς, οἵτινες αὐτῷ ὄπισθεν τῆς μάχης καὶ τοῦ πολέμου ἵσταντο, τόν τε ἡνίοχον ἔχοντες καὶ ποικίλως κατεσκευασμένα ὀχήματα, οἳ τοῦτον εἰς τὴν πόλιν ἐκόμιζον βαρέως στενάζοντα· ἀλλ' ὁπηνίκα δὴ ἀφίκοντο εἰς τὸν πόρον τοῦ πλατέος ποταμοῦ τοῦ συστροφὰς ποιοῦντος Ξάνθου, ὃν ὁ ἀθάνατος Ζεὺς ἐγέννησεν, ἐκεῖ αὐτὸν ἐκ τῶν ἵππων ἔθηκαν κα-

Χεῦαν· ὁ δ' ἀμπνύνθη, καὶ ἀνέδρακεν ὀφθαλμοῖσιν·
Ἑζόμενος δ' ἐπὶ γοῦνα, κελαινεφὲς αἷμ' ἀπέμεσσεν·
Αὖτις δ' ἐξοπίσω πλῆτο χθονὶ, καδδέ οἱ ὄσσε
Νὺξ ἐκάλυψε μέλαινα· βέλος δ' ἔτι θυμὸν ἐδάμνα.
Ἀργεῖοι δ' οὖν ὡς ἴδον Ἕκτορα νόσφι κιόντα,
Μᾶλλον ἐπὶ Τρώεσσι θόρον, μνήσαντο δὲ χάρμης.
Ἔνθα πολὺ πρώτιστος Ὀϊλῆος ταχὺς Αἴας
Σάτνιον οὔτασε, δουρὶ μετάλμενος ὀξυόεντι,
Ἠνοπίδην, ὃν ἄρα νύμφη τέκε Νηῒς ἀμύμων
Ἤνοπι βουκολέοντι παρ' ὄχθας Σατνιόεντος.
Τὸν μὲν Ὀϊλιάδης δουρικλυτὸς, ἐγγύθεν ἐλθὼν,
Οὔτασε καλλαπάρην· ὁ δ' ἀνετράπετ', ἀμφὶ δ' ἄρ' αὐτῷ
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
Τῷ δ' ἐπὶ Πουλυδάμας ἐγχέσπαλος ἦλθεν ἀμύντωρ
Πανθοΐδης· βάλε δὲ Προθοήνορα δεξιὸν ὦμον,
Υἱὸν Ἀρηϊλύκοιο· δι' ὤμου δ' ὄβριμον ἔγχος
Ἔσχεν, ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ·
Πουλυδάμας δ' ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας·
Οὐ μὰν αὖτ' οἴω μεγαθύμου Πανθοΐδαο
Χειρὸς ἀπὸ στιβαρῆς ἅλιον πηδῆσαι ἄκοντα,
Ἀλλά τις Ἀργείων κόμισε χροΐ· καί μιν οἴω
Αὐτῷ σκηπτόμενον κατίμεν δόμον Ἄϊδος εἴσω.
Ὣς ἔφατ'· Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο·
Αἴαντι δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινε
Τῷ Τελαμωνιάδῃ· τοῦ γὰρ πέσεν ἄγχι μάλιστα.
Καρπαλίμως δ' ἀπιόντος ἀκόντισε δουρὶ φαεινῷ.
Πουλυδάμας δ' αὐτὸς μὲν ἀλεύατο κῆρα μέλαιναν,
Λικριφὶς ἀΐξας· κόμισεν δ' Ἀντήνορος υἱὸς

τὰ γῆς, ὕδωρ δὲ αὐτῷ κατέχεαν, ὁ δὲ ἀνεκτήσατο τὸ πνεῦμα, καὶ ἀνέβλεψε τοῖς ὀφθαλμοῖς, καθεζόμενος δὲ ἐπὶ τὰ γόνατα αἷμα μέλαν ἐξέμεσε, πάλιν δὲ εἰς τοὐπίσω προσηνέχθη τῇ γῇ, νὺξ δὲ τοὺς ὀφθαλμοὺς αὐτοῦ περιεκάλυψε σκοτεινὴ, ἡ πληγὴ δὲ ἔτι τὴν ψυχὴν ἐδάμαζεν. Οἱ Ἕλληνες δὲ ἐπειδὴ ἐθεάσαντο τὸν Ἕκτορα μακρὰν ἀπερχόμενον, μᾶλλον κατὰ τῶν Τρώων ὥρμησαν, ἐμνήσθησαν δὲ μάχης. τότε πολλῷ πρῶτος ὁ τοῦ Οἰλέως ταχύπους Αἴας τὸν Σάτνιον ἔβαλεν, δόρατι ὀξεῖ ἐπιπηδήσας, τὸν υἱὸν τοῦ Ἤνοπος, ὃν δὴ ἡ ἄμωμος Ναῒς ἡ νύμφη ἔτεκε τῷ Ἤνοπι βόσκοντι τοὺς βοῦς παρὰ τὰς ὄχθας τοῦ Σατνιόεντος ποταμοῦ. τοῦτον μὲν οὖν ὁ κατὰ πόλεμον ἔνδοξος υἱὸς τοῦ Οἰλέως παραγενόμενος ἔτρωσε κατὰ τὸν λαγόνα, οὗτος δὲ ἀνετράπη, καὶ κατέπεσε, περὶ αὐτὸν δὲ οἱ Τρῶες καὶ οἱ Ἕλληνες συνῆγον καὶ συνῆπτον πόλεμον καὶ μάχην ἰσχυράν. τούτῳ δὲ Πολυδάμας ὁ τὸ δόρυ κινῶν ἀφίκετο τιμωρὸς καὶ βοηθὸς, ὁ υἱὸς τοῦ Πάνθου, ἔτρωσε δὲ τὸν Προθοήνορα κατὰ τὸν δεξιὸν ὦμον, τὸν υἱὸν τοῦ Ἀρηϊλύκου· διὰ τοῦ ὤμου δὲ τὸ ἰσχυρὸν δόρυ διῆλθεν· οὗτος δὲ καταπεσὼν εἰς τὴν κόνιν ἐλάβετο τῆς γῆς τῇ δρακὶ (τῷ ὀλεκράνῳ) · ὁ Πολυδάμας δὲ θαυμαστῶς ἐπεκαυχήσατο μεγάλως βοήσας· Οὐ μὴν αὖθις οἴομαι ἀπὸ τῆς ἰσχυρᾶς χειρὸς τοῦ μεγαλοψύχου υἱοῦ τοῦ Πάνθου ματαίως ἐξενεχθῆναι τὸ δόρυ, ἀλλά τις τῶν Ἑλλήνων ἐδέξατο ἐν τῷ σώματι, καὶ ὑπολαμβάνω αὐτὸν κατελθεῖν εἰς τὸν οἶκον τοῦ Ἅιδου ἐπερειδόμενον καὶ ἐπιστηριζόμενον αὐτῷ. Οὕτως εἶπε. λύπη δὲ τοῖς Ἕλλησιν ἐγένετο καυχησαμένου, μάλιστα δὲ τῷ συνετῷ Αἴαντι παρώξυνε τὴν ψυχὴν τῷ υἱῷ τοῦ Τελαμῶνος, πλησίον γὰρ τούτου μάλιστα κατέπεσε. ταχέως δὲ ἀπερχομένου ἔβαλεν δόρατι λαμπρῷ. Πολυδάμας δὲ αὐτὸς μὲν ἐξέφυγε τὸν μέλανα θάνατον, παρὰ τὸ λέχριον καὶ πλάγιον ἐκκλίνας, ἐδέξατο δὲ ὁ τοῦ Ἀντήνορος υἱὸς Ἀρχίλοχος, τούτῳ γὰρ δὴ οἱ θεοὶ ἐβουλεύ-

Ἀρχίλοχος· τῷ γάρ ῥα θεοὶ βούλευσαν ὄλεθρον·
Τόν ῥ' ἔβαλεν, κεφαλῆς τε καὶ αὐχένος ἐν συνεοχμῷ,
Νείατον ἀστράγαλον· ἀπὸ δ' ἄμφω κέρσε τένοντε.
Τοῦ δὲ πολὺ προτέρη κεφαλὴ, στόμα τε, ῥῖνές τε
Οὔδεϊ πλῆντ', ἤπερ κνῆμαι καὶ γοῦνα πεσόντος.
Αἴας δ' αὖτε γέγωνεν ἀμύμονι Πουλυδάμαντι·
Φράζεο, Πουλυδάμα, καί μοι νημερτὲς ἔνισπε·
Ἦ ῥ' οὐχ οὗτος ἀνὴρ Προθοήνορος ἀντιπεφάσθαι
Ἄξιος· οὐ μέν μοι κακὸς εἴδεται, οὐδὲ κακῶν ἔξ·
Ἀλλὰ κασίγνητος Ἀντήνορος ἱπποδάμοιο,
Ἢ πάϊς· αὐτῷ γὰρ γενεὴν ἄγχιστα ἐῴκει.
Ἦ ῥ' εὖ γινώσκων· Τρῶας δ' ἄχος ἔλλαβε θυμόν·
Ἔνθ' Ἀκάμας Πρόμαχον Βοιώτιον οὔτασε δουρὶ,
Ἀμφὶ κασιγνήτῳ βεβαώς· ὁ δ' ὕφελκε ποδοῖϊν.
Τῷ δ' Ἀκάμας ἔκπαγλον ἐπεύξατο, μακρὸν ἀΰσας,
Ἀργεῖοι ἰόμωροι, ἀπειλάων ἀκόρητοι,
Οὔ θην οἴοισίν γε πόνος τ' ἔσεται καὶ ὀϊζὺς
Ἡμῖν, ἀλλά ποθ' ὧδε κατακτανέεσθε καὶ ὔμμες.
Φράζεσθ', ὡς ὑμῖν Πρόμαχος δεδμημένος εὕδει
Ἔγχει ἐμῷ, ἵνα μή τι κασιγνήτοιό γε ποινὴ
Δηρὸν ἄτιτος ἔῃ· τῷ καί κέ τις εὔχεται ἀνὴρ
Γνωτὸν ἐνὶ μεγάροις ἄρεως ἀλκτῆρα λιπέσθαι.
Ὣς ἔφατ'· Ἀργείοισι δ' ἄχος γένετ' εὐξαμένοιο·
Πηνέλεῳ δὲ μάλιστα δαΐφρονι θυμὸν ὄρινεν·
Ὡρμήθη δ' Ἀκάμαιτος. ὁ δ' οὐχ ὑπέμεινεν ἐρωὴν
Πηνελέοιο ἄνακτος· ὁ δ' οὔτασεν Ἰλιονῆα,
Υἱὸν Φόρβαντος πολυμήλου, τόν ῥα μάλιστα
Ἑρμείας Τρώων ἐφίλει, καὶ κτῆσιν ὄπασσεν·

σαντο καὶ ἐκύρωσαν θάνατον· τοῦτον δὴ ἔτρωσεν ἐν τῷ συνδέσμῳ καὶ τῇ συναφῇ τοῦ τραχήλου καὶ τῆς κεφαλῆς κατὰ τὸν ἔσχατον σπόνδυλον, ἀπέκοψε δὲ ἄμφω τὰ νεῦρα· τούτου δὲ πολλῷ πρότερον ἡ κεφαλὴ, καὶ τὸ στόμα, καὶ αἱ ῥῖνες τῷ ἐδάφει προσηνέχθησαν, ἢ αἱ κνῆμαι καὶ τὰ γόνατα καταπεσόντος. ὁ Αἴας δὲ ἐφώνησε τῷ ἀμωμήτῳ Πολυδάμαντι· Σκόπει, ὦ Πολυδάμα, κἀμοὶ τὴν ἀλήθειαν εἰπέ· ἆρ' οὐχ οὗτος ὁ ἀνὴρ ἄξιός ἐστιν ἀνταναιρεθῆναι χάριν τοῦ Προθοήνορος; οὐδαμῶς μοι φαῦλος δοκεῖ, οὐδὲ ἐκ φαύλων γενέσθαι. ἀλλ' ἀδελφὸς τοῦ ἱππικοῦ Ἀντήνορος, ἢ υἱὸς, αὐτῷ γάρ ἐστιν ὅμοιος παντελῶς κατὰ τὸ γένος. εἶπε δὴ καλῶς ἐπιστάμενος, τοὺς Τρῶας δὲ λύπη κατέσχε κατὰ τὴν ψυχήν. τότε δὴ ὁ Ἀκάμας Πρόμαχον τὸν Βοιωτὸν ἔβαλε τῷ δόρατι περὶ τὸν ἀδελφὸν ἑστὼς, οὗτος δὲ ὑπέσυρεν αὐτὸν ἀπὸ τῶν ποδῶν. ἐπὶ τούτῳ δὲ καταπληκτικῶς ἐκαυχήσατο ὁ Ἀκάμας μεγάλως βοήσας. Ὦ Ἕλληνες πολεμικοὶ, καυχήσεων ἄπληστοι, οὐ δὴ μόνοις ἡμῖν κακοπάθεια ἔσται καὶ ταλαιπωρία, ἀλλά ποτε καὶ ὑμεῖς οὕτως ἀναιρεθήσεσθε· σκοπεῖτε, ὅπως ὑμῖν ὁ Πρόμαχος καθεύδει ἀνῃρημένος δόρατι ἐμῷ, ὅπως μὴ ἡ τοῦ ἀδελφοῦ ἀντέκτισις καὶ τιμωρία ἐπὶ πολὺ ἀτιμώρητος ὑπάρχῃ, δι' ὃ δὴ καί τις ἀνὴρ εὔχεται καταλιπεῖν ἀδελφὸν ἐν τῷ οἴκῳ βοηθὸν καὶ τιμωρὸν τοῦ ἄρεος, ἤτοι τοῦ ἐν πολέμῳ θανάτου. Οὕτως εἶπε· τοῖς Ἕλλησι δὲ λύπη ἐγένετο καυχησαμένου, μάλιστα δὲ τῷ συνετῷ Πηνελάῳ παρεκίνησε τὴν ψυχὴν, ὥρμησε δὲ κατὰ τοῦ Ἀκάμαντος, οὗτος δὲ οὐχ ὑπέμεινε τὴν ὁρμὴν Πηνελάου τοῦ βασιλέως. αὐτὸς δὲ ἔβαλεν Ἰλιονέα τὸν υἱὸν Φόρβαντος τοῦ πολλὰ θρέμματα ἔχοντος, ὃν δὴ μάλιστα τῶν ἄλλων Τρώων ὁ Ἑρμῆς ἠγάπα, καὶ πλοῦτον ἐδωρήσατο ἐκ τού-

Τῷ δ' ἄρ' ὑπὸ μήτηρ μοῦνον τέκεν Ἰλιονῆα,
Τὸν τόθ' ὑπ' ὀφρύος οὖτα κατ' ὀφθαλμοῖο θέμεθλα,
Ἐκ δ' ὦσε γλήνην· δόρυ δ' ὀφθαλμοῖο διὰ πρὸ,
Καὶ διὰ ἰνίου ἦλθεν· ὁ δ' ἕζετο χεῖρε πετάσσας
Ἄμφω· Πηνέλεως δὲ, ἐρυσσάμενος ξίφος ὀξὺ,
Αὐχένα μέσσον ἔλασσεν· ἀπήραξεν δὲ χαμᾶζε,
Αὐτῇ σὺν πήληκι κάρην, ἔτι δ' ὄβριμον ἔγχος
Ἦεν ἐν ὀφθαλμῷ· ὁ δὲ φῆ κώδειαν ἀνασχὼν,
Πέφραδέ τε Τρώεσσι, καὶ εὐχόμενος ἔπος ηὔδα·
Εἰπέμεναί μοι, Τρῶες, ἀγαυοῦ Ἰλιονῆος
Πατρὶ φίλῳ καὶ μητρὶ, γοήμεναι ἐν μεγάροισιν·
Οὐδὲ γὰρ ἡ Προμάχοιο δάμαρ Ἀλεγηνορίδαο,
Ἀνδρὶ φίλῳ ἐλθόντι γανύσσεται, ὁππότε κεν δὴ
Ἐκ Τροίης σὺν νηυσὶ νεώμεθα κοῦροι Ἀχαιῶν.
Ὣς φάτο· τοὺς δ' ἄρα πάντας ὑπὸ τρόμος ἔλλαβε γυῖα·
Πάπτηνεν δὲ ἕκαστος ὅπη φύγοι αἰπὺν ὄλεθρον.
Ἔσπετε νῦν μοι, Μοῦσαι, ὀλύμπια δώματ' ἔχουσαι,
Ὅστις δὴ πρῶτος βροτόεντ' ἀνδράγρι' Ἀχαιῶν
Ἤρατ', ἐπεί ῥ' ἔκλινε μάχην κλυτὸς Ἐννοσίγαιος.
Αἴας ῥα πρῶτος Τελαμώνιος Ὕρτιον οὖτα
Γυρτιάδην, Μυσῶν ἡγήτορα καρτεροθύμων·
Φάλκην δ' Ἀντίλοχος, καὶ Μέρμερον ἐξενάριξεν·
Μηριόνης δὲ Μόρυν τε, καὶ Ἱπποτίωνα κατέκτα·
Τεῦκρος δὲ Προθόωνά τ' ἐνήρατο, καὶ Περιφήτην·
Ἀτρείδης δ' ἄρ' ἔπειθ' Ὑπερήνορα, ποιμένα λαῶν,
Οὔτασε καλλαπάρην, διὰ δ' ἔντερα χαλκὸς ἄφυσσε
Δηώσας· ψυχὴ δὲ κατ' οὐταμένην ὠτειλὴν
Ἔσσυτ' ἐπειγομένη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.

του δὲ ἡ μήτηρ μόνον υἱὸν ἔτεκε τὸν Ἰλιονέα· τοῦτον τότε ὑποκάτω τῆς ὀφρύος εἰς τὸν ὀφθαλμὸν ἔτρωσεν (κατὰ τὰ θεμέλια τοῦ ὀφθαλμοῦ ἔβαλεν), ἔξωσε δὲ καὶ ἐξώρυξε τὴν κόρην, τὸ δόρυ δὲ εἰς τὸ πρόσω διὰ τοῦ ὀφθαλμοῦ, καὶ διὰ τοῦ ὄπισθεν τοῦ τραχήλου νεύρου διῆλθεν, οὗτος δὲ ἐκάθισεν ἐκτείνας ἄμφω τὰς χεῖρας· ὁ Πηνέλαος δὲ σπασάμενος τὴν ὀξεῖαν ῥομφαίαν ἔπληξεν αὐτὸν κατὰ τὸ μέσον τοῦ τραχήλου, ἀπέρριψε δὲ εἰς τὴν γῆν τὴν κεφαλὴν σὺν αὐτῇ τῇ περικεφαλαίᾳ, ἔτι δὲ τὸ ἰσχυρὸν δόρυ ἦν ἐν τῷ ὀφθαλμῷ αὐτοῦ· οὗτος δὲ εἶπεν, ὥσπερ κεφαλὴν Μήκωνος τῆς βοτάνης ἀνατείνας αὐτὴν ἐμπεπαρμένην τῷ δόρατι, ἔδειξέ τε τοῖς Τρωσὶ, καὶ καυχώμενος λόγον εἶπε τοιοῦτον· Εἴπατέ μοι, ὦ Τρῶες, τῷ τοῦ λαμπροῦ Ἰλιονήως ἀγαπητῷ πατρὶ καὶ τῇ μητρὶ θρηνεῖν καὶ ὀδύρεσθαι ἐν τοῖς οἴκοις, οὐδὲ γὰρ ἡ γυνὴ τοῦ Προμάχου τοῦ υἱοῦ τοῦ Ἀλεγήνορος τῷ ἀγαπητῷ ἀνδρὶ ὑποστρέψαντι συγχαρήσεται, ὁπόταν δὴ ἐκ τῆς Τροίας σὺν ταῖς ναυσὶν ἀπίωμεν οἱ υἱοὶ τῶν Ἑλλήνων. Οὕτως εἶπε· τούτους δὲ ἄρα σύμπαντας τρόμος ὑπέλαβε κατὰ τὰ μέλη, περιέβλεψε δὲ καὶ περιεσκόπησεν ἕκαστος, ὅπου διαφύγοι τὸν χαλεπὸν θάνατον. Λέγετε νῦν μοι, ὦ Μοῦσαι αἱ κατοικοῦσαι τὰ οὐράνια οἰκήματα, τίς δὴ πρῶτον ἀπὸ τῶν Ἑλλήνων σκῦλα ἡμαγμένα ἔλαβεν, ἐπειδὴ ἔτρεψε τὸν πόλεμον ὁ ἔνδοξος Ποσειδῶν ὁ σείων τὴν γῆν. ὁ Αἴας δὴ πρῶτον ὁ υἱὸς τοῦ Τελαμῶνος ἔτρωσε τὸν Ὕρτιον τὸν υἱὸν τοῦ Γυρτίου, τὸν ἡγεμόνα τῶν ἀνδρείων Μυσῶν· τὸν Φάλκην δὲ καὶ τὸν Μέρμερον Ἀντίλοχος ἀπέκτεινεν· ὁ Μηριόνης δὲ τὸν Μόρυν, καὶ τὸν Ἱπποτίωνα ἀνεῖλεν· ὁ Τεῦκρος δὲ τὸν Προθόωνα, καὶ τὸν Περιφήτην ἀπέκτεινεν. ὁ υἱὸς δὲ τοῦ Ἀτρέως μετὰ ταῦτα Ὑπερήνορα τὸν βασιλέα τῶν λαῶν ἔτρωσε κατὰ τὴν λαγόνα, τὰ ἔντερα δὲ ὁ σίδηρος ἐξέχεε διακόψας, ἡ ψυχὴ δὲ κατὰ τὴν ἐκ τῆς τρώσεως

Πλείστους δ' Αἴας εἷλεν, Ὀϊλῆος ταχὺς υἱός·
Οὐ γάρ οἵ τις ὁμοῖος ἐπισπέσθαι ποσὶν ἦεν
Ἀνδρῶν τρεσσάντων, ὅτε τε Ζεὺς ἐν φόβον ὤρσῃ.

πληγὴν ὥρμησε σπεύδουσα, τοῦτον δὲ ὁ σκότος κατ' ὀφθαλμοὺς περιεκάλυψε. Πολλοὺς δὲ ἀπέκτεινεν Αἴας ὁ τοῦ Οἰλέως ταχύπους υἱὸς, οὐ γάρ τις αὐτῷ ὅμοιος ἦν ἐπιδιῶξαι τοῖς ποσὶ, τραπέντων εἰς φυγὴν τῶν ἀνδρῶν, ὁπηνίκα ὁ Ζεὺς τροπὴν καὶ φυγὴν ἐμβάλῃ.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩιΔΙΑ Ο.

Αὐτὰρ ἐπεὶ διά τε σκόλοπας καὶ τάφρον ἔβησαν
Φεύγοντες, πολλοὶ δὲ δάμεν Δαναῶν ὑπὸ χερσὶν,
Οἱ μὲν δὴ παρ' ὄχεσφιν ἐρητύοντο μένοντες,
Χλωροὶ ὑπαὶ δείους, πεφοβημένοι. ἔγρετο δὲ Ζεὺς
Ἴδης ἐν κορυφῇσι παρὰ χρυσοθρόνου Ἥρης·
Στῆ δ' ἄρ' ἀναΐξας, ἴδε δὲ Τρῶας καὶ Ἀχαιοὺς,
Τοὺς μὲν ὀρινομένους, τοὺς δὲ κλονέοντας ὄπισθεν
Ἀργείους· μετὰ δέ σφι Ποσειδάωνα ἄνακτα.
Ἕκτορα δ' ἐν πεδίῳ ἴδε κείμενον· ἀμφὶ δ' ἑταῖροι
Εἵαθ', ὁ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι, κῆρ ἀπινύσσων,
Αἷμ' ἐμέων· ἐπεὶ οὔ μιν ἀφαυρότατος βάλ' Ἀχαιῶν.
Τὸν δὲ ἰδὼν ἐλέησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Δεινὰ δ' ὑπόδρα ἰδὼν Ἥρην πρὸς μῦθον ἔειπεν·
Ἦ μάλα δὴ κακότεχνος, ἀμήχανε, σὸς δόλος, Ἥρη,

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑΣ Ο

ΠΑΡΑΦΡΑΣΙΣ.

Ἐπεὶ δὲ τὰ ὀρθὰ ξύλα, καὶ τὴν τάφρον διέβησαν φεύγοντες, πολλοὶ δὲ ἐνηρέθησαν ὑπὸ τῶν χειρῶν τῶν Ἑλλήνων, οὗτοι μὲν δὴ κατείχοντο παρὰ τοῖς ἅρμασι παραμένοντες ὠχροὶ ὑπὸ τοῦ φόβου, ἐπτοημένοι· ἠγέρθη δὲ ὁ Ζεὺς ἐκ τοῦ ὕπνου ἐν ταῖς κορυφαῖς τῆς Ἴδης παρὰ τῆς χρυσοῦν θρόνον ἐχούσης Ἥρας, ἀνορμήσας δὲ ἔστη, ἐθεάσατο δὲ τοὺς Τρῶας καὶ τοὺς Ἕλληνας, τοὺς μὲν ταρασσομένους, τοὺς δὲ συνταράσσοντας ὄπισθεν τοὺς Ἕλληνας, ἐν αὐτοῖς δὲ Ποσειδῶνα τὸν βασιλέα· τὸν Ἕκτορα δὲ ἐθεάσατο κείμενον ἐν τῷ πεδίῳ, περὶ αὐτὸν δὲ οἱ φίλοι ἐκάθηντο, αὐτὸς δὲ χαλεπῇ κατείχετο ἀναπνοῇ παράφρων τῇ ψυχῇ καὶ ἐξεστηκὼς αἷμα ἐξεμῶν, ἐπειδὴ οὐκ ἔτρωσεν αὐτὸν ὁ ἀσθενέστατος τῶν Ἑλλήνων. τοῦτον δὲ θεασάμενος ᾤκτειρεν ὁ πατὴρ τῶν ἀνδρῶν καὶ τῶν θεῶν, χαλεπῶς δὲ ὑποβλεψάμενος πρὸς τὴν Ἥραν εἶπε λόγον· Ὄντως δὴ πάνυ ἡ κακοῦργος σὴ ἐπιβουλὴ, ὦ πανοῦργε Ἥρα, τὸν ἐνδοξότατον Ἕκτορα ἀπέπαυσε

Ἕκτορα δῖον ἔπαυσε μάχης, ἐφόβησε δὲ λαούς.
Οὐ μὰν οἶδ', εἰ αὖτε κακοῤῥαφίης ἀλεγεινῆς
Πρώτη ἐπαύρηαι, καί σε πληγῆσιν ἱμάσσω.
Ἦ οὐ μέμνῃ, ὅτε τ' ἐκρέμω ὑψόθεν, ἐκ δὲ ποδοῖϊν
Ἄκμονας ἧκα δύω, περὶ χερσὶ δὲ δεσμὸν ἴηλα
Χρύσεον, ἄῤῥηκτον; σὺ δ' ἐν αἰθέρι καὶ νεφέλῃσιν
Ἐκρέμω, ἠλάστεον δὲ θεοὶ κατὰ μακρὸν Ὄλυμπον·
Λῦσαι δ' οὐκ ἐδύναντο παρασταδόν· ὃν δὲ λάβοιμι,
Ῥίπτασκον τεταγὼν ἀπὸ βηλοῦ, ὄφρ' ἂν ἵκηται
Γῆν ὀλιγηπελέων· ἐμὲ δ' οὐδ' ὧς θυμὸς ἀνίει
Ἀζηχὴς ὀδύνη Ἡρακλῆος θείοιο,
Τὸν σὺ ξὺν Βορέῃ ἀνέμῳ πεπιθοῦσα θυέλλας,
Πέμψας ἐπ' ἀτρύγετον πόντον, κακὰ μητιόωσα,
Καί μιν ἔπειτα Κόωνδ' εὖ ναιομένην ἀπένεικας.
Τὸν μὲν ἐγὼν ἔνθεν ῥυσάμην, καὶ ἀνήγαγον αὖτις
Ἄργος ἐς ἱππόβοτον, καὶ πολλά περ ἀθλήσαντα.
Τῶν σ' αὖτις μνήσω, ἵν' ἀπολλήξῃς ἀπατάων.
Ὄφρ' εἰδῇς, ἤν τοι χραίσμῃ φιλότης τε καὶ εὐνὴ,
Ἣν ἐμίγης ἐλθοῦσα θεῶν ἄπο, καί μ' ἀπάτησας.
Ὣς φάτο· ῥίγησεν δὲ βοῶπις πότνια Ἥρη,
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
Ἴστω νῦν τόδε Γαῖα καὶ Οὐρανὸς εὐρὺς ὕπερθεν,
Καὶ τὸ κατειβόμενον Στυγὸς ὕδωρ, ὅστε μέγιστος
Ὅρκος, δεινότατός τε πέλει μακάρεσσι θεοῖσι·
Σή θ' ἱερὴ κεφαλὴ, καὶ νωΐτερον λέχος αὐτῶν
Κουρίδιον, τὸ μὲν οὐκ ἂν ἐγώ ποτε μὰψ ὀμόσαιμι·
Μὴ δι' ἐμὴν ἰότητα Ποσειδάων ἐνοσίχθων
Πημαίνει Τρῶάς τε καὶ Ἕκτορα, τοῖσι δ' ἀρήγει·

τοῦ πολέμου, ἔτρεψε δὲ εἰς φυγὴν τὸν στρατόν· οὐ μὴν οἶδα εἰ αὖθις τῆς χαλεπῆς καὶ ὀδυνηρᾶς κακοσυνθεσίας πρώτη ἀπολαύσεις, καί σε πληγαῖς μαστίξω· ἢ οὐ μέμνησαι, ὁπηνίκα ἐκρέμασω ἀπὸ τοῦ ὕψους, ἐκ δὲ τῶν ποδῶν ἄκμωνας δύο ἐξήρτησα, περὶ τὰς χεῖρας δὲ δεσμὸν ἔβαλον χρυσοῦν, στερεόν; σὺ δὲ ἐν τῷ αἰθέρι καὶ ταῖς νεφέλαις ἐκρέμασω, ἐδεινοπάθουν δὲ οἱ θεοὶ κατὰ τὸν μέγαν καὶ ὑψηλὸν Ὄλυμπον, λῦσαι δέ σε οὐκ ἐδύναντο πλησίον ἐρχόμενοι, ὃν δὲ ἐλάμβανον ἐῤῥίπτουν τινάξας ἀπὸ τοῦ οὐρανίου βαθμοῦ, ἕως ἂν ἀφίκηται εἰς τὴν γῆν ὀλίγον ἔχων τὸ εἶναι, ἐμὲ δὲ οὐδ' οὕτως ἀφίη ὁ θυμὸς ὁ σκληρὸς, τῇ λύπῃ τοῦ θείου Ἡρακλέους, ὃν σὺ σὺν τῷ Βορέᾳ ἀνέμῳ πείθουσα τὰς συστροφὰς, ἐξέπεμψας ἐπὶ τὴν ἄκαρπον θάλασσαν κακὰ καὶ δεινὰ βουλευομένη· καὶ μετὰ ταῦτα αὐτὸν εἰς τὴν καλῶς οἰκουμένην Κῶν ἀπήνεγκας. τοῦτον μὲν οὖν ἐγὼ ἐκεῖθεν ἠλευθέρωσα, καὶ ἀνήγαγον αὖθις εἰς τὸ ἱπποτρόφον Ἄργος, καίπερ πολλὰ κακοπαθήσαντα. τούτων σε πάλιν ἀναμνήσω, ὅπως παύσῃ τῶν δόλων καὶ τῶν ἀπατῶν, ἵνα ἴδῃς εἴ τοι σοι βοηθήσει ὁ ἔρως καὶ ἡ κοίτη, ᾗ συνεγένου παραγενομένη πόῤῥω τῶν θεῶν καί με ἐξηπάτησας. Οὕτως εἶπεν, ἐφοβήθη δὲ ἡ εὐόφθαλμος σεβαστὴ Ἥρα, καὶ φωνήσασα ἔλεγε πρὸς αὐτὸν λόγους ταχεῖς· Γινωσκέτω νῦν τοῦτο ἡ Γῆ, καὶ ὁ πλατὺς ἄνωθεν Οὐρανὸς, καὶ τὸ καταῤῥέον τῆς Στυγὸς ὕδωρ, ὅστις ἐστὶ μέγιστος ὅρκος, καὶ φοβερώτατος τοῖς μακαρίοις θεοῖς, καὶ ἡ σαυτοῦ θεία κεφαλὴ, καὶ ἡ ἡμέτερα αὐτῶν κοίτη ἡ ἐκ παρθενίας οὖσα, ταύτην μέν τοι οὐκ ἄν ποτε ἐγὼ ψευδῶς ὀμόσαιμι, μὴ δι' ἐμὴν βουλὴν Ποσειδῶν ὁ τὴν γῆν συνέχων βλάπτει τοὺς Τρῶας τε καὶ τὸν Ἕκτορα, τούτοις δὲ βοηθεῖ· ἀλλά που αὐτὸν ἡ ψυχὴ διεγείρει

Ἀλλά που αὐτὸν θυμὸς ἐποτρύνει καὶ ἀνώγει·
Τειρομένους δ' ἐπὶ νηυσὶν ἰδὼν ἐλέησεν Ἀχαιούς.
Αὐτάρ τοι κᾀκείνῳ ἐγὼ παραμυθησαίμην,
Τῇ ἴμεν, ᾗ κεν δὴ σὺ, Κελαινεφὲς, ἡγεμονεύοις.
Ὣς φάτο· μείδησεν δὲ πατὴρ ἀνδρῶν τε θεῶν τε,
Καί μιν ἀμειβόμενος ἔπεα πτερόεντα προσηύδα.
Εἰ μὲν δὴ σύ γ' ἔπειτα, βοῶπις πότνια Ἥρη,
Ἶσον ἐμοὶ φρονέουσα μετ' ἀθανάτοισι καθίζοις,
Τῷ κε Ποσειδάων γε, καὶ εἰ μάλα βούλεται ἄλλῃ,
Αἶψα μεταστρέψειε νόον μετὰ σὸν καὶ ἐμὸν κῆρ.
Ἀλλ' εἰ δή ῥ' ἐτεόν γε καὶ ἀτρεκέως ἀγορεύεις.
Ἔρχεο νῦν μετὰ φῦλα θεῶν, καὶ δεῦρο κάλεσσον·
Ἶρίν τ' ἐλθέμεναι, καὶ Ἀπόλλωνα κλυτότοξον,
Ὄφρ' ἡ μὲν μετὰ λαὸν Ἀχαιῶν χαλκοχιτώνων.
Ἔλθῃ, καὶ εἴπῃσι Ποσειδάωνι ἄνακτι,
Παυσάμενον πολέμοιο, τὰ ἃ πρὸς δώμαθ' ἱκέσθαι·
Ἕκτορα δ' ὀτρύνῃσι μάχην ἐς, Φοῖβος Ἀπόλλων,
Αὖτις δ' ἐμπνεύσῃσι μένος, λελάθῃ δ' ὀδυνάων,
Αἳ νῦν μιν τείρουσι κατὰ φρένας· αὐτὰρ Ἀχαιοὺς
Αὖτις ἀποστρέψῃσιν, ἀνάλκιδα φῦζαν ἐνόρσας.
Φεύγοντες δ' ἐν νηυσὶ πολυκλήϊσι πέσωσι
Πηλείδεω Ἀχιλῆος· ὁ δ' ἀνστήσει ὃν ἑταῖρον
Πάτροκλον, τὸν δὲ κτενεῖ ἔγχεϊ φαίδιμος Ἕκτωρ
Ἰλίου προπάροιθε, πολεῖς ὀλέσαντ' αἰζηοὺς
Τοὺς ἄλλους, μετὰ δ', υἱὸν ἐμὸν Σαρπηδόνα δῖον·
Τοῦ δὲ χολωσάμενος κτενεῖ Ἕκτορα δῖος Ἀχιλλεύς.
Ἐκ τοῦδ' ἄν τοι ἔπειτα παλίωξιν παρὰ νηῶν
Αἰὲν ἐγὼ τεύχοιμι διαμπερὲς, εἰσόκ' Ἀχαιοὶ

καὶ προτρέπεται, καταπονουμένους δὲ παρὰ ταῖς ναυσὶ θεασάμενος ᾤκτειρε τοὺς Ἕλληνας. ἐγὼ δέ σοι κἀκείνῳ παραινέσαιμι ἂν καὶ συμβουλεύσαιμι ἐκεῖσε ἰέναι, ὅπου δὴ σὺ, ὦ αἴτιε τῆς σκοτεινῆς πυκνώσεως τῶν νεφῶν, προηγῇ. Οὕτως εἶπεν. ἠρέμα δὲ ἐγέλασεν ὁ πατὴρ τῶν ἀνδρῶν τε καὶ τῶν θεῶν, καὶ ἀποκρινόμενος ἔλεγε πρὸς αὐτὴν λόγους ταχεῖς· Εἰ μὲν οὖν σύγε, ὦ εὐόφθαλμε σεβαστὴ Ἥρα, ὁμονοοῦσα ἐμοὶ κάθησαι ἐν τοῖς ἀθανάτοις θεοῖς, ἐκ τούτου ἂν καὶ ὁ Ποσειδῶν, καὶ εἰ πάνυ βούλεται πρὸς ἄλλοις εἶναι, ταχέως μεταθείη καὶ ἀμείψειε τὸν νοῦν πρὸς τὸ σὸν καὶ ἐμὸν βούλημα· ἀλλ' εἴγε δὴ ἀληθῶς καὶ ἀψευδῶς λέγεις, πορεύθητι νῦν πρὸς τὰ γένη τῶν θεῶν, καὶ κάλεσον δεῦρο παραγενέσθαι τήν τε Ἶριν, καὶ τὸν Ἀπόλλωνα τὸν ἔνδοξον κατὰ τὴν τοξικὴν, ὅπως ἡ μὲν εἰς τὸν στρατὸν τῶν σιδηροθωράκων Ἑλλήνων ἀφίκηται καὶ εἴπῃ Ποσειδῶνι τῷ βασιλεῖ ἀφικέσθαι εἰς τὰ ἑαυτοῦ οἰκήματα λήξαντα τῆς μάχης· τὸν Ἕκτορα δὲ παροξύνῃ εἰς τὴν μάχην Ἀπόλλων ὁ καθαρὸς, αὖθις δὲ ἐμβαλῇ αὐτῷ ἰσχὺν, ποιήσῃ δὲ ἐπιλαθέσθαι τῶν ὀδυνῶν, αἳ νῦν αὐτὸν καταπονοῦσι κατὰ διάνοιαν, τοὺς Ἕλληνας δὲ πάλιν εἰς τοὐπίσω τρέψῃ καὶ ἐπιδιώξῃ ἀσθενῆ φυγὴν ἐμβαλὼν, φεύγοντες δὲ ἐν ταῖς πολυκαθέδροις ναυσὶ συνελαθῶσιν Ἀχιλλέως τοῦ υἱοῦ τοῦ Πηλέως, οὗτος δ' ἐγείρῃ τὸν ἑαυτοῦ φίλον τὸν Πάτροκλον, τοῦτον δὲ ἀναιρήσει δόρατι ὁ λαμπρὸς Ἕκτωρ ἔμπροσθεν τοῦ Ἰλίου πολλοὺς ἀνελόντα νέους ἄλλους, ἐν αὐτοῖς δὲ καὶ τὸν ἐμὸν υἱὸν τὸν ἐνδοξότατον Σαρπηδόνα· τούτου δὲ χάριν ὀργισθεὶς ἀναιρήσει τὸν Ἕκτορα ὁ ἐνδοξότατος Ἀχιλλεύς. ἐκ τούτου δὲ τοῦ χρόνου δίωξιν ἐξ ὑποστροφῆς τῶν φευγόντων ἐκ τῶν νεῶν ἀεὶ αὐτὸς ἂν κατασκευάζοιμι δι' ὅλου, ἕως ἂν οἱ Ἕλ-

Ἴλιον αἰπὺ ἕλοιεν, Ἀθηναίης διὰ βουλάς.
Τοπρὶν δ' οὔτ' ἄρ ἐγὼ παύσω χόλον, οὔτε τίν' ἄλλων
Ἀθανάτων Δαναοῖσιν ἀμμυνέμεν ἐνθάδ' ἐάσω,
Πρίν γε τὸ Πηλείδαο τελευτηθῆναι ἐέλδωρ·
Ὡς οἱ ὑπέστην πρῶτον, ἐμῷ δ' ἐπένευσα κάρητι
Ἤματι τῷ, ὅτ' ἐμεῖο θεὰ Θέτις ἥψατο γούνων,
Λισσομένη τιμῆσαι Ἀχιλλῆα πτολίπορθον.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ λευκώλενος Ἥρη·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς μακρὸν Ὄλυμπον.
Ὡς δ' ὅτ' ἀναΐξῃ νόος ἀνέρος, ὅστ' ἐπὶ πολλὴν
Γαῖαν ἐληλουθὼς, φρεσὶ πευκαλίμῃσι νοήσῃ.
Ἔνθ' εἴην, ἢ ἔνθα, μενοινήσειέ τε πολλά·
Ὣς κραιπνῶς μεμαυῖα διέπτατο πότνια Ἥρη·
Ἵκετο δ' αἰπὺν Ὄλυμπον, ὁμηγερέεσσι δ' ἐπῆλθεν
Ἀθανάτοισι θεοῖσι Διὸς δόμῳ· οἱ δὲ ἰδόντες,
Πάντες ἀνήϊξαν, καὶ δεικανόωντο δέπασσιν.
Ἡ δ' ἄλλους μὲν ἔασσε, Θέμιστι δὲ καλλιπαρῄῳ
Δέκτο δέπας· πρώτη γὰρ ἐναντίη ἦλθε θέουσα·
Καί μιν φωνήσασ' ἔπεα πτερόεντα προσηύδα·
Ἥρη, τίπτε βέβηκας, ἀτυζομένῃ δὲ ἔοικας;
Ἦ μάλα δή σε φόβησε Κρόνου παῖς, ὅς τοι ἀκοίτης;
Τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ λευκώλενος Ἥρη·
Μή με, θεὰ Θέμι, ταῦτα διείρεο, οἶσθα καὶ αὐτὴ,
Οἷος ἐκείνου θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
Ἀλλὰ σύ γ' ἄρχε θεοῖσι δόμοις ἔνι δαιτὸς ἐΐσης.
Ταῦτα δὲ καὶ μετὰ πᾶσιν ἀκούσεαι ἀθανάτοισιν,
Οἷα Ζεὺς κακὰ ἔργα πιφαύσκεται· οὐδέ τι φημὶ
Πᾶσιν ὁμῶς θυμὸν κεχαρησέμεν, οὔτε βροτοῖσιν,

ληνες τὸ ὑψηλὸν Ἴλιον κρατήσαιεν ἐκ τῶν τῆς Ἀθηνᾶς βουλῶν· πρὸ τούτου δὲ οὔτε αὐτὸς ἀφανίσω τὴν ὀργὴν, οὔτε τινὰ ἄλλον τῶν θεῶν βοηθεῖν τοῖς Ἕλλησιν ἐνταῦθα ἀφήσω, πρὶν τελειωθῆναι τὴν ἐπιθυμίαν τοῦ υἱοῦ τοῦ Πηλέως, ὥσπερ ὑπεσχόμην αὐτῷ τὸ πρῶτον, κατένευσα δὲ τῇ ἐμῇ κεφαλῇ τῇ ἡμέρᾳ ἐκείνῃ, ὁπηνίκα ἥψατο τῶν ἐμῶν γονάτων ἡ θεὰ ἡ Θέτις, παρακαλοῦσα τιμῆσαι τὸν Ἀχιλλέα τὸν πορθοῦντα τὰς πόλεις. Οὕτως εἶπεν· ὑπήκουσε δὲ ἡ θεὰ ἡ λευκόχειρ Ἥρα, ἐπορεύθη δὲ ἐκ τῶν ὀρέων τῆς Ἴδης εἰς τὸν μέγαν καὶ ὑψηλὸν Ὄλυμπον. ὥσπερ δὲ ὅταν ὁρμήσῃ νοῦς ἀνδρὸς, ὅστις πολλὴν γῆν ἐπελθὼν ταῖς ἑαυτοῦ συνεταῖς φρεσὶν διανοήσηται, ἐνταῦθα ἦν ἢ ἐκεῖ, καὶ πολλὰ σκοπήσειεν· οὕτω ταχέως ὁρμῶσα διέπτη ἡ σεβαστὴ Ἥρα, ἀφίκετο δὲ εἰς τὸν ὑψηλὸν Ὄλυμπον, συνηθροισμένοις δὲ παρεγένετο τοῖς ἀθανάτοις θεοῖς ἐν τῷ οἴκῳ τοῦ Διός· οὗτοι δὲ θεασάμενοι αὐτὴν πάντες ἀνέστησαν, καὶ ἐδεξιοῦντο τοῖς ποτηρίοις· αὕτη δὲ τοὺς ἄλλους μὲν κατέλιπε, τῇ Θέμιστι δὲ τῇ εὐειδεῖ καὶ ὡραίᾳ ἐδέξατο τὸ ποτήριον· πρώτη γὰρ ἐναντίον παρεγένετο τρέχουσα, καὶ φωνήσασα ἔλεγε πρὸς αὐτὴν λόγους ταχεῖς· Ὦ Ἥρα, τί δήποτε ἀφίκου, τεταραγμένῃ δὲ ἔοικας; ὄντως που πάνυ δή σε εἰς φόβον καὶ φυγὴν ἐνέβαλεν ὁ υἱὸς τοῦ Κρόνου, ὅς σοι ἀνήρ ἐστι; Πρὸς ταύτην δὲ ἀπεκρίνατο μετὰ ταῦτα ἡ λευκοβραχίων Ἥρα· Ὦ θεὰ Θέμι, μή με ταῦτα ἐρώτα, ἐπίστασαι καὶ σὺ ὁποῖός ἐστιν ὁ θυμὸς ἐκείνου ὑπερήφανος καὶ σκληρὸς, καὶ ἀμείλικτος· ἀλλὰ σύ γε ἡγοῦ τοῖς θεοῖς τῆς κοινῆς εὐωχίας ἐν τοῖς οἴκοις· ταῦτα δὲ καὶ ἐν πᾶσι τοῖς ἀθανάτοις θεοῖς ἀκούσῃ ὁποῖα κακὰ ἔργα ὁ Ζεὺς ἐμφανίζει, οὐδέτι οἴομαι χαρήσεσθαι τὴν ψυχὴν πᾶσιν ὁμοίως, οὔτε τοῖς ἀνθρώποις, οὔτε τοῖς θεοῖς, εἴπερ

Οὔτε θεοῖς, εἴπερ τις ἔτι νῦν δαίνυται εὔφρων.
Ἡ μὲν ἄρ' ὣς εἰποῦσα καθέζετο πότνια Ἥρη·
Ὤχθησαν δ' ἀνὰ δῶμα Διὸς θεοί· ἡ δ' ἐγέλασσε
Χείλεσιν, οὐδὲ μέτωπον ἐπ' ὀφρύσι κυανέῃσιν
Ἰάνθη· πᾶσιν δὲ νεμεσσηθεῖσα μετηύδα·
Νήπιοι, οἳ Ζηνὶ μενεαίνομεν ἀφρονέοντες
Ἢ ἔτι μιν μέμαμεν καταπαυσέμεν, ἆσσον ἰόντες
Ἢ ἔπει, ἠὲ βίῃ· ὁ δ' ἀφήμενος οὐκ ἀλεγίζει,
Οὐδ' ὄθεται· φησὶν γὰρ ἐν ἀθανάτοισι θεοῖσι
Κάρτεΐ τε σθένεΐ τε διακριδὸν εἶναι ἄριστος.
Τῷ ἔχεθ', ὅ, ττι κεν ὔμμι κακὸν πέμπῃσιν ἑκάστῳ·
Ἤδη γὰρ νῦν ἔλπομ' Ἄρηΐ γε πῆμα τετύχθαι·
Υἱὸς γάρ οἱ ὄλωλε μάχῃ ἔνι, φίλτατος ἀνδρῶν,
Ἀσκάλαφος, τὸν φησὶν ὃν ἔμμεναι ὄβριμος Ἄρης.
Ὣς ἔφατ'· αὐτὰρ Ἄρης θαλερὼ πεπλήγετο μηρὼ
Χερσὶ καταπρηνέσσ', ὀλοφυρόμενος δὲ προσηύδα·
Μὴ νῦν μοι νεμεσήσετ', ὀλύμπια δώματ' ἔχοντες,
Τίσασθαι φόνον υἷος, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
Εἴπερ μοι καὶ μοῖρα, Διὸς πληγέντι κεραυνῷ
Κεῖσθαι, ὁμοῦ νεκύεσσι μεθ' αἵματι καὶ κονίῃσιν.
Ὣς φάτο· καί ῥ' ἵππους κέλετο Δεῖμόν τε Φόβον τε
Ζευγνύμεν'· αὐτὸς δ' ἔντε' ἐδύσετο παμφανόωντα·
Ἔνθα κέ τις μείζων τε καὶ ἀργαλεώτερος ἄλλος
Πὰρ Διὸς ἀθανάτοισι χόλος καὶ μῆνις ἐτύχθη,
Εἰ μὴ Ἀθήνη, πᾶσι περιδδείσασα θεοῖσιν,
Ὦρτο δὶ ἐκ προθύρου, λίπε δὲ θρόνον, ἔνθα θάασσε.
Τοῦ δ' ἀπὸ μὲν κεφαλῆς κόρυθ' εἵλετο, ϗ σάκος ὤμων,
Ἔγχος δ' ἔστησε στιβαρῆς ἐκ χειρὸς ἑλοῦσα

τις ἔτι νυνὶ εὐωχεῖται μετ' εὐφροσύνης. Ἡ μὲν οὖν σεβαστὴ Ἥρα οὕτως εἰποῦσα ἐκάθισεν, ἠχθέσθησαν δὲ οἱ θεοὶ κατὰ τὸ οἴκημα τοῦ Διὸς, αὕτη δὲ ἐγέλασε τοῖς χείλεσιν, οὐδὲ τὸ μέτωπον ἐπὶ ταῖς μελαίναις ὀφρύσιν ἐκινήθη καὶ διεχύθη, πᾶσι δὲ μεμψαμένη εἶπεν ἐν αὐτοῖς· Μωροὶ καὶ ἀνόητοι, οἳ τῷ Διῒ ὀργιζόμεθα ἀνοηταίνοντες, ἢ ἔτι προθυμούμεθα καταπαύσειν αὐτὸν παραγενόμενοι ἢ λόγῳ, ἢ ἰσχύϊ, οὗτος δὲ πόῤῥω καθήμενος οὐ φροντίζει, οὐδὲ ἐπιστρέφεται, οἴεται γὰρ ἐν τοῖς ἀθανάτοις θεοῖς ἐπικρατείᾳ τε καὶ ἰσχύϊ ἐξόχως ὑπάρχειν ἄριστος, δι' ὃ ὑπομένετε ὅ,τι ἂν δεινὸν ἑκάστῳ ὑμῶν ἐπιπέμπῃ· ἤδη γὰρ νυνὶ νομίζω βλάβος γεγονέναι τῷ Ἄρει, ὁ υἱὸς γὰρ αὐτῷ τέθνηκεν ἐν τῷ πολέμῳ ὁ φίλτατος τῶν ἀνδρῶν Ἀσκάλαφος, ὅν φησιν ἑαυτοῦ εἶναι ὁ ἰσχυρὸς Ἄρης. Οὕτως εἶπεν· ὁ Ἄρης δὲ ἔπληξε τοὺς θαλεροὺς καὶ ἀκμάζοντας μηροὺς χερσὶ κατωφέρεσιν, ὀδυρόμενος δὲ ἔλεγε· Μὴ νῦν νεμέσασθε οἱ τὰ οὐράνια δώματα οἰκοῦντες τιμωρήσασθαι τοῦ υἱοῦ τὸν φόνον ἐλθόντι εἰς τὰς ναῦς τῶν Ἑλλήνων, εἴπερ μοι καὶ εἵμαρτο πληγέντι κεραυνῷ τοῦ Διὸς, κεῖσθαι μετὰ τῶν νεκρῶν ἐν τῷ αἵματι καὶ τῇ κόνει. Οὕτως εἶπε, καὶ δὴ τοὺς ἵππους ἐκέλευσε τόν τε Δεῖμον καὶ τὸν Φόβον ζευγνῦναι, αὐτὸς δὲ ἐνεδύσατο τὰ ὑπέρλαμπρα ὅπλα, τότε δ' ἂν μείζων καὶ χαλεπώτερος ἄλλος χόλος καὶ ὀργὴ ἐγένετο τοῖς θεοῖς παρὰ τοῦ Διὸς, εἰ μὴ Ἀθηνᾶ φοβηθεῖσα περὶ πάντων τῶν θεῶν, ὥρμησεν ἔξω διὰ τοῦ προθύρου, κατέλιπε δὲ τὸν θρόνον ὅπου ἐκάθητο, τούτου δὲ ἀπὸ μὲν τῆς κεφαλῆς ἀφείλετο τὴν περικεφαλαίαν, καὶ τὴν ἀσπίδα ἀπὸ τῶν ὤμων, τὸ δόρυ δὲ ἔστησε λαβοῦσα ἐκ τῆς ἰσχυρᾶς χειρὸς τὸ σιδηροῦν, αὐτὴ δὲ λόγοις ἐπέπληττε τὸν ὀρ-

Χάλκεον· ἡ δ' ἐπέεσσι καθάπτετο θοῦρον Ἄρηα·
 Μαινόμενε, φρένας ἠλὲ, διέφθορας· ἦ νύ τοι αὔτως
Οὔατ' ἀκουέμεν ἐστὶ, νόος δ' ἀπόλωλε καὶ αἰδώς;
Οὐκ ἀΐεις ἅτε φησὶ θεὰ λευκώλενος Ἥρη;
Ἢ δὴ νῦν πὰρ Ζηνὸς Ὀλυμπίου εἰλήλουθεν·
Ἦ ἐθέλεις αὐτὸς μὲν ἀναπλήσας κακὰ πολλὰ,
Ἂψ ἴμεν Οὔλυμπόνδε καὶ ἀχνύμενός περ ἀνάγκῃ·
Αὐτὰρ τοῖς ἄλλοισι κακὸν μέγα πᾶσι φυτεῦσαι;
Αὐτίκα γὰρ Τρῶας μὲν ὑπερθύμους καὶ Ἀχαιοὺς
Λείψει, ὁ δ' ἡμέας εἶσι κυδοιμήσων ἐς Ὄλυμπον·
Μάρψει δ' ἑξείης, ὅστ' αἴτιος, ὅστε καὶ οὐκί.
Τῷ σ' αὖ νῦν κέλομαι μεθέμεν χόλον υἷος ἑῆος·
Ἤδη γάρ τις, τοῦδε βίην καὶ χεῖρας ἀμείνων,
Ἢ πέφατ', ἢ καὶ ἔπειτα πεφήσεται· ἀργαλέον δὲ
Πάντων ἀνθρώπων ῥῦσθαι γενεήν τε τόκον τε.
Ὣς εἰποῦσ', ἵδρυσε θρόνῳ ἔνι θοῦρον Ἄρηα.
Ἥρη δ' Ἀπόλλωνα καλέσσατο δώματος ἐκτὸς,
Ἶρίν θ', ἥ τε θεοῖσι μετάγγελος ἀθανάτοισι,
Καί σφεας φωνήσασ', ἔπεα πτερόεντα προσηύδα.
 Ζεὺς σφὼ εἰς Ἴδην κέλετ' ἐλθέμεν ὅττι τάχιστα·
Αὐτὰρ ἐπὴν ἔλθητε, Διός τ' εἰς ὦπα ἴδησθε,
Ἔρδειν, ὅ, ττι κε κεῖνος ἐποτρύνῃ καὶ ἀνώγῃ.
 Ἡ μὲν ἄρ' ὣς εἰποῦσα, πάλιν κίε πότνια Ἥρη·
Ἕζετο δ' εἰνὶ θρόνῳ· τὼ δ' ἀΐξαντε πετέσθην,
Ἴδην δ' ἵκανον πολυπίδακα, μητέρα θηρῶν.
Εὗρον δ' εὐρύοπα Κρονίδην ἀνὰ Γαργάρῳ ἄκρῳ
Ἥμενον, ἀμφὶ δέ μιν θυόεν νέφος ἐστεφάνωτο·
Τὼ δὲ πάροιθ' ἐλθόντε Διὸς νεφεληγερέταο,

μητικὸν καὶ πολεμικὸν Ἄρην, λέγων· Ὦ μαινόμενε, διεφθάρης τὴν διάνοιαν ἀνόητε (πεπλανημένε), ὄντως δή σοι ματαίως εἰσὶν ὦτα ἀκούειν, ὁ νοῦς δὲ ἀπώλετο, καὶ ἡ αἰσχύνη; οὐ συνίης ἅπερ φησὶν ἡ θεὰ ἡ λευκοβραχίων Ἥρα; ἣ δὴ νυνὶ παρὰ τοῦ Διὸς τοῦ οὐρανίου ἀφίκετο· ἢ βούλει σὺ μὲν πολλὰ δεινὰ ἐκπληρώσας εἰς τοὐπίσω πορευθῆναι εἰς τὸν Ὄλυμπον καίπερ λυπούμενος ἀνάγκῃ, τοῖς ἄλλοις δὲ μέγα κακὸν ἐμποιῆσαι ἅπασι; παραχρῆμα γὰρ τοὺς μὲν ἀνδρείους Τρῶας καὶ τοὺς Ἕλληνας καταλείψει, ἡμᾶς δὲ αὐτὸς συνταράξων ἐλεύσεται εἰς τὸν Ὄλυμπον, ἐφεξῆς δὲ συλλήψεται ταῖς χερσὶ, καὶ ὅςις ὑπαίτιός ἐςι καὶ ὅςις οὐκ ἔστι. διὰ τοῦτο δή σοι παρακελεύομαι ἀφεῖναι νῦν τὴν ὀργὴν τοῦ σοῦ υἱοῦ, ἤδη γάρ ποτε καί τις κρείσσων τούτου κατὰ δύναμιν καὶ ἰσχὺν ἢ ἀνῃρέθη, ἢ καὶ μετὰ ταῦτα ἀναιρεθήσεται, χαλεπὸν δὲ καὶ ἀδύνατον τὴν πάντων ἀνθρώπων γενεάν τε καὶ γένεσιν θανάτου ῥύεσθαι· Οὕτως εἰποῦσα ἐκάθισεν ἐπὶ τοῦ θρόνου τὸν πολεμικὸν Ἄρην. Ἡ Ἥρα δὲ ἐκάλεσε τὸν Ἀπόλλωνα ἔξω τοῦ οἰκήματος, καὶ τὴν Ἶριν, ἥτις ἐστὶν ἄγγελος ἐν τοῖς ἀθανάτοις θεοῖς καὶ φωνήσασα ἔλεγε πρὸς αὐτοὺς λόγους ταχεῖς· Ὁ Ζεὺς κελεύει ἀφικέσθαι ὑμᾶς εἰς τὴν Ἴδην λίαν ταχέως, ἐπὰν δὲ ἀφίκησθε καὶ εἰς τὴν τοῦ Διὸς ὄψιν φανείητε, πράσσειν ὅ, τι ἂν ἐκεῖνος προτρέπῃ καὶ κελεύῃ. Αὕτη μὲν οὖν οὕτως εἰποῦσα ἡ σεβαστὴ Ἥρα ἐπανῆλθεν, ἐκάθισε δὲ ἐν τῷ θρόνῳ, οὗτοι δὲ ὁρμήσαντες ἐπέτοντο, ἀφίκοντο δὲ εἰς τὴν Ἴδην τὴν πολλὰς πηγὰς ἔχουσαν τὴν τροφὸν τῶν θηρίων· εὗρον δὲ τὸν μεγαλόφωνον υἱὸν τοῦ Κρόνου ἐπὶ τοῦ Γαργάρου ἀκρωτηρίου καθήμενον, περὶ αὐτὸν δὲ νέφος τεθυμιασμένον, καὶ εὐῶδες περιέκειτο· οὗτοι δὲ ἐλθόντες ἐναντίον τοῦ Διὸς τοῦ τὰς νεφέλας ἀθροίζοντος

Στήτην· οὐδὲ σφῶϊν ἰδὼν ἐχολώσατο θυμῷ,
Ὅττι οἱ ὦκ' ἐπέεσσι φίλης ἀλόχοιο πιθέσθην.
Ἶριν δὲ προτέρην ἔπεα πτερόεντα προσηύδα·
Βάσκ' ἴθι, Ἶρι ταχεῖα, Ποσειδάωνι ἄνακτι
Πάντα τάδ' ἀγγεῖλαι, μηδὲ ψευδάγγελος εἶναι·
Παυσάμενόν μιν ἄνωχθι μάχης ἠδὲ πτολέμοιο,
Ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἢ εἰς ἅλα δῖαν.
Εἰ δέ μοι οὐκ ἐπέεσσ' ἐπιπείσεται, ἀλλ' ἀλογήσει,
Φραζέσθω δὴ ἔπειτα κατὰ φρένα καὶ κατὰ θυμὸν
Μή μ' οὐδὲ, κρατερός περ ἐὼν, ἐπιόντα ταλάσσῃ
Μεῖναι· ἐπεὶ ἕο φημὶ βίῃ πολὺ φέρτερος εἶναι,
Καὶ γενεῇ πρότερος, τοῦ δ' οὐκ ὄθεται φίλον ἦτορ
Ἶσον ἐμοὶ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε ποδήνεμος ὠκέα Ἶρις·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων εἰς Ἴλιον ἱρήν.
Ὡς δ' ὅταν ἐκ νεφέων πτῆται νιφὰς, ἠὲ χάλαζα
Ψυχρὴ ὑπαὶ ῥιπῆς αἰθρηγενέος Βορέαο·
Ὣς κραιπνῶς μεμαυῖα διέπτατο ὠκέα Ἶρις,
Ἀγχοῦ δ' ἱσταμένη προσέφη κλυτὸν Ἐννοσίγαιον·
Ἀγγελίην τινά τοι, Γαιήοχε κυανοχαῖτα,
Ἦλθον δεῦρο φέρουσα παραὶ Διὸς αἰγιόχοιο·
Παυσάμενόν σ' ἐκέλευσε μάχης ἠδὲ πτολέμοιο,
Ἔρχεσθαι μετὰ φῦλα θεῶν, ἢ εἰς ἅλα δῖαν.
Εἰ δέ οἱ οὐκ ἐπέεσσ' ἐπιπείσεαι, ἀλλ' ἀλογήσεις,
Ἠπείλει κἀκεῖνος ἐναντίβιον πολεμίζων
Ἐνθάδ' ἐλεύσεσθαι· σὲ δ' ὑπεξαλέασθαι ἀνώγει
Χεῖρας, ἐπεὶ σέο φησὶ βίῃ πολὺ φέρτερος εἶναι,
Καὶ γενεῇ πρότερος· σὸν δ' οὐκ ὄθεται φίλον ἦτορ

ἔστησαν, οὐδὲ ὠργίσθη αὐτοῖς ἐν τῇ ψυχῇ θεασάμενος, ἐπειδὴ αὐτῷ ταχέως τοῖς λόγοις τῆς ἀγαπητῆς γαμετῆς ἐπείσθησαν. Πρότερον δὲ πρὸς τὴν Ἶριν λόγους ταχεῖς ἔλεγεν· ἄγε ὦ Ἶρι ταχεῖα (έως) πορεύθητι, Ποσειδῶνι τῷ βασιλεῖ ταῦτα πάντα ἀπαγγεῖλαι, μηδὲ ἔσο ψευδὴς ἄγγελος, κέλευσον παυσάμενον αὐτὸν τῆς μάχης καὶ τοῦ πολέμου πορεύεσθαι πρὸς τὰ γένη τῶν θεῶν, ἢ εἰς τὴν ἐνδοξοτάτην θάλασσαν· εἰ δέ μοι οὐ τοῖς λόγοις πεισθήσεται, ἀλλὰ καταφρονήσει, λογιζέσθω καὶ σκοπείτω μετὰ ταῦτα κατὰ τὸ λογιστικὸν καὶ τὴν ψυχὴν μή ποτε οὐδὲ ἰσχυρὸς ὢν καρτερήσῃ καὶ παραμείνῃ με ἐπερχόμενον, ἐπειδὴ πολλῷ κρείσσων αὐτοῦ εἶναι οἴομαι κατὰ τὴν ἰσχὺν, καὶ προγενέστερος· τούτου δὲ οὐκ ἐντρέπεται ἡ προσφιλὴς ψυχὴ ὁμοίως ἐμοὶ εἰπεῖν, καὶ ἐκ τοῦ ἴσου προσφέρεσθαί μοι, ὃν δὴ καὶ ἄλλοι καταπλήσσονται καὶ φοβοῦνται. Οὕτως εἶπεν, ὑπήκουσε δὲ ἡ ἀνεμόπους ταχεῖα Ἶρις, ἐπορεύθη δὲ ἐκ τῶν τῆς Ἴδης ὀρέων εἰς τὴν ἱερὰν Ἴλιον. ὥσπερ δὲ ὅταν ἐκ τῶν νεφῶν, ταχέως καταφέρηται νιφὰς ἢ χάλαζα ψυχρὰ ὑπὸ ῥίψεως καὶ σφοδρᾶς ὁρμῆς τοῦ Βορέου τοῦ εὐδίαν ποιοῦντος· οὕτω ταχέως ὁρμῶσα διέπτη ἡ ταχύπους Ἥρα, πλησίον δὲ στᾶσα εἶπε πρὸς τὸν ἔνδοξον Ποσειδῶνα τὸν σείοντα τὴν γῆν· Ἀγγελίαν τινά σοι, ὦ Πόσειδον συνέχων τὴν γῆν, μελανόθριξ, ἀφικόμην ἐνθάδε φέρουσα παρὰ τοῦ Διὸς τοῦ τὴν αἰγίδα φοροῦντος· ἐκέλευσε λήξαντά σε τῆς μάχης καὶ τοῦ πολέμου πορεύεσθαι πρὸς τὰ γένη τῶν θεῶν, ἢ εἰς τὴν ἐνδοξοτάτην θάλασσαν· εἰ δὲ τοῖς λόγοις αὐτοῦ οὐ πεισθήσῃ, ἀλλὰ καταφρονήσεις, ἠπείλησε καὶ ἐκεῖνος κατὰ βιαίαν ἐναντίωσιν μαχόμενος δεῦρο ἀφίξεσθαι, σὲ δὲ ὑπεκκλῖναι καὶ ἐκφυγεῖν κελεύει τὰς χεῖρας αὐτοῦ, ἐπειδὴ σου πολλῷ ἰσχυρότερος οἴεται εἶναι κατὰ τὴν ἰσχὺν, καὶ προγενέστερος, ἡ σὴ δὲ προσφιλὴς ψυχὴ οὐκ ἐντρέπεται ὁμοίως

Ἰσὺν οἱ φάσθαι, τόν τε στυγέουσι καὶ ἄλλοι.
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη κλυτὸς Ἐννοσίγαιος·
Ὢ πόποι, ἦ ῥ', ἀγαθός περ ἐὼν, ὑπέροπλον ἔειπεν,
Εἴ μ' ὁμότιμον ἐόντα βίῃ ἀέκοντα καθέξει.
Τρεῖς γάρ τ' ἐκ Κρόνου εἰμὲν ἀδελφεοὶ, οὓς τέκε Ῥέια,
Ζεὺς καὶ ἐγὼ, τρίτατος δ' Ἀΐδης ἐνέροισιν ἀνάσσων.
Τριχθὰ δὲ πάντα δέδασται, ἕκαστος δ' ἔμμορε τιμῆς.
Ἤτοι ἐγὼν ἔλαχον πολιὴν ἅλα ναιέμεν αἰεὶ,
Παλλομένων, Ἀΐδης δ' ἔλαχε ζόφον ἠερόεντα·
Ζεὺς δ' ἔλαχ' οὐρανὸν εὐρὺν ἐν αἰθέρι καὶ νεφέλῃσι.
Γαῖα δ' ἔτι ξυνὴ πάντων, καὶ μακρὸς Ὄλυμπος·
Τῷ ῥα καὶ οὔ τι Διὸς βέομαι φρεσὶν, ἀλλὰ ἕκηλος,
Καὶ κρατερός περ ἐὼν, μενέτω τριτάτῃ ἐνὶ μοίρῃ.
Χερσὶ δὲ μή τι με πάγχυ, κακὸν ὣς, δειδισσέσθω.
Θυγατέρεσσι γάρ τε καὶ υἱάσι κέρδιον εἴη
Ἐκπάγλοις ἐπέεσσιν ἐνισσέμεν, οὓς τέκεν αὐτός·
Οἵ ἕθεν ὀτρύνοντος ἀκούσονται καὶ ἀνάγκῃ.
Τὸν δ' ἠμείβετ' ἔπειτα ποδήνεμος ὠκέα Ἶρις·
Οὕτω γὰρ δή τοι, Γαιήοχε κυανοχαῖτα,
Τόνδε φέρω Διῒ μῦθον ἀπηνέα τε κρατερόν τε;
Ἦ τι μεταστρέψεις; στρεπταὶ μέν τε φρένες ἐσθλῶν.
Οἶσθ', ὡς πρεσβυτέροισιν Ἐριννύες αἰὲν ἕπονται.
Τὴν δ' αὖτε προσέειπε Ποσειδάων ἐνοσίχθων·
Ἶρι θεὰ, μάλα τοῦτο ἔπος κατὰ μοῖραν ἔειπες·
Ἐσθλὸν καὶ τὸ τέτυκται, ὅτ' ἄγγελος αἴσιμα εἰδῇ·
Ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
Ὁππόταν ἰσόμορον καὶ ὁμῇ πεπρωμένον αἴσῃ
Νεικείειν ἐθέλῃσι χολωτοῖσιν ἐπέεσσιν.

αὐτῷ εἰπεῖν, καὶ ἐκ τοῦ ἴσου προσφέρεσθαι αὐτῷ, ὃν καὶ οἱ ἄλλοι καταπλήσσονται καὶ φοβοῦνται. Πρὸς ταύτην δὲ μεγάλως ἀγανακτήσας εἶπεν ο ἔνδοξος Ποσειδῶν ὁ σείων τὴν γῆν· φεῦ φεῦ, ὄντως δὴ καίπερ ὢν ἀγαθὸς, ὑπὲρ τὴν ἑαυτοῦ ἰσχὺν τοῦτο εἴρηκεν. εἴ με ἴσον αὐτῷ κατὰ τιμὴν ὄντα βιαίως ἄκοντα κωλύσει, τρεῖς γὰρ ἐσμὲν ἀδελφοὶ ἐκ τοῦ Κρόνου οὓς ἔτεκεν ἡ Ῥέα, Ζεὺς, καὶ ἐγὼ, τρίτος δὲ ὁ Ἅιδης ὁ βασιλεύων τῶν νεκρῶν· εἰς τρία δὲ πάντα μεμέρισται, ἕκαστος δὲ ἔτυχε τιμῆς· ἐγὼ μὲν ἔλαχον οἰκεῖν ἀεὶ τὴν λευκὴν θάλασσαν, κλήρῳ μεριζομένων· ὁ Ἅιδης δὲ ἔλαχε τὰ ἀφώτιστα μέρη τῆς γῆς, καὶ τὸν περὶ γῆν ὑγρὸν αέρα· ὁ Ζεὺς δὲ ἔλαχε τὸν πλατὺν οὐρανὸν ἐν τῷ αἰθέρι καὶ ταῖς νεφέλαις, ἡ γῆ δὲ κοινὴ πάντων ἐςὶ, καὶ ὁ ὑψηλὸς οὐρανός· δι᾽ ὃ δὴ καὶ ουδαμῶς τῇ τοῦ Διὸς διανοίᾳ βιώσομαι, ἀλλ᾽ ἥσυχος, καίπερ ὢν ἰσχυρὸς, μενέτω ἐν τῷ ἑαυτοῦ τρίτῳ μέρει, ταῖς χερσὶ δὲ μηδαμῶς με ὥσπερ δειλόν τινα παντελῶς ἐκφοβείτω, τὰς θυγατέρας γὰρ ἂν καὶ τοὺς υἱοὺς βελτιον ὑπάρχοι λόγοις καταπληκτικοῖς ἐπιπλήττειν, οὓς αὐτὸς ἐγέννησεν, οἵτινες αὐτοῦ προτρέποντος ἀκούσουσι, καὶ ὑπ᾽ ἀνάγκης. Πρὸς τοῦτον δὲ μετὰ ταῦτα ἀπεκρίνατο ἡ ἀνεμόπους ταχεῖα Ἶρις· Οὕτω δή σοι, ὦ Πόσειδον συνέχων τὴν γῆν μελανόθριξ, τοῦτον τὸν λόγον οἴσω (ἀπαγγελῶ) τῷ Διῒ τὸν σκληρόν τε καὶ ἰσχυρὸν, ἤ τι μεταβαλεῖς; εὐμετάβλητοι γάρ εἰσιν αἱ διάνοιαι τῶν αγαθῶν· οἶδας ὅτι τοῖς γεραιτέροις ἀκολουθοῦσιν ἀεὶ τῶν τιμωριῶν θεαὶ Ἐριννύες. Πρὸς ταύτην δὲ ἀποκρινόμενος εἶπεν ὁ Ποσειδῶν ὁ σείων τὴν γῆν· Ὦ θεὰ Ἶρι, πάνυ τοῦτον λόγον κατὰ τὸ πρέπον καὶ καθῆκον εἶπας· ἀγαθόν ἐςι καὶ τοῦτο, ὅταν ὁ ἄγγελος τὰ δέοντα γινώσκῃ. ἀλλ᾽ αὕτη χαλεπὴ λύπη καταλαμβάνει τὴν ἐμὴν καρδίαν καὶ τὴν ψυχὴν, ὅταν τὸν ἴσης μοίρας τυχόντα, καὶ ὁμοίᾳ εἱμαρμένῃ κεκυρωμένον, ὀνειδίζειν βούληται πικροῖς καὶ ὀργίλοις λόγοις.

Ἀλλ' ἤτοι νῦν μέν κε νεμεσσηθεὶς ὑποείξω·
Ἄλλο δέ τοι ἐρέω, καὶ ἀπειλήσω τόγε θυμῷ,
Αἴκεν ἄνευ ἐμέθεν καὶ Ἀθηναίης ἀγελείης,
Ἥρης, Ἑρμείω τε, καὶ Ἡφαίστοιο ἄνακτος,
Ἰλίου αἰπεινῆς πεφιδήσεται, οὐδ' ἐθελήσει
Ἐκπέρσαι, δοῦναι δὲ μέγα κράτος Ἀργείοισιν,
Ἴστω τοῦθ', ὅτι νῶϊν ἀνήκεστος χόλος ἔσται.
Ὣς εἰπὼν, λίπε λαὸν Ἀχαιϊκὸν Ἐννοσίγαιος·
Δῦνε δὲ πόντον ἰὼν, πόθεσαν δ' ἥρωες Ἀχαιοί·
Καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
Ἔρχεο νῦν, φίλε Φοῖβε, μεθ' Ἕκτορα χαλκοκορυστήν·
Ἤδη μὲν γάρ τοι γαιήοχος Ἐννοσίγαιος
Οἴχεται εἰς ἅλα δῖαν, ἀλευάμενος χόλον αἰπὺν
Ἡμέτερον· μάλα γάρ κε μάχης ἐπύθοντο καὶ ἄλλοι,
Οἵπερ νέρτεροί εἰσι θεοὶ, Κρόνον ἀμφὶς ἐόντες.
Ἀλλὰ τόδ' ἠμὲν ἐμοὶ πολὺ κέρδιον, ἠδέ οἱ αὐτῷ
Ἔπλετο, ὅττι πάροιθε νεμεσσηθεὶς ὑπόειξε
Χεῖρας ἐμάς· ἐπεὶ οὔ κεν ἀνιδρωτί γ' ἐτελέσθη.
Ἀλλὰ σύ γ' ἐν χείρεσσι λάβ' αἰγίδα θυσανόεσσαν,
Τῇ μάλ' ἐπισσείων, φοβέειν ἥρωας Ἀχαιούς.
Σοὶ δ' αὐτῷ μελέτω, Ἑκατηβόλε, φαίδιμος Ἕκτωρ.
Τόφρα γὰρ οὖν οἱ ἔγειρε μένος μέγα, ὄφρ' ἂν Ἀχαιοὶ
Φεύγοντες νῆάς τε καὶ Ἑλλήσποντον ἵκωνται·
Κεῖθεν δ' αὐτὸς ἐγὼ φράσομαι ἔργον τε ἔπος τε,
Ὥς κε καὶ αὖτις Ἀχαιοὶ ἀναπνεύσωσι πόνοιο.
Ὣς ἔφατ'· οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων, ἴρηκι ἐοικὼς
Ὠκέϊ, φασσοφόνῳ, ὅστ' ὤκιστος πετεηνῶν·

ἀλλὰ νῦν μὲν μεμψάμενος καὶ καταγνοὺς ὑποχωρήσω, ἄλλο δέ σοι λέξω, καὶ ἀπειλήσω τοῦτό γε ἐν τῇ ψυχῇ. ἐὰν ἄνευ ἐμοῦ καὶ τῆς λαφυραγωγοῦ Ἀθηνᾶς, τῆς Ἥρας, καὶ τοῦ Ἑρμοῦ, καὶ τοῦ Ἡφαίστου τοῦ βασιλέως, τοῦ ὑψηλοῦ Ἰλίου φείσηται, οὐδὲ βουληθῇ ἐκπορθῆσαι, δοῦναι δὲ μεγάλην νίκην τοῖς Ἕλλησι, γινωσκέτω τοῦτο, ὅτι ἡμῖν ἔσται ὀργὴ ἀνίατος. Οὕτως εἰπὼν κατέλιπε τὸν Ἑλληνικὸν στρατὸν ὁ σείων τὴν γῆν, ἔδυ δὲ εἰς τὴν θάλασσαν ἀφικόμενος, ἐπόθησαν δὲ αὐτὸν οἱ ἥρωες Ἕλληνες. καὶ τότε εἶπε πρὸς τὸν Ἀπόλλωνα ὁ Ζεὺς ὁ τὰς νεφέλας ἀθροίζων· Πορεύου νῦν, ὦ ἀγαπητὲ Ἄπολλον, πρὸς τὸν Ἕκτορα τὸν σιδήρῳ ὡπλισμένον. ἤδη γὰρ ὁ τὴν γῆν συνέχων καὶ σείων Ποσειδῶν ἀπῆλθεν εἰς τὴν ἐνδοξοτάτην θάλασσαν, ἐκκλίνας τὴν χαλεπὴν ὀργὴν ἡμῶν, πάνυ γὰρ καὶ ἄλλοι ἀπόπειραν τῆς μάχης καὶ τῆς ἡμετέρας δυνάμεως ἔλαβον, οἵτινες ἐν τῷ Ταρτάρῳ εἰσὶ θεοὶ περὶ τὸν Κρόνον ὄντες. ἀλλὰ τοῦτο καὶ ἐμοὶ πολλῷ ἄμεινον καὶ ἐπικερδέστερόν ἐστι, καὶ αὐτῷ ὑπάρχει, ὅτι πρότερον μεμπτὸν ἡγησάμενος τὸ ἀντιλέγειν ἐμοὶ ὑπεχώρησε ταῖς ἐμαῖς χερσὶν, ἐπειδὴ οὐκ ἂν ἄνευ ἱδρῶτος ἐτελειώθη. ἀλλὰ σὺ λάβε ἐν ταῖς χερσὶν τὴν αἰγίδα τὴν κροσσοὺς ἔχουσαν, ταύτῃ γε ἐκφοβεῖν τοὺς ἥρωας Ἕλληνας πάνυ ἐπισείων αὐτήν· σοὶ δὲ αὐτῷ διὰ φροντίδος ἔστω ὁ λαμπρὸς Ἕκτωρ, ὦ Ἄπολλον πόρρω βάλλων, ἐπὶ τοσοῦτον γὰρ παρώξυνε αὐτῷ ἰσχὺν καὶ προθυμίαν μεγάλην, ἕως ἂν οἱ Ἕλληνες φεύγοντες ἀφίκωνται εἰς τὰς ναῦς καὶ τὸν Ἑλλήσποντον, ἐκεῖθεν δὲ αὐτὸς ἐγὼ λογίσομαι καὶ ἔργον καὶ λόγον, ὅπως ἂν αὖθις οἱ Ἕλληνες ἀνάπαυσιν σχῶσι τοῦ πολέμου. Οὕτως εἶπεν· οὐδ' ἄρα ἠπείθησε τῷ πατρὶ ὁ Ἀπόλλων, ἐπορεύθη δὲ ἐκ τῶν τῆς Ἴδης ὀρέων ὅμοιος ἱέρακι ταχεῖ τὰς φάσσας φονεύοντι, ὅστις τάχιστός ἐστι πάντων τῶν ὀρνέων, εὗρε δὲ τὸν υἱὸν τοῦ συνετοῦ

Εὗρ' υἱὸν Πριάμοιο δαΐφρονος, Ἕκτορα δῖον,
Ἥμενον, οὐδ' ἔτι κεῖτο· νέον δ' ἐσαγείρατο θυμὸν,
Ἀμφὶ ἓ γινώσκων ἑτάρους· ἀτὰρ ἆσθμα καὶ ἱδρὼς
Παύετ', ἐπεί μιν ἔγειρε Διὸς νόος αἰγιόχοιο.
Ἀγχοῦ δ' ἱστάμενος προσέφη ἑκάεργος Ἀπόλλων·
Ἕκτορ, υἱὲ Πριάμοιο, τίη δὲ σὺ νόσφιν ἀπ' ἄλλων
Ἧσ' ὀλιγηπελέων; ἦ πού τί σε κῆδος ἱκάνει;
Τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
Τίς δὲ σύ ἐσσι, φέριστε θεῶν, ὅς μ' εἴρεαι ἄντην;
Οὐκ ἀΐεις, ὅ με νηυσὶν ἔπι πρύμνῃσιν Ἀχαιῶν,
Οὓς ἑτάρους ὀλέκοντα, βοὴν ἀγαθὸς βάλεν Αἴας
Χερμαδίῳ πρὸς στῆθος, ἔπαυσε δὲ θούριδος ἀλκῆς;
Καὶ δὴ ἔγωγ' ἐφάμην νέκυας καὶ δῶμ' Ἀΐδαο
Ἤματι τῷδ' ὄψεσθαι, ἐπεὶ φίλον ἄϊον ἦτορ.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων·
Θάρσει νῦν, τοῖόν τοι ἀοσσητῆρα Κρονίων
Ἐξ Ἴδης προέηκε παρεστάμεναι καὶ ἀμύνειν,
Φοῖβον Ἀπόλλωνα χρυσάορον· ὅς σε πάρος περ
Ῥύομ', ὁμῶς αὐτόν τε καὶ αἰπεινὸν πτολίεθρον.
Ἀλλ' ἄγε, νῦν ἱππεῦσιν ἐπότρυνον πολέεσσι,
Νηυσὶν ἔπι γλαφυρῇσιν ἐλαυνέμεν ὠκέας ἵππους·
Αὐτὰρ ἐγὼ προπάροιθε κιὼν, ἵπποισι κέλευθον
Πᾶσαν λειανέω, τρέψω δ' ἥρωας Ἀχαιούς.
Ὣς εἰπὼν, ἔμπνευσε μένος μέγα ποιμένι λαῶν.
Ὡς δ' ὅτε τις στατὸς ἵππος, ἀκοστήσας ἐπὶ φάτνῃ,
Δεσμὸν ἀποῤῥήξας θείῃ πεδίοιο κροαίνων,
Εἰωθὼς λούεσθαι ἐϋῤῥεῖος ποταμοῖο,
Κυδιόων, ὑψοῦ δὲ κάρη ἔχει, ἀμφὶ δὲ χαῖται

Πριάμου τὸν ἐνδοξότατον Ἕκτορα καθήμενον, οὐ γὰρ ἔτι ἔκειτο, νεωστὶ δὲ συνῆξε καὶ ἀνεκτήσατο τὴν ψυχὴν, περὶ ἑαυτὸν ἐπιγινώσκων τοὺς φίλους· ἡ δύσπνοια δὲ καὶ ὁ ἱδρὼς ἔληγεν, ἐπειδὴ αὐτὸν ἀνέστησεν ὁ νοῦς τοῦ Διὸς τοῦ τὴν αἰγίδα φοροῦντος· πλησίον δὲ στὰς εἶπε πρὸς αὐτὸν ὁ πόῤῥωθεν ἐργαζόμενος Ἀπόλλων· Ὦ Ἕκτορ υἱὲ τοῦ Πριάμου, τί δὴ σὺ χωρὶς ἀπὸ τῶν ἄλλων κάθησαι ὀλίγον ἔχων τὸ εἶναι; ὄντως που λύπη τίς σε (ἆρά τι σε ἄλγος) κατείληφε; Πρὸς τοῦτον δὲ ὀλίγον ἔχων τὸ δρᾷν εἶπεν ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν Ἕκτωρ· Τίς δὲ σὺ ὑπάρχεις κράτιστε τῶν θεῶν, ὅστίς με ἐρωτᾷς ἐξ ἐναντίας; οὐκ ἀκούεις ὅτι με παρὰ ταῖς τῶν νεῶν πρύμναις τῶν Ἑλλήνων ὁ κατὰ πόλεμον ἀγαθὸς Αἴας ἀποκτείνοντα τοὺς ἑαυτοῦ φίλους ἔτρωσε λίθῳ χειροπληθεῖ εἰς τὸ στῆθος, ἀπέπαυσε δὲ τῆς πολεμικῆς ἰσχύος; καὶ δὴ ἔγωγε ᾠήθην τοὺς νεκροὺς, καὶ τὸν οἶκον τοῦ Ἅιδου ταύτῃ τῇ ἡμέρᾳ θεάσεσθαι, ἐπειδὴ τῆς προσφιλοῦς ᾐσθόμην ψυχῆς. Πρὸς τοῦτον δὲ πάλιν εἶπεν ὁ πόῤῥωθεν ἐργαζόμενος βασιλεὺς Ἀπόλλων· Ἔχε θάῤῥος, τοιοῦτόν σοι νῦν βοηθὸν ὁ υἱὸς τοῦ Κρόνου ἐκ τῆς Ἴδης προέπεμψε παρίστασθαι καὶ βοηθεῖν, τὸν καθαρὸν Ἀπόλλωνα τὸν χρυσοφάσγανον (τὸν χρυσοῦν ἀορτῆρα ἔχοντα), ὅστις σε καὶ πρότερον ἔσωζον καὶ ἐφύλασσον ὁμοίως σέ τε καὶ τὴν ὑψηλὴν πόλιν· ἀλλ᾽ ἄγε νυνὶ πρότρεψον τοὺς πολλοὺς ἱππέας ἐλαύνειν τοὺς ταχεῖς ἵππους ἐπὶ τὰς βαθείας ναῦς, ἐγὼ δὲ ἔμπροσθεν πορευόμενος τοῖς ἵπποις τὴν ὁδὸν πᾶσαν λείαν καὶ ὁμαλὴν ποιήσω, τρέψω δὲ εἰς φυγὴν τοὺς ἥρωας Ἕλληνας. Οὕτως εἰπὼν, ἐνέβαλε μεγάλην ἰσχὺν εὔτολμον τῷ βασιλεῖ τοῦ στρατοῦ· ὥσπερ δὲ ὅταν τις ἵππος ἑστὼς ἐν τῷ ἱπποστάθμῳ ἀγανακτήσας ἐπὶ τῇ τῆς φάτνης στάσει, τὸν δεσμὸν διακόψας τρέχῃ διὰ τοῦ πεδίου ἐριγδουπῶν καὶ κυμβαλίζων, ἔχων συνήθειαν λούεσθαι ἐν καλλιῤῥόῳ ποταμῷ γαυριῶν, εἰς ὕψος δὲ τὴν κεφαλὴν ἔχῃ, αἱ χαῖται δὲ καὶ

Ὤμοις ἀΐσσονται· ὁ δ᾽ ἀγλαΐηφι πεποιθὼς,
Ῥίμφα ἑ γοῦνα φέρει μετά τ᾽ ἤθεα καὶ νομὸν ἵππων·
Ὣς Ἕκτωρ λαιψηρὰ πόδας καὶ γούνατ᾽ ἐνώμα,
Ὀτρύνων ἱππῆας, ἐπεὶ θεοῦ ἔκλυεν αὐδήν.
Οἱ δ᾽, ὥστ᾽ ἢ ἔλαφον κεραὸν, ἢ ἄγριον αἶγα,
Ἐσσεύοντο κύνες τε καὶ ἀνέρες ἀγροιῶται·
Τὸν μέν τ᾽ ἠλίβατος πέτρη καὶ δάσκιος ὕλη
Εἰρύσατ᾽, οὐδ᾽ ἄρα τέ σφι κιχήμεναι αἴσιμον ἦεν·
Τῶν δέ θ᾽ ὑπαὶ ἰαχῆς ἐφάνη λῖς ἠϋγένειος
Εἰς ὁδὸν, αἶψα δὲ πάντας ἀπέτραπε. καὶ μεμαῶτας·
Ὣς Δαναοὶ, εἵως μὲν, ὁμιλαδὸν αἰὲν ἕποντο,
Νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
Αὐτὰρ ἐπεὶ ἴδον Ἕκτορ᾽ ἐποιχόμενον στίχας ἀνδρῶν,
Τάρβησαν, πᾶσι δὲ παραὶ ποσὶ κάππεσε θυμός.
Τοῖσι δ᾽ ἔπειτ᾽ ἀγόρευε Θόας, Ἀνδραίμονος υἱὸς,
Αἰτωλῶν ὄχ᾽ ἄριστος, ἐπιστάμενος μὲν ἄκοντι,
Ἐσθλὸς δ᾽ ἐν σταδίῃ· ἀγορῇ δέ ἑ παῦροι Ἀχαιῶν
Νίκων, ὁππότε κοῦροι ἐρίσσειαν περὶ μύθων·
Ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ᾽ ὀφθαλμοῖσιν ὁρῶμαι·
Οἷον δ᾽ αὖτ᾽ ἐξαῦτις ἀνέστη, κῆρας ἀλύξας,
Ἕκτωρ· ἦ θήν μιν μάλα ἔλπετο θυμὸς ἑκάστου,
Χερσὶν ὑπ᾽ Αἴαντος θανέειν Τελαμωνιάδαο·
Ἀλλά τις αὖτε θεῶν ἐῤῥύσατο καὶ ἐσάωσεν
Ἕκτορ᾽, ὃ δὴ πολλῶν Δαναῶν ὑπὸ γούνατ᾽ ἔλυσεν·
Ὡς καὶ νῦν ἔσσεσθαι ὀΐομαι· οὐ γὰρ ἄτερ γε
Ζηνὸς ἐριγδούπου πρόμος ἵσταται, ὧδε μενοινῶν.
Ἀλλ᾽ ἄγεθ᾽, ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες·

ἡ κόμη περισείεται τοῖς ὤμοις, τῷ κάλλει δὲ καὶ τῇ λαμπρότητι πεποιθότα τοῦτον αὐτὸν ταχέως τὰ γόνατα φέρουσιν ἐπὶ τὰς διατριβὰς καὶ νομὰς τῶν ἵππων· οὕτως ὁ Ἕκτωρ ταχέως τοὺς πόδας καὶ τὰ γόνατα ἐκίνει, διεγείρων τοὺς ἱππέας, ἐπειδὴ ἤκουσε τὴν φωνὴν τοῦ θεοῦ. οὗτοι δὲ ὥσπερ ὅτε ἔλαφον κερασφόρον, ἢ αἶγα ἄγριον ἐπεδίωκον κύνες καὶ ἄνδρες ἀγροδίαιτοι, καὶ τοῦτον μὲν πέτρα ὑψηλὴ καὶ πολύσκιον ἄλσος ἐρρύσατο, οὐδ' ἄρα αὐτοῖς καταλαβεῖν εἱμαρμένον ἦν, ὑπὸ τῆς βοῆς δὲ αὐτῶν ἐφάνη λέων καλὰς ἔχων τὰς σιαγόνας ἐν τῇ ὁδῷ, ταχέως δὲ πάντας καὶ προθύμως ὁρμῶντας ἀπέτρεψεν. οὕτως οἱ Ἕλληνες τέως μὲν ἀθρόως (πολεμικῶς) ἀεὶ ἐδίωκον πλήττοντες ῥομφαίαις καὶ δόρασι διστόμοις. ἐπεὶ δὲ ἐθεάσαντο τὸν Ἕκτορα ἰόντα ἐπὶ τὰς τάξεις τῶν ἀνδρῶν, ἐφοβήθησαν, πᾶσι δὲ παρὰ τοῖς ποσὶ κατέπεσεν ἡ ψυχή. ἐν τούτοις δὲ μετὰ ταῦτα ἐδημηγόρησε Θόας ὁ υἱὸς τοῦ Ἀνδραίμονος ὁ ἐξόχως κράτιστος τῶν Αἰτωλῶν, εἰδὼς μὲν δόρατι πολεμεῖν, ἀγαθὸς δὲ κατὰ τὴν ἐκ συστάσεως μάχην, ἐν τῷ δημηγορεῖν δὲ ὀλίγοι τῶν Ἑλλήνων αὐτὸν ἐνίκων, ὁπηνίκα οἱ νέοι περὶ λόγων ἡμιλλῶντο· ὅστις καλῶς φρονῶν ἐδημηγόρησε καὶ εἶπεν ἐν αὐτοῖς· Φεῦ φεῦ, ὄντως μέγα θαῦμα τοῦτο τοῖς ὀφθαλμοῖς ὁρῶ, ὁποῖον δὴ ἐκ δευτέρου ἠγέρθη ἐκφυγὼν τὰς θανατηφόρους μοίρας ὁ Ἕκτωρ, ὄντως που αὐτὸν πάνυ ἤλπιζεν ἑκάστου ψυχὴ ἀποθανεῖσθαι ὑπὸ ταῖς χερσὶ τοῦ Αἴαντος τοῦ υἱοῦ τοῦ Τελαμῶνος· ἀλλά τις πάλιν τῶν θεῶν ἠλευθέρωσε καὶ ἔσωσε τὸν Ἕκτορα, ὃς δὴ πολλῶν Ἑλλήνων γόνατα παρέλυσε καὶ ἐνέκρωσεν, ὥσπερ κἂν τῷ παρόντι ὑπολαμβάνω, οὐ γὰρ ἄνευ τοῦ μεγαλοκτύπου Διὸς πρόμαχος μένει, οὕτω προθυμούμενος. ἀλλ' ἄγετε ὥσπερ

Πληθὺν μὲν ποτὶ νῆας ἀνώξομεν ἀπονέεσθαι.
Αὐτοὶ δ' ὅσσοι ἄριστοι ἐνὶ στρατῷ εὐχόμεθ' εἶναι.
Στείομεν, εἴ κε πρῶτον ἐρύξομεν ἀντιάσαντες,
Δούρατ' ἀνασχόμενοι· τὸν δ' οἴω καὶ μεμαῶτα
Θυμῷ δείσεσθαι Δαναῶν καταδῦναι ὅμιλον.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον ἠδ' ἐπίθοντο·
Οἱ μὲν ἄρ' ἀμφ' Αἴαντε καὶ Ἰδομενῆα ἄνακτα,
Τεῦκρον, Μηριόνην τε, Μέγην τ' ἀτάλαντον Ἄρηϊ,
Ὑσμίνην ἤρτυνον, ἀριστῆας καλέσαντες,
Ἕκτορι καὶ Τρώεσσιν ἐναντίον· αὐτὰρ ὀπίσσω
Ἡ πληθὺς ἐπὶ νῆας Ἀχαιῶν ἀπονέοντο.
Τρῶες δὲ προὔτυψαν ἀολλέες· ἦρχε δ' ἄρ' Ἕκτωρ
Μακρὰ βιβὰς, πρόσθεν δὲ κί' αὐτοῦ Φοῖβος Ἀπόλλων,
Εἱμένος ὤμοιϊν νεφέλην, ἔχε δ' αἰγίδα θοῦριν,
Δεινὴν, ἀμφιδάσειαν, ἀριπρεπέ', ἣν ἄρα χαλκεὺς
Ἥφαιστος Διῒ δῶκε φορήμεναι ἐς φόβον ἀνδρῶν·
Τὴν ἄρ' ὅγ' ἐν χείρεσσιν ἔχων, ἡγήσατο λαῶν.
Ἀργεῖοι δ' ὑπέμειναν ἀολλέες· ὦρτο δ' ἀϋτὴ
Ὀξεῖ' ἀμφοτέρωθεν· ἀπὸ νευρῆφι δ' ὀϊστοὶ
Θρώσκον· πολλὰ δὲ δοῦρα θρασειάων ἀπὸ χειρῶν,
Ἄλλα μὲν ἐν χροῒ πήγνυντ' ἀρηϊθόων αἰζηῶν·
Πολλὰ δὲ καὶ μεσσηγὺ, πάρος χρόα καλὸν ἐπαυρεῖν,
Ἐν γαίῃ ἵσταντο, λιλαιόμενα χροὸς ἆσαι.
Ὄφρα μὲν αἰγίδα χερσὶν ἔχ' ἀτρέμα Φοῖβος Ἀπόλλων,
Τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο, πίπτε δὲ λαός.
Αὐτὰρ ἐπεὶ κατενῶπα ἰδὼν Δαναῶν ταχυπώλων
Σεῖσ', ἐπὶ δ' αὐτὸς ἄϋσε μάλα μέγα, τοῖσι δὲ θυμὸν
Ἐν στήθεσσιν ἔθελξε, λάθοντο δὲ θούριδος ἀλκῆς.

ἂν ἐγὼ εἴπω, ὑπακούωμεν ἅπαντες, τὸ μὲν πλῆθος εἰς τὰς ναῦς ὑποστρέψαι κελεύσωμεν, αὐτοὶ δὲ ὅσοι κράτιστοι ἐν τῷ στρατῷ καυχώμεθα εἶναι, στῶμεν, εἴτι κωλύσομεν αὐτὸν πρῶτοι ἀντεπιόντες, ἀνασχόντες τὰ δόρατα, τοῦτον δὲ οἴομαι καὶ προθύμως ὁρμῶντα φοβηθήσεσθαι κατὰ ψυχὴν, εἰς τὸν στρατὸν εἰσελθεῖν τῶν Ἑλλήνων. Οὕτως εἶπεν. οὗτοι δ᾽ ἄρα πάνυ τούτου ἤκουσαν καὶ ἐπείσθησαν· οἱ μὲν οὖν περὶ τὸν Αἴαντα, καὶ Ἰδομενέα τὸν βασιλέα, καὶ τὸν Τεῦκρον, καὶ τὸν Μηριόνην, καὶ τὸν Μέγην τὸν ὅμοιον τῷ Ἄρει, τὴν μάχην παρεσκεύαζον καὶ διέταττον, τοὺς ἀριστέας συγκαλέσαντες ἐναντίον τῷ Ἕκτορι καὶ τοῖς Τρωσὶν, εἰς τοὐπίσω δὲ τὸ πλῆθος εἰς τὰς ναῦς τῶν Ἑλλήνων ὑπέστρεφεν. οἱ Τρῶες δὲ ἀθρόοι συνέβαλον, προηγεῖτο δὲ ὁ Ἕκτωρ μεγάλως προποδίζων, ἔμπροσθεν δὲ αὐτοῦ ἐπορεύετο ὁ καθαρὸς Ἀπόλλων περιβεβλημένος νεφέλην κατὰ τοὺς ὤμους, κατεῖχε δὲ ἀσπίδα πολεμικὴν φοβερὰν κυκλωδασεῖαν, ἐπίσημον καὶ διάδηλον, ἣν δὴ ὁ χαλκεὺς Ἥφαιστος ἔδωκε τῷ Διῒ φέρειν εἰς φόβον τῶν ἀνδρῶν· ταύτην δὴ οὗτος ἐν ταῖς χερσὶ κρατῶν προηγήσατο τοῦ στρατοῦ. οἱ Ἕλληνες δὲ παρέμειναν ἀθρόοι, ἠγέρθη δὲ βοὴ ὀξεῖα ἀφ᾽ ἑκατέρου μέρους. ἀπὸ τῶν νευρῶν δὲ οἱ ἰοὶ ἀπεπήδων, πολλὰ δὲ δόρατα ἀπὸ τῶν θρασειῶν καὶ τολμηρῶν χειρῶν ἄλλα μὲν ἐπήγνυντο ἐν τῷ σώματι τῶν κατὰ πόλεμον εὐκινήτων νέων, πολλὰ δὲ καὶ μεταξὺ πρὶν τοῦ λευκοῦ σώματος τυχεῖν ἐν τῇ γῇ ἐπήγνυντο ἐφιέμενα σώματος. ἐφ᾽ ὅσον μὲν οὖν τὴν αἰγίδα κατεῖχε ταῖς χερσὶν ἀμετακινήτως ὁ καθαρὸς Ἀπόλλων, ἐπὶ τοσοῦτον πάνυ ἀμφοτέρων ἥπτοντο τὰ βέλη, ἔπιπτε δὲ καὶ ἀπέθνησκεν ὁ λαός. ἐπειδὴ δὲ κατὰ πρόσωπον θεασάμενος τῶν ταχεῖς ἵππους ἐχόντων Ἑλλήνων ἔσεισεν αὐτὴν, ἐπεβόησε δὲ καὶ αὐτὸς πάνυ μεγάλως, τούτοις τὴν ψυχὴν ἐν τοῖς στήθεσι παρέλυσεν, ἐπελάθοντο δὲ τῆς ὁρμητικῆς καὶ πολεμικῆς ἰσχύος. οὕτοι

Οἱ δ', ὥς ἠὲ βοῶν ἀγέλην, ἢ πῶϋ μέγ' οἰῶν
Θῆρε δύω κλονέουσι, μελαίνης νυκτὸς ἀμολγῷ,
Ἐλθόντ' ἐξαπίνης, σημάντορος οὐ παρεόντος·
Ὣς ἐφόβηθεν Ἀχαιοὶ ἀνάλκιδες· ἐν γὰρ Ἀπόλλων
Ἧκε φόβον, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
Ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα, κεδασθείσης ὑσμίνης·
Ἕκτωρ μὲν Στιχίον τε καὶ Ἀρκεσίλαον ἔπεφνε,
Τὸν μὲν, Βοιωτῶν ἡγήτορα χαλκοχιτώνων·
Τὸν δὲ, Μενεσθῆος μεγαθύμου πιστὸν ἑταῖρον.
Αἰνείας δὲ Μέδοντα καὶ Ἴασον ἐξενάριξεν·
Ἤτοι ὁ μὲν, νόθος υἱὸς Ὀϊλῆος θείοιο
Ἔσκε Μέδων, Αἴαντος ἀδελφεός· αὐτὰρ ἔναιεν
Ἐν Φυλάκῃ, γαίης ἄπο πατρίδος, ἄνδρα κατακτὰς
Γνωτὸν μητρυιῆς Ἐριώπιδος, ἣν ἔχ' Ὀϊλεύς·
Ἴασος αὖτ', ἀρχὸς μὲν Ἀθηναίων ἐτέτυκτο,
Υἱὸς δὲ Σφήλοιο καλέσκετο Βουκολίδαο.
Μηκιστῆν δ' ἕλε Πουλυδάμας, Ἐχίον δὲ Πολίτης
Πρώτῃ ἐν ὑσμίνῃ, Κλονίον δ' ἕλε δῖος Ἀγήνωρ·
Δηΐοχον δὲ Πάρις βάλε νείατον ὦμον ὄπισθε,
Φεύγοντ' ἐν προμάχοισι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσεν.
Ὄφρ' οἱ τοὺς ἐνάριζον ἀπ' ἔντεα, τόφρα δ' Ἀχαιοὶ
Τάφρῳ, καὶ σκολόπεσσιν, ἐνιπλήξαντες ὀρυκτῇ,
Ἔνθα καὶ ἔνθα φέβοντο· δύοντο δὲ τεῖχος ἀνάγκῃ·
Ἕκτωρ δὲ Τρώεσσιν ἐκέκλετο, μακρὸν ἀΰσας,
Νηυσὶν ἐπισσεύεσθαι, ἐᾶν δ' ἔναρα βροτόεντα·
Ὃν δ' ἂν ἐγὼ ἀπάνευθε νεῶν ἑτέρωθι νοήσω,
Αὐτοῦ οἱ θάνατον μητίσσομαι, οὐδέ νυ τόν γε
Γνωτοί τε γνωταί τε πυρὸς λελάχωσι θανόντα,

δὲ ὥσπερ ἢ ἀγέλην βοῶν, ἢ ποίμνιον μέγα προβάτων δύο θηρία (λέοντες) συνταράσσουσιν ἐν τῷ μέσῳ τῆς σκοτεινῆς νυκτὸς ἐλθόντα(ες) ἐξαίφνης, τοῦ φύλακος οὐ παρόντος. οὕτως ἐφοβήθησαν καὶ εἰς φυγὴν ἐτράπησαν οἱ Ἕλληνες ὡς ἀσθενεῖς· ὁ γὰρ Ἀπόλλων ἐνέβαλεν αὐτοῖς φόβον, τοῖς Τρωσὶ δὲ καὶ τῷ Ἕκτορι δόξαν παρεῖχε. τότε δὲ ἀνὴρ ἀνεῖλε καὶ ἀπέκτεινεν ἄνδρα, διασκεδασθείσης καὶ διαλυθείσης τῆς κατὰ τάξιν μάχης. Ὁ μὲν Ἕκτωρ τὸν Στίχιον, καὶ τὸν Ἀρκεσίλαον ἀπέκτεινε, τὸν μὲν ἡγεμόνα τῶν σιδηροθωράκων Βοιωτῶν, τὸν δὲ φίλον πιστὸν τοῦ μεγαλοψύχου Μενεσθέως. ὁ Αἰνείας δὲ τὸν Μέδοντα, καὶ τὸν Ἴασον ἀπέκτεινεν, ὁ μὲν νόθος υἱὸς τοῦ θείου Οἰλέως ἦν ὁ Μέδων, ἀδελφὸς δὲ τοῦ Αἴαντος, κατῴκει δὲ ἐν τῇ Φυλάκῃ πόλει πόῤῥω τῆς πατρίδος γῆς, ἄνδρα ἀνελὼν, ἀδελφὸν Ἐριώπιδος τῆς μητρυιᾶς, ἣν εἶχεν ὁ Οἰλεύς. ὁ Ἴασος δὲ ἀρχηγὸς μὲν τῶν Ἀθηναίων ἐτύγχανεν, υἱὸς δὲ ἐκαλεῖτο τοῦ Σφήλου τοῦ υἱοῦ τοῦ βουκόλου. τὸν Μηκιστέα δὲ ἀνεῖλεν ὁ Πολυδάμας, τὸν Ἔχιον δὲ ὁ Πολίτης ἐν τοῖς πρωταγωνισταῖς, τὸν Κλόνιον δὲ ἀπέκτεινεν ὁ ἐνδοξότατος Ἀγήνωρ, τὸν Δηίοχον δὲ ἔτρωσεν ὁ Πάρις ὄπισθεν κατὰ τὸ ἔσχατον τοῦ ὤμου φεύγοντα ἐν τοῖς πρωταγωνισταῖς εἰς τὸ πρόσω δὲ διεπέρασε τὸν σίδηρον. ἐν ὅσῳ δὲ οὗτοι τούτους ἀπεγύμνουν τῶν ὅπλων, ἐν τοσούτῳ οἱ Ἕλληνες τῇ ὀρωρυγμένῃ τάφρῳ καὶ ὀρθοῖς ξύλοις ἀτάκτως ἐμπεσόντες, ἔνθα κἀκεῖσε ἔφευγον, εἰσήρχοντο δὲ εἰς τὸ τεῖχος ὑπ' ἀνάγκης· ὁ Ἕκτωρ δὲ μεγάλως βοήσας παρεκελεύσατο τοῖς Τρωσὶν, ἐπὶ τὰς ναῦς ἐφορμᾷν (μᾶτε), καταλείπειν(πετὲ) δὲ τὰ ἡμαγμένα σκῦλα καὶ ὃν δ' ἂν ἐγὼ πόῤῥω τῶν νεῶν ἑτέρωθι μένοντα θεάσωμαι, οὐδέ γε αὐτὸν οἱ γνώριμοι καὶ αἱ γνώριμαι πυρὸς ἀξιώσουσιν ἀποθανόντα, ἀλλ' οἱ κύνες ἑλκύσουσι

Ἀλλὰ κύνες ἐρύουσι πρὸ ἄστεος ἡμετέροιο.
Ὣς εἰπὼν, μάστιγι κατ' ὠμαδὸν ἤλασεν ἵππους,
Κεκλόμενος Τρώεσσι ἐπὶ στίχας· οἱ δὲ, σὺν αὐτῷ
Πάντες ὁμοκλήσαντες, ἔχον ἐρυσάρματας ἵππους,
Ἠχῇ θεσπεσίῃ· προπάροιθε δὲ Φοῖβος Ἀπόλλων
Ῥεῖ' ὄχθας καπέτοιο βαθείης ποσσὶν ἐρείπων
Ἐς μέσσον κατέβαλλε· γεφύρωσεν δὲ κέλευθον
Μακρὴν, ἠδ' εὐρεῖαν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴ
Γίγνεται, ὁππότ' ἀνὴρ σθένεος πειρώμενος ἥσει.
Τῇ ῥ' οἵγε προχέοντο φαλαγγηδὸν, πρὸ δ' Ἀπόλλων,
Αἰγίδ' ἔχων ἐρίτιμον· ἔρειπε δὲ τεῖχος Ἀχαιῶν
Ῥεῖα μάλ', ὡς ὅτε τις ψάμαθον πάϊς ἄγχι θαλάσσης,
Ὅστ' ἐπεὶ οὖν ποιήσει ἀθύρματα νηπιέῃσιν,
Ἂψ αὖτις συνέχευε ποσὶν καὶ χερσὶν, ἀθύρων.
Ὣς ῥα σὺ, ἤϊε Φοῖβε, πολὺν κάματον καὶ ὀϊζὺν
Σύγχεας Ἀργείων, αὐτοῖσι δὲ φῦζαν ἐνῶρσας,
Ὣς οἱ μὲν παρὰ νηυσὶν ἐρητύοντο μένοντες,
Ἀλλήλοισί τε κεκλόμενοι, καὶ πᾶσι θεοῖσι
Χεῖρας ἀνίσχοντες, μεγάλ' εὐχετόωντο ἕκαστος.
Νέστωρ αὖτε μάλιστα, Γερήνιος, οὖρος Ἀχαιῶν,
Εὔχετο, χεῖρ' ὀρέγων εἰς οὐρανὸν ἀστερόεντα·
Ζεῦ πάτερ, εἴποτέ τίς τοι ἐν Ἄργεΐ περ πολυπύρῳ,
Ἢ βοὸς, ἢ ὄϊος κατὰ πίονα μηρία καίων,
Εὔχετο νοστῆσαι, σὺ δ' ὑπέσχεο καὶ κατένευσας·
Τῶν μνῆσαι, καὶ ἄμυνον, Ὀλύμπιε, νηλεὲς ἦμαρ·
Μηδ' οὕτω Τρώεσσιν ἔα δάμνασθαι Ἀχαιούς.
Ὣς ἔφατ' εὐχόμενος· μέγα δ' ἔκτυπε μητίετα Ζεὺς,
Ἀράων ἀΐων Νηληϊάδαο γέροντος.

πρὸ τῆς ἡμετέρας πόλεως. Οὕτως εἰπὼν μάστιγι κατὰ τῶν ὤμων ἔπληξε τοὺς ἵππους, παρακελευόμενος τοῖς Τρωσὶν ἐπὶ τὰς τάξεις, οὗτοι δὲ μετ' αὐτοῦ πάντες ὁμοῦ βοήσαντες ἤλαυνον τοὺς τὰ ἅρματα ἑλκύοντας ἵππους σὺν βοῇ θαυμαστῇ, ἔμπροσθεν δὲ Ἀπόλλων ὁ καθαρὸς ῥᾳδίως τὰς ὄχθας τῆς βαθείας τάφρου τοῖς ποσὶ καταστρέφων εἰς τὸ μέσον κατέβαλλεν, ἐγαίωσε δὲ ὁδὸν μακρὰν καὶ πλατεῖαν, ἐφ' ὅσον ὁρμὴ δόρατος καὶ βολὴ γίνεται, ὅταν ἀνὴρ πεῖραν λαμβάνων τῆς ἑαυτοῦ δυνάμεως ἀφῇ. ταύτῃ δὴ οὗτοι εἰσέῤῥεον κατὰ τάξεις, πρὸ πάντων δὲ ὁ Ἀπόλλων κατέχων τὴν πολύτιμον αἰγίδα, καθεῖλε δὲ τὸ τεῖχος τῶν Ἑλλήνων πάνυ ῥᾳδίως, ὥσπερ ὅταν τις παῖς ἄμμον πλησίον τῆς θαλάσσης συγχέῃ, ὅστις ἐπειδὰν ποιήσῃ παίγνια ἀφροσύναις, καὶ μωρίαις, πάλιν συνέχευεν τοῖς ποσὶ καὶ ταῖς χερσὶ παίζων. Οὕτω δὴ σὺ, ὦ τοξικὲ Φοῖβε, τὸν πολὺν πόνον, καὶ τὴν ταλαιπωρίαν τῶν Ἑλλήνων συνέχεας, αὐτοῖς δὲ φυγὴν ἐνέβαλες. Οὕτως οὗτοι μὲν παρὰ ταῖς ναυσὶ κατείχοντο ἐπιμένοντες, ἀλλήλοις τε παρακελευόμενοι καὶ πᾶσι τοῖς θεοῖς τὰς χεῖρας αἴροντες, μεγάλως ηὔχοντο ἅπαντες. Νέστωρ δὲ μάλιστα ὁ ἀπὸ τῆς Γερήνης ἡγεμὼν καὶ φύλαξ τῶν Ἑλλήνων ηὔχετο, τὰς χεῖρας ἐκτείνων εἰς τὸν ἔναστρον οὐρανὸν λέγων· Ὦ Ζεῦ πάτερ, εἴ τις ποτέ σοι ἐν τῇ Ἑλλάδι τῇ σιτοφόρῳ, ἢ βοὸς, ἢ προβάτου μηροὺς λιπαροὺς κατακαίων ηὔχετο ὑποστρέψαι, σὺ δὴ ὑπέσχου καὶ ἐπένευσας, τούτων μνήσθητι, καὶ ἀποσόβησον, ὦ οὐράνιε, τὴν ἀνηλεῆ καὶ χαλεπὴν ἡμέραν, μὴ δ' οὕτω καταλίμπανε τοὺς Ἕλληνας ἀναιρεῖσθαι τοῖς Τρωσίν. Οὕτως εἶπεν εὐχόμενος, μεγάλως δὲ ἐβρόντα ὁ βουλευτικὸς Ζεὺς ἐπακούων τῶν εὐχῶν τοῦ γέροντος τοῦ υἱοῦ τοῦ Νηλέως.

Τρῶες δ᾽, ὡς ἐπύθοντο Διὸς κτύπον αἰγιόχοιο,
Μᾶλλον ἐπ᾽ Ἀργείοισι θόρον, μνήσαντο δὲ χάρμης.
Οἱ δ᾽ ὥστε μέγα κῦμα θαλάσσης εὐρυπόροιο
Νηὸς ὑπὲρ τοίχων καταβήσεται, ὁππότ᾽ ἐπείγῃ
Ἶς ἀνέμου· ἡ γάρ τε μάλιστά γε κύματ᾽ ὀφέλλει·
Ὣς Τρῶες μεγάλῃ ἰαχῇ κατὰ τεῖχος ἔβαινον.
Ἵππους δ᾽ εἰσελάσαντες, ἐπὶ πρύμνῃσι μάχοντο,
Ἔγχεσιν ἀμφιγύοις αὐτοσχεδὸν, οἱ μὲν ἀφ᾽ ἵππων,
Οἱ δ᾽ ἀπὸ νηῶν ὕψι μελαινάων ἐπιβάντες,
Μακροῖσι ξυστοῖσι, τά ῥά σφ᾽ ἐπὶ νηυσὶν ἔκειτο
Ναύμαχα, κολλήεντα κατὰ στόμα εἱμένα χαλκῷ.
Πάτροκλος δ᾽, εἵως μὲν Ἀχαιοί τε Τρῶές τε
Τείχεος ἀμφεμάχοντο θοάων ἔκτοθι νηῶν,
Τόφρ᾽ ὅγ᾽ ἐνὶ κλισίῃ ἀγαπήνορος Εὐρυπύλοιο
Ἧστό τε, καὶ τὸν ἔτερπε λόγοις, ἐπὶ δ᾽ ἕλκεϊ λυγρῷ
Φάρμακ᾽ ἀκήματ᾽ ἔπασσε μελαινάων ὀδυνάων·
Αὐτὰρ ἐπειδὴ τεῖχος ἐπεσσυμένους ἐνόησεν
Τρῶας, ἀτὰρ Δαναῶν γένετο ἰαχή τε φόβος τε,
Ὤιμωξέν τ᾽ ἄρ᾽ ἔπειτα, καὶ ὣ πεπλήγετο μηρὼ
Χερσὶ καταπρηνέσσ᾽· ὀλοφυρόμενος δ᾽ ἔπος ηὔδα·
Εὐρύπυλ᾽, οὐκέτι τοι δύναμαι, χατέοντί περ ἔμπης,
Ἐνθάδε παρμενέμεν· δὴ γὰρ μέγα νεῖκος ὄρωρεν·
Ἀλλὰ σὲ μὲν θεράπων ποτιτερπέτω· αὐτὰρ ἔγωγε
Σπεύσομαι εἰς Ἀχιλῆα, ἵν᾽ ὀτρύνω πολεμίζειν.
Τίς δ᾽ οἶδ᾽, εἴκεν οἱ, σὺν δαίμονι, θυμὸν ὀρίνω
Παρειπών; ἀγαθὴ δὲ παραίφασίς ἐστιν ἑταίρου.
Τὸν μὲν ἄρ᾽, ὡς εἰπόντα, πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
Τρῶας ἐπερχομένους μένον ἔμπεδον, οὐδὲ δύναντο,

Οἱ Τρῶες δὲ ἐπειδὴ ἤκουσαν τὸν κτύπον τοῦ τὴν αἰγίδα φοροῦντος Διὸς, μᾶλλον κατὰ τῶν Ἑλλήνων ὥρμων, ἐμνήσθησαν δὲ τῆς μάχης. οὗτοι δὲ ὥσπερ ὅταν μέγα κῦμα τῆς εὐρυχώρου θαλάσσης ὑπὲρ τῶν τοίχων τῆς νεὼς κατέλθῃ καὶ εἰσχυθῇ, ἀκμάζῃ καὶ σφοδρῶς πνέῃ ἡ δύναμις τοῦ ἀνέμου, αὕτη γὰρ μάλιστά γε τὰ κύματα αὔξει· οὕτως οἱ Τρῶες σὺν βοῇ μεγάλῃ κατέβαινον τὸ τεῖχος, τοὺς ἵππους δὲ εἰσαγαγόντες παρὰ ταῖς πρύμναις ἐπολέμουν δόρασι διστόμοις ἐκ τοῦ σύνεγγυς, οἱ μὲν ἀπὸ τῶν ἵππων, οἱ δὲ ἀπὸ τῶν μελαίνων νεῶν ἐφ' ὕψους ἑστῶτες δόρασι μακροῖς, ἃ δὴ αὐτοῖς ἐν ταῖς ναυσὶν ἔκειντο τῶν νεῶν ἀμυντήρια, ἐκ πολλῶν συγκεκολλημένα ἵνα γένηται μακρὰ, σιδήρῳ κατὰ τὸ ἄκρον ἐστομωμένα. Ὁ Πάτροκλος δὲ ἕως μὲν οἱ Ἕλληνες καὶ οἱ Τρῶες περὶ τὸ τεῖχος ἐπολέμουν ἔξω τῶν ταχειῶν νεῶν, ἐπὶ τοσοῦτον οὗτος ἐν τῇ σκηνῇ Εὐρυπόλου τοῦ υἱοῦ Ἀγαπήνορος ἐκάθητο, καὶ εὔφραινεν αὐτὸν λόγοις, καὶ ἐπὶ τῷ χαλεπῷ τραύματι φάρμακα ἐπέβαλλε θεραπευτικὰ τῶν σκοτεινῶν ὀδυνῶν. ἐπειδὴ δὲ εἰς τὸ τεῖχος ἐφορμήσαντας ἐθεάσατο τοὺς Τρῶας, τῶν Ἑλλήνων δὲ ἐγένετο θόρυβος καὶ φυγὴ, ἐστέναξε δὴ σὺν βοῇ μετὰ ταῦτα, καὶ ἔτυψε τοὺς ἑαυτοῦ μηροὺς χερσὶ κατωφέρεσιν, ὀδυρόμενος δὲ ἔλεγεν· Ὦ Εὐρύπυλε, οὐκέτι σοι δύναμαι καίτοι χρήζοντί μου ἐνταυθοῖ παραμένειν, ἤδη γὰρ μεγάλη φιλονεικία καὶ ἔρις διηγέρθη, ἀλλά σε ὁ θεράπων παραμυθείσθω· ἐγὼ δὲ δραμοῦμαι πρὸς τὸν Ἀχιλλέα, ὅπως αὐτὸν διεγείρω πρὸς πόλεμον. τίς δὲ οἶδεν εἰ σὺν θεῷ ἐρεθίσω τὴν ψυχὴν αὐτοῦ παραινέσας καὶ παρακαλέσας; ἀγαθὴ δέ ἐστιν ἡ τοῦ φίλου παραίνεσις καὶ προτροπή. Τοῦτον μὲν οὖν οὕτως ἀπόντα οἱ πόδες ἀπῆγον· οἱ Ἕλληνες δὲ παρέμενον ἑδραίως τοὺς Τρῶας ἐπιόντας, οὐδὲ ἐδύναντο καίπερ ὄντας

Παυροτέρους περ ἐόντας, ἀπώσασθαι παρὰ νηῶν·
Οὔτε ποτὲ Τρῶες Δαναῶν ἐδύναντο φάλαγγας
Ῥηξάμενοι, κλισίῃσι μιγήμεναι, οὐδὲ νέεσσιν.
Ἀλλ' ὥστε στάθμη δόρυ νήϊον ἐξιθύνει
Τέκτονος ἐν παλάμῃσι δαήμονος, ὅς ῥά τε πάσης
Εὖ εἰδῇ σοφίης, ὑποθημοσύνῃσιν Ἀθήνης·
Ὣς μὲν τῶν ἐπὶ ἶσα μάχη τέτατο πτόλεμός τε.
Ἄλλοι δ' ἀμφ' ἄλλῃσι μάχην ἐμάχοντο νέεσσιν·
Ἕκτωρ δ' ἄντ' Αἴαντος ἐείσατο κυδαλίμοιο·
Τὼ δὲ μιῆς περὶ νηὸς ἔχον πόνον, οὐδ' ἐδύναντο
Οὔθ' ὁ τὸν ἐξελάσαι, καὶ ἐνιπρῆσαι πυρὶ νῆας,
Οὔθ' ὁ τὸν ἂψ ὤσασθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
Ἔνθ' υἷα Κλυτίοιο Καλήτορα φαίδιμος Αἴας,
Πῦρ ἐς νῆα φέροντα, κατὰ στῆθος βάλε δουρί·
Δούπησεν δὲ πεσὼν, δαλὸς δέ οἱ ἔκπεσε χειρός.
Ἕκτωρ δ' ὡς ἐνόησεν ἀνεψιὸν ὀφθαλμοῖσιν
Ἐν κονίῃσι πεσόντα, νεὼς προπάροιθε μελαίνης·
Τρωσί τε, καὶ Λυκίοισιν ἐκέκλετο, μακρὸν ἀΰσας·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ,
Μὴ δή πω χάζεσθε μάχης ἐν στείνεϊ τῷδε·
Ἀλλ' υἷα Κλυτίοιο σαώσατε, μή μιν Ἀχαιοὶ
Τεύχεα συλήσωσι, νεῶν ἐν ἀγῶνι πεσόντα.
Ὣς εἰπὼν, Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ·
Τοῦ μὲν ἅμαρθ'· ὁ δ' ἔπειτα Λυκόφρονα, Μάστορος υἱὸν,
Αἴαντος θεράποντα, Κυθήριον, ὅς ῥα παρ' αὐτῷ
Ναῖ', ἐπεὶ ἄνδρα κατέκτα Κυθήροισι ζαθέοισιν·
Τόν ῥ' ἔβαλεν κεφαλὴν ὑπὲρ οὔατος ὀξέϊ χαλκῷ,
Ἑσταότ' ἄγχ' Αἴαντος· ὁ δ' ὕπτιος ἐν κονίῃσι

ὀλιγωτέρους ἀποκρούσασθαι καὶ ἀπελάσαι ἐκ τῶν νεῶν οὐδέποτε οἱ Τρῶες ἐδύναντο τὰς τῶν Ἑλλήνων τάξεις διαλύσαντες συμμιγῆναι ταῖς σκηναῖς, οὐδὲ ταῖς ναυσίν· ἀλλ' ὥσπερ ἡ στάθμη εὐθύνει καὶ κανονίζει τὸ ναυπηγήσιμον ξύλον ἐν ταῖς παλάμαις τοῦ ἐπιστήμονος τέκτονος, ὃς δὴ πᾶσαν τὴν τέχνην καλῶς ἐπίσταται διδασκαλίαις τῆς Ἀθηνᾶς. οὕτω μὲν κατ' ἴσον ἡ μάχη τούτων καὶ ὁ πόλεμος ἐξετάθη. οἱ ἄλλοι δὲ περὶ τὰς ἄλλας ναῦς ἐπολέμουν πόλεμον. Ὁ Ἕκτωρ δὲ κατεναντίον τοῦ ἐνδόξου Αἴαντος ὥρμησεν, οὗτοι δὲ περὶ μιᾶς νεὼς εἶχον τὴν μάχην, οὐδὲ ἐδύναντο, οὔτε οὗτος τοῦτον ἀποδιῶξαι καὶ καῦσαι πυρὶ τὰς ναῦς, οὔτε οὗτος τοῦτον εἰς τοὐπίσω ἀπώσασθαι, ἀφ' οὗ προσεπέλασεν αὐτὸν ὁ θεός. τότε τὸν υἱὸν τοῦ Κλυτίου τὸν Καλήτορα ὁ λαμπρὸς Αἴας φέροντα πῦρ εἰς τὴν ναῦν ἔπληξε κατὰ τὸ στῆθος δόρατι, ἐψόφησε δὲ πεσὼν, ὁ δαλὸς δὲ ἐξέπεσε τῆς χειρὸς αὐτοῦ. ὁ Ἕκτωρ δὲ ἐπειδὴ ἐθεάσατο τὸν ἑαυτοῦ ἐξάδελφον τοῖς ὀφθαλμοῖς καταπεσόντα ἐν τῷ χώματι, καὶ τῷ κονιορτῷ ἔμπροσθεν τῆς μελαίνης νεὼς, μεγάλως βοήσας παρεκελεύσατο τοῖς Τρωσὶ, καὶ τοῖς Λυκίοις, λέγων· Ὦ Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι πολεμισταὶ, μηδαμῶς ἀναχωρεῖτε τῆς μάχης, ἐν τούτῳ τῷ στενώματι, ἀλλὰ σώσατε τὸν υἱὸν τοῦ Κλυτίου, μήποτε αὐτὸν οἱ Ἕλληνες ἐκδύσωσι τὰ ὅπλα ἀποθανόντα ἐν τῷ ἀγῶνι τῶν νεῶν. Οὕτως εἰπὼν ἔβαλε κατὰ τοῦ Αἴαντος δόρατι λαμπρῷ, καὶ τούτου μὲν ἀπέτυχε, Λυκόφρονα δὲ αὐτὸς τὸν υἱὸν τοῦ Μάστορος τὸν θεράποντα τοῦ Αἴαντος τὸν ἐκ τῶν Κυθήρων τῆς νήσου, ὃς δὴ παρ' αὐτῷ κατῴκει, ἐπειδὴ ἄνδρα ἀπέκτεινεν ἐν τοῖς ὑπερενδόξοις Κυθήροις. τοῦτον δὴ ἔτρωσε κατὰ τὴν κεφαλὴν ὑπεράνω τοῦ ὠτὸς σιδήρῳ ὀξεῖ ἑστῶτα πλησίον τοῦ Αἴαντος, οὗτος δὲ ἐπὶ τὰ μετάφρενα κατὰ γῆς

Νηὸς ἀπὸ πρύμνης χαμάδις πέσε· λῦντο δὲ γυῖα.
Αἴας δ' ἐῤῥίγησε, κασίγνητον δὲ προσηύδα·
Τεῦκρε πέπον, δὴ νῶϊν ἀπέκτατο πιστὸς ἑταῖρος
Μαστορίδης, ὃν νῶϊ Κυθηρόθεν ἔνδον ἐόντα,
Ἶσα φίλοισι τοκεῦσιν ἐτίομεν ἐν μεγάροισιν·
Τὸν δ' Ἕκτωρ μεγάθυμος ἀπέκτανε. ποῦ νύ τοι ἰοὶ
Ὠκύμοροι, καὶ τόξον, ὅ τοι πόρε Φοῖβος Ἀπόλλων;
Ὣς φάθ'· ὁ δὲ ξυνέηκε· θέων δέ οἱ ἄγχι παρέστη,
Τόξον ἔχων ἐν χειρὶ παλίντονον, ἠδὲ φαρέτρην
Ἰοδόκον· μάλα δ' ὦκα βέλη Τρώεσσιν ἐφίει·
Καί ῥ' ἔβαλε Κλεῖτον, Πεισήνορος ἀγλαὸν υἱὸν,
Πουλυδάμαντος ἑταῖρον, ἀγαυοῦ Πανθοΐδαο,
Ἡνία χερσὶν ἔχοντα· ὁ μὲν πεπόνητο καθ' ἵππους·
Τῇ γὰρ ἔχ', ᾗ ῥα πολὺ πλεῖσται κλονέοντο φάλαγγες,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
Ἦλθε κακὸν, τό οἱ οὔτις ἐρύκακεν, ἱεμένῳ περ·
Αὐχένι γάρ οἱ ὄπισθε πολύστονος ἔμπεσεν ἰός·
Ἤριπε δ' ἐξ ὀχέων, ὑπερώησαν δέ οἱ ἵπποι,
Κείν' ὄχεα κροτέοντες· ἄναξ δ' ἐνόησε τάχιστα
Πουλυδάμας, καὶ πρῶτος ἐναντίον ἤλυθεν ἵππων
Τοὺς μὲν ὅγ' Ἀστυνόῳ Προτιάονος υἱέϊ δῶκε·
Πολλὰ δ' ἐπώτρυνε σχεδὸν ἴσχειν εἰσορόωντα
Ἵππους· αὐτὸς δ' αὖτις ἰὼν προμάχοισιν ἐμίχθη.
Τεῦκρος δ' ἄλλον ὀϊστὸν ἐφ' Ἕκτορι χαλκοκορυστῇ
Αἴνυτο· καί κεν ἔπαυσε μάχης ἐπὶ νηυσὶν Ἀχαιῶν,
Εἴ μιν ἀριστεύοντα βαλὼν ἐξείλετο θυμόν·
Ἀλλ' οὐ λῆθε Διὸς πυκινὸν νόον, ὅς ῥ' ἐφύλασσεν
Ἕκτορ', ἀτὰρ Τεῦκρον Τελαμώνιον εὖχος ἀπηύρα,

ἀπὸ τῆς πρύμνης τῆς νεὼς χαμαὶ ἔπεσε, παρελύθησαν δὲ καὶ ἐνεκρώθησαν τὰ μέλη αὐτοῦ. ὁ Αἴας δὲ ἐφοβήθη, εἶπε δὲ πρὸς τὸν ἀδελφόν· Ὦ προσηνέστατε Τεῦκρε, ἀνῃρέθη ἡμῖν ὁ πιστὸς φίλος υἱὸς τοῦ Μάστορος, ὃν ἡμεῖς ἐκ τῶν Κυθήρων παρόντα ὁμοίως τοῖς ἀγαπητοῖς γονεῦσιν ἐτιμῶμεν ἐν τῷ οἴκῳ, τοῦτον δὲ Ἕκτωρ ὁ μεγαλόψυχος ἀπέκτεινεν· ποῦ δή σοι οἱ οἰστοὶ οἱ ταχέως τὸν θάνατον ἐπάγοντες, καὶ τὸ τόξον, ὅπερ σοι ἐδωρήσατο ὁ καθαρὸς Ἀπόλλων; Οὕτως εἶπεν, οὗτος δὲ συνῆκε, τρέχων δὲ ἐγγὺς αὐτοῦ ἔστη, ἔχων τὸ τόξον ἐν ταῖς χερσὶ καὶ τὸ ὀπισθοκαμπές, καὶ τὴν φαρέτραν τὴν ἔχουσαν τοὺς ἰούς, πάνυ δὲ ταχέως βέλη κατὰ τῶν Τρώων ἀφίη, καὶ δὴ ἔτρωσε τὸν Κλεῖτον τὸν λαμπρὸν υἱὸν τοῦ Πεισήνορος, τὸν φίλον Πολυδάμαντος τοῦ λαμπροῦ υἱοῦ τοῦ Πάνθου, τὰς ἡνίας κατέχοντα ταῖς χερσὶν, οὗτος μὲν διεπράττετο τὰ περὶ τοὺς ἵππους, ταύτῃ γὰρ ἤλαυνεν, ὅπου δὴ πολλῷ πλείους τάξεις συνεταράττοντο τῷ Ἕκτορι καὶ τοῖς Τρωσὶ τὰ πρὸς χάριν ποιῶν, ταχέως δ' αὐτῷ ἐπῆλθε τὸ δεινὸν, ὅπερ αὐτῷ οὐδεὶς ἐκώλυσε καίπερ σπεύδοντι καὶ προθυμουμένῳ· ὄπισθεν γὰρ εἰς τὸν αὐχένα αὐτοῦ ἐνεπάγη ὁ ὀδυνηρὸς οἰστὸς, κατέπεσε δὲ ἐκ τοῦ ὀχήματος, ἀνεχώρησαν δὲ αὐτῷ οἱ ἵπποι κενὸν τὸ ὄχημα κροτοῦντες, τάχιστα δὲ ἐθεάσατο ὁ βασιλεὺς Πολυδάμας, καὶ πρῶτον ἦλθεν ἐναντίον τῶν ἵππων, καὶ τούτους μὲν οὗτος Ἀστύνῳ τῷ υἱῷ τοῦ Προτιάνορος ἔδωκε, πολλὰ δ' αὐτὸν προέτρεψεν ἐγγὺς κατέχειν ὁρῶντα τοὺς ἵππους, αὐτὸς δὲ ἐπανελθὼν τοῖς πρωταγωνισταῖς συνεμίγη. ὁ Τεῦκρος δὲ ἄλλον ἰὸν κατὰ τοῦ Ἕκτορος τοῦ σιδήρῳ καθωπλισμένου ἔβαλε, καὶ δὴ ἔπαυσεν ἂν τῆς μάχης αὐτὸν παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων, εἴγ' αὐτὸν ἀνδραγαθοῦντα πλήξας ἀφείλετο τὴν ψυχὴν, ἀλλ' οὐκ ἐλάνθανε τὸν συνετὸν νοῦν τοῦ Διὸς, ὃς δὴ ἐφύλαττε τὸν Ἕκτορα, Τεῦκρον δὲ υἱὸν τοῦ Τελαμῶνος τὸ καύχημα ἀφῃρεῖτο, ὃ αὐτῷ

Ὅς οἱ ἐϋστρεφέα νευρὴν ἐν ἀμύμονι τόξῳ
Ῥῆξ' ἐπὶ τῷ ἐρύοντι· παρεπλάγχθη δέ οἱ ἄλλῃ
Ἰὸς χαλκοβαρὴς, τόξον δέ οἱ ἔκπεσε χειρός.
Τεῦκρος δ' ἐῤῥίγησε, κασίγνητον δὲ προσηύδα·
Ὦ πόποι, ἦ δὴ πάγχυ μάχης ἐπὶ μήδεα κείρει
Δαίμων ἡμετέρης, ὅ τέ μοι βιὸν ἔκβαλε χειρός·
Νευρὴν δ' ἐξέῤῥηξε νεόστροφον, ἣν ἐνέδησα
Πρώϊον, ὄφρ' ἀνέχοιτο θαμὰ θρώσκοντας ὀϊστούς.
Τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας·
Ὦ πέπον, ἀλλὰ βιὸν μὲν ἔα καὶ ταρφέας ἰοὺς
Κεῖσθαι, ἐπεὶ συνέχευε θεὸς, Δαναοῖσι μεγήρας·
Αὐτὰρ χερσὶν ἑλὼν δολιχὸν δόρυ, καὶ σάκος ὤμῳ,
Μάρναό τε Τρώεσσι, καὶ ἄλλους ὄρνυθι λαούς.
Μὴ μὰν ἀσπουδεί γε, δαμασσάμενοί περ, ἕλοιεν
Νῆας ἐϋσσέλμους, ἀλλὰ μνησώμεθα χάρμης.
Ὣς φάθ'· ὁ δὲ τόξον μὲν ἐνὶ κλισίῃσιν ἔθηκεν·
Αὐτὰρ ὅγ' ἀμφ' ὤμοισι σάκος θέτο τετραθέλυμνον·
Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
Ἵππουριν, δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
Εἵλετο δ' ἄλκιμον ἔγχος, ἀκαχμένον ὀξέϊ χαλκῷ·
Βῆ δ' ἰέναι, μάλα δ' ὦκα θέων Αἴαντι παρέστη.
Ἕκτωρ δ' ὡς εἶδεν Τεύκρου βλαφθέντα βέλεμνα,
Τρωσί τε καὶ Λυκίοισιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ·
Ἀνέρες ἐστὲ, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς,
Νῆας ἀνὰ γλαφυράς· δὴ γὰρ ἴδον ὀφθαλμοῖσιν
Ἀνδρὸς ἀριστῆος Διόθεν βλαφθέντα βέλεμνα.
Ῥεῖα δ' ἀρίγνωτος Διὸς ἀνδράσι γίνεται ἀλκὴ,

τὴν καλῶς συνεστραμμένην νευρὰν ἐν τῷ ἀμωμήτῳ τόξῳ ἔῤῥιψε καὶ διέκοψε κατ᾽ αὐτοῦ ἕλκοντος, παρηνέχθη δ᾽ αὐτῷ ἄλλοσε ὁ τῷ σιδήρῳ βαρὺς ὀϊστὸς, τὸ τόξον δὲ ἐξέπεσε τῆς χειρὸς αὐτοῦ. ὁ Τεῦκρος δὲ ἐφοβήθη, καὶ εἶπε πρὸς τὸν ἀδελφόν· Φεῦ φεῦ, ὄντως δὴ παντάπασι διακόπτει τὰ βουλεύματα τῆς μάχης τῆς ἡμετέρας ὁ θεὸς, ὅστις τὸ τόξον ἐξέβαλεν ἀπὸ τῆς χειρός μου, τὴν νευρὰν δὲ διέκοψε τὴν νεωστὶ ἐστραμμένην, ἣν ἐδέσμευσα πρόσφατον ὅπως ἂν ἀνέχοιτο τῶν συνεχῶς ἐκπηδώντων ὀϊστῶν. Πρὸς τοῦτον δὲ ἀπεκρίνετο μετὰ ταῦτα Αἴας ὁ μέγας υἱὸς τοῦ Τελαμῶνος· Ὦ προσηνέστατε, ἀλλὰ σὺ τὸ μὲν τόξον ἄφες, καὶ τοὺς πυκτοὺς ὀϊστοὺς κεῖσθαι, ἐπειδὴ ὁ Θεὸς συνέχεε φθονήσας τοῖς Ἕλλησι, λαβὼν δὲ ταῖς χερσὶ τὸ μακρὸν δόρυ, καὶ τὴν ἀσπίδα ἐν τῷ ὤμῳ, μάχου τοῖς Τρῳσὶ, καὶ τοὺς ἄλλους λαοὺς διέγειρε, μὴ δὴ ἄνευ σπουδῆς καὶ ἀγῶνος, καίπερ νικήσαντες λάβοιεν τὰς εὐκαθέδρους ναῦς, ἀλλὰ μνησθείημην τῆς μάχης. Οὕτως εἶπεν. οὗτος δὲ τὸ μὲν τόξον ἐν τῇ σκηνῇ ἔθηκεν. αὐτὸς δὲ περὶ τοὺς ὤμους ἔθηκε τὴν τετράπτυχον ἀσπίδα, τῇ ἰσχυρᾷ δὲ κεφαλῇ τὴν καλῶς κατεσκευασμένην περικεφάλαιαν ἔθηκε τὴν ἱππείας τρίχας ἔχουσαν, φοβερῶς δὲ ὁ λόφος ἄνωθεν κατένευεν, ἔλαβε δὲ τὸ στιβαρὸν δόρυ σιδήρῳ ὀξεῖ ἐστομωμένον, ὥρμησε δὲ πορεύεσθαι, πάνυ δὲ ταχέως τρέχων τῷ Αἴαντι παρέστη. ὁ Ἕκτωρ δὲ ἐπειδὴ ἐθεάσατο τὰ βέλη τοῦ Τεύκρου βλαβέντα, μεγάλως βοήσας παρεκελεύσατο τοῖς Τρῳσὶ καὶ τοῖς Λυκίοις, λέγων· Ὦ Τρῶες καὶ Λύκιοι, καὶ Δάρδανοι πολεμισταὶ, ὦ φίλοι, ἄνδρες ὑπάρχετε, μνήσθητε δὲ τῆς ὁρμητικῆς καὶ πολεμικῆς ἰσχύος κατὰ τὰς βαθείας ναῦς, ἤδη γὰρ ἐθεασάμην τοῖς ὀφθαλμοῖς ἀνδρὸς ἀριστέως βέλη βεβλαμμένα ἐκ τοῦ Διὸς, ῥᾳδίως δὲ εὐεπίγνωστος γίνεται τοῖς ἀνδράσιν ἡ τοῦ Διὸς

Ἠμὲν ὁτέοισιν κῦδος ὑπέρτερον ἐγγυαλίξῃ,
Ἠδ' ὅτινας μινύθῃ τε, καὶ οὐκ ἐθέλῃσιν ἀμύνειν·
Ὡς νῦν Ἀργείων μινύθει μένος, ἄμμι δ' ἀρήγει.
Ἀλλὰ μάχεσθ' ἐπὶ νηυσὶν ἀολλέες· ὃς δέ κεν ὑμέων
Βλήμενος, ἠὲ τυπεὶς θάνατον καὶ πότμον ἐπίσπῃ,
Τεθνάτω· οὔ οἱ ἀεικὲς ἀμυνομένῳ περὶ πάτρης
Τεθνάμεν· ἀλλ' ἄλοχός τε σόη καὶ παῖδες ὀπίσσω,
Καὶ οἶκος, καὶ κλῆρος ἀκήρατος· εἴ κεν Ἀχαιοὶ
Οἴχωνται σὺν νηυσὶ φίλην ἐς πατρίδα γαῖαν.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Αἴας δ' αὖθ' ἑτέρωθεν ἐκέκλετο οἷς ἑτάροισιν·
Αἰδὼς, Ἀργεῖοι· νῦν ἄρκιον ἢ ἀπολέσθαι,
Ἠὲ σαωθῆναι, καὶ ἀπώσασθαι κακὰ νηῶν.
Ἦ ἔλπεσθ', ἢν νῆας ἕλῃ κορυθαίολος Ἕκτωρ,
Ἐμβαδὸν ἵξεσθαι ἣν πατρίδα γαῖαν ἕκαστος;
Ἦ οὐκ ὀτρύνοντος ἀκούετε λαὸν ἅπαντα
Ἕκτορος, ὃς δὴ νῆας ἐνιπρῆσαι μενεαίνει;
Οὐ μὰν ἔς γε χορὸν κέλετ' ἐλθέμεν, ἀλλὰ μάχεσθαι.
Ἡμῖν δ' οὔτις τοῦδε νόος καὶ μῆτις ἀμείνων,
Ἢ αὐτοσχεδίῃ μῖξαι χεῖράς τε μένος τε·
Βέλτερον, ἢ ἀπολέσθαι ἕνα χρόνον, ἠὲ βιῶναι,
Ἢ δηθὰ στρεύγεσθαι ἐν αἰνῇ δηϊοτῆτι
Ὧδ' αὔτως παρὰ νηυσὶν, ὑπ' ἀνδράσι χειροτέροισιν.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου.
Ἔνθ' Ἕκτωρ μὲν ἕλε Σχέδιον, Περιμήδεος υἱὸν,
Ἀρχὸν Φωκήων· Αἴας δ' ἕλε Λαοδάμαντα,
Ἡγεμόνα πρυλέων, Ἀντήνορος ἀγλαὸν υἱόν·
Πουλυδάμας δ' Ὦτον Κυλλήνιον ἐξενάριξε,

δύναμις, καὶ ὅτε τισὶ δόξαν μεγάλην παρέξῃ, καὶ ὅτε τινὰς ἐλαττοῖ, καὶ οὐ βούλεται βοηθεῖν, ὥσπερ νυνὶ τὴν μὲν ἰσχὺν τῶν Ἑλλήνων ἐλαττοῖ, ἡμῖν δὲ βοηθεῖ, ἀλλὰ μάχεσθε παρὰ ταῖς ναυσὶν ἀθρόοι καὶ ὁμοθυμαδόν· ὃς δ᾽ ἂν ὑμῶν βληθεὶς ἢ τρωθεὶς θάνατον καὶ μόρον λάβῃ, ἀποθανέτω, οὐκ ἀπρεπές ἐστιν αὐτῷ μαχομένῳ ὑπὲρ τῆς πατρίδος ἀποθανεῖν, ἀλλ᾽ ἥτε γαμετὴ σεσωσμένη μετὰ ταῦτ᾽ ἔσται, καὶ οἱ παῖδες, καὶ ὁ οἶκος, καὶ ἡ περιουσία ἀδιάφθορος, ἐὰν οἱ Ἕλληνες ἀναχωρήσωσι μετὰ τῶν νεῶν εἰς τὴν πατρίδα γῆν τὴν ἀγαπητήν. Οὕτως εἰπὼν παρώξυνεν ἑκάστου ψυχήν τε καὶ ἰσχύν. Αἴας δ᾽ αὖ ἐκ τοῦ ἑτέρου μέρους παρεκελεύσατο τοῖς ἑαυτοῦ φίλοις λέγων· Ὦ Ἕλληνες, αἰσχύνη ἔστω, νῦν βέλτιον ἢ ἀποθανεῖν, ἢ σωθῆναι, καὶ ἀπελάσαι τὰ δεινὰ ἀπὸ τῶν νεῶν, ἢ ἐλπίζετε ἐὰν τὰς ναῦς κρατήσῃ ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν Ἕκτωρ πεζοὶ ἀφίξεσθαι πάντες εἰς τὴν ἰδίαν πατρίδα γῆν; ἢ οὐκ ἀκούετε τοῦ Ἕκτορος παροξύνοντος ἅπαντα τὸν στρατὸν, ὃς δὴ τὰς ναῦς κατακαῦσαι προθυμεῖται; οὐδαμῶς εἰς χορείαν ἐλθεῖν αὐτοὺς βοᾷ, ἀλλὰ πολεμεῖν· ἡμῖν δὲ οὐδεὶς ἄλλος νοῦς καὶ βουλὴ κρείσσων ταύτης, ἢ ἐκ τοῦ σύνεγγυς συνάψαι τὰς χεῖρας τε καὶ τὴν ἰσχύν· βέλτιον καὶ αἱρετώτερον καθ᾽ ἕνα χρόνον ἢ τεθνάναι, ἢ ζῆν, ἢ ἐπὶ πολὺν χρόνον κάμνειν καὶ φθείρεσθαι ἐν τῇ χαλεπῇ μάχῃ, οὕτω μάτην παρὰ ταῖς ναυσὶν ὑπ᾽ ἀνδρῶν χειρόνων. Οὕτως εἰπὼν παρώξυνεν ἑκάστου προθυμίαν τε καὶ ἰσχύν. Τότε Ἕκτωρ μὲν ἀνεῖλε Σχέδιον τὸν υἱὸν τοῦ Περιμήδους τὸν ἡγεμόνα τῶν Φωκέων, Αἴας δὲ ἀνεῖλεν Λαοδάμαντα τὸν ἡγεμόνα τῶν πεζῶν, τὸν λαμπρὸν υἱὸν τοῦ Ἀντήνορος. Πολυδάμας δὲ Ὦτον τὸν ἐκ τῆς Κυλλήνης ἀπέκτεινε τὸν φίλον τοῦ υἱοῦ τοῦ Φυλέως

Φυλείδεω ἕταρον, μεγαθύμων ἀρχὸν Ἐπειῶν.
Τῷ δὲ Μέγης ἐπόρουσεν ἰδών. ὁ δ' ὕπαιθα λιάσθη
Πουλυδάμας· καὶ τοῦ μὲν ἀπήμβροτεν· οὐ γὰρ Ἀπόλλων
Εἴα Πάνθου υἱὸν ἐνὶ προμάχοισι δαμῆναι·
Αὐτὰρ ὅγε Κροίσμου στῆθος μέσον οὔτασε δουρί·
Δούπησεν δὲ πεσὼν, ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα.
Τόφρα δὲ τῷ ἐπόρουσε Δόλοψ, αἰχμῆς εὖ εἰδὼς,
Λαμπετίδης, ὃν Λάμπος ἐγείνατο, φέρτατος ἀνδρῶν,
Λαομεδοντιάδης, εὖ εἰδότα θούριδος ἀλκῆς·
Ὃς τότε Φυλείδαο μέσον σάκος οὔτασε δουρὶ,
Ἐγγύθεν ὁρμηθείς· πυκινὸς δέ οἱ ἤρκεσε θώρηξ.
Τόν ῥ' ἐφόρει γυάλοισιν ἀρηρότα· τόν ποτε Φυλεὺς
Ἤγαγεν ἐξ Ἐφύρης, ποταμοῦ ἀπὸ Σελλήεντος·
Ξεῖνος γάρ οἱ ἔδωκεν ἄναξ ἀνδρῶν Εὐφήτης,
Ἐς πόλεμον φορέειν, δηΐων ἀνδρῶν ἀλεωρήν·
Ὅς οἱ καὶ τότε παιδὸς ἀπὸ χροὸς ἤρκεσ' ὄλεθρον.
Τοῦ δὲ Μέγης κόρυθος χαλκήρεος ἱπποδασείης
Κύμβαχον ἀκρότατον νύξ' ἔγχεϊ ὀξυόεντι,
Ῥῆξε δ' ἀφ' ἵππειον λόφον αὐτοῦ· πᾶς δὲ χαμᾶζε
Κάππεσεν ἐν κονίῃσι, νέον φοίνικι φαεινός.
Ἕως ὁ τῷ πολέμιζε μένων, ἔτι δ' ἤλπετο νίκην,
Τόφρα δέ οἱ Μενέλαος ἀρήϊος ἦλθεν ἀμύντωρ·
Στῆ δ' εὐρὰξ σὺν δουρὶ λαθὼν, βάλε δ' ὦμον ὄπισθεν.
Αἰχμὴ δέ στέρνοιο διέσσυτο μαιμώωσα,
Πρόσσω ἱεμένη· ὁ δ' ἄρα πρηνὴς ἐλιάσθη.
Τὼ μὲν ἐεισάσθην χαλκήρεα τεύχε' ἀπ' ὤμων
Συλήσειν· Ἕκτωρ δὲ κασιγνήτοισι κέλευε
Πᾶσι μάλα, πρῶτον δ' Ἱκεταονίδην ἐνένιπτεν

τὸν ἡγεμόνα τῶν μεγαλοψύχων Ἐπειῶν. τούτῳ δὲ Μέγης ἐφώρμησε θεασάμενος, οὗτος δὲ εἰς τοὔμπροσθεν ἀνεχώρησεν ὁ Πολυδάμας, καὶ τούτου μὲν ἀπέτυχεν, οὐ γὰρ Ἀπόλλων ἀφίη τὸν τοῦ Πάνθου υἱὸν ἀναιρεθῆναι ἐν τοῖς πρωταγωνισταῖς· οὗτος δὲ τὸ τοῦ Κροίσμου στῆθος κατὰ τὸ μέσον ἔπληξε τῷ δόρατι, ἐψόφησε δὲ καταπεσὼν, οὗτος δὲ ἀπὸ τῶν ὤμων τὰ ὅπλα ἀφῃρεῖτο. ἡνικαῦτα δὲ ἐπ' αὐτὸν ὥρμησε Δόλοψ καλῶς ἐπιστάμενος τὸ δόρυ ὁ υἱὸς τοῦ Λάμπου, ὃν Λάμπος ἐγέννησεν ὁ βέλτιστος τῶν ἀνδρῶν ὁ υἱὸς τοῦ Λαομέδοντος καλῶς ἐπιστάμενον τὴν ὁρμητικὴν καὶ πολεμικὴν ἰσχύν· οὗτος τότε τὸ μέσον τῆς ἀσπίδος τοῦ υἱοῦ τοῦ Φυλέως ἔβαλε τῷ δόρατι ἐκ τοῦ σύνεγγυς ὁρμήσας, ὁ πυκνὸς δὲ καὶ στιβαρὸς θώραξ ἐβοήθησεν αὐτῷ, ὃν δὴ ἐφόρει τοῖς κοιλώμασιν ἐνηρμοσμένον, ὅν ποτε ὁ Φυλεὺς ἤνεγκεν ἐκ τῆς Ἐφύρης ἀπὸ Σελλήεντος τοῦ ποταμοῦ, ξένος γὰρ αὐτῷ ἔδωκεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Εὐφήτης φορεῖν εἰς τὸν πόλεμον. . . . . ὅστις αὐτῷ καὶ τότε ἀπὸ τοῦ σώματος τοῦ παιδὸς ἀπεσόβησε τὸν ὀλέθριον θάνατον. τούτου δὲ ὁ Μέγης τῆς σιδηρᾶς περικεφαλαίας τῆς ἱππείαις θριξὶ δασυνομένης τὸ ὑπεράνω διάκενον ἔβαλε δόρατι ὀξεῖ καὶ τμητικῷ, διέκοψε δὲ τὸν ἐξ ἱππείων τριχῶν λόφον αὐτοῦ, ἅπας δὲ εἰς τὴν γῆν κατέπεσεν ἐν τῷ χώματι καὶ τῇ κόνει, νεωστὶ φοινικίνῳ χρώματι λελαμπρυσμένος· ἕως δ' οὗτος αὐτῷ ἐπολέμει παραμένων, ἔτι δὲ ἤλπιζε νίκην, ἐν τούτῳ ἀφίκετο αὐτῷ βοηθὸς Μενέλαος ὁ πολεμικὸς, ἔστη δὲ ὄπισθεν σὺν τῷ δόρατι λαθὼν, ἔπληξε δὲ τῶν ὤμων ὄπισθεν, ἡ ἐπιδορατὶς δὲ διὰ τοῦ στέρνου διῆλθεν ὁρμῶσα εἰς τὸ πρόσω ἐπειγομένη, οὗτος δὲ ἐπὶ πρόσωπον κατέπεσεν· Οὗτοι μὲν οὖν ὥρμησαν τὰ σιδηρᾶ ὅπλα ἀπὸ τῶν ὤμων ἀφαιρήσεσθαι. ὁ Ἕκτωρ δὲ τοῖς ἀδελφοῖς ἐκέλευσε πᾶσι μάλα· πρῶτον δὲ πρὸς υἱὸν τοῦ Ἱκετάονος ὠνείδισε τὸν

Ἴφθιμον Μελάνιππον· ὁ δ' ὄφρα μὲν εἰλίποδας βοῦς
Βόσκ' ἐν Περκώτῃ, δηΐων ἀπονόσφιν ἐόντων·
Αὐτὰρ ἐπεὶ Δαναῶν νέες ἤλυθον ἀμφιέλισσαι·
Ἂψ εἰς Ἴλιον ἦλθε, μετέπρεπε δὲ Τρώεσσι·
Ναῖε δὲ πὰρ Πριάμῳ· ὁ δέ μιν τίεν ἶσα τέκεσσι·
Τόν ῥ' Ἕκτωρ ἐνένιπτεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν·
Οὕτω δὴ, Μελάνιππε, μεθήσομεν; οὐδέ νύ σοί περ
Ἐντρέπεται φίλον ἦτορ, ἀνεψιοῦ κταμένοιο;
Οὐχ ὁράας, οἷον Δόλοπος περὶ τεύχε' ἕπουσιν;
Ἀλλ' ἕπευ· οὐ γὰρ ἔτ' ἐστὶν ἀποσταδὸν Ἀργείοισι
Μάρνασθαι, πρίν γ' ἠὲ κατακτάμεν, ἠὲ κατ' ἄκρης
Ἴλιον αἰπεινὴν ἑλέειν, κτᾶσθαί τε πολίτας,
Ὣς εἰπὼν, ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
Ἀργείους δ' ὤτρυνε μέγας Τελαμώνιος Αἴας·
Ὦ φίλοι, ἀνέρες ἐστὲ, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ·
Ἀλλήλους τ' αἰδεῖσθε κατὰ κρατερὰς ὑσμίνας·
Αἰδομένων δ' ἀνδρῶν πλέονες σόοι, ἠὲ πέφανται·
Φευγόντων δ' οὔτ' ἂρ κλέος ὄρνυται, οὔτε τις ἀλκή.
Ὣς ἔφαθ'· οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον·
Ἐν θυμῷ δὲ βάλοντο ἔπος· φράξαντο δὲ νῆας
Ἕρκεϊ χαλκείῳ· ἐπὶ δὲ Ζεὺς Τρῶας ἔγειρεν.
Ἀντίλοχον δ' ὤτρυνε βοὴν ἀγαθὸς Μενέλαος·
Ἀντίλοχ', οὔτις σεῖο νεώτερος ἄλλος Ἀχαιῶν,
Οὔτε ποσὶν θάσσων, οὔτ' ἄλκιμος, ὡς σὺ, μάχεσθαι·
Εἴ τινά που Τρώων ἐξάλμενος ἄνδρα βάλησθα.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἀπέσσυτο, τὸν δ' ὀρόθυνεν·
Ἐκ δ' ἔθορε προμάχων, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
Ἀμφὶ ἑ παπτήνας· ὑπὸ δὲ Τρῶες κεκάδοντο,

ἰσχυρὸν Μελάνιππον· οὗτος δὲ τέως μὲν τὰς βοῦς τὰς συστρεφούσας τοὺς πόδας κατὰ τὴν πορείαν ἔβοσκεν ἐν τῇ Περκώτῃ τῶν πολεμίων πόῤῥω ὄντων. ἐπεὶ δὲ αἱ νῆες τῶν Ἑλλήνων αἱ ἀμφοτέρωθεν ἐλαυνόμεναι ἀφίκοντο, ὀπίσω εἰς τὸ Ἴλιον ἐπανῆλθε, διέπρεπε δὲ ἐπὶ τοῖς Τρωσὶ, καὶ κράτιστος ἐν αὐτοῖς ἦν, κατῴκει δὲ παρὰ τῷ Πριάμῳ, οὗτος δὲ ἐτίμα αὐτὸν ὁμοίως τοῖς τέκνοις. τοῦτον δὴ ὁ Ἕκτωρ ὠνείδισε, καὶ λόγον εἶπε, καὶ ἐξ ὀνόματος ἐκάλει· Οὕτω δὴ, ὁ Μελάνιππε, καταπροήσομεν καὶ ἀμελήσομεν, οὐδὲ σοίγε ἐπιστρέφεται ἡ ἀγαπητὴ ψυχὴ ἀναιρεθέντος τοῦ ἀδελφίδου; οὐχ ὁρᾷς ὅσον περὶ τὰ ὅπλα τοῦ Δόλοπος ἀσχολοῦνται; ἀλλ' ἀκολούθει, οὐκέτι γάρ ἐστιν ἐξ ἀποστάσεως τοῖς Ἕλλησι μάχεσθαι, πρὶν ἢ κατακτεῖναι ἢ παντελῶς τὴν ὑψηλὴν Ἴλιον ἑλεῖν, καὶ τοὺς πολίτας ἀναιρεθῆναι. Οὕτως εἰπὼν, αὐτὸς μὲν ἡγεῖτο, ὁ δὲ συνείπετο ἀνὴρ ὅμοιος θεῷ. Τοὺς Ἕλληνας δὲ παρώξυνεν ὁ τοῦ Τελαμῶνος μέγας Αἴας, λέγων· Ὦ φίλοι, ἄνδρες ὑπάρχετε, καὶ ἐμβάλετε αἰσχύνην ἐν τῇ ψυχῇ, καὶ ἀλλήλους αἰσχύνεσθε κατὰ τὰς ἰσχυρὰς μάχας, ἀνδρῶν γὰρ αἰσχυνομένων πλείονες σώζονται, ἢ ἀποκτείνονται, φευγόντων δὲ οὔτε δόξα διεγείρεται, οὔτε τις ἰσχύς. Οὕτως εἶπεν, οὗτοι δὲ καὶ αὐτοὶ βοηθῆσαι προεθυμοῦντο, καὶ ἔσπευδον, ἐνέβαλον δὲ εἰς τὴν ψυχὴν τὸν λόγον, διέφραξαν δὲ τὰς ναῦς σιδηρῷ περιφράγματι. Ζεὺς δὲ τοὺς Τρῶας ἐπήγειρε· τὸν Ἀντίλοχον δὲ προὔτρεψεν ὁ κατὰ πόλεμον ἀγαθὸς Μενέλαος· Ὦ Ἀντίλοχε, οὐδεὶς νέος ἄλλος τῶν Ἑλλήνων σοῦ οὔτε τοῖς ποσὶ ταχίων, οὔτε ἰσχυρὸς ὥσπερ σὺ πολεμεῖν, εἴθε τινά που τῶν Τρώων ἄνδρα ἐξαλλόμενος τρώσειας. Οὕτως εἰπὼν αὐτὸς μὲν αὖθις ἐφώρμησε, τοῦτον δὲ παρώτρυνεν, ἐξεπήδησε δὲ πρὸ τῶν πρωταγωνιστῶν, καὶ ἔβαλε δόρατι λαμπρῷ περὶ αὐτὸν σκοπήσας· οἱ Τρῶες δὲ διεχωρίσθησαν

Ἀνδρὸς ἀκοντίσσαντος· ὁ δ' οὐχ ἅλιον βέλος ἧκεν·
Ἀλλ' Ἱκετάονος υἱὸν ὑπέρθυμον Μελάνιππον,
Νισσόμενον πόλεμόνδε βάλε στῆθος παρὰ μαζόν·
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ·
Ἀντίλοχος δ' ἐπόρουσε, κύων ὥς, ὅστ' ἐπὶ νεβρῷ
Βλημένῳ ἀΐξῃ, τόν τ' ἐξ εὐνῆφι θορόντα
Θηρητὴρ ἐτύχησε βαλὼν, ὑπέλυσε δὲ γυῖα·
Ὣς ἐπὶ σοὶ, Μελάνιππε, θόρ' Ἀντίλοχος μενεχάρμης,
Τεύχεα συλήσων· ἀλλ' οὐ λάθεν Ἕκτορα δῖον,
Ὅς ῥά οἱ ἀντίος ἦλθε, θέων ἀνὰ δηϊοτῆτα·
Ἀντίλοχος δ' οὐ μεῖνε, θοός περ ἐὼν πολεμιστὴς,
Ἀλλ' ὅγ' ἄρ' ἔτρεσε, θηρὶ κακὸν ῥέξαντι ἐοικὼς,
Ὅς τε κύνα κτείνας, ἢ βουκόλον, ἀμφὶ βόεσσι,
Φεύγει, πρίν περ ὅμιλον ἀολλισθήμεναι ἀνδρῶν·
Ὣς τρέσε Νεστορίδης· ἐπὶ δὲ Τρῶές τε καὶ Ἕκτωρ
Ἠχῇ θεσπεσίῃ βέλεα στονόεντα χέοντο·
Στῆ δὲ μεταστρεφθεὶς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων.
Τρῶες δὲ, λείουσιν ἐοικότες ὠμοφάγοισι,
Νηυσὶν ἐπεσσεύοντο· Διὸς δ' ἐτέλειον ἐφετμάς·
Ὅς σφισιν αἰὲν ἔγειρε μένος μέγα, θέλγε δὲ θυμὸν
Ἀργείων, καὶ κῦδος ἀπαίνυτο· τοὺς δ' ὀρόθυνεν·
Ἕκτορι γάρ οἱ θυμὸς ἐβούλετο κῦδος ὀρέξαι
Πριαμίδῃ, ἵνα νηυσὶ κορωνίσι θεσπιδαὲς πῦρ
Ἐμβάλῃ ἀκάματον· Θέτιδος δ' ἐξαίσιον ἀρὴν
Πᾶσαν ἐπικρήνειε. τὸ γὰρ μένε μητίετα Ζεὺς,
Νηὸς καιομένης σέλας ὀφθαλμοῖσιν ἰδέσθαι.
Ἐκ γὰρ δὴ τοῦ ἔμελλε παλίωξιν παρὰ νηῶν
Θησέμεναι Τρώων, Δαναοῖσι δὲ κῦδος ὀρέξειν.

ἀνδρὸς βαλόντος τὸ δόρυ· οὗτος δὲ οὐ ματαίως ἀφῆκε τὸ βέλος, ἀλλὰ τὸν υἱὸν τοῦ Ἱκετάονος τὸν μεγαλόψυχον Μελάνιππον πορευόμενον ἐπὶ τὸν πόλεμον ἔπληξε κατὰ τὸ στῆθος παρὰ τὸν μαζὸν, ἐψόφησε δὲ καταπεσὼν, ἤχησαν δὲ τὰ ὅπλα ἐπ' αὐτῷ. ὁ Ἀντίλοχος δὲ ἐφώρμησεν, ὥσπερ κύων, ὅστις κατὰ γεννήματος ἐλάφου τετρωμένου ἐφορμήσει, οὗ ἐξ εὐνῆς ἐκπηδῶντος κυνηγὸς ἐπέτυχεν βαλὼν, παρέλυσε δὲ καὶ ἐνέκρωσε τὰ μέλη. οὕτως ἐπὶ σὲ, ὦ Μελάνιππε, ὥρμησεν Ἀντίλοχος ὁ καρτερὼν ἐν τῷ μάχεσθαι τὰ ὅπλα ἀφαιρησόμενος, ἀλλ' οὐκ ἔλαθε τὸν ἐνδοξότατον Ἕκτορα, ὃς δὴ αὐτῷ ἐναντίον ἦλθε τρέχων κατὰ τὴν μάχην. ὁ Ἀντίλοχος δὲ οὐ παρέμεινε, καίπερ ὢν ταχὺς καὶ ὀξὺς μαχητὴς, ἀλλ' ἐφοβήθη αὐτὸς, ὅμοιος θηρίῳ κακόν τι ποιήσαντι, ὅπερ ἀποκτεῖναν κύνα, ἢ βουκόλον περὶ τὰς βοῦς, φεύγει, πρὶν συναθροισθῆναι τὸ πλῆθος τῶν ἀνδρῶν. οὕτως ἐφοβήθη ὁ υἱὸς τοῦ Νέστορος, ἐπειδὴ οἱ Τρῶες καὶ ὁ Ἕκτωρ σὺν βοῇ θαυμαστῇ τὰ ὀδυνηρὰ βέλη ἔχεον· ἔστη δὲ μεταστραφεὶς, ἐπειδὴ ἀφίκετο εἰς τὸ πλῆθος τῶν φίλων. οἱ Τρῶες δὲ ὅμοιοι τοῖς ὠμοβόροις λέουσιν ἐπὶ τὰς ναῦς ὥρμησαν, τοῦ Διὸς δὲ ἐτελείουν τὰς ἐντολὰς, ὃς αὐτοῖς ἀεὶ διήγειρεν δύναμιν μεγάλην, ἠπάτα δὲ τὴν ψυχὴν τῶν Ἑλλήνων, καὶ ἀφῃρεῖτο τὴν δόξαν, τοὺς Τρῶας δὲ παρώξυνε· τῷ Ἕκτορι γὰρ ἐβούλετο ἡ ψυχὴ αὐτοῦ δόξας δωρήσασθαι τῷ υἱῷ τοῦ Πριάμου, ὅπως ταῖς καμπυλοπρύμνοις ναυσὶ πῦρ θεῖον ἐμβάλοι πολὺ καὶ ἄφθονον, τῆς Θέτιδος δὲ τὴν παράνομον εὐχὴν πᾶσαν ἐκτελέσειε, τοῦτο γὰρ παρέμενεν ὁ βουλευτικὸς Ζεὺς, νεὼς καιομένης ἔξαψιν θεάσασθαι τοῖς ὀφθαλμοῖς. ἐκ τούτου γὰρ ἔμελλεν ἐξ ὑποστροφῆς δίωξιν ἀπὸ τῶν νεῶν ποιήσειν τῶν Τρώων, τοῖς Ἕλλησι δὲ δόξαν παρ-

Τὰ φρονέων, νήεσσιν ἐπὶ γλαφυρῇσιν ἔγειρεν
Ἕκτορα Πριαμίδην, μάλα περ μεμαῶτα καὶ αὐτόν.
Μαίνετο δ', ὡς ὅτ' Ἄρης ἐγχέσπαλος, ἢ ὀλοὸν πῦρ
Οὔρεσι μαίνηται, βαθέης ἐνὶ τάρφεσιν ὕλης·
Ἀφλοισμὸς δὲ περὶ στόμα γίνετο, τὼ δέ οἱ ὄσσε
Λαμπέσθην βλοσυρῇσιν ὑπ' ὀφρύσιν· ἀμφὶ δὲ πήληξ
Σμερδαλέον κροτάφοισι τινάσσετο μαρναμένοιο
Ἕκτορος· αὐτὸς γάρ οἱ ἀπ' αἰθέρος ἦεν ἀμύντωρ
Ζεὺς, ὅς μιν πλεόνεσσι μετ' ἀνδράσι μοῦνον ἐόντα
Τίμα καὶ κύδαινε· μινυνθάδιος γὰρ ἔμελλεν
Ἔσσεσθ'· ἤδη γάρ οἱ ἐπώρνυε μόρσιμον ἦμαρ
Παλλὰς Ἀθηναίη ὑπὸ Πηλεΐδαο βίηφι.
Καί ῥ' ἔθελεν ῥῆξαι στίχας ἀνδρῶν, πειρητίζων,
Ἡ δὴ πλεῖστον ὅμιλον ὅρα καὶ τεύχε' ἄριστα·
Ἀλλ' οὐδ' ὧς δύνατο ῥῆξαι, μάλα περ μενεαίνων·
Ἴσχον γὰρ πυργηδὸν ἀρηρότες, ἠΰτε πέτρη
Ἠλίβατος, μεγάλη, πολιῆς ἁλὸς ἐγγὺς ἐοῦσα·
Ἥτε μένει λιγέων ἀνέμων λαιψηρὰ κέλευθα,
Κύματά τε τροφόεντα, τά τε προσερεύγεται αὐτήν·
Ὣς Δαναοὶ Τρῶας μένον ἔμπεδον, οὐδὲ φέβοντο.
Αὐτὰρ ὁ λαμπόμενος πυρὶ πάντοθεν ἔνθορ' ὁμίλῳ·
Ἐν δ' ἔπεσ', ὡς ὅτε κῦμα θοῇ ἐν νηῒ πέσῃσι
Λάβρον ὑπαὶ νεφέων ἀνεμοτρεφὲς, ἡ δέ τε πᾶσα
Ἄχνῃ ὑπεκρύφθη, ἀνέμοιο δὲ δεινὸς ἀήτης
Ἱστίῳ ἐμβρέμεται· τρομέουσι δέ τε φρένα ναῦται
Δειδιότες· τυτθὸν γὰρ ὑπ' ἐκ θανάτοιο φέρονται·
Ὣς ἐδαΐζετο θυμὸς ἐνὶ στήθεσσιν Ἀχαιῶν.
Αὐτὰρ ὅ γ', ὥστε λέων ὀλοόφρων βουσὶν ἐπελθὼν,

ἕξειν. ταῦτα φρονῶν καὶ διανοούμενος ἐπὶ τὰς βαθείας ναῦς παρώτρυνε τὸν Ἕκτορα τὸν υἱὸν τοῦ Πριάμου πάνυ προθυμούμενον καὶ αὐτὸν, ἐνθουσιωδῶς δὲ ὥρμα ὥσπερ ὅταν ὁ δορυφόρος Ἄρης, ἢ πῦρ ὀλέθριον ἐνθουσιᾷ ἐν τοῖς ὄρεσιν, ἐν τοῖς πυκνοῖς τῆς βαθείας συστάσεως τῶν δένδρων· ἀφρισμὸς δὲ περὶ τὸ στόμα γίνηται, οἱ ὀφθαλμοὶ δὲ αὐτοῦ λάμπωσιν ὑπὸ τὰς καταπληκτικὰς ὀφρῦς· πέριξ δὲ ἡ περικεφαλαία φοβερῶς περὶ τοὺς κροτάφους ἐσείετο μαχομένου τοῦ Ἕκτορος, αὐτὸς γὰρ ἀπὸ τοῦ αἰθέρος ἦν αὐτῷ βοηθὸς ὁ Ζεὺς, ὅστις αὐτὸν ἐν ἀνδράσι πολλοῖς μόνον ὄντα ἐτίμα καὶ ἐδόξαζεν, ὀλιγοχρόνιος γὰρ ἔμελλεν ἔσεσθαι, ἤδη γὰρ αὐτῷ ἀντεπῆγε τὴν εἱμαρμένην θανατηφόρον ἡμέραν ἡ πολεμικὴ Ἀθηνᾶ ἐκ τῆς δυνάμεως τοῦ υἱοῦ τοῦ Πηλέως. καὶ δὴ ἐβούλετο διαῤῥῆξαι καὶ διαλύσαι τὰς τάξεις τῶν ἀνδρῶν πειρώμενος, ὅπου δὴ πολὺ πλῆθος ἑώρα καὶ ὅπλα ἄριστα, ἀλλ᾽ οὐδὲ οὕτως ἐδύνατο διαλύσαι καὶ τρέψαι, καίτοι πάνυ προθυμούμενος, ἀντεῖχον γὰρ δίκην τείχους συνηρμοσμένοι καθάπερ πέτρα ὑψηλὴ μεγάλη ἐγγὺς τῆς λευκῆς θαλάσσης οὖσα, ἥτις ὑπομένει τῶν ὀξέως ἠχούντων ἐν τῷ πνέειν ἀνέμων τὰς πυκνὰς καὶ ταχείας ἐφόδους, καὶ τὰ μεγάλα καὶ ηὐξημένα κύματα, ἅπερ ἐξωθοῦνται πρὸς αὐτήν. οὕτως οἱ Ἕλληνες τοὺς Τρῶας παρέμενον ἀκινήτως, οὐδὲ εἰς φυγὴν ἐτρέποντο. οὗτος δὲ περιλαμπόμενος πανταχόθεν ὑπὸ τῶν ὅπλων, ὡς ὑπὸ πυρὸς ἐπήδησεν εἰς τὸ πλῆθος, ἐνέπεσε δὲ ὥσπερ ὅταν κῦμα ἐν τῇ ταχείᾳ νηὶ πέσῃ πολὺ καὶ σφοδρὸν ὑπὸ τῶν ἀνέμων ηὐξημένων ὑπὸ τὰ νέφη, πᾶσα δὲ ἡ ναῦς ὑπὸ τῆς ἄχνης καὶ τοῦ ἀφροῦ ἐσκεπάσθη, καὶ ἡ τοῦ ἀνέμου χαλεπὴ πνοὴ καὶ ὁρμὴ τῷ ἱστίῳ ἐνηχεῖ προσπληκτίζουσα αὐτὸ δηλαδὴ, τρέμουσι δὲ καὶ φοβοῦνται οἱ ἐπιβάται δεδιότες καὶ πτοούμενοι, μικρὸν γὰρ ἔξω τοῦ θανάτου φέρονται. οὕτως ἐκόπτετο ἐν τοῖς στήθεσιν ἡ ψυχὴ τῶν Ἑλλήνων.

Αἵ ῥά τ' ἐν εἱαμενῇ ἕλεος μεγάλοιο νέμονται
Μυρίαι, ἐν δέ τε τῇσι νομεὺς οὔπω σάφα εἰδὼς
Θηρὶ μαχέσσασθαι, ἕλικος βοὸς ἀμφὶ φονῇσιν·
Ἤτοι ὁ μὲν πρώτῃσι καὶ ὑστατίῃσι βόεσσιν
Αἰὲν ὁμοστιχάει, ὁ δέ τ' ἐν μέσσῃσιν ὀρούσας
Βοῦν ἔδει, αἱ δέ τε πᾶσαι ὑπέτρεσαν· ὣς τότ' Ἀχαιοὶ
Θεσπεσίως ἐφόβηθεν ὑφ' Ἕκτορι καὶ Διῒ πατρὶ
Πάντες· ὁ δ' οἶον ἔπεφνε Μυκηναῖον Περιφήτην,
Κοπρῆος φίλον υἱὸν, ὃς Εὐρυσθῆος ἄνακτος
Ἀγγελίης οἴχνεσκε βίῃ Ἡρακληείῃ·
Τοῦ γένετ' ἐκ πατρὸς πολὺ χείρονος υἱὸς ἀμείνων
Παντοίας ἀρετὰς, ἠμὲν πόδας, ἠδὲ μάχεσθαι,
Καὶ νόον ἐν πρώτοισι Μυκηναίων ἐτέτυκτο·
Ὅς ῥα τόθ' Ἕκτορι κῦδος ὑπέρτερον ἐγγυάλιξεν·
Στρεφθεὶς γὰρ μετόπισθεν, ἐν ἀσπίδος ἄντυγι πάλτο,
Τὴν αὐτὸς φορέεσκε, ποδηνεκὲς ἕρκος ἀκόντων·
Τῇ ὅγ' ἐνιβλαφθεὶς, πέσεν ὕπτιος· ἀμφὶ δὲ πήληξ
Σμερδαλέον κονάβησε περὶ κροτάφοισι πεσόντος·
Ἕκτωρ δ' ὀξὺ νόησε, θέων δέ οἱ ἄγχι παρέστη,
Στήθεϊ δ' ἐν δόρυ πῆξε, φίλων δέ μιν ἐγγὺς ἑταίρων
Κτεῖν'· οἱ δ' οὐκ ἐδύναντο, καὶ ἀχνύμενοί περ ἑταίρου,
Χραισμεῖν· αὐτοὶ γὰρ μάλ' ἐδείδισαν Ἕκτορα δῖον.
Εἴσωποι δ' ἐγένοντο νεῶν, περὶ δ' ἔσχεθον ἄκραι
Νῆες, ὅσαι πρῶται εἰρύατο· τοὶ δ' ἐπέχυντο.
Ἀργεῖοι δὲ νεῶν μὲν ἐχώρησαν καὶ ἀνάγκῃ
Τῶν προτέρων, αὐτοῦ δὲ πάρα κλισίῃσιν ἔμειναν
Ἀθρόοι, οὐδὲ κέδασθεν ἀνὰ στρατόν· ἴσχε γὰρ αἰδὼς
Καὶ δέος· ἀζηχὲς γὰρ ὁμόκλεον ἀλλήλοισι·

οὗτος δὲ ὥσπερ λέων ὀλέθρια φρονῶν ἐπελθὼν ταῖς βουσὶν, αἳ δὴ ἐν καθύδρῳ τόπῳ ἕλους μεγάλου βόσκονται πλεῖσται, ἐν αὐταῖς δὲ ἔστι βουκόλος οὔπω καλῶς ἐπιστάμενος πολεμῆσαι λέοντι περὶ φονεύσεων βοὸς συνεστραμμένα τὰ κέρατα ἐχούσης· καὶ οὗτος μὲν ταῖς πρώταις καὶ ἐσχάταις βουσὶν ἀεὶ συμπαρομαρτεῖ, οὗτος εἰς τὸ μέσον αὐτῶν ὁρμήσας βοῦν ἐσθίει, αὗται δ' ἅπασαι ἐφοβήθησαν. οὕτω τότε οἱ Ἕλληνες θαυμαστῶς ἐφοβήθησαν ὑπὸ τοῦ Ἕκτορος καὶ τοῦ Διὸς τοῦ πατρὸς ξύμπαντες. οὗτος δὲ ἕνα μόνον ἀπέκτεινε Περιφήτην τὸν ἐκ τῆς Μυκήνης τὸν ἀγαπητὸν υἱὸν τοῦ Κοπρέως, ὃς τοῦ βασιλέως Εὐρυσθέως ἀγγελιαφόρος τῶν ἄθλων ἐπορεύετο τῇ δυνάμει τοῦ Ἡρακλέους, ἤτοι τῷ Ἡρακλεῖ. ἐκ τούτου τοῦ πατρὸς πολλῷ χείρονος ἐγεννήθη υἱὸς βελτίων κατὰ πᾶσαν ἀρετὴν, καὶ κατὰ τοὺς πόδας, καὶ κατὰ τὸ πολεμεῖν, καὶ κατὰ τὸν νοῦν ἐν τοῖς πρώτοις τῶν Μυκηναίων ἐτύγχανεν, ὃς δὴ τότε τῷ Ἕκτορι δόξαν μεγάλην ἐπέδωκε· στραφεὶς γὰρ εἰς τοὐπίσω ἐν τῇ περιφερείᾳ τῆς ἀσπίδος ἥλατο καὶ ἐπέβη, ἣν αὐτὸς ἔφερε περίφραγμα τῶν δοράτων μέχρι τῶν ποδῶν διῆκον. ταύτῃ οὗτος παραποδισθεὶς, κατέπεσεν ἐπὶ τὰ μετάφρενα, ἡ περικεφαλαία δὲ περιήχησε καταπληκτικῶς περὶ τοὺς κροτάφους πεσόντος· ὁ Ἕκτωρ δὲ ὀξέως ἐθεάσατο, τρέχων δὲ ἐγγὺς παρεγένετο, ἐνέπηξε δὲ τὸ δόρυ εἰς τὸ στῆθος, ἐγγὺς δὲ τῶν ἀγαπητῶν φίλων αὐτὸν ἀπέκτεινεν· οὗτοι δὲ οὐκ ἐδύναντο, καίτοι λυπούμενοι ἕνεκα τοῦ φίλου, βοηθεῖν, αὐτοὶ γὰρ πάνυ ἐφοβοῦντο τὸν ἐνδοξότατον Ἕκτορα· αὐτόπται δὲ ἐγένοντο τῶν νεῶν, καὶ ἐσχέθησαν αἱ ἄκραι τῶν νεῶν, ὅσαι πρὸ τῶν ἄλλων ἦσαν εἱλκυσμέναι, οὗτοι δὲ ἐπεχύθησαν. οἱ Ἕλληνες δὲ τῶν μὲν νεῶν ἀνεχώρησαν, καὶ ὑπ' ἀνάγκης τῶν πρὸ τῶν ἄλλων, αὐτοὶ δὲ παρὰ ταῖς σκηναῖς ἔμενον ὁμοθυμαδὸν, οὐδὲ διεμερίσθησαν κατὰ τὸ στρατόπεδον, κατεῖχε γὰρ ἡ αἰσχύνη καὶ ὁ φόβος, συνεχῶς γὰρ καὶ ἀδιαλεί-

Νέστωρ δ' αὖτε μάλιστα Γερήνιος, οὖρος Ἀχαιῶν,
Λίσσεθ' ὑπὲρ τοκέων γουνούμενος ἄνδρα ἕκαστον·
Ὦ φίλοι, ἀνέρες ἐστὲ, καὶ αἰδῶ θέσθ' ἐνὶ θυμῷ
Ἄλλων ἀνθρώπων· ἐπὶ δὲ μνήσασθε ἕκαστος
Παίδων, ἠδ' ἀλόχων, καὶ κτήσιος, ἠδὲ τοκήων,
Ἠμὲν ὅτεῳ ζώουσι, καὶ ᾧ κατατεθνήκασι.
Τῶν ὕπερ ἐνθάδ' ἐγὼ γουνάζομαι οὐ παρεόντων,
Ἑστάμεναι κρατερῶς, μηδὲ τροπάασθε φόβονδε.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·
Τοῖσι δ' ἀπ' ὀφθαλμῶν νέφος ἀχλύος ὦσεν Ἀθήνη
Θεσπέσιον· μάλα δέ σφι φόως γένετ' ἀμφοτέρωθεν,
Ἠμὲν πρὸς νηῶν, καὶ ὁμοιΐου πτολέμοιο.
Ἕκτορα δ' ἐφράσσαντο βοὴν ἀγαθὸν, καὶ ἑταίρους,
Ἠμὲν ὅσοι μετόπισθεν ἀφέστασαν, οὐδ' ἐμάχοντο,
Ἠδ' ὅσσοι πὰρ νηυσὶ μάχην ἐμάχοντο θοῇσιν·
Οὐδ' ἄρ' ἔτ' Αἴαντι μεγαλήτορι ἥνδανε θυμῷ
Ἑστάμεν, ἔνθα περ ἄλλοι ἐφέστασαν υἷες Ἀχαιῶν·
Ἀλλ' ὅγε νηῶν ἴκρι ἐπῴχετο, μακρὰ βιβάσθων,
Νώμα δὲ ξυστὸν μέγα ναύμαχον ἐν παλάμῃσι,
Κολλητὸν βλήτροισι, δυωκαιεικοσίπηχυ.
Ὡς δ' ὅτ' ἀνὴρ ἵπποισι κελητίζειν εὖ εἰδὼς,
Ὅς τ' ἐπεὶ ἐκ πολέων πίσυρας συναγείρεται ἵππους,
Σεύας ἐκ πεδίοιο μέγα προτὶ ἄστυ διώκει,
Λαοφόρον καθ' ὁδὸν, πολέες τέ ἑ θηήσαντο
Ἀνέρες, ἠδὲ γυναῖκες· ὁ δ' ἔμπεδον ἀσφαλὲς αἰεὶ
Θρώσκων, ἄλλοτ' ἐπ' ἄλλον ἀμείβεται· οἱ δὲ πέτονται·
Ὣς Αἴας ἐπὶ πολλὰ θοάων ἴκρια νηῶν
Φοίτα, μακρὰ βιβῶν, φωνὴ δέ οἱ αἰθέρ' ἵκανεν·

πτως παρεκελεύοντο ἀλλήλοις· ὁ Νέστωρ δὲ μάλιστα ὁ ἐκ τῆς Γερήνης φύλαξ καὶ ἡγεμὼν τῶν Ἑλλήνων παρεκάλει ὑπὲρ τῶν γονέων ἱκετεύων ἕκαςον ἄνδρα λέγων. Ὦ φίλοι, ἄνδρες ὑπάρχετε, καὶ ἐμβάλετε αἰσχύνην εἰς τὴν ψυχὴν τῶν ἄλλων ἀνθρώπων, πρὸς δὲ μνήσθητε ἅπαντες τῶν παίδων, καὶ τῶν γυναικῶν, καὶ τῶν κτημάτων, καὶ τῶν γονέων, καὶ οἷς ζῶσι, καὶ οἷς ἀπέθανον, ὑπὲρ τούτων ἐνταῦθα ἐγὼ ἱκετεύω μὴ παρόντων, ἑςάναι ἰσχυρῶς καὶ ἀνδρείως, μηδὲ τρέπεσθαι εἰς φυγήν. Οὕτως εἰπὼν παρώξυνεν ἰσχὺν καὶ προθυμίαν ἑκάστου· τούπις δὲ ἀπὸ τῶν ὀφθαλμῶν ἐξέλασεν ἡ Ἀθηνᾶ τὸ τῆς σκοτίας νέφος τὸ θεόθεν καὶ θαυμαστὸν, πάνυ δὲ αὐτοῖς φῶς γέγονεν ἑκατέρωθεν καὶ ἐκ τῶν νεῶν, καὶ ἐκ τοῦ ἐπίσης πᾶσιν χαλεποῦ πολέμου. τὸν Ἕκτορα δὲ ἐθεάσαντο τὸν κατὰ πόλεμον ἀγαθὸν καὶ τοὺς φίλους, καὶ ὅσοι ὄπισθεν ἵσταιτο καὶ οὐκ ἐπολέμουν, καὶ ὅσοι παρὰ ταῖς ταχείαις ναυσὶν ἐπολέμουν τὸν πόλεμον· οὐδὲ ἔτι δὴ τῷ μεγαλοψύχῳ Αἴαντι ἤρεσκεν ἐν τῇ ψυχῇ ἑστάναι, ὅπου οἱ ἄλλοι ἐφίσταντο υἱοὶ τῶν Ἑλλήνων, ἀλλ' οὗτός γε τὰ ἐξέχοντα ἄκρα τῶν νεῶν ἐπηρχετο μεγάλως προποδίζων, ἐκίνει δὲ ἐν ταῖς παλάμαις τὸ μέγα δόρυ τὸ τῶν νεῶν ἀμυντήριον τὸ συγκεκολλημένον συμβήμασι καὶ συνεμπλοκαῖς τὸ δύο καὶ εἴκοσι πηχῶν. ὥσπερ δὲ ὅταν ἀνὴρ καλῶς ἐπιςάμενος ἐλαύνειν τοὺς ἵππους τοὺς κέλητας, ἤτοι τοὺς μονάμπυκας, ὅστις ἐπειδὴ ἐκ πολλῶν τέσσαρας ἐκλεξάμενος συνήγαγεν ἵππους παρορμήσας ἐκ τοῦ πεδίου, πρὸς τὴν μεγάλην πόλιν τρέχει κατὰ τὴν ὁδὸν, δι' ἧς οἱ λαοὶ ὁδεύουσι, πολλοί τε αὐτὸν θεασάμενοι ἐθαύμασαν ἄνδρες καὶ γυναῖκες, οὗτος δὲ ἑδραίως ἀσφαλῶς ἀεὶ προπηδῶν ἀπὸ ἄλλου εἰς ἄλλον μεταβαίνει, οὗτοι δὲ πέτονται. οὕτως ὁ Αἴας ἐπὶ πολλὰ ἐξέχοντα ἄκρα τῶν ταχειῶν νεῶν ἐπορεύετο, ἐκτεταμένως προποδίζων, ἡ φωνὴ δὲ αὐτοῦ εἰς τὸν αἰθέρα ἀνέ-

Αἰεὶ δὲ σμερδνὸν βοόων Δαναοῖσι κέλευε,
Νηυσί τε καὶ κλισίῃσιν ἀμυνέμεν· οὐδὲ μὲν Ἕκτωρ
Μίμνεν ἐνὶ Τρώων ὁμάδῳ πύκα θωρηκτάων·
Ἀλλ' ὥστ' ὀρνίθων πετεηνῶν αἰετὸς αἴθων
Ἔθνος ἐφορμᾶται, ποταμὸν πάρα βοσκομενάων,
Χηνῶν, ἢ γεράνων, ἢ κύκνων δουλιχοδείρων·
Ὣς Ἕκτωρ ἴθυσε νεὸς κυανοπρώροιο,
Ἀντίος ἀΐξας· τὸν δὲ Ζεὺς ὦρσεν ὄπισθε
Χειρὶ μάλα μεγάλῃ, ὤτρυνε δὲ λαὸν ἅμ' αὐτῷ.
Αὖτις δὲ δριμεῖα μάχη παρὰ νηυσὶν ἐτύχθη·
Φαίης κ' ἀκμῆτας καὶ ἀτειρέας ἀλλήλοισιν
Ἄντεσθ' ἐν πολέμῳ· ὡς ἐσσυμένως ἐμάχοντο.
Τοῖσι δὲ μαρναμένοισιν ὅδ' ἦν νόος· ἤτοι Ἀχαιοὶ
Οὐκ ἔφασαν φεύξεσθαι ὑπ' ἐκ κακοῦ, ἀλλ' ὀλέεσθαι·
Τρωσὶν δ' ἤλπετο θυμὸς ἐνὶ στήθεσσιν ἑκάστου,
Νῆας ἐνιπρήσειν, κτανέειν θ' ἥρωας Ἀχαιούς.
Οἱ μὲν τὰ φρονέοντες ἐφέστασαν ἀλλήλοισιν.
Ἕκτωρ δὲ πρύμνης νεὸς ἥψατο ποντοπόροιο,
Καλῆς, ὠκυάλου, ἣ Πρωτεσίλαον ἔνεικεν
Ἐς Τροίην, οὐδ' αὖτις ἀπήγαγε πατρίδα γαῖαν·
Τοῦ περ δὴ περὶ νηὸς Ἀχαιοί τε Τρῶές τε
Δῄουν ἀλλήλους αὐτοσχεδόν· οὐδ' ἄρα τοίγε
Τόξων ἀϊκὰς ἀμφὶς μένον, οὐδέ τ' ἀκόντων,
Ἀλλ' οἵγ' ἐγγύθεν ἱστάμενοι ἕνα θυμὸν ἔχοντες,
Ὀξέσι δὴ πελέκεσσι καὶ ἀξίνῃσι μάχοντο,
Καὶ ξίφεσιν μεγάλοισι, καὶ ἔγχεσιν ἀμφιγύοισι.
Πολλὰ δὲ φάσγανα καλὰ, μελάνδετα, κωπήεντα,
Ἄλλα μὲν ἐκ χειρὸς χαμάδις πέσον, ἄλλα δ' ἀπ' ὤμων

βαινεν, ἀεὶ δὲ καταπληκτικῶς βοῶν τοῖς Ἕλλησιν ἐκέλευε ταῖς ναυσὶ καὶ ταῖς σκηναῖς βοηθεῖν, οὐ μὴν δὲ ὁ Ἕκτωρ ἔμενεν ἐν τῷ πλήθει τῶν Τρώων τῶν ἀσφαλῶς ὁπλισμένων, ἀλλ' ὥσπερ ἀετὸς πυῤῥὸς ἐπὶ ὀρνίθων πετεινῶν, χηνῶν, ἢ γεράνων, ἢ κύκνων μακροτραχήλων πλῆθος ἐφορμᾷ παρὰ τὸν ποταμὸν βοσκομένων· οὕτως ὁ Ἕκτωρ ὥρμησε τῆς μελανοπρώρου νεὼς ἐναντίον ἐπιδραμὼν, τοῦτον δὲ ὁ Ζεὺς διήγειρεν ὄπισθεν χειρὶ πάνυ μεγάλῃ, παρώξυνε δὲ τὸν στρατὸν σὺν αὐτῷ, πάλιν δὲ μάχη χαλεπὴ (ὀξεῖα) παρὰ ταῖς ναυσὶν ἐγένετο. εἶπες ἂν ἀκραιφνεῖς τε καὶ ἀκαταπονήτους ἀλλήλοις ἀπαντᾷν καὶ ἀντεμβάλλειν ἐν τῷ πολέμῳ, οὕτως προθύμως ὁρμῶντες ἐπολέμουν· τούτοις δὲ μαχομένοις οὗτος ἦν νοῦς· οἱ μὲν Ἕλληνες οὐκ ᾠήθησαν δεῖν ἐκφυγεῖν ἐκ τοῦ κακοῦ, ἀλλ' ἀπολέσθαι· τοῖς Τρωσὶ δὲ ἤλπιζεν ἡ ψυχὴ ἐν τοῖς στήθεσιν ἁπάντων, τάς τε ναῦς κατακαύσειν, καὶ ἀναιρήσειν τοὺς ἥρωας Ἕλληνας. οὕτω μὲν ταῦτα φρονοῦντες καὶ διανοούμενοι ἐπετίθεντο ἀλλήλοις. ὁ Ἕκτωρ δὲ ἥψατο τῆς πρύμνης τῆς θαλασσοπλόου νεὼς τῆς περικαλλοῦς, τῆς ταχυπλόου, ἣ τὸν Πρωτεσίλαον ἤνεγκεν εἰς τὴν Τροίαν, οὐδὲ αὖθις ἐπανήγαγεν εἰς τὴν πατρίδα γῆν· περὶ τῆς νεὼς δὴ τούτου οἱ Ἕλληνες καὶ οἱ Τρῶες ἀπέκτεινον ἀλλήλους ἐκ τοῦ σύνεγγυς, οὐδ' ἄρα οὗτοί γε τὰς τῶν τοξευμάτων ὁρμὰς περιέμενον, οὐδὲ τῶν δοράτων· ἀλλ' οὗτοι ἐκ τοῦ σύνεγγυς ἑστῶτες μίαν ψυχὴν ἔχοντες τμητικοῖς δὴ πελέκεσι καὶ ἀξίναις ἐμάχοντο, καὶ ῥομφαίαις μεγάλαις καὶ δόρασι διστόμοις· πολλὰ δὲ ξίφη καλὰ σιδηρόδετα κατὰ τὰς λαβὰς, ἄλλα μὲν ἐκ τῆς χειρὸς κοπτομένης εἰς γῆν ἔπεσον, ἄλλα δὲ σὺν τοῖς ὤμοις τῶν ἀνδρῶν μαχομένων,

Ἀνδρῶν μαρναμένων· ῥέε δ' αἵματι γαῖα μέλαινα.
Ἕκτωρ δὲ πρύμνηθεν ἐπεὶ λάβεν, οὐχὶ μεθίει.
Ἄφλαστον μετὰ χερσὶν ἔχων, Τρωσὶν δ' ἐκέλευεν·
Οἴσετε πῦρ, ἅμα δ' αὐτοὶ ἀολλέες ὄρνυτ' ἀϋτήν.
Νῦν ἡμῖν πάντων Ζεὺς ἄξιον ἦμαρ ἔδωκε,
Νῆας ἑλεῖν, αἳ δεῦρο θεῶν ἀέκητι μολοῦσαι,
Ἡμῖν πήματα πολλὰ θέσαν, κακότητι γερόντων·
Οἵ μ', ἐθέλοντα μάχεσθαι ἐπὶ πρύμνῃσι νέεσσιν,
Αὐτόν τ' ἰσχανάασκον, ἐρητύοντό τε λαόν.
Ἀλλ' εἰ δή ῥα τότ' ἔβλαπτε φρένας εὐρύοπα Ζεὺς
Ἡμετέρας, νῦν αὐτὸς ἐποτρύνει καὶ ἀνώγει.
Ὣς ἔφαθ'· οἳ δ' ἄρα μᾶλλον ἐπ' Ἀργείοισιν ὄρουσαν
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσιν·
Ἀλλ' ἀνεχάζετο τυτθὸν, ὀϊόμενος θανέεσθαι,
Θρῆνυν ἐφ' ἑπταπόδην, λίπε δ' ἴκρια νηὸς ἐΐσης·
Ἔνθ' ἄρ' ὅγ' εἱστήκει δεδοκημένος· ἔγχεϊ δ' αἰεὶ
Τρῶας ἄμυνε νεῶν, ὅστις φέροι ἀκάματον πῦρ·
Αἰεὶ δὲ σμερδνὸν βοόων, Δαναοῖσι κέλευεν·
Ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος,
Ἀνέρες ἐστὲ, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς.
Ἠέ τινας φαμὲν εἶναι ἀοσσητῆρας ὀπίσσω;
Ἠέ τι τεῖχος ἄρειον, ὅ κ' ἀνδράσι λοιγὸν ἀμύναι;
Οὐ μέν τις σχεδόν ἐστι πόλις, πύργοις ἀραρυῖα,
Ἧι, κ' ἀπαμυναίμεσθ', ἑτεραλκέα δῆμον ἔχοντες·
Ἀλλ' ἐν γὰρ Τρώων πεδίῳ πύκα θωρηκτάων,
Πόντῳ κεκλιμένοι, ἑκὰς ἥμεθα πατρίδος αἴης·
Τῷ ἐν χερσὶ φόως, οὐ μειλιχίῃ πολέμοιο.
Ἦ, καὶ μαιμώων ἔφεπ' ἔγχεϊ ὀξυόεντι·

περιεῤῥεῖτο δὲ ἡ γῆ αἵματι μέλανι. Ὁ Ἕκτωρ δὲ ἐπειδὴ ἔλαβε τὴν ναῦν ἀπὸ τῆς πρύμνης, οὐκ ἀφίη, τὸ ἀκροστόλιον ἐν ταῖς χερσὶ κατέχων, τοῖς Τρωσὶ δὲ προσέταττε· Κομίσατε πῦρ· ἅμα δὲ αὐτοὶ ὑμεῖς ἀθρόοι ἐγείρετε φωνὴν, ὅτι νῦν ἡμῖν ὁ Ζεὺς ἔδωκεν ἡμέραν ἀξίαν πάντων, τὰς ναῦς κρατῆσαι, αἵτινες ἐνθάδε παρὰ γνώμην τῶν θεῶν ἐλθοῦσαι, συμφοράς τε καὶ βλάβας πολλὰς ἡμῖν ἐποίησαν δειλίᾳ καὶ κακίᾳ τῶν πρεσβυτέρων, οἵτινές με βουλόμενον πολεμεῖν παρὰ ταῖς πρύμναις τῶν νεῶν, ἐμέ τε ἐκώλυον καὶ κατεῖχον, καὶ τὸν στρατὸν, ἀλλ' εἰ καὶ τότε ἔβλαπτεν ὁ μεγαλόφωνος Ζεὺς τὴν διάνοιαν τὴν ἡμετέραν, νῦν ὅμως αὐτὸς παροξύνει καὶ προτρέπει. Οὕτως εἶπεν. οὗτοι δὲ μᾶλλον κατὰ τῶν Ἑλλήνων ἐφώρμησαν. ὁ Αἴας δὲ οὐκέτι ἔμενε, κατηπείγετο γὰρ τοῖς βέλεσιν, ἀλλ' ὑπολαμβάνων τεθνήξεσθαι, μικρὸν ἀνεχώρησεν ἐπὶ τὰς καθέδρας τῶν ἐρετῶν τὰς ἑπταπόδας, κατέλιπε δὲ τὰ ἐξέχοντα ἄκρα τῆς ἰσοτοίχου νεώς· ἐκεῖ δὴ οὗτος ἵστατο ἐπιτηρῶν, δόρατι δὲ ἀεὶ τοὺς Τρῶας ἀπεσόβει τῶν νεῶν, ὅστις ἔφερε τὸ πολὺ καὶ ἄφθονον πῦρ· ἀεὶ δὲ καταπληκτικῶς βοῶν τοῖς Ἕλλησιν ἐκέλευεν· Ὦ φίλοι ἥρωες Ἕλληνες ὑπηρέται τοῦ Ἄρεος, ἄνδρες ὑπάρχετε, ὦ φίλοι, μνήσθητε δὲ τῆς ὁρμητικῆς καὶ πολεμικῆς ἰσχύος· ἤ τινας οἰόμεθα εἶναι βοηθοὺς μετὰ ταῦτα; ἤ τι τεῖχος πολεμικὸν καὶ ἰσχυρὸν, ὅγ' ἂν τοῖς ἀνδράσιν ἀποσοβήσειε τὸν ὄλεθρον; οὐδαμῶς τις ἐγγύς ἐστι πόλις τείχεσι καὶ πύργοις περιηρμοσμένη, ᾗ ἂν ἐπεξέλθοιμεν, τὸν ἀπὸ τῆς πόλεως δῆμον ἔχοντες ἑτέραν ἡμῖν ἀλκὴν περιποιοῦντα· ἀλλὰ γὰρ ἐν τῷ πεδίῳ τῶν Τρώων τῶν ἀσφαλῶς καθωπλισμένων, τῷ πόντῳ περιεχόμενοι, πόῤῥωθι καθήμεθα τῆς πατρίδος γῆς. δι' ὃ ἐν ταῖς χερσίν ἐστι τὸ φῶς καὶ ἡ ζωὴ, οὐχ ἡ προσηνεία τοῦ πολέμου οἰκεία, ἀλλὰ τῆς εἰρήνης (οὐκ ἐν τῷ προσηνῶς πολεμεῖν). Εἶπε καὶ ἐνθουσιῶν ἐδίωκε δόρατι ὀξεῖ.

Ὅστις δὲ Τρώων κοίλῃς ἐπὶ νηυσὶ φέροιτο
Σὺν πυρὶ κηλείῳ, χάριν Ἕκτορος ὀτρύναντος·
Τὸν δ' Αἴας οὔτασκε, δεδεγμένος ὀξέϊ χαλκῷ·
Δώδεκα δὲ προπάροιθε νεῶν αὐτοσχεδὸν οὖτα.

ὅστις δὲ ἀπὸ τῶν Τρώων ἐπὶ τὰς βαθείας ναῦς ἔτρεχε μετὰ πυρὸς καυστικοῦ, χάριν τοῦ Ἕκτορος, παροξύναντος, τοῦτον Αἴας ἐτίτρωσκεν ἐπιτηρῶν σιδήρῳ ὀξεῖ, δώδεκα δὲ ἔμπροσθεν τῶν νεῶν ἐκ τοῦ σύνεγγυς ἔτρωσε.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩΔΙΑ Π.

Ως οἱ μὲν περὶ νηὸς ἐϋσσέλμοιο μάχοντο·
Πάτροκλος δ' Ἀχιλῆϊ παρίστατο, ποιμένι λαῶν,
Δάκρυα θερμὰ χέων· ὥστε κρήνη μελάνυδρος,
Ἥτε κατ' αἰγίλιπος πέτρης δνοφερὸν χέει ὕδωρ.
Τὸν δὲ ἰδὼν ὤκτειρε ποδάρκης δῖος Ἀχιλλεὺς,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Τίπτε δεδάκρυσαι, Πατρόκλεις; ἠΰτε κούρη
Νηπίη; ἥθ' ἅμα μητρὶ θέουσ' ἀνελέσθαι ἀνώγει,
Εἱανοῦ ἁπτομένη, καί τ' ἐσσυμένην κατερύκει·
Δακρυόεσσα δέ μιν ποτιδέρκεται, ὄφρ' ἀνέληται·
Τῇ ἴκελος, Πάτροκλε, τέρεν κατὰ δάκρυον εἴβεις.
Ἠέ τι Μυρμιδόνεσσι πιφαύσκεαι, ἢ ἐμοὶ αὐτῷ,
Ἠέ τιν' ἀγγελίην Φθίης ἐξέκλυες οἶος;
Ζώειν μὰν ἔτι φασὶ Μενοίτιον, Ἄκτορος υἱὸν,

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΔΙΑΣ Π

ΠΑΡΑΦΡΑΣΙΣ.

Οὕτως οὗτοι μὲν περὶ τῆς εὐκαθέδρου νηὸς ἐπολέμουν. ὁ Πάτροκλος δὲ τῷ Ἀχιλλεῖ παρίστατο τῷ βασιλεῖ τῶν λαῶν, δάκρυα θερμὰ χέων, ὥσπερ πηγὴ βαθύυδρος, ἥτις ἀπὸ ὑψηλῆς πέτρας σκοτεινὸν καὶ ζοφῶδες ὕδωρ χέει. τοῦτον δὲ θεασάμενος ἠλέησεν ὁ ταχύπους ἐνδοξότατος Ἀχιλλεὺς, καὶ φωνήσας λόγους ταχεῖς ἔλεγε πρὸς αὐτόν. Ὦ Πάτροκλε, τί δὴ δακρύεις καθάπερ κόρη παντάπασι νέα, ἥτις ἅμα τῇ μητρὶ τρέχουσα ἀναλαβεῖν καὶ βαστάσαι κελεύει, τοῦ πέπλου λαμβανομένη, καὶ σπεύδουσαν κωλύει καὶ κατέχει, δακρύουσα δὲ πρὸς αὐτὴν βλέπει, ἕως ἂν ἀναλάβῃ καὶ βαστάσῃ· ταύτῃ ὅμοιος, ὦ Πάτροκλε, δάκρυον ἁπαλὸν καταχέεις· ἤ τι τοῖς Μυρμιδόσι προορᾷς καὶ σημαίνεις, ἢ ἐμοὶ αὐτῷ; ἤ τινα ἀγγελίαν ἐκ τῆς Φθίας ἤκουσας μόνος; καὶ μὴν ζῆν ἔτι φασὶ Μενοίτιον τὸν υἱὸν τοῦ Ἄκτορος, ζεῖ δὲ Πηλεὺς ὁ

Ζώει δ' Αἰακίδης Πηλεὺς μετὰ Μυρμιδόνεσσι,
Τῶν κε μάλ' ἀμφοτέρων ἀκαχήμεθα τεθνειώτων.
Ἠὲ σύ γ' Ἀργείων ὀλοφύρεαι, ὡς ὀλέκονται
Νηυσὶν ἐπὶ γλαφυρῇσιν, ὑπερβασίης ἕνεκα σφῆς;
Ἐξαύδα, μὴ κεῦθε νόῳ, ἵνα εἴδομεν ἄμφω.
Τὸν δὲ βαρυστενάχων προσέφης Πατρόκλεις ἱππεῦ·
Ὦ Ἀχιλεῦ, Πηλέος υἱὲ, μέγα φέρτατ' Ἀχαιῶν;
Μὴ νεμέσα· τοῖον γὰρ ἄχος βεβίηκεν Ἀχαιούς,
Οἱ μὲν γὰρ δὴ πάντες, ὅσοι πάρος ἦσαν ἄριστοι,
Ἐν νηυσὶν κέαται βεβλημένοι, οὐτάμενοί τε.
Βέβληται μὲν ὁ Τυδείδης κρατερὸς Διομήδης·
Οὔτασται δ' Ὀδυσεὺς δουρικλυτὸς, ἠδ' Ἀγαμέμνων·
Βέβληται δὲ καὶ Εὐρύπυλος κατὰ μηρὸν ὀϊστῷ.
Τοὺς μέν τ' ἰητροὶ πολυφάρμακοι ἀμφιπένονται,
Ἕλκε' ἀκειόμενοι, σὺ δ' ἀμήχανος ἔπλευ, Ἀχιλλεῦ.
Μὴ ἐμὲ γοῦν οὗτός γε λάβοι χόλος, ὃν σὺ φυλάσσεις,
Αἰναρέτη· τίς σευ ἄλλος ὀνήσεται ὀψίγονός περ,
Αἴκε μὴ Ἀργείοισιν ἀεικέα λοιγὸν ἀμύνῃς;
Νηλεές· οὐκ ἄρα σοί γε πατὴρ ἦν ἱππότα Πηλεὺς,
Οὐδὲ Θέτις μήτηρ· γλαυκὴ δέ σε τίκτε θάλασσα,
Πέτραι τ' ἠλίβατοι· ὅτι τοι νόος ἐστὶν ἀπηνής.
Εἰ δέ τινα φρεσὶ σῇσι θεοπροπίην ἀλεείνεις,
Καί τινά τοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
Ἀλλ' ἐμέ περ πρόες ὦχ', ἅμα δ' ἄλλον λαὸν ὄπασσον
Μυρμιδόνων, ἤν πού τι φόως Δαναοῖσι γένωμαι·
Δὸς δέ μοι ὤμοιϊν τὰ σὰ τεύχεα θωρηχθῆναι·
Αἴκ ἐμέ σοι ἴσκοντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν

υἱὸς τοῦ Αἰάκου ἐν τοῖς Μυρμιδόσιν, ὧν ἕνεκα ἀμφοτέρων πάνυ ἂν λυποίμεθα ἀποθανόντων· ἢ σὺ χάριν τῶν Ἑλλήνων ὀδύρῃ, διότι φθείρονται παρὰ ταῖς βαθείαις ναυσὶν, ἕνεκα τῆς ἑαυτῶν παραβάσεως καὶ ἀδικίας; ἔξειπε· μὴ κρύπτε ἐν τῷ νῷ, ὅπως γινώσκωμεν ἀμφότεροι. Πρὸς τοῦτον δὲ βαρέως στενάζων εἶπες, ὦ Πάτροκλε ἱππικέ· Ὦ Ἀχιλλεῦ υἱὲ τοῦ Πηλέως, πάνυ κράτιστε τῶν Ἑλλήνων, μὴ μέμφου μοι, τοιαύτη γὰρ λύπη ἐβιάσατο καὶ καθεῖλε τοὺς Ἕλληνας· πάντες μὲν γὰρ ὅσοι πρότερον ἦσαν κράτιστοι, ἐν ταῖς ναυσὶ κεῖνται πόῤῥωθεν καὶ ἐκ τοῦ σύνεγγυς τετρωμένοι· τέτρωται μὲν ἐκ βολῆς ὁ υἱὸς τοῦ Τυδέως ὁ ἰσχυρὸς Διομήδης, τέτρωται δὲ ἐκ χειρὸς ὁ κατὰ πόλεμον ἔνδοξος Ὀδυσσεὺς καὶ ὁ Ἀγαμέμνων· τέτρωται δὲ ἰῷ καὶ ὁ Εὐρύπυλος κατὰ τὸν μηρὸν καὶ περὶ τούτους μὲν ἰατροὶ πολλὰ φάρμακα ἔχοντες ἀσχολοῦνται, τὰ τραύματα θεραπεύοντες· σὺ δὲ ἀπρομηχάνητος ὑπάρχεις, ὦ Ἀχιλλεῦ· εἴθε μὴ ἐμέ γε κρατήσειεν ἡ ὀργὴ αὕτη, ἣν σὺ φυλάττεις, ἐπὶ κακῷ τὴν ἀρετὴν κεκτημένε· τίς ἄλλος μεταγενέστερος ὠφεληθήσεται ἐκ τῶν σῶν ὑπομνημάτων, ἐὰν μὴ τοῖς Ἕλλησιν ἀπελάσῃς τὸν ἀπρεπῆ καὶ δεινὸν θάνατον; ὦ ἀνηλεὴς καὶ ἀπηνὴς, οὐκ ἄρα σοί γε ἦν πατὴρ ὁ ἱππικὸς Πηλεὺς, οὐδὲ μήτηρ ἡ Θέτις· ἡ δύσχρους δέ σε θάλασσα ἔτεκε, καὶ αἱ πέτραι αἱ ὑψηλαὶ, διότι σοι νοῦς ὑπάρχει σκληρὸς καὶ ἀνηλεής· εἰ δέ τινα μαντείαν ἐν τῇ σαυτοῦ διανοίᾳ ἐκφεύγεις, καί τινά σοι παρὰ τοῦ Διὸς εἶπεν ἡ σεβαστὴ μήτηρ, ἀλλ' ἐμὲ γοῦν πέμψον ταχέως, ἅμα δὲ τὸν ἄλλον λαὸν δὸς τῶν Μυρμιδόνων, εἴτι που φῶς καὶ ζωὴ τοῖς Ἕλλησι γενοίμην· δὸς δέ μοι τὰ σὰ ὅπλα καθοπλισθῆναι ἐν τοῖς ὤμοις, εἴ τί μέ σοι ἀπεικάζοντες ἀποσταῖεν τοῦ πολέμου οἱ Τρῶες, ἀναπαύσαιντο δὲ οἱ πολεμικοὶ υἱοὶ τῶν Ἑλλήνων καταπονούμενοι, ἡ ἀνάπαυσις δὲ τοῦ

Τειρόμενοι· ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο.
Ῥεῖα δέ κ' ἀκμῆτες κεκμηότας ἄνδρας ἀϋτῇ
Ὤσαιμεν προτὶ ἄστυ, νεῶν ἄπο καὶ κλισιάων.
Ὣς φάτο λισσόμενος, μέγα νήπιος· ἦ γὰρ ἔμελλεν
Οἱ αὐτῷ θάνατόν τε κακὸν καὶ κῆρα λιτέσθαι.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Ὤ μοι, διογενὲς Πατρόκλεις, οἷον ἔειπες·
Οὔτε θεοπροπίης ἐμπάζομαι, ἥντινα οἶδα,
Οὔτε τί μοι πὰρ Ζηνὸς ἐπέφραδε πότνια μήτηρ·
Ἀλλὰ τόδ' αἰνὸν ἄχος κραδίην καὶ θυμὸν ἱκάνει,
Ὁππότε δὴ τὸν ὁμοῖον ἀνὴρ ἐθέλησιν ἀμέρσαι,
Καὶ γέρας ἂψ ἀφελέσθαι, ὅτε κράτεϊ προβεβήκει·
Αἰνὸν ἄχος τό μοι ἐστὶν, ἐπεὶ πάθον ἄλγεα θυμῷ.
Κούρην, ἣν ἄρα μοι γέρας ἔξελον υἷες Ἀχαιῶν,
Δουρὶ δ' ἐμῷ κτεάτισσα, πόλιν εὐτείχεα πέρσας,
Τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων
Ἀτρείδης, ὡσεί τιν' ἀτίμητον μετανάστην.
Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσσομεν· οὐδ' ἄρα πως ἦν
Ἀσπερχὲς κεχολῶσθαι ἐνὶ φρεσίν· ἤτοι ἔφην γε
Οὐ πρὶν μηνιθμὸν καταπαυσέμεν, ἀλλ' ὁπόταν δὴ
Νῆας ἐμὰς ἀφίκηται ἀϋτή τε, πτόλεμός τε.
Τύνη δ' ὤμοιϊν μὲν ἐμὰ κλυτὰ τεύχεα δῦθι,
Ἄρχε δὲ Μυρμιδόνεσσι φιλοπτολέμοισι μάχεσθαι·
Εἰ δὴ κυάνεον Τρώων νέφος ἀμφιβέβηκε
Νηυσὶν ἐπικρατέως· οἱ δὲ ῥηγμῖνι θαλάσσης
Κεκλίαται, χώρης ὀλίγην ἔτι μοῖραν ἔχοντες,
Ἀργεῖοι· Τρώων δὲ πόλις ἐπὶ πᾶσα βέβηκε,
Θάρσυνος· οὐ γὰρ ἐμῆς κόρυθος λεύσσουσι μέτωπον

πολέμου παρὰ μικρὰν ῥοπὴν γίνεται· εὐκόλως δὲ οἱ ἀναπαυόμενοι τοὺς κεκοπωμένους ἄνδρας βοῇ μόνῃ ἀποδιώξαιμεν πρὸς τὴν πόλιν ἀπὸ τῶν νεῶν καὶ τῶν σκηνῶν. Οὕτως εἶπε παρακαλῶν ὁ λίαν ἀνόητος· τῷ ὄντι γὰρ ἐῴκει ἑαυτῷ θάνατόν τε δεινὸν καὶ μοῖραν κακὴν παρακαλεῖν. Πρὸς τοῦτον δὲ μεγάλως στενάξας ὁ ταχύπους Ἀχιλλεὺς εἶπεν. Οἴμοι, ὦ ἐνδοξότατε Πάτροκλε, οἷον λόγον εἶπας· οὐδὲ μαντείας φροντίζω ἣν οἶδα, οὔτέ τί μοι παρὰ τοῦ Διὸς εἶπεν ἡ σεβαστὴ μήτηρ, ἀλλ' αὕτη δεινὴ λύπη τὴν καρδίαν καὶ τὴν ψυχὴν καταλαμβάνει, ὅταν ἀνήρ τις ἐθέλῃ ἀποστερῆσαί του τὸν ὅμοιον ἑαυτῷ, καὶ τὴν τιμὴν ἣν ἔδωκε πάλιν ἀφελέσθαι, ὅτε προέχει τῶν ἄλλων κράτει καὶ ἀρχῇ· χαλεπὴ λύπη αὕτη μοι ὑπάρχει, ἐπειδὴ ἔπαθον ἄλγη καὶ θλίψεις ἐν τῇ ψυχῇ· τὴν νέαν ἣν δή μοι ἐκλεξάμενοι ἔδωκαν οἱ υἱοὶ τῶν Ἑλλήνων, δόρατι δὲ ἐμῷ ἐκτησάμην, τὴν καλῶς τετειχισμένην πόλιν ἐκπορθήσας, ταύτην πάλιν ἐκ τῶν ἐμῶν χειρῶν ἀφείλετο ὁ βασιλεὺς Ἀγαμέμνων ὁ υἱὸς τοῦ Ἀτρέως, ὡσπερεί τινα ἄτιμον μέτοικον. ἀλλὰ ταῦτα μὲν προγενέσθαι καταλίπωμεν, οὐδ' ἄρα πως ἦν ἄγαν ἐπιτεταμένως καὶ ἀμεταμελητὶ ὀργίζεσθαι ἐν τῷ θυμῷ, ᾠήθην μέντοι οὐ πρότερον τὴν ὀργὴν καταπαύσειν, ἀλλ' ὁπηνίκα δὴ ἐπὶ τὰς ἐμὰς ναῦς ἀφίκηται ἡ βοὴ καὶ ἡ μάχη· σὺ δὲ ἐνδύθητι μὲν ἐπὶ τῶν ὤμων τὰ ἐμὰ ἔνδοξα ὅπλα, ἡγοῦ δὲ τοῖς τὸν πόλεμον φιλοῦσι Μυρμιδόσι μάχεσθαι, εἴγε δὴ τὸ μέλαν νέφος, ἤτοι τὸ πλῆθος τῶν Τρώων περιβέβηκε τὰς ναῦς ἐπικρατῶς καὶ ἰσχυρῶς, οὗτοι δὲ τῷ τῆς θαλάσσης αἰγιαλῷ περιέχονται, τῆς χώρας ὀλίγον ἔτι μέρος ἔχοντες οἱ Ἕλληνες, οἱ Τρῶες δὲ πάντες ἐπέβησαν τεθαῤῥηκότες· οὐ γὰρ βλέπουσι τῆς ἐμῆς περικεφαλαίας τὸ μέτωπον ἐγγὺς περι-

Ἐγγύθι λαμπομένης· τάχα κεν φεύγοντες, ἐναύλους
Πλήσειαν νεκύων, εἴ μοι κρείων Ἀγαμέμνων
Ἤπια εἰδείη· νῦν δὲ στρατὸν ἀμφιμάχονται.
Οὐ γὰρ Τυδείδεω Διομήδεος ἐν παλάμῃσι
Μαίνεται ἐγχείη, Δαναῶν ἄπο λοιγὸν ἀμῦναι·
Οὐδέ πω Ἀτρείδεω ὀπὸς ἔκλυον αὐδήσαντος,
Ἐχθρῆς ἐκ κεφαλῆς· ἀλλ' Ἕκτορος ἀνδροφόνοιο,
Τρωσὶ κελεύοντος, περιάγνυται· οἱ δ' ἀλαλητῷ
Πᾶν πεδίον κατέχουσι, μάχῃ νικῶντες Ἀχαιούς.
Ἀλλὰ καὶ ὧς, Πάτροκλε, νεῶν ἄπο λοιγὸν ἀμύνων
Ἔμπεσ' ἐπικρατέως· μὴ δὴ πυρὸς αἰθομένοιο
Νῆας ἐνιπρήσωσι, φίλον δ' ἀπὸ νόστον ἕλωνται.
Πείθεο δ', ὥς τοι ἐγὼ μύθου τέλος ἐν φρεσὶ θείω·
Ὡς ἄν μοι τιμὴν μεγάλην καὶ κῦδος ἄρηαι
Πρὸς πάντων Δαναῶν· ἀτὰρ οἳ περικαλλέα κούρην
Ἂψ ἀπονάσσωσιν, ποτὶ δ' ἀγλαὰ δῶρα πόρωσιν.
Ἐκ νηῶν δ' ἐλάσας, ἰέναι πάλιν· εἰ δέ κεν αὖ τοι
Δώῃ κῦδος ἀρέσθαι ἐρίγδουπος πόσις Ἥρης,
Μὴ σύ γ' ἄνευθεν ἐμεῖο λιλαίεσθαι πολεμίζειν
Τρωσὶ φιλοπτολέμοισιν· ἀτιμότερον δέ με θήσεις.
Μηδ' ἐπαγαλλόμενος πολέμῳ καὶ δηϊοτῆτι,
Τρῶας ἐναιρόμενος, ποτὶ Ἴλιον ἡγεμονεύειν·
Μή τις ἀπ' Οὐλύμποιο θεῶν αἰειγενετάων
Ἐμβήῃ· μάλα τούς γε φιλεῖ ἑκάεργος Ἀπόλλων·
Ἀλλὰ πάλιν τρωπᾶσθαι, ἐπὴν φάος ἐν νήεσσι
Θείῃς, τοὺς δὲ ἐᾷν πεδίον καταδηριάασθαι.
Αἲ γὰρ, Ζεῦ τε πάτερ, καὶ Ἀθηναίη, καὶ Ἄπολλον,
Μήτε τις οὖν Τρώων θάνατον φύγοι ὅσσοι ἔασι,

λαμπούσης, ταχέως ἂν εἰς φυγὴν τραπέντες τὰ περὶ τὴν τάφρον πληρώσαιεν νεκρῶν, εἴ μοι ὁ βασιλεὺς Ἀγαμέμνων εἴδει προσηνεῖ εἰδὼς ἦν. νυνὶ δὲ περὶ τὸ στρατόπεδον πολεμοῦσιν, οὐ γὰρ ἐν ταῖς παλάμαις Διομήδους τοῦ υἱοῦ τοῦ Τυδέως εἰθουσιᾷ τὸ δόρυ ὥστ' ἀποσοβῆσαι τὸν θάνατον τῶν Ἑλλήνων· οὐδέπω τῆς φωνῆς ἤκουσα τοῦ υἱοῦ τοῦ Ἀτρέως φωνήσαντος ἐκ τῆς ἐχθρᾶς κεφαλῆς, ἀλλ' ἡ τοῦ ἀνδροκτόνου Ἕκτορος ἐπιτάττοντος τοῖς Τρωσὶ σχίζεται· οὗτοι δὲ μετὰ θορύβου πᾶσαν τὴν πεδιάδα κατέχουσι νικῶντες πολέμῳ τοὺς Ἕλληνας. ἀλλὰ καὶ οὕτως, ὦ Πάτροκλε, ἀποσόβησον ἀπὸ τῶν νεῶν τὸν ἀφανισμὸν, ἐπιπεσε καὶ ἐπίδραμε ἰσχυρῶς, μήπως διὰ πυρὸς καιομένου τὰς ναῦς ἐμπρήσωσι, τὴν προσφιλῆ δὲ ἐπάνοδον ἀφέλωνται· πείθου δὲ ὥσπερ ἄν σοι ἐγὼ τὸ τέλος τοῦ λόγου ἐν τῇ διανοίᾳ θῶ, ὅπως ἄν μοι τιμὴν μεγάλην καὶ δόξαν λάβῃς παρὰ πάντων τῶν Ἑλλήνων, οὗτοι δὲ τὴν ὡραίαν κόρην ἀποδώσωσι, πρὸς δὲ δῶρα λαμπρὰ παράσχωσιν. ἐκ τῶν νεῶν ἀποδιώξας ἐπάνελθε, ἐὰν δέ σοι δῷ ὁ τῆς Ἥρας μεγαλόκτυπος ἀνὴρ δόξαν λαβεῖν, μὴ σύγε χωρὶς ἐμοῦ ἐπιθύμει μάχεσθαι τοῖς τὸν πόλεμον φιλοῦσι Τρωσὶν, ἄτιμον γάρ με ποιήσεις· μὴ δὲ ἐπιτερπόμενος τῇ μάχῃ καὶ τῷ πολέμῳ τοὺς Τρῶας ἀποκτείνων εἰς τὸ Ἴλιον ἡγεμόνευε, μήπως τις ἀπὸ τοῦ οὐρανοῦ τῶν ἀεὶ ὄντων θεῶν ἐναντίος σοι στῇ· πάνυ τούτους γε φιλεῖ ὁ πόῤῥωθεν ἐργαζόμενος Ἀπόλλων· ἀλλ' εἰς τοὐπίσω ἀναστρέφου, ἐπειδὰν φῶς εἰς τὰς ναῦς καὶ σωτηρίαν ἐμβάλῃς, τούτους δὲ ἄφες κατὰ τὸν πόλεμον μάχεσθαι· εἴθε γὰρ, ὦ Ζεῦ πάτερ, καὶ Ἀθηνᾶ, καὶ Ἄπολλον, μήτε τις τῶν Τρώων ἐκφύγοι τὸν θάνατον ὅσοι εἰσὶ, μήτε τις τῶν Ἑλλήνων, ἡμῖν δὲ

Μήτε τις Ἀργείων· νῶϊν δ' ἐκδῦμεν ὄλεθρον·
Ὄφρ' οἶοι Τροίης ἱερὰ κρήδεμνα λύοιμεν·
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Αἴας δ' οὐκέτ' ἔμιμνε· βιάζετο γὰρ βελέεσσι·
Δάμνα μιν Ζηνός τε νόος, καὶ Τρῶες ἀγαυοὶ,
Βάλλοντες· δεινὴν δὲ περὶ κροτάφοισι φαεινὴ
Πήληξ βαλλομένη καναχὴν ἔχε· βάλλετο δ' αἰεὶ
Καπφάλαρ' εὐποίηθ'· ὁ δ' ἀριστερὸν ὦμον ἔκαμνεν,
Ἔμπεδον αἰὲν ἔχων σάκος αἰόλον· οὐδὲ δύναντο
Ἀμφ' αὐτῷ πελεμίξαι, ἐρείδοντες βελέεσσιν·
Αἰεὶ δ' ἀργαλέῳ ἔχετ' ἄσθματι· καδδέ οἱ ἱδρὼς
Πάντοθεν ἐκ μελέων πολὺς ἔῤῥεεν, οὐδέ πη εἶχεν
Ἀμπνεῦσαι· πάντῃ δὲ κακὸν κακῷ ἐστήρικτο.
Ἔσπετε νῦν μοι, Μοῦσαι, ὀλύμπια δώματ' ἔχουσαι,
Ὅππως δὴ πρῶτον πῦρ ἔμπεσε νηυσὶν Ἀχαιῶν.
Ἕκτωρ Αἴαντος δόρυ μείλινον ἄγχι παραστὰς
Πλῆξ' ἄορι μεγάλῳ, αἰχμῆς παρὰ καυλὸν ὄπισθεν·
Ἀντικρὺ δ' ἀπάραξε· τὸ μὲν Τελαμώνιος Αἴας
Πῆλ' αὔτως ἐν χειρὶ κολὸν δόρυ· τῆλε δ' ἀπ' αὐτοῦ
Αἰχμὴ χαλκείη χαμάδις βόμβησε πεσοῦσα.
Γνῶ δ' Αἴας κατὰ θυμὸν ἀμύμονα, ῥίγησέν τε
Ἔργα θεῶν, ὅ ῥα πάγχυ μάχης ἐπὶ μήδεα κείρει
Ζεὺς ὑψιβρεμέτης, Τρώεσσι δὲ βούλετο νίκην.
Χάζετο δ' ἐκ βελέων· τοὶ δ' ἔμβαλον ἀκάματον πῦρ
Νηῒ θοῇ· τῆς δ' αἶψα κατ' ἀσβέστη κέχυτο φλόξ.
Ὣς τὴν μὲν πρύμνην πῦρ ἄμφεπεν· αὐτὰρ Ἀχιλλεὺς
Μηρὼ πληξάμενος Πατροκλῆα προσέειπεν·
Ὄρσεο, διογενὲς Πατρόκλεις, ἱπποκέλευθε·

ἐκδῦναι τὸν ὄλεθρον γένοιτο, ὅπως μόνοι διαλύσωμεν τὰ ἱερὰ καλύμματα, ἤτοι τὰ τείχη τῆς Τροίας. Οὕτως οὗτοι μὲν τοιαῦτα πρὸς ἀλλήλους ἔλεγον. Ὁ Αἴας δὲ οὐκέτι ἔμενεν, ἐβιάζετο γὰρ καὶ κατεπονεῖτο τοῖς βέλεσιν· ἐδάμαζεν αὐτὸν καὶ ὁ νοῦς τοῦ Διὸς, καὶ οἱ λαμπροὶ Τρῶες ἀκοντίζοντες, φοβερὸν δὲ περὶ τοὺς κροτάφους ἡ λαμπρὰ περικεφαλαία πληττομένη ἦχον ἀπετέλει, ἐτύπτετο δὲ ἀεὶ ὁ ἑκατέρωθεν τῆς περικεφαλαίας εὐποίητος κόσμος, οὗτος δὲ τὸν ἀριστερὸν ὦμον ἤλγει, ἐπιμόνως ἀεὶ κατέχων τὸ ποικίλον σάκος, οὐδὲ ἐδύναντο περὶ αὐτὸν παρακινῆσαι ὠθοῦντες τοῖς βέλεσι καὶ τύπτοντες αὐτό· ἀεὶ δὲ χαλεπῇ καὶ ὀδυνηρᾷ συνείχετο ἀναπνοῇ, ἱδρὼς δὲ αὐτοῦ πανταχόθεν ἐκ τῶν μελῶν πολὺς κατέῤῥει, οὐδέ πη ἐδύνατο ἀναπνεῦσαι, πανταχοῖ δὲ κακὸν ἐπὶ κακῷ ἐπερείδετο. Λέγετε νῦν μοι, ὦ Μοῦσαι, αἱ κατοικοῦσαι τὰ οὐράνια οἰκήματα, πῶς δὴ πρῶτον ἐνέπεσεν εἰς τὰς ναῦς τῶν Ἑλλήνων τὸ πῦρ. ὁ Ἕκτωρ τὸ ἐκ μελίας δόρυ τοῦ Αἴαντος πλησίον παραγενόμενος ἔπληξε διὰ ξίφους μεγάλου ὄπισθεν παρὰ τὸν τῆς ἐπιδορατίδος καυλὸν, ἤτοι τὸ ἄκρον εἰς ὃ ἐμβάλλεται ἡ αἰχμὴ, ἐξ ἐναντίας δὲ ἀπέτεμε, καὶ τοῦτο μὲν Αἴας ὁ Τελαμῶνος ἐκίνει μάτην ἐν ταῖς χερσὶ δόρυ κολοβὸν, πόῤῥω δὲ ἀπ' αὐτοῦ ἡ σιδηρὰ ἐπιδορατὶς εἰς τὴν γῆν καταπεσοῦσα ἤχησεν, ἐνόησε δὲ Αἴας κατὰ τὴν ἀμώμητον ψυχὴν, καὶ ἐφοβήθη τὰ τῶν θεῶν ἔργα, ὅτι δὴ παντελῶς τὰς τοῦ πολέμου βουλὰς διακόπτει ὁ ἐν ὕψει ἠχῶν Ζεὺς, τοῖς Τρωσὶ δὲ ἐβούλετο νίκην, ἀνεχώρει δὲ ἐκ τῶν βελῶν· οὗτοι δὲ ἐνέβαλον πολὺ καὶ ἄφθονον πῦρ εἰς τὴν ταχεῖαν ναῦν, ταχέως δὲ κατ' αὐτῆς ἐχύθη φλὸξ ἄσβεστος. Οὕτως ταύτης μὲν τὴν πρύμναν τὸ πῦρ περιεῖπε καὶ κατέκαιεν. ὁ Ἀχιλλεὺς δὲ πλήξας τοὺς μηροὺς, εἶπε πρὸς τὸν Πάτροκλον· Ἀνάστα, ὦ εὐγενέστατε Πάτροκλε ἱππικὲ, ὁρῶ νῦν

Λεύσσω δὴ παρὰ νηυσὶ πυρὸς δηΐοιο ἐρωήν·
Μὴ δὴ νῆας ἕλωσι, καὶ οὐκέτι φυκτὰ πέλωνται·
Δύσσεο τεύχεα θᾶσσον, ἐγὼ δέ κε λαὸν ἀγείρω.
Ὣς φάτο· Πάτροκλος δὲ κορύσσετο νώροπι χαλκῷ,
Κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
Καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
Δεύτερον αὖ, θώρηκα περὶ στήθεσσιν ἔδυνε,
Ποικίλον, ἀστερόεντα, ποδώκεος Αἰακίδαο·
Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον,
Χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε στιβαρόν τε·
Κρατὶ δ' ἐπ' ἰφθίμῳ κυνέην εὔτυκτον ἔθηκεν,
Ἵππουριν· δεινὸν δὲ λόφος καθύπερθεν ἔνευεν.
Εἵλετο δ' ἄλκιμα δοῦρα, τά οἱ παλάμηφιν ἀρήρει·
Ἔγχος δ' οὐχ' ἕλετ' οἶον ἀμύμονος Αἰακίδαο,
Βριθὺ, μέγα, στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
Πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεύς·
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.
Ἵππους δ' Αὐτομέδοντα θοῶς ζευγνύμεν' ἄνωγε·
Τὸν μετ' Ἀχιλλῆα ῥηξήνορα τῖε μάλιστα·
Πιστότατος δέ οἱ ἔσκε μάχῃ ἐνὶ μεῖναι ὁμοκλήν.
Τῷδε καὶ Αὐτομέδων ὕπαγε ζυγὸν ὠκέας ἵππους,
Ξάνθον καὶ Βαλίον, τὼ ἅμα πνοιῇσι πετέσθην·
Τοὺς ἔτεκε Ζεφύρῳ ἀνέμῳ Ἅρπυια (ποδάργη)
Βοσκομένη λειμῶνι παρὰ ῥόον ὠκεανοῖο.
Ἐν δὲ παρηορίῃσιν ἀμύμονα Πήδασον ἵει,
Τόν ῥά ποτ' Ἠετίωνος ἑλὼν πόλιν ἤγαγ' Ἀχιλλεύς·
Ὃς καὶ θνητὸς ἐὼν, ἕπεθ' ἵπποις ἀθανάτοισι.

ἤδη παρὰ ταῖς ναυσὶ τὴν τοῦ πολεμίου πυρὸς ὁρμήν· μὴ οὖν τὰς ναῦς κρατήσωσι καὶ οὐκέτι φευκτὰ ὦσιν, ἐνδύθητι τὰ ὅπλα τάχιον, ἐγὼ δὲ τὸν στρατὸν συναθροίσω. Οὕτως εἶπεν· ὁ Πάτροκλος δὲ ὡπλίζετο σιδήρῳ λαμπροτάτῳ· τὰς κνημίδας μὲν οὖν πρῶτον ταῖς κνημῖσι περιέθηκε καλὰς ἀργυροῖς καλύμμασι τῶν σφυρῶν συνηρμοσμένας, δεύτερον δὲ τὸν θώρακα περὶ τὸ στῆθος ἐβάλετο ποικίλως εἰργασμένον, ἄστρων κεχρωματισμένον μορφαῖς, τοῦ ταχύποδος ἐγγόνου τοῦ Αἰακοῦ· τοῖς ὤμοις δὲ περιέθηκε τὸ ἀργυροὺς ἥλους ἔχον ξίφος τὸ σιδηροῦν, μετὰ ταῦτα δὲ τὴν μεγάλην ἀσπίδα καὶ ἰσχυρὰν, ἐπὶ τῇ ἰσχυρᾷ δὲ κεφαλῇ τὴν καλῶς κατεσκευασμένην περικεφαλαίαν ἐπέθηκεν ἵππου οὐρὰν ἔχουσαν, φοβερῶς δὲ ὁ λόφος ἄνωθεν ἐκλίνετο, ἔλαβε δὲ τὰ στιβαρὰ δόρατα, ἅπερ τῇ ἑαυτοῦ παλάμῃ ἥρμοσε, τὸ δόρυ δὲ μόνον οὐκ ἔλαβε τοῦ ἀμωμήτου ἐγγόνου τοῦ Αἰακοῦ τὸ βαρὺ, τὸ μέγα, τὸ ἰσχυρὸν, τοῦτο γὰρ οὐκ ἐδύνατο ἄλλος τις τῶν Ἑλλήνων κινεῖν, ἀλλὰ μόνος ὁ Ἀχιλλεὺς ἠπίστατο κινῆσαι αὐτὸ, τὸ ἐκ τοῦ Πηλίου ὄρους, ἐκ μελίας δένδρου δόρυ, ὅπερ ἔκοψε Χείρων τῷ ἀγαπητῷ πατρὶ ἐκ τῆς κορυφῆς τοῦ Πηλίου, φόνον εἶναι τοῖς ἥρωσι· τοὺς ἵππους δὲ ταχέως ζευγνῦναι τὸν Αὐτομέδοντα ἐκέλευσεν, ὃν μετ' Ἀχιλλέα τὸν πολεμιστὴν καὶ ἀνδρεῖον ἐτίμα μάλιστα, πιστότατος δὲ αὐτῷ ἦν ἐν τῷ πολέμῳ παραμεῖναι τὰς ἀπειλάς· τούτῳ δὲ καὶ ὁ Αὐτομέδων ἦγεν ὑπὸ τὸν ζυγὸν τοὺς ταχεῖς ἵππους τὸν Ξάνθον, καὶ τὸν Βαλίον, οἳ ἅμα ταῖς πνοαῖς ἐπέτοντο, οὓς ἔτεκε τῷ Ζεφύρῳ ἀνέμῳ ἡ ποδάργη (λευκόπους) Ἅρπυια βοσκομένη ἐν τῷ λειμῶνι παρὰ τὸν ῥοῦν τοῦ Ὠκεανοῦ· εἰς δὲ τὰς παρηρτημένας σειρὰς τὸν ἀμώμητον Πήδασον ἐνέβαλεν, ὃν δή ποτε λαβὼν τὴν πόλιν τοῦ Ἠετίωνος ἤγαγεν ὁ Ἀχιλλεὺς, ὅς, καίπερ ὢν θνητὸς ἠκολούθει τοῖς ἀθανάτοις ἵπποις.

Μυρμιδόνας δ᾽ ἄρ᾽ ἐποιχόμενος θώρηξεν Ἀχιλλεὺς,
Πάντας ἀνὰ κλισίας σὺν τεύχεσιν· οἱ δὲ, λύκοι ὣς
Ὠμοφάγοι, τοῖσίν τε περὶ φρεσὶν ἄσπετος ἀλκὴ,
Οἵτ᾽ ἔλαφον κεραὸν μέγαν οὔρεσι δηώσαντες
Δάπτουσιν· πᾶσιν δὲ παρήϊον αἵματι φοινὸν,
Καί τ᾽ ἀγεληδὸν ἴασιν, ἀπὸ κρήνης μελανύδρου
Λάψοντες γλώσσῃσιν ἀραιῇσιν μέλαν ὕδωρ
Ἄκρον, ἐρευγόμενοι φόνον αἵματος· ἐν δέ τε θυμὸς
Στήθεσιν ἄτρομός ἐστι, περιστένεται δέ τε γαστήρ·
Τοῖοι Μυρμιδόνων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἀμφ᾽ ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο
Ῥώοντ᾽· ἐν δ᾽ ἄρα τοῖσιν ἀρήϊος ἵστατ᾽ Ἀχιλλεὺς,
Ὀτρύνων ἵππους τε καὶ ἀνέρας ἀσπιδιώτας.
Πεντήκοντ᾽ ἦσαν νῆες θοαὶ, ᾗσιν Ἀχιλλεὺς
Ἐς Τροίην ἡγεῖτο Διῒ φίλος· ἐν δ᾽ ἄρ᾽ ἑκάστῃ
Πεντήκοντ᾽ ἔσαν ἄνδρες ἐπὶ κληῖσιν ἑταῖροι·
Πέντε δ᾽ ἄρ᾽ ἡγεμόνας ποιήσατο, τοῖς ἐπεποίθει,
Σημαίνειν· αὐτὸς δὲ μέγα κρατέων ἤνασσε.
Τῆς μὲν ἰῆς στιχὸς ἦρχε Μενέσθιος αἰολοθώρηξ,
Υἱὸς Σπερχειοῖο, διϊπετέος ποταμοῖο·
Τὸν τέκε Πηλῆος θυγάτηρ, καλὴ Πολυδώρη,
Σπερχειῷ ἀκάμαντι, γυνὴ θεῷ εὐνηθεῖσα·
Αὐτὰρ ἐπίκλησιν Βώρῳ, Περιήρεος υἷϊ,
Ὅς ῥ᾽ ἀναφανδὸν ὄπυιε, πορὼν ἀπερείσια ἔδνα
Τῆς δ᾽ ἑτέρης Εὔδωρος ἀρήϊος ἡγεμόνευε,
Παρθένιος, τὸν ἔτικτε χορῷ καλὴ Πολυμήλη,
Φύλαντος θυγάτηρ· τῆς δὲ κρατὺς Ἀργειφόντης
Ἠράσατ᾽, ὀφθαλμοῖσιν ἰδὼν, μετὰ μελπομένῃσιν,

Τοὺς Μυρμιδόνας δὲ παρελθὼν ὁ Ἀχιλλεὺς καθώπλισεν ἅπαντας κατὰ τὰς σκηνὰς σὺν τοῖς ὅπλοις. οὗτοι δὲ ὥσπερ λύκοι ὠμοβόροι, οἷς ἐν ταῖς φρεσὶ δύναμις μεγίστη, οἵτινες ἔλαφον κερασφόρον εὐμεγέθη ἐν τοῖς ὄρεσιν ἀποκτείναντες σπαράττουσι καὶ ἐσθίουσιν, ἅπασι δὲ ἡ παρειὰ ἐρυθρὰ αἵματί ἐστι, καὶ ὁμοῦ κατ' ἀγέλας πορεύονται, ἀπὸ πηγῆς βαθυύδρου . . . . ἐξερευγόμενοι τὴν ποιότητα τοῦ αἵματος, ἡ ψυχὴ δὲ ἐν τοῖς στήθεσιν ἄφοβος ὑπάρχει, πάνυ δὲ στενοχωρεῖται ἡ γαστὴρ αὐτῶν. τοιοῦτοι οἱ ἡγεμόνες καὶ βασιλεῖς τῶν Μυρμιδόνων περὶ τὸ χρηστὸν θεράποντα τοῦ ταχύποδος ἐγγόνου τοῦ Αἰάκου ἐῤῥωμένως ὥρμων, ἐν τούτοις δὲ ἵστατο Ἀχιλλεὺς ὁ πολεμικὸς διεγείρων τούς τε ἱππέας καὶ τοὺς ὁπλίτας ἄνδρας. Πεντήκοντα ἦσαν νῆες ταχεῖαι, αἷς ὁ Ἀχιλλεὺς εἰς τὴν Τροίαν ἡγεῖτο ὁ τῷ Διῒ προσφιλὴς, ἐν ἑκάστῃ δὴ ἦσαν ἄνδρες πεντήκοντα φίλοι ἐπὶ ταῖς καθέδραις, πέντε δὲ ἡγεμόνας ἐποίησεν, οἷς ἐθάῤῥει ἐπιτάττειν καὶ ἄρχειν, αὐτὸς δὲ μεγάλως ἐξουσιάζων ἐβασίλευε. τῆς μὲν οὖν μιᾶς τάξεως ἦρχεν ὁ ποικίλον θώρακα ἔχων Μενέσθιος ὁ υἱὸς τοῦ Σπερχειοῦ τοῦ λαμπροῦ ποταμοῦ, ὃν ἔτεκεν ἡ θυγάτηρ τοῦ Πηλέως ἡ εὐειδὴς Πολυδώρη τῷ ἀεννάῳ Σπερχειῷ, γυνὴ θεῷ συμμιγεῖσα, κατ' ἐπίκλησιν δὲ καὶ φήμην Βώρῳ τῷ υἱῷ τοῦ Περιήρους, ὃς δὴ φανερῶς αὐτὴν ἀνέβαινεν ἐπιδοὺς πλεῖστα δῶρα. τῆς ἑτέρας δὲ ἡγεμὼν ἦν ὁ πολεμικὸς Εὔδωρος ὁ ἐκ νομιζομένης παρθένου τεχθεὶς, ὃν ἔτεκεν ἡ καλὴ κατὰ τὸν χορὸν Πολυμήλη ἡ θυγάτηρ τοῦ Φύλαντος, ταύτης γὰρ ὁ κραταιὸς Ἑρμῆς ὁ ἀργὸς φόνου καὶ εἰρηνικὸς θεὸς ἐράσθη θεασάμενος τοῖς ὀφθαλμοῖς ἐν ταῖς χορευούσαις

Ἐν χορῷ Ἀρτέμιδος χρυσηλακάτου, κελαδεινῆς.
Αὐτίκα δ' εἰς ὑπερῷ' ἀναβὰς, παρελέξατο λάθρῃ
Ἑρμείας ἀκάκητα· πόρεν δέ οἱ ἀγλαὸν υἱὸν
Εὔδωρον, περὶ μὲν θείειν ταχὺν, ἠδὲ μαχητήν.
Αὐτὰρ ἐπειδὴ τόν γε μογοστόκος Εἰλείθυια
Ἐξάγαγε προφόωσδε, καὶ ἠελίου ἴδεν αὐγὰς,
Τὴν μὲν Ἐχεκλῆος κρατερὸν μένος Ἀκτορίδαο
Ἠγάγετο πρὸς δώματ', ἐπεὶ πόρε μυρία ἕδνα·
Τὸν δ' ὁ γέρων Φύλας εὖ ἔτρεφεν, ἠδ' ἀτίταλλεν,
Ἀμφαγαπαζόμενος, ὡσεὶ ἑὸν υἱὸν ἐόντα.
Τῆς δὲ τρίτης Πείσανδρος ἀρήϊος ἡγεμόνευε,
Μαιμαλίδης, ὃς πᾶσι μετέπρεπε Μυρμιδόνεσσιν,
Ἔγχεϊ μάρνασθαι, μετὰ Πηλείωνος ἑταῖρον.
Τῆς δὲ τετάρτης ἦρχε γέρων ἱππηλάτα Φοῖνιξ.
Πέμπτης δ' Ἀλκιμέδων, Λαέρκεος υἱὸς ἀμύμων.
Αὐτὰρ ἐπειδὴ πάντας ἅμ' ἡγεμόνεσσιν Ἀχιλλεὺς
Στῆσεν ἐυκρίνας, κρατερὸν δ' ἐπὶ μῦθον ἔτελλεν·
Μυρμιδόνες, μήτις μοι ἀπειλάων λελαθέσθω,
Ἃς ἐπὶ νηυσὶ θοῇσιν ἀπειλεῖτε Τρώεσσι,
Πάνθ' ὑπὸ μηνιθμόν· καί μ' ᾐτιάασθε ἕκαστος·
Σχέτλιε, Πηλέος υἱὲ, χόλῳ ἄρα σ' ἔτρεφε μήτηρ·
Νηλεὲς, ὃς παρὰ νηυσὶν ἔχεις ἀέκοντας ἑταίρους·
Οἴκαδέ περ σὺν νηυσὶ νεώμεθα ποντοπόροισιν
Αὖτις ἐπεί ῥά τοι ὧδε κακὸς χόλος ἔμπεσε θυμῷ.
Ταῦτά μ' ἀγειρόμενοι θάμ' ἐβάζετε· νῦν δὲ πέφανται
Φυλόπιδος μέγα ἔργον, ἕης τὸ πρίν γ' ἐράασθε.
Ἔνθα τις ἄλκιμον ἦτορ ἔχων Τρώεσσι μαχέσθω.
Ὡς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·

ἐν τῷ χορῷ τῆς χρυσοτόξου Ἀρτέμιδος τῆς θόρυβον ἐμποιούσης· εὐθέως δὲ εἰς τὸ ὑπερῷον ἀναβὰς συγκατεκλίθη αὐτῇ κρυφίως Ἑρμῆς ὁ μήτε κακούμενος μήτε κακῶν· παρέσχε δὲ αὐτῇ λαμπρὸν υἱὸν τὸν Εὔδωρον πάνυ ταχὺν ἐν τῷ τρέχειν, καὶ πολεμιστήν. ἐπεὶ δὲ τοῦτον Εἰλείθυια ἡ μογοῦσα καὶ πονουμένη περὶ τοὺς τοκετοὺς, ἤτοι ἡ Λοχεύτρια, ἐξήγαγεν εἰς τὸ φῶς, καὶ ἐθεάσατο τὴν λαμπηδόνα τοῦ ἡλίου, ταύτην μὲν ἡ ἰσχυρὰ δύναμις τοῦ Ἐχεκλέους τοῦ υἱοῦ τοῦ Ἄκτορος ἤγαγεν εἰς τὸν ἑαυτοῦ οἶκον, ἐπειδὴ παρέσχεν αὐτῇ πλεῖστα δῶρα. τοῦτον δὲ Φύλας ὁ γέρων καλῶς ἀνέτρεφε καὶ ἐπεμελεῖτο ὑπεραγαπῶν, ὥσπερ εἰ ἦν υἱὸς αὐτοῦ. τῆς τρίτης δὲ ἡγεμὼν ἦν Πείσανδρος ὁ πολεμικὸς υἱὸς τοῦ Μαίμαλος, ὃς διέπρεπεν ἐπὶ πᾶσι τοῖς Μυρμιδόσι δόρατι μάχεσθαι μετὰ τὸν φίλον τοῦ υἱοῦ τοῦ Πηλέως. τῆς τετάρτης δὲ ἄρχων ἦν ὁ γέρων ἱππικὸς Φοῖνιξ. τῆς πέμπτης δὲ ὁ Ἀλκιμέδων ὁ ἀμώμητος υἱὸς τοῦ Λαέρκους. Ἐπειδὴ δὲ ἅπαντας ὁ Ἀχιλλεὺς σὺν τοῖς ἡγεμόσιν ἔστησε καλῶς διαχωρίσας καὶ τάξας, λόγον ἰσχυρὸν ἐπέταττε λέγων· Ὦ Μυρμιδόνες, μηδείς μοι τῶν ἀπειλῶν καὶ καυχήσεων ἐπιλαθέσθω, ἃς παρὰ ταῖς ταχείαις ναυσὶν ἠπειλεῖτε τοῖς Τρωσὶ κατὰ πάντα τὸν τῆς ὀργῆς χρόνον, καὶ ἐμὲ ᾐτιᾶσθε ἅπαντες λέγοντες· ὦ χαλεπὲ καὶ ἄδικε υἱὲ τοῦ Πηλέως, ἐπὶ ὀργῇ σε ἄρα ἀνέτρεφεν ἡ μήτηρ, ἄκαμπτε καὶ σκληρὲ, ὅστις παρὰ ταῖς ναυσὶ κατέχεις τοὺς φίλους ἄκοντας καὶ μὴ βουλομένους· εἰς τὸν οἶκον γοῦν σὺν ταῖς ναυσὶ πορευθῶμεν ταῖς θαλασσοπλόοις ὀπίσω, ἐπειδή σοι οὕτως ὀργὴ χαλεπὴ ἐνέπεσεν εἰς τὴν ψυχήν. ταῦτα ὁμοῦ συναθροιζόμενοι συνεχῶς ἐβοᾶτε· νυνὶ δὲ ἐφάνη μέγα ἔργον πολέμου καὶ μάχης, ἧς πρότερον ἐπεθυμεῖτε· ἐνταῦθά τις ψυχὴν ἰσχυρὰν καὶ ἀνδρείαν ἔχων πολεμείτω τοῖς Τρωσίν. Οὕτως εἰπὼν παρώξυνεν ἑκάστου προθυμίαν τε καὶ ἰσχύν. μᾶλλον δὲ αἱ τάξεις ἡρμόσθησαν, ἐπειδὴ

Μᾶλλον δὲ στίχες ἄρθεν, ἐπεὶ βασιλῆος ἄκουσαν.
Ὡς δ' ὅτε τοῖχον ἀνὴρ ἀράρῃ πυκινοῖσι λίθοισι
Δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων·
Ὣς ἄραρον κόρυθές τε καὶ ἀσπίδες ὀμφαλόεσσαι·
Ἀσπὶς ἄρ' ἀσπίδ' ἔρειδε, κόρυς κόρυν, ἀνέρα δ' ἀνήρ·
Ψαῦον δ' ἱππόκομοι κόρυθες λαμπροῖσι φάλοισι
Νευόντων· ὣς πυκνοὶ ἐφέστασαν ἀλλήλοισι.
Πάντων δὲ προπάροιθε δύ' ἀνέρε θωρήσσοντο.
Πάτροκλός τε καὶ Αὐτομέδων, ἕνα θυμὸν ἔχοντες,
Πρόσθεν Μυρμιδόνων πολεμιζέμεν· αὐτὰρ Ἀχιλλεὺς
Βῆ ῥ' ἴμεν ἐς κλισίην. χηλοῦ δ' ἀπὸ πῶμ' ἀνέῳγε
Καλῆς δαιδαλέης, τήν οἱ Θέτις ἀργυρόπεζα
Θῆκ' ἐπὶ νηὸς ἄγεσθαι, εὖ πλήσασα χιτώνων,
Χλαινάων τ' ἀνεμοσκεπέων, οὔλων τε ταπήτων.
Ἔνθα δέ οἱ δέπας ἔσκε τετυγμένον, οὐδέ τις ἄλλος
Οὔτ' ἀνδρῶν πίνεσκεν ἀπ' αὐτοῦ αἴθοπα οἶνον,
Οὔτε τέῳ σπένδεσκε θεῶν, ὅτε μὴ Διῒ πατρί.
Τό ῥα τότ' ἐκ χηλοῖο λαβὼν ἐκάθηρε θεείῳ
Πρῶτον, ἔπειτα δὲ νίψ' ὕδατος καλῇσι ῥοῇσι·
Νίψατο δ' αὐτὸς χεῖρας, ἀφύσσατο δ' αἴθοπα οἶνον,
Εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον,
Οὐρανὸν εἰσανιδών· Δία δ' οὐ λάθε τερπικέραυνον·
Ζεῦ ἄνα, Δωδωναῖε, Πελασγικὲ, τηλόθι ναίων,
Δωδώνης μεδέων δυσχειμέρου· ἀμφὶ δὲ Σελλοὶ
Σοὶ ναίουσ' ὑποφῆται ἀνιπτόποδες, χαμαιεῦναι.
Ἦ μὲν δή ποτ' ἐμὸν ἔπος ἔκλυες εὐξαμένοιο·
Τίμησας μὲν ἐμὲ, μέγα δ' ἴψαο λαὸν Ἀχαιῶν·
Ἠδ' ἔτι καὶ νῦν μοι τόδ' ἐπικρήηνον ἐέλδωρ·

ἤκουσαν τοῦ βασιλέως (ἐπήρθησαν καὶ φρονήματος ἐπληρώθησαν). ὥσπερ δὲ ὅταν ἀνὴρ συναρμόσῃ τοῖχον διὰ λίθων πυκνῶν οἴκου ὑψηλοῦ τὰς φορὰς τῶν ἀνέμων ἐκκλίνων καὶ φυλαττόμενος· οὕτως συνηρμόσθησαν αἱ ὀμφαλοὺς ἔχουσαι ἀσπίδες· ἀσπὶς ἄρα ἀσπίδα ἐπεστήριζε, περικεφαλαία περικεφαλαίαν, ἀνὴρ δὲ ἄνδρα· ἥπτοντο δὲ ἀλλήλων τοῖς λαμπροῖς φαλοῖς αἱ ἱππείας τρίχας ἔχουσαι περικεφαλαῖαι κλινόντων τὰς κεφαλὰς αὐτῶν, οὕτω πυκνοὶ καὶ ἀλλεπάλληλοι ἐφίσταντο ἀλλήλοις. ἔμπροσθεν δὲ πάντων δύο ἄνδρες καθωπλίζοντο, ὅ τε Πάτροκλος, καὶ ὁ Αὐτομέδων μίαν ψυχὴν ἔχοντες, ἤτοι ὁμονοοῦντες πολεμεῖν ἔμπροσθεν τῶν Μυρμιδόνων· ὁ Ἀχιλλεὺς δὲ ὥρμησε δὴ πορεύεσθαι ἐπὶ τὴν σκηνὴν, ἤνοιξε δὲ τὸ πῶμα τῆς λάρνακος τῆς ὡραίας καὶ ποικιλωτάτης, ἣν αὐτῷ ἡ λευκόπους Θέτις ἔθηκεν ἐπὶ τῆς νεὼς κομίσαι, καλῶς πληρώσασα αὐτὴν ἱματίων, χλαινῶν (χλαμυδων) τε πρὸς ἀνέμους σκέπην παρεχομένων, καὶ ταπήτων οὐλότητα ἐχόντων· ἐκεῖ δὲ αὐτῷ ποτήριον ἦν κατεσκευασμένον, οὐδεὶς δὲ ἄλλος οὔτε τῶν ἀνδρῶν ἔπινεν ἐξ αὐτοῦ οἶνον θερμὸν, οὔτε τινὶ τῶν θεῶν ἔσπειδε καὶ ἔθυεν, εἰ μὴ τῷ Διῒ τῷ πατρί. τοῦτο δὴ τότε ἐκ τῆς κιβωτοῦ λαβὼν ἐκάθηρε πρῶτον, μετὰ ταῦτα δὲ ξεπλυνεν αὐτὸ ῥοαῖς καλαῖς ὕδατος, ἐνίψατο δὲ καὶ αὐτὸς τὰς χεῖρας, ἐνέχεε δὲ οἶνον θερμὸν, ηὔχετο δὲ μετὰ ταῦτα στὰς ἐν τῷ μέσῳ τοῦ περιφράγματος τῆς σκηνῆς, ἔσπενδε δὲ τὸν οἶνον ἀναβλέψας εἰς τὸν οὐρανὸν, οὐκ ἔλαθε δὲ τὸν Δία τὸν τρέποντα τοὺς ἐναντίους τῷ κεραυνῷ· Ὦ Ζεῦ βασιλεῦ, Δωδωναῖε, Πελασγικὲ, πόρρω οἰκῶν, βασιλεύων τῆς ψυχρᾶς Δωδώνης, οἱ σελλοὶ δὲ περὶ σὲ κατοικοῦσι προφῆται (ἱερεῖς), οὐ νίπτοντες τοὺς πόδας, ἐπὶ τοῦ ἐδάφους κοιμώμενοι, καί ποτε μέντοι τὸν ἐμὸν λόγον ἤκουσας εὐξαμένου, καὶ ἐτίμησας μὲν ἐμὲ, μεγάλως δὲ ἔβλαψας τὸν ϛρατὸν τῶν Ἑλλήνων, καὶ ἔτι καὶ νῦν ταύτην μοι τὴν ἐπιθυμίαν τελείω-

Αὐτὸς μὲν γὰρ ἐγὼ μενέω νηῶν ἐν ἀγῶνι·
Ἀλλ' ἕταρον, πολέσι πέμπω μετὰ Μυρμιδόνεσσι,
Μάρνασθαι· τῷ κῦδος ἅμα πρόες, εὐρύοπα Ζεῦ·
Θάρσυνον δέ οἱ ἦτορ ἐνὶ φρεσὶν, ὄφρα καὶ Ἕκτωρ
Εἴσεται. ἤ ῥα καὶ οἶος ἐπίσταται πολεμίζειν
Ἡμέτερος θεράπων· ἤ οἱ τότε χεῖρες ἄαπτοι
Μαίνονθ', ὁππότ' ἐγώ περ ἴω μετὰ μῶλον Ἄρηος.
Αὐτὰρ ἐπεί κ' ἀπὸ ναῦφι μάχην ἐνοπήν τε δίηται,
Ἀσκηθής μοι ἔπειτα θοὰς ἐπὶ νῆας ἵκοιτο,
Τεύχεσί τε ξὺν πᾶσι, καὶ ἀγχεμάχοις ἑτάροισιν.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε μητίετα Ζεύς·
Τῷ δ' ἕτερον μὲν ἔδωκε πατὴρ, ἕτερον δ' ἀνένευσε·
Νηῶν μέν οἱ ἀπώσασθαι πόλεμόν τε μάχην τε
Δῶκε, σόον δ' ἀνένευσε μάχης ἐξαπονέεσθαι.
Ἤτοι ὁ μὲν, σπείσας τε, καὶ εὐξάμενος Διῒ πατρὶ,
Ἂψ κλισίην εἰσῆλθε, δέπας δ' ἀπέθηκ' ἐνὶ χηλῷ.
Στῆ δὲ πάροιθ' ἐλθὼν κλισίης, ἔτι δ' ἤθελε θυμῷ
Εἰσιδέειν Τρώων καὶ Ἀχαιῶν φύλοπιν αἰνήν.
Οἱ δ' ἅμα Πατρόκλῳ μεγαλήτορι θωρηχθέντες
Ἔστιχον, ὄφρ' ἐν Τρωσὶ μέγα φρονέοντες ὄρουσαν.
Αὐτίκα δὲ σφήκεσσιν ἐοικότες ἐξεχέοντο
Εἰνοδίοις, οὓς παῖδες ἐριδμαίνωσιν ἔθοντες,
Αἰεὶ κερτομέοντες, ὁδῷ ἔπι οἰκί' ἔχοντας,
Νηπίαχοι· ξυνὸν δὲ κακὸν πολέεσσι τιθεῖσι.
Τοὺς δ' εἴπερ παρά τίς τε κιὼν ἄνθρωπος ὁδίτης
Κινήσῃ ἀέκων, οἱ δ' ἄλκιμον ἦτορ ἔχοντες
Πρόσσω πᾶς πέτεται, καὶ ἀμύνει οἷσι τέκεσσι.
Τῶν τότε Μυρμιδόνες κραδίην καὶ θυμὸν ἔχοντες

σον, ἐγὼ μὲν γὰρ αὐτὸς παραμενῶ ἐν τῷ ἀγῶνι τῶν νεῶν, τὸν φίλον δὲ ἐκπέμπω μετὰ τῶν πολλῶν Μυρμιδόνων μάχεσθαι, τούτῳ δόξαν ἐν τῷ αὐτῷ πέμψον, ὦ μεγαλόφωνε Ζεῦ, παραθάῤῥυνον δὲ καὶ παρόρμησον αὐτῷ τὴν ψυχὴν ἐν τῷ λογιστικῷ, ὅπως καὶ Ἕκτωρ γνῷ, ὅτι καὶ μόνος ἐπίσταται δήπου μάχεσθαι ἡμέτερος θεράπων, ἢ τότε μόνον αὐτῷ αἱ χεῖρες ἀπροσπέλαστοι ἐνθουσιῶσιν, ὅταν ἐγὼ ἀφίκωμαι εἰς τὸν ἐγχρονισμὸν τοῦ πολέμου· ἐπειδὰν δὲ ἀπὸ τῶν νεῶν ἀποδιώξῃ τὸν πόλεμον καὶ τὸν θόρυβον, ἀβλαβὴς καὶ ὑγιὴς μετὰ ταῦτα ἐπὶ τὰς ταχείας ναῦς ἀφίκοιτό μοι σὺν ἅπασι τοῖς ὅπλοις καὶ τοῖς πολεμισταῖς φίλοις. Οὕτως εἶπεν εὐχὴν ποιούμενος, τούτου δὲ ἐπήκουσεν ὁ βουλευτικὸς Ζεύς. τούτῳ δὲ τὸ ἕτερον μὲν ἐδωρήσατο ὁ πατὴρ, τὸ ἕτερον δὲ ἀπηνήνατο· ἐξελάσαι μὲν ἀπὸ τῶν νεῶν τὸν πόλεμον καὶ τὴν μάχην ἔδωκεν, ὑγιῆ δὲ ἐκ τοῦ πολέμου ἀναχωρῆσαι καὶ ὑποστρέψαι οὐ συνεχώρησεν. οὗτος μὲν οὖν θύσας καὶ εὐχὴν ποιησάμενος τῷ Διῒ τῷ πατρὶ ὀπίσω εἰς τὴν σκηνὴν εἰσῆλθε, τὸ ποτήριον δὲ ἀπέθηκεν ἐν τῇ λάρνακι, ἔστη δὲ παραγενόμενος ἔμπροσθεν τῆς σκηνῆς, ἐβούλετο δὲ ἔτι ἐν τῇ ψυχῇ θεάσασθαι τὴν χαλεπὴν μάχην τῶν Τρώων καὶ τῶν Ἑλλήνων. Οὗτοι δὲ σὺν τῷ μεγαλοψύχῳ Πατρόκλῳ καθοπλισθέντες ἐπορεύοντο, ἕως ἐν τοῖς Τρωσὶ μεγαλοφρονοῦντες ὥρμησαν. αὐτίκα δὲ σφηξὶν ὅμοιοι ἐξέτρεχον παρὰ τὴν ὁδὸν οἰκοῦσιν, οὓς ἂν παῖδες εἰς ἔριν ἐμβάλωσιν, ἐξ ἔθους ἀεὶ ἐρεθίζοντες, ἐπὶ τῇ ὁδῷ τὰ οἰκήματα ἔχοντας, μωροὶ καὶ ἄφρονες, κοινὸν δὲ κακὸν πολλοῖς ποιοῦσι. τούτους δὲ εἴπερ τις ἄνθρωπος ὁδοιπόρος παροδεύων ἄκων παρακινήσει, οὗτοι ψυχὴν ἰσχυρὰν ἔχοντες πάντες εἰς τὸ πρόσω πέτονται καὶ βοηθοῦσι τοῖς ἑαυτῶν τέκνοις· τούτων τὴν καρδίαν καὶ τὴν ψυχὴν ἔχοντες τότε οἱ Μυρμιδόνες ἐξέτρεχον

Ἐκ νηῶν ἐχέοντο· βοὴ δ' ἄσβεστος ὀρώρει·
Πάτροκλος δ' ἑτάροισιν ἐκέκλετο, μακρὸν ἀΰσας·
Μυρμιδόνες, ἕταροι Πηληϊάδεω Ἀχιλλῆος,
Ἀνέρες ἐστὲ, φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς·
Ὡς ἂν Πηλείδην τιμήσομεν, ὃς μέγ' ἄριστος
Ἀργείων παρὰ νηυσὶ καὶ ἀγχέμαχοι θεράποντες·
Γνῷ δὲ καὶ Ἀτρείδης, εὐρυκρείων Ἀγαμέμνων
Ἣν ἄτην, ὅτ' ἄριστον Ἀχαιῶν οὐδὲν ἔτισεν.
Ὣς εἰπὼν, ὤτρυνε μένος καὶ θυμὸν ἑκάστου·
Ἐν δ' ἔπεσον Τρώεσσιν ἀολλέες· ἀμφὶ δὲ νῆες
Σμερδαλέον κονάβησαν, ἀΰσάντων ὑπ' Ἀχαιῶν·
Τρῶες δ', ὡς εἴδοντο Μενοιτίου ἄλκιμον υἱὸν,
Αὐτὸν, καὶ θεράποντα, σὺν ἔντεσι μαρμαίροντας,
Πᾶσιν ὀρίνθη θυμὸς, ἐκίνηθεν δὲ φάλαγγες,
Ἐλπόμενοι παρὰ ναῦφι ποδώκεα Πηλείωνα
Μηνιθμὸν μὲν ἀποῤῥίψαι, φιλότητα δ' ἑλέσθαι·
Πάπτηνε δὲ ἕκαστος, ὅπῃ φύγοι αἰπὺν ὄλεθρον.
Πάτροκλος δὲ πρῶτος ἀκόντισε δουρὶ φαεινῷ,
Ἀντικρὺ κατὰ μέσσον, ὅθι πλεῖστοι κλονέοντο,
Νηΐ παρὰ πρύμνῃ μεγαθύμου Πρωτεσιλάου·
Καὶ βάλε Πυραίχμην, ὃς Παίονας ἱπποκορυστὰς
Ἤγαγεν ἐξ Ἀμυδῶνος, ἀπ' Ἀξίου εὐρὺ ῥέοντος·
Τὸν βάλε δεξιὸν ὦμον· ὁ δ' ὕπτιος ἐν κονίῃσι
Κάππεσεν οἰμώξας· ἕταροι δέ μιν ἀμφὶ φόβηθεν
Παίονες· ἐν γὰρ Πάτροκλος φόβον ἧκεν ἅπασιν,
Ἡγεμόνα κτείνας, ὃς ἀριστεύεσκε μάχεσθαι.
Ἐκ νηῶν δ' ἔλασεν, κατὰ δ' ἔσβεσεν αἰθόμενον πῦρ.
Ἡμιδαὴς δ' ἄρα νηῦς λίπετ' αὐτόθι· τοὶ δ' ἐφόβηθεν

ἀπὸ τῶν νεῶν, θόρυβος δὲ ἀκατάπαυστος ἠγέρθη. ὁ Πάτροκλος δὲ τοῖς φίλοις ἐκέλευσε μεγάλως βοήσας· Ὦ Μυρμιδόνες φίλοι Ἀχιλλέως τοῦ υἱοῦ τοῦ Πηλέως ἄνδρες ὑπάρχετε, ὦ φίλοι, μνήσθητε δὲ τῆς ὁρμητικῆς καὶ πολεμικῆς ἰσχύος, ὅπως ἂν τιμήσωμεν τὸν υἱὸν τοῦ Πηλέως, ὅστις κατὰ πολὺ κράτιστος τῶν Ἑλλήνων ἐστὶ παρὰ ταῖς ναυσὶ, καὶ οἱ θεράποντες αὐτοῦ πολεμισταὶ, μάθῃ δὲ καὶ ὁ υἱὸς τοῦ Ἀτρέως ὁ μέγας βασιλεὺς Ἀγαμέμνων τὴν ἑαυτοῦ βλάβην, ὅτε τὸν κράτιστον τῶν Ἑλλήνων οὐκ ἐτίμησεν. Οὕτως εἰπὼν παρώξυνε πάντων τὴν ἰσχὺν καὶ τὴν προθυμίαν· ἐνέπεσον δὲ τοῖς Τρωσὶν ἀθρόοι, αἱ νῆες δὲ περιήχησαν καταπληκτικῶς ὑπὸ τῶν Ἑλλήνων βοησάντων· οἱ Τρῶες δὲ ἐπεὶ ἐθεάσαντο τὸν ἰσχυρὸν υἱὸν τοῦ Μενοιτίου, αὐτὸν καὶ τὸν θεράποντα σὺν τοῖς ὅπλοις περιλάμποντας, ἅπασι παρωξύνθη ἡ ψυχὴ, παρεκινήθησαν δὲ αἱ τάξεις, οἰόμενοι παρὰ ταῖς ναυσὶ τὸν ταχύποδα Ἀχιλλέα τὸν υἱὸν τοῦ Πηλέως τὴν μὲν ὀργὴν ἀποῤῥίψαι, φιλίαν δὲ παραλαβεῖν, περιέβλεψε δὲ καὶ περιεσκόπησεν ἕκαστος ποῦ ἐκφύγοι τὸν χαλεπὸν θάνατον. Πρῶτος δὲ ὁ Πάτροκλος ἔβαλε τῷ λαμπρῷ δόρατι ἀπαντικρὺ κατὰ τὸ μέσον, ὅπου οἱ πλείους συνεταράσσοντο, παρὰ τῇ πρύμνῃ τῆς νεὼς τοῦ μεγαλοψύχου Πρωτεσιλάου, καὶ ἔτρωσε τὸν Πυραίχμην, ὃς τοὺς Παίονας τοὺς ἱππικοὺς ἤγαγεν ἐκ τῆς Ἀμυδῶνος ἀπὸ τοῦ Ἀξίου τοῦ εὐρέως ῥέοντος ποταμοῦ. τοῦτον ἔτρωσε κατὰ τὸν δεξιὸν ὦμον, οὗτος δὲ ἐπὶ τὰ μετάφρενα ἐν τῇ κόνει κατέπεσε στενάξας, οἱ φίλοι δὲ περὶ αὐτὸν ἐφοβήθησαν οἱ Παίονες· ὁ γὰρ Πάτροκλος φόβον ἐνέβαλεν ἅπασιν ἀνελὼν τὸν ἡγεμόνα, ὃς ἠρίστευεν ἐν τῷ μάχεσθαι· ἐξέλασε δὲ αὐτοὺς ἀπὸ τῶν νεῶν, κατέσβεσε δὲ τὸ καιόμενον πῦρ· ἡμίκαυστος δ' ἄρα ἡ ναῦς κατελείφθη αὐτόθι, οὗτοι δὲ φοβηθέντες ὑπεχώρησαν οἱ Τρῶες σὺν θορύβῳ μεγίστῳ.

Τρῶες θεσπεσίῳ ὁμάδῳ· Δαναοὶ δ' ἐπέχυντο
Νῆας ἀνὰ γλαφυράς· ὅμαδος δ' ἀλίαστος ἐτύχθη.
Ὡς δ' ὅτ' ἀφ' ὑψηλῆς κορυφῆς ὄρεος μεγάλοιο
Κινήσῃ πυκινὴν νεφέλην στεροπηγερέτα Ζεὺς,
Ἔκ τ' ἔφανον πᾶσαι σκοπιαὶ καὶ πρώονες ἄκροι,
Καὶ νάπαι, οὐρανόθεν δ' ἄρ' ὑπερράγη ἄσπετος αἰθήρ·
Ὡς Δαναοὶ νηῶν μὲν ἀπωσάμενοι δήϊον πῦρ,
Τυτθὸν ἀνέπνευσαν· πολέμου δ' οὐ γίνετ' ἐρωή·
Οὐ γάρ πώ τι Τρῶες ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
Προτροπάδην φοβέοντο μελαινάων ἀπὸ νηῶν·
Ἀλλ' ἔτ' ἄρ' ἀνθίσταντο, νεῶν δ' ὑπόεικον ἀνάγκῃ.
Ἔνθα δ' ἀνὴρ ἕλεν ἄνδρα, κεδασθείσης ὑσμίνης
Ἡγεμόνων. πρῶτος δὲ Μενοιτίου ἄλκιμος υἱὸς
Αὐτίκ' ἄρα στρεφθέντος Ἀρηϊλύκου βάλε μηρὸν
Ἔγχεϊ ὀξυόεντι, διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·
Ῥῆξεν δ' ὀστέον ἔγχος· ὁ δὲ, πρηνὴς ἐπὶ γαίῃ
Κάππεσ'· ἀτὰρ Μενέλαος ἀρήϊος οὖτα Θόαντα,
Στέρνον γυμνωθέντα παρ' ἀσπίδα· λῦσε δὲ γυῖα.
Φυλείδης δ' Ἄμφικλον ἐφορμηθέντα δοκεύσας,
Ἔφθη ὀρεξάμενος πρυμνὸν σκέλος, ἔνθα πάχιστος
Μυὼν ἀνθρώπου πέλεται· περὶ δ' ἔγχεος αἰχμῇ
Νεῦρα διεσχίσθη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
Νεστορίδαι δ', ὁ μὲν οὔτασ' Ἀτύμνιον ὀξέϊ δουρὶ,
Ἀντίλοχος, λαπάρης δὲ διήλασε χάλκεον ἔγχος·
Ἤριπε δὲ προπάροιθε· Μάρις δ' αὐτοσχεδὰ δουρὶ
Ἀντιλόχῳ ἐπόρουσε, κασιγνήτοιο χολωθεὶς,
Στὰς πρόσθεν νέκυος· τοῦ δ' ἀντίθεος Θρασυμήδης
Ἔφθη ὀρεξάμενος, πρὶν οὐτάσαι· οὐδ' ἀφάμαρτεν,

οἱ Ἕλληνες δὲ ἐπεχύθησαν καὶ ἐπέδραμον ἀνὰ τὰς κοίλας ναῦς, θόρυβος δὲ ἀμετάτρεπτος καὶ ἄφυκτος ἐγένετο. ὥσπερ δὲ, ὅταν ἀπὸ ὑψηλῆς κορυφῆς ὄρους μεγάλου κινήσῃ νεφέλην πυκνὴν ὁ τῶν ἀστραπῶν αἴτιος Ζεὺς, ἐξεφάνησαν πᾶσαι αἱ περιοπαὶ, καὶ αἱ ὑψηλαὶ ἐξοχαὶ (τὰ ἐκνενευκότα μέρη), καὶ οἱ φαραγγώδεις τόποι, ἐκ τοῦ οὐρανοῦ δὲ τῶν νεφῶν διαρραγέντων ὤφθη ὁ μέγιστος αἰθὴρ (ὑπὸ τὸν οὐρανὸν δὲ ἐξέλαμψεν ὁ αἰθὴρ, ἤτοι ἀστραπὴ ἐγένετο)· οὕτως οἱ Ἕλληνες ἐξελάσαντες ἀπὸ τῶν νεῶν τὸ καυστικὸν πῦρ ὀλίγον ἀνέπνευσαν, πολέμου δὲ οὐκ ἐγίνετο παῦσις. οὔπω γάρ τι οἱ Τρῶες ὑπὸ τῶν πολεμικῶν Ἑλλήνων εἰς τοὔμπροσθεν τετραμμένοι ἔφευγον ἀπὸ τῶν μελαινῶν νεῶν, ἀλλ' ἔτι δὴ ἠναντιοῦντο, ἐκ τῶν νεῶν δὲ ὑπεχόρουν ὑπ' ἀνάγκης. τότε δὲ ἀνὴρ ἀπέκτεινεν ἄνδρα διαλυθείσης τῆς μάχης τῶν στρατηγῶν. πρῶτος δὲ ὁ ἰσχυρὸς υἱὸς τοῦ Μενοιτίου παραχρῆμα δὴ ἔτρωσε τὸν μηρὸν τοῦ Ἀρειλύκου στραφέντος δόρατι ὀξεῖ, εἰς τὸ πρόσω δὲ τὸν σίδηρον διεπέρασε, συνέτριψε δὲ τὸ ὀστοῦν τὸ δόρυ, οὗτος δὲ κατὰ πρόσωπον ἐπὶ γῆς κατέπεσε. Μενέλαος δὲ ὁ πολεμικὸς ἔτρωσε τὸν Θόαντα κατὰ τοῦ στέρνου γυμνωθέντα τῆς ἀσπίδος, διέλυσε δὲ καὶ ἐνέκρωσε τὰ μέλη. ὁ υἱὸς δὲ τοῦ Φυλέως Ἄμφικλον ἐφορμήσαντα ἐπιτηρήσας ἔφθη βαλὼν κατὰ τὸ κάτω τοῦ σκέλους, ὅπου ὁ παχὺς μυὼν ἤτοι ἡ γαστροκνήμη τοῦ ἀνθρώπου ὑπάρχει· τῇ ἐπιδορατίδι δὲ τοῦ δόρατος περιεσχίσθησαν τὰ νεῦρα, τοῦτον σκότος κατ' ὀφθαλμοὺς περιεκάλυψεν. οἱ υἱοὶ δὲ τοῦ Νέστορος, ὁ μὲν ἔτρωσεν Ἀτύμνιον δόρατι ὀξεῖ ὁ Ἀντίλοχος, διὰ τοῦ λαγόνος δὲ διεπέρασε τὸ σιδηροῦν δόρυ, κατέπεσε δὲ ἔμπροσθεν. Μάρης δὲ ἐκ τοῦ σύνεγγυς τῷ δόρατι κατ' Ἀντιλόχου ὥρμησεν ὀργισθεὶς ἕνεκα τοῦ ἀδελφοῦ, στὰς ἔμπροσθεν τοῦ νεκροῦ· κατ' αὐτοῦ δὲ ὁ ἰσόθεος Θρασυμήδης ἔφθη ἀκοντίσας πρὸ τοῦ βαλεῖν, οὐδὲ ἀπέτυχε τοῦ ὤμου παραχρῆμα, τὸ

Ὦμον ἄφαρ· πρυμνὸν δὲ βραχίονα δουρὸς ἀκωκὴ
Δρύψ' ἀπὸ μυώνων, ἀπὸ δ' ὀστέον ἄχρις ἄραξε·
Δούπησεν δὲ πεσὼν, κατὰ δὲ σκότος ὄσσ' ἐκάλυψεν·
Ὣς τὼ μὲν δοιοῖσι κασιγνήτοισι δαμέντε
Βήτην εἰς Ἔρεβος, Σαρπηδόνος ἐσθλοὶ ἑταῖροι,
Υἷες ἀκοντισταὶ Ἀμισωδάρου· ὅς ῥα Χίμαιραν
Θρέψεν ἀμαιμακέτην, πολέσιν κακὸν ἀνθρώποισιν.
Αἴας δὲ Κλεόβουλον Ὀϊλιάδης ἐπορούσας
Ζωὸν ἕλε, βλαφθέντα κατὰ κλόνον· ἀλλά οἱ αὖθι
Λῦσε μένος, πλήξας ξίφει αὐχένα κωπήεντι.
Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Πηνέλεως δὲ, Λύκων τε, συνέδραμον· ἔγχεσι μὲν γὰρ
Ἤμβροτον ἀλλήλων, μέλεον δ' ἠκόντισαν ἄμφω·
Τὼ δ' αὖτις ξιφέεσσι συνέδραμον· ἔνθα Λύκων μὲν
Ἱπποκόμου κόρυθος φάλον ἤλασεν, ἀμφὶ δὲ αὐτὸν
Φάσγανον ἐρραίσθη· ὁ δ' ὑπ' οὔατος αὐχένα θεῖνε
Πηνέλεως, πᾶν δ' εἴσω ἔδυ ξίφος, ἔσχεθε δ' οἶον
Δέρμα· παρηέρθη δὲ κάρη, ὑπέλυντο δὲ γυῖα.
Μηριόνης δ' Ἀκάμαντα, κιχεὶς ποσὶ καρπαλίμοισι,
Νύξ', ἵππων ἐπιβησόμενον, κατὰ δεξιὸν ὦμον.
Ἤριπε δ' ἐξ ὀχέων κατὰ δ' ὀφθαλμῶν κέχυτ' ἀχλύς.
Ἰδομενεὺς δ' Ἐρύμαντα κατὰ στόμα νηλέϊ χαλκῷ
Νύξε· τὸ δ' ἀντικρὺ δόρυ χάλκεον ἐξεπέρησε
Νέρθεν ὑπ' ἐγκεφάλοιο· κέασσε δ' ἄρ' ὀστέα λευκά·
Ἐκ δὲ τίναχθεν ὀδόντες· ἐνέπλησθεν δέ οἱ ἄμφω
Αἵματος ὀφθαλμοί· τὸ δ' ἀνὰ στόμα καὶ κατὰ ῥῖνας
Πρῆσε χανών· θανάτου δὲ μέλαν νέφος ἀμφεκάλυψεν.

ἄκρον δὲ τοῦ βραχίονος ἡ ὀξύτης τοῦ δόρατος ἀπέδρυψε καὶ ἀπέκοψεν ἀπὸ τῶν μυώνων, τὸ ὀστοῦν δὲ παντελῶς συνέτριψεν, ἐψόφησε δὲ καταπεσὼν, σκότος δὲ τοὺς ὀφθαλμοὺς αὐτοῦ περιεκάλυψεν. Οὕτως οὗτοι μὲν ὑπὸ τῶν δύο ἀδελφῶν ἀναιρεθέντες ἐπορεύθησαν εἰς σκότος οἱ χρηστοὶ φίλοι τοῦ Σαρπηδόνος, οἱ πολεμισταὶ υἱοὶ τοῦ Ἀμισωδάρου, ὃς δὴ τὴν Χίμαιραν ἀνέθρεψε τὴν ἀκαταμάχητον, πολλοῖς ἀνθρώποις κακόν. Αἴας δὲ ὁ υἱὸς τοῦ Οἰλέως ἐφορμήσας Κλεόβουλον ζῶντα συνέλαβεν ἐμποδισθέντα κατὰ τὴν ταραχὴν τῆς μάχης, ἀλλ' αὐτόθι αὐτοῦ διέλυσε τὴν δύναμιν πλήξας τὸν αὐχένα τῷ ξίφει τῷ κώπην ἤτοι λαβὴν ἔχοντι, ὅλον δὲ τὸ ξίφος ὑπερθερμάνθη ὑπὸ τοῦ αἵματος, τούτου δὲ τοὺς ὀφθαλμοὺς κατέλαβεν ὁ μέλας θάνατος, καὶ ἡ ἰσχυρὰ μοῖρα. ὁ Πηνέλαος δὲ καὶ ὁ Λύκων συνέβαλον· δόρασι μὲν γὰρ ἀπέτυχον ἀλλήλων, ματαίως δὲ ἔβαλον ἀμφότεροι. οὗτοι δὲ αὖθις ξίφεσι συνέβαλον· τότε Λύκων μὲν τῆς ἱππείας τρίχας ἐχούσης περικεφαλαίας τὸν λόφον ἔτυψε, περὶ αὐτὸν δὲ τὸ καλὸν ξίφος διεκλάσθη· ὁ δὲ τὸν αὐχένα ὑποκάτω τοῦ ὠτὸς ἔπληξεν ὁ Πηνέλαος, ὅλον δὲ τὸ ξίφος εἰσῆλθεν ἔσω, μόνον συνεῖχεν τὸ δέρμα, παρηνέχθη δὲ καὶ παρήρτητο ἡ κεφαλὴ, παρελύθησαν δὲ τὰ μέλη. ὁ Μηριόνης δὲ Ἀκάμαντα καταλαβὼν τοῖς ταχέσι ποσὶν ἔτρωσε, μέλλοντα ἐπιβαίνειν τῶν ἵππων, κατὰ τὸν δεξιὸν ὦμον, κατέπεσε δὲ ἐκ τοῦ ὀχήματος, σκότος δὲ κατὰ τῶν ὀφθαλμῶν ἐπεχύθη. ὁ Ἰδομενεὺς δὲ τὸν Ἐρύμαντα κατὰ τὸ στόμα σιδήρῳ ἀνηλεεῖ ἔπληξεν, ἀπαντικρὺ δὲ τὸ δόρυ τὸ σιδηροῦν ἐξεπέρασεν ὑποκάτω τοῦ ἐγκεφάλου, διεῖλε δὲ καὶ συνέτριψε τὰ λευκὰ ὀστᾶ, ἐξετινάχθησαν δὲ καὶ ἐξέπεσον οἱ ὀδόντες, ἐνεπλήσθησαν δὲ αὐτοῦ ἄμφω οἱ ὀφθαλμοὶ αἵματος, τοῦτο δὲ ἐκ τοῦ στόματος καὶ τῶν μυκτήρων ἐφύσησε χανὼν, τὸ τοῦ θανάτου δὲ σκοτεινὸν νέφος αὐτὸν περιεκάλυψεν.

Οὗτοι ἄρ' ἡγεμόνες Δαναῶν ἕλον ἄνδρα ἕκαστος.
Ὡς δὲ λύκοι ἄρνεσσιν ἐπέχραον, ἢ ἐρίφοισι,
Σίνται, ὑπ' ἐκ μήλων αἱρεύμενοι, αἵτ' ἐν ὄρεσσι
Ποιμένος ἀφραδίῃσι διέτμαγεν· οἱ δὲ ἰδόντες,
Αἶψα διαρπάζουσιν ἀνάλκιδα θυμὸν ἐχούσας·
Ὣς Δαναοὶ Τρώεσσιν ἐπέχραον· οἱ δὲ φόβοιο
Δυσκελάδου μνήσαντο, λάθοντο δὲ θούριδος ἀλκῆς.
Αἴας δ' ὁ μέγας αἰὲν ἐφ' Ἕκτορι χαλκοκορυστῇ
Ἵετ' ἀκοντίσσαι· ὁ δὲ ἰδρείῃ πολέμοιο,
Ἀσπίδι ταυρείῃ κεκαλυμμένος εὐρέας ὤμους,
Σκέπτετ' ὀϊστῶν τε ῥοῖζον, καὶ δοῦπον ἀκόντων.
Ἦ μὲν δὴ γίγνωσκε μάχης ἑτεραλκέα νίκην·
Ἀλλὰ καὶ ὣς ἀνέμιμνε, σάω δ' ἐρίηρας ἑταίρους.
Ὡς δ' ὅτ' ἀπ' Οὐλύμπου νέφος ἔρχεται οὐρανὸν εἴσω,
Αἰθέρος ἐκ δίης, ὅτε τε Ζεὺς λαίλαπα τείνει·
Ὣς τῶν ἐκ νηῶν γένετο ἰαχή τε φόβος τε·
Οὐδὲ κατὰ μοῖραν πέραον πάλιν· Ἕκτορα δ' ἵπποι
Ἔκφερον ὠκύποδες σὺν τεύχεσι· λεῖπε δὲ λαὸν
Τρωϊκὸν, οὓς ἀέκοντας ὀρυκτὴ τάφρος ἔρυκε.
Πολλοὶ δ' ἐν τάφρῳ ἐρυσάρματες ὠκέες ἵπποι,
Ἄξαντ' ἐν πρώτῳ ῥυμῷ λίπον ἅρματ' ἀνάκτων,
Πάτροκλος δ' ἕπετο, σφεδανὸν Δαναοῖσι κελεύων,
Τρωσὶ κακὰ φρονέων· οἱ δὲ ἰαχῇ τε φόβῳ τε
Πάσας πλῆσαν ὁδοὺς, ἐπεὶ ἂρ τμάγεν· ὕψι δ' ἀέλλη
Σκίδναθ' ὑπαὶ νεφέων· τανύοντο δὲ μώνυχες ἵπποι
Ἄψοῤῥον προτὶ ἄστυ, νεῶν ἄπο καὶ κλισιάων.
Πάτροκλος δ', ᾗ πλεῖστον ὀρινόμενον ἴδε λαὸν,
Τῇ ῥ' ἔχ' ὁμοκλήσας· ὑπὸ δ' ἄξοσι φῶτες ἔπιπτον

Οὗτοι δὴ πάντες οἱ στρατηγοὶ τῶν Ἑλλήνων ἀπέκτειναν ἄνδρα. ὥσπερ δὲ λύκοι μετὰ βίας ἐπῆλθον ἀμνοῖς ἢ ἐρίφοις βλαπτικοὶ, ἐκ τῶν θρεμμάτων ἀφαιρούμενοι, ἅπερ ἐν τοῖς ὄρεσι διεμερίσθησαν ποιμένος ἀγνοίᾳ· οὗτοι δὲ ἰδόντες εὐθὺς διαρπάζουσιν ἀσθενῆ ψυχὴν ἔχοντα. οὕτως οἱ Ἕλληνες τοῖς Τρωσὶν ἐπέθεντο, οὗτοι δὲ φυγῆς κακοήχου ἐμνήσθησαν, ἐπελάθοντο δὲ τῆς ὁρμητικῆς καὶ πολεμικῆς ἰσχύος. Αἴας δὲ ὁ μέγας ἀεὶ κατὰ τοῦ Ἕκτορος τοῦ σιδήρῳ καθωπλισμένου ἐφίετο βαλεῖν τὸ δόρυ, οὗτος δὲ ἐμπειρίᾳ πολέμου ἀσπίδι ἐκ ταυρείων δερμάτων περικεκαλυμμένος κατὰ τοὺς πλατεῖς ὤμους ἐσκόπει καὶ ἐφυλάττετο τὸν ἦχον τῶν οἰστῶν, καὶ τῶν κτύπων τῶν δοράτων. τῷ ὄντι μὲν οὖν ἠπίστατο τὴν ἑτερορρεπῆ νίκην τοῦ πολέμου, ἀλλὰ καὶ οὕτως ἀνέμενεν, ἔσωζε δὲ τοὺς εὐαρμόστους καὶ πιστοὺς φίλους. ὥσπερ δὲ ὅταν ἀπὸ τοῦ Ὀλύμπου νέφος ἔρχηται εἰς τὸν οὐρανὸν, ὅταν ὁ Ζεὺς ἐκ τοῦ ἐνδοξοτάτου αἰθέρος ἐπιτείνῃ πυρὸς ἔξαψιν. οὕτως αὐτῶν βοὴ καὶ φυγὴ ἐγένετο ἐκ τῶν νεῶν, οὐδὲ κατὰ τὸ προσῆκον ἐπέρων ὀπίσω· τὸν Ἕκτορα δὲ οἱ ἵπποι ἐξέφερον οἱ ταχύποδες σὺν τοῖς ὅπλοις, ἠφίη δὲ τὸν στρατὸν τὸν Τρωϊκὸν, οὓς ἄκοντας κατεῖχε καὶ ἐκώλυεν ἡ ἐσκαμμένη τάφρος. πολλοὶ δὲ ἵπποι ταχεῖς ἕλκοντες τὰ ἅρματα ἐν τῇ τάφρῳ συντρίψαντες τὸ ἄκρον τοῦ ῥυμοῦ, κατέλιπον τὰ ἅρματα τῶν βασιλέων. ὁ Πάτροκλος δὲ ἐπεδίωκε, συντόνως καὶ ἐπεσπευσμένως τοῖς Ἕλλησιν ἐπιτάττων, τοῖς Τρωσὶ δεινὰ διανοούμενος· οὗτοι δὲ σὺν βοῇ τε καὶ φυγῇ πάσας ἐπλήρωσαν τὰς ὁδοὺς, ἐπειδὴ διεμερίσθησαν. εἰς ὕψος δὲ ὁ κονιορτὸς διεσκεδάζετο ὑπὸ τὰ νέφη, ἔτρεχον δὲ οἱ μονώνυχες ἵπποι εἰς τοὐπίσω ἐπὶ τὴν πόλιν ἀπὸ τῶν νεῶν καὶ τῶν σκηνῶν. ὁ Πάτροκλος δὲ ἔνθα τὸν πλείονα λαὸν ἐθεάσατο ταραττόμενον, ἐκεῖσε δὴ ἤλαυνεν ἀπειλήσας, ὑπὸ τοῖς ἄξοσι δὲ ἄνδρες ἔπιπτον πρηνεῖς καὶ κατὰ

Πρηνέες ἐξ ὀχέων, δίφροι δ' ἀνεκυμβαλίαζον.
Ἀντικρὺ δ' ἀνὰ τάφρον ὑπέρθορον ὠκέες ἵπποι,
Πρόσσω ἱέμενοι· ἐπὶ δ' Ἕκτορι κέκλετο θυμός·
Ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι.
Ὡς δ' ὑπὸ λαίλαπι πᾶσα κελαινὴ βέβριθε χθὼν
Ἤματ' ὀπωρινῷ, ὅτε λαβρότατον χέει ὕδωρ
Ζεὺς, ὅτε δή ῥ' ἄνδρεσσι κοτεσσάμενος χαλεπήνῃ.
Οἳ βίῃ εἰν ἀγορῇ σκολιὰς κρίνωσι θέμιστας,
Ἐκ δὲ δίκην ἐλάσωσι, θεῶν ὄπιν οὐκ ἀλέγοντες·
Τῶν δέ τε πάντες μὲν ποταμοὶ πλήθουσι ῥέοντες,
Πολλὰς δὲ κλιτῦς τότ' ἀποτμήγουσι χαράδραι,
Ἐς δ' ἅλα πορφυρέην μεγάλα στενάχουσι ῥέουσαι
Ἐξ ὀρέων ἐπὶ κάρ· μινύθει δέ τε ἔργ' ἀνθρώπων·
Ὣς ἵπποι Τρωαὶ μεγάλα στενάχοντο θέουσαι.
Πάτροκλος δ', ἐπεὶ οὖν πρώτας ἐπέκερσε φάλαγγας,
Ἂψ ἐπὶ νῆας ἔεργε παλιμπετὲς, οὐδὲ πόληος
Εἴα ἱεμένους ἐπιβαινέμεν, ἀλλὰ μεσηγὺ
Νηῶν καὶ ποταμοῦ καὶ τείχεος ὑψηλοῖο
Κτεῖνε μεταΐσσων, πολέων δ' ἀπετίννυτο ποινήν·
Ἔνθ' ἤτοι Πρόνοον πρῶτον βάλε δουρὶ φαεινῷ
Στέρνον, γυμνωθέντα παρ' ἀσπίδα· λῦσε δὲ γυῖα.
Δούπησεν δὲ πεσών· ὁ δὲ Θέστορα Ἤνοπος υἱὸν,
Δεύτερον ὁρμηθείς· ὁ μὲν εὐξέστῳ ἐνὶ δίφρῳ
Ἧστο ἀλείς· ἐκ γὰρ πλήγη φρένας, ἐκ δ' ἄρα χειρῶν
Ἡνία ἠΐχθησαν· ὁ δ' ἔγχεϊ νύξε παραστὰς
Γναθμὸν δεξιτερὸν, διὰ δ' αὐτοῦ πεῖρεν ὀδόντων·
Εἷλκε δὲ δουρὸς ἑλὼν ὑπὲρ ἄντυγος· ὡς ὅτε τις φὼς
Πέτρῃ ἔπι προβλῆτι καθήμενος, ἱερὸν ἰχθὺν

πρόσωπον ἐκ τῶν ὀχημάτων, οἱ δίφροι δὲ ἀνετρέποντο, ἀπαντικρὺ δὲ κατὰ τὴν τάφρον ὑπερεπήδων οἱ ταχεῖς ἵπποι, εἰς τὸ πρόσω ὁρμῶντες, ἐπὶ τὸν Ἕκτορα δὲ προέτρεπεν ἡ ψυχὴ, ἐφίετο γὰρ βαλεῖν αὐτὸν, τοῦτον δὲ ἐξέφερον οἱ ταχεῖς ἵπποι. ὥσπερ δὲ ὑπὸ καταιγίδος καὶ συστροφῆς ἀνέμου μεγάλου πᾶσα ἡ γῆ συσκοτοῦται καὶ βαρύνεται κατὰ τὸν μετοπωρινὸν καιρὸν, ἡνίκα σφοδρότατον ὑετὸν χεῖ ὁ Ζεὺς, ὅταν τοῖς ἀνδράσιν ὀργισθεὶς χαλεπήνῃ, οἳ ἂν βιαίως κρίνωσιν ἐν τῇ ἀγορᾷ δίκας διεστραμμένας καὶ ἀδίκους, τὴν δικαιοσύνην δὲ ἐξελάσωσι, τὴν τῶν θεῶν ἐπιστροφὴν οὐκ ἔχοντες ἐν λόγῳ· τούτων δὲ πάντες μὲν οἱ ποταμοὶ πλήθοντες καὶ πλημμυροῦντες ῥέουσι, πολλὰ δὲ κλίματα τότε ἀποκόπτουσιν αἱ ῥύσεις, εἰς τὴν θάλασσαν δὲ τὴν μέλαιναν μεγάλως στενάζουσαι καὶ ἠχοῦσαι ῥέουσιν ἐκ τῶν ὀρέων καταφερῶς, ἐλαττοῦνται δὲ τὰ ἔργα τῶν ἀνθρώπων· οὕτως αἱ Τρωϊκαὶ ἵπποι μεγάλως ἐστέναζον τρέχουσαι. Ὁ Πάτροκλος δὲ ἐπειδὴ τὰς πρώτας τάξεις ἀπέτεμεν, ὀπίσω ἐπὶ τὰς ναῦς συνήλαυνεν εἰς τοὐπίσω ἐμβάλλων, οὐδὲ τῆς πόλεως ἐπιβῆναι προθυμουμένους ἠφίει, ἀλλὰ μεταξὺ τῶν νεῶν καὶ τοῦ ποταμοῦ καὶ τοῦ τείχους τοῦ ὑψηλοῦ ἀπέκτεινεν ἐφορμῶν, πολλῶν δὲ δίκην εἰσεπράττετο. Τότε πρῶτον μὲν τὸν Πρόνοον ἔτρωσε δόρατι λαμπρῷ κατὰ τὸ στέρνον, γυμνωθέντα τῆς ἀσπίδος, παρέλυσε δὲ τὰ μέλη, ἐψόφησε δὲ καταπεσών· οὗτος δὲ Θέστορα τὸν υἱὸν τοῦ Ἤνοπος αὖθις ὁρμήσας· οὗτος μὲν ἐν τῷ καλῶς κατεσκευασμένῳ ὀχήματι ἐκάθητο συσταλεὶς, ἐξεπλάγη γὰρ τὴν διάνοιαν, ἐκ τῶν χειρῶν δὲ αἱ ἡνίαι ἐξηνέχθησαν, αὐτὸς δὲ δόρατι παραγενόμενος ἔπληξε κατὰ τὴν δεξιὰν γνάθον, ... ἔσυρε δὲ ἀπὸ τοῦ δόρατος λαβὼν ὑπεράνω τῆς περιφερείας τοῦ ἅρματος, ὥσπερ ὅτε τις ἀνὴρ ἐπὶ πέτρᾳ προβεβλημένῃ εἰς τὴν θάλασσαν καθήμενος, ἰχθὺν μέγαν καὶ ἀήθη ἐκ τῆς θα-

Ἐκ πόντοιο θύραζε λίνῳ καὶ ἤνοπι χαλκῷ·
Ὣς εἷλκ᾽ ἐκ δίφροιο κεχηνότα, δουρὶ φαεινῷ·
Κὰδδ᾽ ἄρ᾽ ἐπὶ στόμ᾽ ἔωσε· πεσόντα δέ μιν λίπε θυμός.
Αὐτὰρ ἔπειτ᾽ Ἐρύαλον ἐπεσσύμενον βάλε πέτρῳ,
Μέσσην κακκεφαλήν· ἡ δ᾽ ἄνδιχα πᾶσα κεάσθη
Ἐν κόρυθι βριαρῇ· ὁ δ᾽ ἄρα πρηνὴς ἐπὶ γαίῃ
Κάππεσεν· ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής·
Αὐτὰρ ἔπειτ᾽ Ἐρύμαντα, καὶ Ἀμφοτερὸν, καὶ Ἐπάλτην,
Τληπόλεμόν τε Δαμαστορίδην, Ἐχίον τε, Πύρην τε,
Ἰφέα τ᾽, Εὔιππόν τε, καὶ Ἀργεάδην Πολύμηλον,
Πάντας ἐπασσυτέρους πέλασε χθονὶ πουλυβοτείρῃ.
Σαρπηδὼν δ᾽ ὡς οὖν ἴδ᾽ ἀμιτροχίτωνας ἑταίρους
Χέρσ᾽ ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμέντας,
Κέκλετ᾽ ἄρ᾽ ἀντιθέοισι καθαπτόμενος Λυκίοισιν·
Αἰδὼς, ὦ Λύκιοι, πόσε φεύγετε; νῦν θοοὶ ἐστέ·
Ἀντήσω γὰρ ἐγὼ τοῦδ᾽ ἀνέρος, ὄφρα δαείω,
Ὅστις ὅδε κρατέει· καὶ δὴ κακὰ πολλὰ ἔοργε
Τρῶας· ἐπεὶ πολλῶν τε καὶ ἐσθλῶν γούνατ᾽ ἔλυσεν.
Ἦ ῥα, καὶ ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμᾶζε.
Πάτροκλος δ᾽ ἑτέρωθεν, ἐπεὶ ἴδεν, ἔκθορε δίφρου.
Οἱ δ᾽ ὥστ᾽ αἰγυπιοὶ, γαμψώνυχες, ἀγκυλοχεῖλαι,
Πέτρῃ ἔφ᾽ ὑψηλῇ μεγάλα κλάζοντε μάχονται·
Ὣς οἱ, κεκλήγοντες ἐπ᾽ ἀλλήλοισιν ὄρουσαν.
Τοὺς δὲ ἰδὼν ἐλέησε Κρόνου παῖς ἀγκυλομήτεω,
Ἥρην δὲ προσέειπε κασιγνήτην ἄλοχόν τε·
Ὤ μοι ἐγὼν, ὅτε μοι Σαρπηδόνα, φίλτατον ἀνδρῶν,
Μοῖρ᾽ ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι.
Διχθὰ δέ μοι κραδίη μέμονε φρεσὶν, ὁρμαίνοντι,

λάσσης ἔξω ἕλκει λίνῳ, καὶ σιδήρῳ λαμπρῷ, ἤτοι τῇ διὰ λίνου, ἢ νεύρων, ἢ τριχῶν ὁρμιᾷ. οὕτως εἷλκεν ἐκ τοῦ ὀχήματος χαίνοντα δόρατι λαμπρῷ, κατώθησε δὲ ἐπὶ στόμα, πεσόντα δὲ αὐτὸν ἀπέλιπεν ἡ ψυχή. μετὰ ταῦτα δὲ Ἐρύαλον ἐφορμῶντα ἔτρωσε πέτρᾳ κατὰ τὸ μέσον τῆς κεφαλῆς, αὕτη δὲ εἰς δύο πᾶσα ἐσχίσθη ἐν τῇ στερεᾷ περικεφαλαίᾳ, οὗτος δὲ ἐπὶ πρόσωπον κατὰ γῆς κατέπεσε, περὶ αὐτὸν δὲ ὁ θάνατος ἐπεχύθη ὁ τὴν ψυχὴν ἀποχωρίζων. μετὰ ταῦτα δὲ Ἐρύμαντα, καὶ Ἀμφοτερὸν, καὶ Ἐπάλτην, καὶ Τληπόλεμον τὸν υἱὸν τοῦ Δαμάστορος, καὶ Ἐχίον, καὶ Πύρην, καὶ Ἰφέα, καὶ Εὔιππον, καὶ Ἀργεάδην τὸν πολυθρέμμονα, πάντας ἀλλεπαλλήλους καθεῖλεν ἐπὶ τὴν γῆν τὴν πολλὰ τρέφουσαν. ὁ Σαρπεδὼν δὲ ἐπειδὴ ἐθεάσατο τοὺς φίλους ἐσκυλευμένους, ἀναιρεθέντας ὑπὸ τῶν χειρῶν τοῦ Πατρόκλου τοῦ υἱοῦ τοῦ Μενοιτίου, ἐκέλευσε δὴ τοῖς ἰσοθέοις Λυκίοις ὀνειδίζων· Αἰσχύνη ἔστω, ὦ Λύκιοι, ποῦ φεύγετε; νυνὶ ἀγαθοὶ καὶ ταχεῖς εἰς τὸ πολεμεῖν γένεσθε· ἀπαντήσω γὰρ ἐγὼ τούτῳ τῷ ἀνδρὶ, ὅπως μάθω, τίς οὗτος κρατεῖ καὶ νικᾷ, καὶ δὴ πολλὰ δεινὰ πεποίηκε τοὺς Τρῶας, ἐπειδὴ πολλῶν καὶ ἀνδρείων γόνατα παρέλυσεν. Εἶπε δὴ, καὶ ἐκ τοῦ δίφρου σὺν τοῖς ὅπλοις κατεπήδησεν ἐπὶ τὴν γῆν. ὁ Πάτροκλος δὲ ἐκ τοῦ ἑτέρου μέρους ἐπειδὴ ἐθεάσατο, κατεπήδησεν ἐκ τοῦ ὀχήματος. οὗτοι δὲ ὥσπερ γῦπες καμπυλώνυχες ἐπικαμπῆ τὰ ῥάμφη ἔχοντες ἐπὶ ὑψηλῇ πέτρᾳ μεγάλως κράζοντες μάχονται· οὕτως οὗτοι βοῶντες κατ' ἀλλήλων ἐφώρμησαν. τούτους δὲ θεασάμενος ᾤκτειρεν ὁ υἱὸς τοῦ Κρόνου τοῦ σκολιοβούλου, εἶπε δὲ πρὸς τὴν Ἥραν τὴν ἀδελφὴν καὶ γαμετὴν αὐτοῦ. Οἴμοι ἐγὼ, ἐπειδή μοι Σαρπηδόνα τὸν φίλτατον τῶν ἀνδρῶν εἱμαρμένον ἐστὶν ἀναιρεθῆναι ὑπὸ Πατρόκλου τοῦ υἱοῦ τοῦ Μενοιτίου· διχῶς δέ μοι ἡ καρδία προθυμεῖται διανοουμένῳ ἐν τῷ λογιστικῷ, ἢ ζῶντα αὐτὸν ἀπὸ τοῦ πολέμου τοῦ δα-

Ἦ μιν ζωὸν ἐόντα μάχης ἄπο δακρυοέσσης
Θείω ἀναρπάξας Λυκίης ἐνὶ πίονι δήμῳ,
Ἦ ἤδη ὑπὸ χερσὶ Μενοιτιάδαο δαμάσσω.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
Ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
Ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
Ἔρδ'· ἀτὰρ οὔ τοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσιν·
Αἴκε ζωὸν πέμψῃς Σαρπηδόνα ὅνδε δόμονδε,
Φράζεο, μήτις ἔπειτα θεῶν ἐθέλῃσι καὶ ἄλλος
Πέμπειν ὃν φίλος υἱὸν ἀπὸ κρατερῆς ὑσμίνης·
Πολλοὶ γὰρ περὶ ἄστυ μέγα Πριάμοιο μάχονται
Υἱέες ἀθανάτων, τοῖσιν κότον αἰνὸν ἐνήσεις·
Ἀλλ' εἴ τοι φίλος ἐστὶ, τεὸν δ' ὀλοφύρεται ἦτορ·
Ἤτοι μέν μιν ἔασον ἐνὶ κρατερῇ ὑσμίνῃ
Χέρσ' ὑπὸ Πατρόκλοιο Μενοιτιάδαο δαμῆναι·
Αὐτὰρ ἐπὴν δὴ τόνγε λίπῃ ψυχή τε καὶ αἰὼν,
Πέμπειν μιν Θάνατόν τε φέρειν, καὶ νήδυμον Ὕπνον,
Εἰσόκε δὴ Λυκίης εὐρείης δῆμον ἵκωνται·
Ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε, ἔται τε,
Τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Αἱματοέσσας δὲ ψιάδας κατέχευεν ἔραζε,
Παῖδα φίλον τιμῶν, τόν οἱ Πάτροκλος ἔμελλε
Φθίσειν ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Ἔνθ' ἤτοι Πάτροκλος μὲν ἀγακλειτὸν Θρασύδημον,

χρύων γέμοντος ἀναρπάσας θῶ ἐν τῷ εὐδαίμονι δήμῳ τῆς Λυκίας, ἢ ἤδη ἀνακτείνω διὰ τῶν χειρῶν τοῦ υἱοῦ τοῦ Μενοιτίου. Πρὸς τοῦτον δὲ ἀπεκρίνετο μετὰ ταῦτα ἡ εὐόφθαλμος σεβαστὴ Ἥρα· Ὦ χαλεπώτατε υἱὲ τοῦ Κρόνου, τίνα τοῦτον λόγον εἶπας; ἄνδρα θνητὸν ὑπάρχοντα πάλαι κεκριμένον τῇ μοίρᾳ, πάλιν βούλει τοῦ κακοήχου θανάτου ἀπαλλάξαι· πράττε, πάντες δὲ οἱ ἄλλοι θεοὶ οὐδαμῶς ἐπαινοῦμεν ταυτί· ἄλλο δέ σοι ἐρῶ, σὺ δὲ ἔμβαλον αὐτὸ εἰς τὴν σὴν διάνοιαν. ἐὰν ζῶντα πέμψῃς τὸν Σαρπηδόνα εἰς τὸν ἑαυτοῦ οἶκον, λογίζου μή τις μετὰ ταῦτα καὶ ἄλλος ἀπὸ τῶν θεῶν ἐθέλῃ πέμπειν τὸν ἑαυτοῦ ἀγαπητὸν υἱὸν ἀπὸ τῆς ἰσχυρᾶς μάχης· πολλοὶ γὰρ περὶ τὴν μεγάλην πόλιν τοῦ Πριάμου πολεμοῦσιν υἱοὶ θεῶν ἀθανάτων, οἷς ὀργὴν χαλεπὴν ἐμποιήσεις· ἀλλ' εἴ σοι ἀρεστόν ἐστιν, ἡ σὴ δὲ ψυχὴ ἐλεεῖ καὶ θλίβεται, αὐτὸν μὲν ἄφες ἐν κραταιῷ πολέμῳ αναιρεθῆναι ὑπὸ τοῦ Πατρόκλου τοῦ υἱοῦ τοῦ Μενοιτίου· ἐπειδὰν δὲ τοῦτον ἀπολίπῃ ἡ ψυχή τε καὶ ἡ ζωὴ, πέμψον τόν τε θάνατον, καὶ τὸν δυσέκδυτον ὕπνον φέρειν αὐτὸν, ἕως ἂν ἀφίκωνται εἰς τὸν δῆμον τῆς εὐρυχώρου Λυκίας, ἐκεῖ δὲ αὐτὸν ἐνταφιάσουσιν οἱ ἀδελφοί τε καὶ συγγενεῖς καὶ φίλοι, καὶ πολῖται τάφῳ τε καὶ ἐπιγράμματι· αὕτη γάρ ἐστι τῶν ἀποθανόντων τιμή. Οὕτως εἶπεν· ὑπήκουσε δὲ ὁ πατὴρ τῶν ἀνθρώπων τε καὶ τῶν θεῶν, ψεκάδας δὲ αἱματώδεις κατέχεεν ἐπὶ τὴν γῆν, τὸν ἀγαπητὸν υἱὸν τιμῶν, ὃν αὐτῷ Πάτροκλος ἔμελλεν ἀναιρήσειν ἐν τῇ εὐγέῳ Τροίᾳ πόῤῥω τῆς πατρίδος. Οὗτοι δὲ ὁπηνίκα δὴ ἐγγὺς ἦσαν ἐπαλλήλους ἐρχόμενοι, τότε Πάτροκλος μὲν τὸν ὑπερένδοξον Θρασύδημον, ὃς δὴ

Ὅς ῥ' ἠῢς θεράπων Σαρπηδόνος ἦεν ἄνακτος,
Τὸν βάλε νείαιραν κατὰ γαστέρα· λῦσε δὲ γυῖα·
Σαρπηδὼν δ' αὐτοῦ μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
Δεύτερος ὁρμηθείς· ὁ δὲ Πήδασον οὔτασεν ἵππον
Ἔγχεϊ δεξιὸν ὦμον, ὁ δ' ἔβραχε θυμὸν ἀΐσθων·
Κὰδδ' ἔπεσ' ἐν κονίῃσι μακὼν, ἀπὸ δ' ἔπτατο θυμός·
Τὼ δὲ διαστήτην· κρίκε δὲ ζυγὸν, ἡνία δέ σφι
Σύγχυτ', ἐπειδὴ κεῖτο παρήορος ἐν κονίῃσι.
Τοῖο μὲν Αὐτομέδων δουρικλυτὸς εὕρετο τέκμωρ·
Σπασσάμενος τανύηκες ἄορ παχέος παρὰ μηροῦ,
Ἀΐξας ἀπέκοψε παρήορον· οὐδ' ἐμάτησε·
Τὼ δ' ἰθυνθήτην, ἐν δὲ ῥυτῆρσι τάνυσθεν·
Τὼ δ' αὖτις συνίτην ἔριδος πέρι θυμοβόροιο.
Ἔνθ' αὖ Σαρπηδὼν μὲν ἀπήμβροτε δουρὶ φαεινῷ,
Πατρόκλου δ' ὑπὲρ ὦμον ἀριστερὸν ἤλυθ' ἀκωκὴ
Ἔγχεος, οὐδ' ἔβαλ' αὐτόν· ὁ δ' ὕστερος ὤρνυτο χαλκῷ
Πάτροκλος· τοῦ δ' οὐχ ἅλιον βέλος ἔκφυγε χειρὸς,
Ἀλλ' ἔβαλ', ἔνθ' ἄρα τε φρένες ἔρχαται ἀμφ' ἀδινὸν κῆρ·
Ἤριπε δ', ὡς ὅτε τις δρῦς ἤριπεν, ἢ ἀχερωῒς,
Ἠὲ πίτυς βλωθρὴ, τήν τ' οὔρεσι τέκτονες ἄνδρες
Ἐξέταμον πελέκεσσι νεήκεσι, νήϊον εἶναι·
Ὣς ὁ πρόσθ' ἵππων καὶ δίφρου κεῖτο τανυσθεὶς,
Βεβρυχὼς, κόνιος δεδραγμένος αἱματοέσσης.
Ἠΰτε ταῦρον ἔπεφνε λέων ἀγέληφι μετελθὼν,
Αἴθωνα, μεγάθυμον ἐν εἰλιπόδεσσι βόεσσιν,
Ὤλετό τε στενάχων ὑπὸ γαμφηλῇσι λέοντος·
Ὣς ὑπὸ Πατρόκλῳ Λυκίων ἀγὸς ἀσπιστάων
Κτεινόμενος μενέαινε, φίλον δ' ὀνόμηνεν ἑταῖρον·

γενναῖος θεράπων ἦν τοῦ βασιλέως Σαρπηδόνος, τοῦτον ἔτρωσε κατὰ τὸ ἔσχατον τῆς γαστρὸς, παρέλυσε δὲ καὶ ἐνέκρωσε τὰ μέλη αὐτοῦ. ὁ Σαρπηδὼν δὲ αὐτοῦ μὲν ἀπέτυχε τῷ λαμπρῷ δόρατι ὕστερος ὁρμήσας, Πήδασον δὲ οὗτος τὸν ἵππον ἔτρωσε τῷ δόρατι κατὰ τὸν δεξιὸν ὦμον, οὗτος δὲ ἤχησε τὴν ψυχὴν ἀποπνέων, κατέπεσε δὲ ἐπὶ τὴν κόνιν μηκησάμενος, ἀπέπτη δὲ ἡ ψυχή. οἱ τοι δὲ διέστησαν, ἔτριγε δὲ καὶ ἤχει τὸ ζυγὸν τῇ παρατρίψει· αἱ ἡνίαι δ᾽ αὐτοῖς συνεχέθησαν, ἐπειδὴ ὁ παρεζευγμένος περισσὸς ἵππος ἔκειτο ἐν τῇ κόνει κατὰ γῆς· τούτου μὲν οὖν τέλος ηὗρεν Αὐτομέδων ὁ κατὰ πόλεμον ἔνδοξος ἑλκύσας τὴν ἐκτεταμένην ῥομφαίαν ἐκ τοῦ παχέος μηροῦ, ὁρμήσας ἀπέτεμε τὸν παρεζευγμένον ἵππον, οὐδὲ ὑστέρησεν. οὗτοι δὲ εἰς ὀρθὸν κατέστησαν, ἐνετανύσθησαν δὲ καὶ εὐθύνθησαν τοῖς ἑλκυστῆρσι, καὶ ταῖς ἡνίαις· οὗτοι δὲ πάλιν συνήρχοντο ἔριδος ἕνεκα καὶ μάχης ψυχοφθόρου. τότε δὴ Σαρπηδὼν μὲν ἀπέτυχε καὶ ἥμαρτε τῷ λαμπρῷ δόρατι, ὑπὲρ τὸν ὦμον δὲ τὸν ἀριστερὸν τοῦ Πατρόκλου ἠνέχθη τὸ ὀξὺ τοῦ δόρατος, οὐδὲ ἔτρωσεν αὐτόν· ὁ δὲ δεύτερος ὥρμησε μετὰ τοῦ σιδήρου ὁ Πάτροκλος, τούτου δὲ τὸ δόρυ οὐκ ἐξηνέχθη τῆς χειρὸς ματαίως, ἀλλ᾽ ἔτρωσεν ἔνθα τὸ ὑπὸ τὸν πνεύμονα διάζωμα τοῦ θώρακος εἰργμένον ἐστὶν περὶ τὴν πυκνὴν καρδίαν· κατέπεσε δὲ ὥσπερ ὅτε τις δρῦς κατέπεσεν ἢ λεύκη, ἢ πίτυς ὑψηλὴ, ἣν ἐν τοῖς ὄρεσιν ἄνδρες ξυλουργοὶ ἀπέκοψαν πελέκεσι νεωστὶ ἠκονημένοις, ναυπηγήσιμον εἶναι. οὕτως αὐτὸς ἔμπροσθεν τῶν ἵππων καὶ τοῦ ὀχήματος ἔκειτο ἐκτεταμένος, ἦχον ἀποτελέσας, κόνεως δραξάμενος ᾑμαγμένης. ὥσπερ δὲ ταῦρον ἀπέκτεινε λέων εἰς τὴν ἀγέλην ἐλθὼν πυῤῥὸν, εὔτολμον καὶ γενναῖον ἐν τοῖς βουσὶ τοῖς ἑλίσσουσι τοὺς πόδας κατὰ τὴν πορείαν, καὶ ἀπώλετο στενάζων ὑπὸ τῶν καμπύλων ὀνύχων τοῦ λέοντος· οὕτως ὑπὸ τοῦ Πατρόκλου ὁ ἡγεμὼν τῶν ὁπλιτῶν Λυκίων ἀναιρούμενος ἐλειποψύχει, τὸν ἀγαπητὸν δὲ φίλον ἐξ ὀνόματος ἐκάλεσε λέ-

Γλαῦκε πέπον, πολεμιστὰ μετ' ἀνδράσι, νῦν σε μάλα χρὴ
Αἰχμητήν τ' ἔμεναι, καὶ θαρσαλέον πολεμιστήν·
Νῦν τοι ἐελδέσθω πόλεμος κακὸς, εἰ θοὸς ἐσσί.
Πρῶτα μὲν ὄτρυνον Λυκίων ἡγήτορας ἄνδρας,
Πάντη ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι·
Αὐτὰρ ἔπειτα καὶ αὐτὸς ἐμεῦ πέρι μάρναο χαλκῷ.
Σοὶ γὰρ ἐγὼ καὶ ἔπειτα κατηφείη καὶ ὄνειδος
Ἔσσομαι ἤματα πάντα διαμπερὲς, εἴκέ μ' Ἀχαιοὶ
Τεύχεα συλήσωσι, νεῶν ἐν ἀγῶνι πεσόντα.
Ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψεν,
Ὀφθαλμοὺς, ῥῖνάς θ'· ὁ δὲ λὰξ ἐν στήθεσι βαίνων,
Ἐκ χροὸς εἷλκε δόρυ, ποτὶ δὲ φρένες αὐτῷ ἕποντο·
Τοῖο δ' ἅμα ψυχήν τε, καὶ ἔγχεος ἐξέρυσ' αἰχμήν.
Μυρμιδόνες δ' αὐτοῦ σχέθον ἵππους φυσιόωντας
Ἱεμένους φοβέεσθαι, ἐπεὶ λίπον ἅρματ' ἀνάκτων.
Γλαύκῳ δ' αἰνὸν ἄχος γένετο φθογγῆς ἀΐοντι·
Ὠρίνθη δέ οἱ ἦτορ, ὅτ' οὐ δύνατο προσαμῦναι.
Χειρὶ δ' ἑλὼν ἐπίεζε βραχίονα· τεῖρε γὰρ αὐτὸν
Ἕλκος, ὃ δή μιν Τεῦκρος ἐπεσσύμενον βάλεν ἰῷ,
Τείχεος ὑψηλοῖο ἀρὴν ἑτάροισιν ἀμύνων.
Εὐχόμενος δ' ἄρα εἶπεν ἑκηβόλῳ Ἀπόλλωνι·
Κλῦθι, ἄναξ, ὅς που Λυκίης ἐν πίονι δήμῳ
Εἷς, ἢ ἐνὶ Τροίῃ· δύνασαι δὲ σὺ πάντοσ' ἀκούειν
Ἀνέρι κηδομένῳ, ὡς νῦν ἐμὲ κῆδος ἱκάνει.
Ἕλκος μὲν γὰρ ἔχω τόδε καρτερὸν, ἀμφὶ δέ μοι χεὶρ
Ὀξείῃς ὀδύνῃσιν ἐλήλαται, οὐδέ μοι αἷμα
Τερσῆναι δύναται· βαρύθει δέ μοι ὦμος ὑπ' αὐτοῦ·

γων· Ὦ προσηνέστατε Γλαῦκε, μαχητὰ ἐν τοῖς ἀνδράσι, νυνί σε δεῖ μάλα πολεμιστὴν εἶναι, καὶ εὔτολμον μαχητήν· νυνί σοι δι' ἐπιθυμίας ἔστω ὁ χαλεπὸς πόλεμος, εἰ ταχὺς καὶ γενναῖος ὑπάρχεις· πρῶτον μὲν παρόξυνον τοὺς ἄνδρας τοὺς ἡγεμόνας τῶν Λυκίων, πανταχοῦ πορευόμενος πολεμεῖν ἕνεκα τοῦ Σαρπηδόνος, μετὰ ταῦτα δὲ καὶ σὺ μάχου διὰ τοῦ σιδήρου περὶ ἐμοῦ. σοὶ γὰρ ἐγὼ καὶ μετὰ ταῦτα αἴτιος αἰσχύνης καὶ ὀνείδους γενήσομαι κατὰ πάντα τὸν χρόνον μέχρι τέλους, ἐάν με οἱ Ἕλληνες τὰ ὅπλα ἀφέλωνται ἐν τῇ μάχῃ τῶν νεῶν ἀποθανόντι, ἀλλ' ἀνθίστασο ἰσχυρῶς καὶ γενναίως, διέγειρε δὲ καὶ πρότρεψον πάντα τὸν στρατόν. Οὕτω δὴ εἰπόντα αὐτὸν ἐκάλυψε τὸ τέλος τοῦ θανάτου, κατά τε ὀφθαλμοὺς, καὶ τὰς ῥῖνας· οὗτος δὲ λακτικῶς ἐν τῷ στήθει πατῶν εἷλκεν ἐκ τοῦ σώματος τὸ δόρυ, πρὸς αὐτῷ καὶ οἱ ὑμένες εἵλκοντο τοῦ διαφράγματος, ὁμοῦ δὲ τὴν ψυχὴν αὐτοῦ καὶ τὴν ἐπιδορατίδα τοῦ δόρατος ἐξείλκυσεν. οἱ Μυρμιδόνες δὲ αὐτόθι τοὺς ἵππους κατέσχον ἀσθμαίνοντας ὁρμῶντας φεύγειν, ἐπειδὴ ἠρημώθησαν τὰ ἅρματα τῶν βασιλέων. τῷ Γλαύκῳ δὲ λύπη χαλεπὴ ἐγένετο ἀκούοντι τῆς φωνῆς, παρωξύνθη δὲ αὐτοῦ ἡ ψυχὴ, οὐκ ἐδύνατο δὲ αὐτὸς βοηθῆσαι, τῇ χειρὶ δὲ λαβὼν, συνέσφιγγε τὸν βραχίονα, κατεπόνει γὰρ αὐτὸν τὸ τραῦμα, ὃ δὴ αὐτὸν ἐφορμῶντα ἔτρωσεν ὁ Τεῦκρος οἰστῷ ἀπὸ τοῦ ὑψηλοῦ τείχους τὸν θάνατον τοῖς φίλοις ἀποσοβῶν. εὐχὴν δὲ ποιούμενος εἶπε τῷ πόῤῥωθεν βάλλοντι Ἀπόλλωνι. Ἐπάκουσον, ὦ βασιλεῦ, ὅστις ἐν τῷ εὐδαίμονι δήμῳ τῆς Λυκίας διατρίβεις, ἢ ἐν τῇ Τροίᾳ, σὺ δὲ δύνασαι πάντοθεν ἀκούειν ἀνδρὶ λυπουμένῳ, ὥσπερ νυνὶ ἐμὲ λύπη κατέχει, τραῦμα μὲν γὰρ ἔχω τοῦτο χαλεπὸν, ἡ χεὶρ δέ μοι περιπέπαρται ὀδύναις σφοδραῖς, οὐδέ μοι τὸ αἷμα ξηρανθῆναι δύναται, βεβάρυται δέ μοι ὁ ὦμος ὑπ' αὐτοῦ

Ἔγχος δ' οὐ δύναμαι σχεῖν ἔμπεδον, οὐδὲ μάχεσθαι
Ἐλθὼν δυσμενέεσσιν· ἀνὴρ δ' ὤριστος ὄλωλε
Σαρπηδὼν, Διὸς υἱός· ὁ δ' οὐδ' ᾧ παιδὶ ἀμύνει.
Ἀλλὰ σὺ πέρ μοι, ἄναξ, τόδε καρτερὸν ἕλκος ἄκεσσαι,
Κοίμησον δ' ὀδύνας, δὸς δὲ κράτος, ὄφρ' ἑτάροισι
Κεκλόμενος Λυκίοισιν ἐποτρύνω πολεμίζειν·
Αὐτός τ' ἀμφὶ νέκυϊ κατατεθνειῶτι μάχωμαι.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Φοῖβος Ἀπόλλων·
Αὐτίκα παῦσ' ὀδύνας, ἀπὸ δ' ἕλκεος ἀργαλέοιο
Αἷμα μέλαν τέρσηνε, μένος δέ οἱ ἔμβαλε θυμῷ.
Γλαῦκος δ' ἔγνω ᾗσιν ἐνὶ φρεσὶ, γήθησέν τε,
Ὅττι οἱ ὦκ' ἤκουσε μέγας θεὸς εὐξαμένοιο.
Πρῶτα μὲν ὤτρυνεν Λυκίων ἡγήτορας ἄνδρας,
Πάντη ἐποιχόμενος, Σαρπηδόνος ἀμφιμάχεσθαι.
Αὐτὰρ ἔπειτα μετὰ Τρῶας κίε, μακρὰ βιβάσθων,
Πουλυδάμαντ' ἐπὶ Πανθοΐδην, καὶ Ἀγήνορα δῖον·
Βῆ δὲ μετ' Αἰνείαν τε, καὶ Ἕκτορα χαλκοκορυστὴν,
Ἀγχοῦ δ' ἱστάμενος ἔπεα πτερόεντα προσηύδα·
Ἕκτορ, νῦν δὴ πάγχυ λελασμένος εἶς ἐπικούρων,
Οἳ σέθεν εἵνεκα, τῆλε φίλων, καὶ πατρίδος αἴης,
Θυμὸν ἀποφθινύθουσι· σὺ δ' οὐκ ἐθέλεις ἐπαμύνειν.
Κεῖται Σαρπηδὼν, Λυκίων ἀγὸς ἀσπιστάων,
Ὃς Λυκίην εἴρυτο δίκῃσί τε καὶ σθένεϊ ᾧ·
Τὸν δ' ὑπὸ Πατρόκλῳ δάμασ' ἔγχεϊ χάλκεος Ἄρης.
Ἀλλὰ, φίλοι πάρστητε, νεμεσσήθητε δὲ θυμῷ,
Μὴ ἀπὸ τεύχε' ἕλωνται, ἀεικίσσωσι δὲ νεκρὸν
Μυρμιδόνες, Δαναῶν κεχολωμένοι, ὅσσοι ὄλοντο,
Τοὺς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνομεν ἐγχείῃσιν.

τὸ δόρυ δὲ οὐ δύναμαι κρατῆσαι ἀσφαλῶς, οὐδὲ πολεμεῖν τοῖς ἐχθροῖς παραγενόμενος· ἀνὴρ δὲ ἄριστος τέθνηκε Σαρπηδὼν ὁ υἱὸς τοῦ Διός, αὐτὸς δὲ οὐδὲ τῷ ἑαυτοῦ υἱῷ βοηθεῖ· ἀλλὰ σύ γε, ὦ βασιλεῦ, τόδε μοι τὸ χαλεπὸν τραῦμα θεράπευσον, καταπράϋνον δὲ τὰς ὀδύνας, παράσχου δὲ δύναμιν, ὅπως ἂν τοῖς φίλοις παρακελευσάμενος τοῖς Λυκίοις ἐρεθίσω μάχεσθαι, κἀγὼ περὶ τὸν τεθνηκότα νεκρὸν πολεμῶ. Οὕτως εἶπεν εὐχὴν ποιούμενος· τούτου δὲ ἐπήκουσεν Ἀπόλλων, ὁ καθαρός, παραχρῆμα δὲ ἔπαυσε τὰς ὀδύνας, ἀπὸ τοῦ ὀδυνηροῦ δὲ τραύματος τὸ μέλαν αἷμα ἐξήρανεν, δύναμιν δὲ αὐτῷ εὔτολμον ἐνέβαλεν εἰς τὴν ψυχήν. ὁ Γλαῦκος δὲ ἐνόησεν ἐν τῇ ἑαυτοῦ διανοίᾳ καὶ ἐχάρη, ὅτι αὐτῷ ταχέως ἤκουσεν ὁ μέγας θεὸς εὐξαμένου αὐτοῦ. πρῶτον μὲν οὖν διήγειρε τοὺς ἄνδρας τοὺς ἡγεμόνας τῶν Λυκίων, πάντοσε πορευόμενος πολεμεῖν ἕνεκα τοῦ Σαρπηδόνος· μετὰ ταῦτα δὲ πρὸς τοὺς Τρῶας ἐπορεύετο μεγάλως προβαίνων, ἐπὶ Πολιδάμαντα τὸν υἱὸν τοῦ Πάνθου, καὶ τὸν ἐνδοξότατον Ἀγήνορα· ἐπορεύθη δὲ πρὸς τὸν Αἰνείαν καὶ τὸν Ἕκτορα τὸν σιδήρῳ καθωπλισμένον. πλησίον δὲ στὰς λόγους ταχεῖς ἔλεγε πρὸς αὐτούς· Ὦ Ἕκτορ νυνὶ δὴ παντελῶς ἐξελάθου τῶν βοηθῶν, οἳ ἕνεκά σου πόῤῥω τῶν φίλων καὶ συγγενῶν καὶ τῆς πατρίδος γῆς τὴν ψυχὴν ἀποβάλλουσι, σὺ δὲ οὐκ ἤθελεις βοηθεῖν· τέθνηκε Σαρπηδὼν ὁ ἀρχηγὸς τῶν ὁπλιτῶν Λυκίων, ὃς τὴν Λυκίαν ἔσωζε δικαιοσύνῃ τε καὶ δυνάμει ἰδίᾳ· τοῦτον δὲ διὰ τοῦ Πατρόκλου ἀπέκτεινε δόρατι ὁ σιδηροῦς Ἄρης· ἀλλ᾽ ὦ φίλοι παράστητε καὶ βοηθήσατε, αἰσχύνθητε δὲ ἐν τῇ ψυχῇ, μὴ ἀφέλωνται τὰ ὅπλα, ὑβρίσωσι δὲ τὸν νεκρὸν οἱ Μυρμιδόνες ὀργιζόμενοι ἕνεκα τῶν Ἑλλήνων ὅσον τεθνήκασιν, οὓς παρὰ ταῖς ταχείαις ναυσὶν ἀπεκτείναμεν τοῖς δόρασιν. Οὕτως εἶπε. τοὺς Τρῶας δὲ ἐκ κεφαλῆς

Ὣς ἔφατο· Τρῶας δὲ κατακρῆθεν λάβε πένθος
Ἄσχετον, οὐκ ἐπιεικτὸν, ἐπεί σφισιν ἕρμα πόληος
Ἔσκε, καὶ ἀλλοδαπός περ ἐών· πολέες γὰρ ἅμ' αὐτῷ
Λαοὶ ἕποντ', ἐν δ' αὐτὸς ἀριστεύεσκε μάχεσθαι.
Βὰν δ' ἰθὺς Δαναῶν λελιημένοι· ἦρχε δ' ἄρα σφὶν
Ἕκτωρ, χωόμενος Σαρπηδόνος· αὐτὰρ Ἀχαιοὺς
Ὦρσε Μενοιτιάδαο Πατροκλῆος λάσιον κῆρ·
Αἴαντε πρώτω προσέφη μεμαῶτε καὶ αὐτώ·
Αἴαντε, νῦν σφῶϊν ἀμύνεσθαι φίλον ἔστω,
Οἷοί περ πάρος ἦτε μετ' ἀνδράσιν, ἢ καὶ ἀρείους.
Κεῖται ἀνὴρ, ὃς πρῶτος ἐσήλατο τεῖχος Ἀχαιῶν,
Σαρπηδών· ἀλλ' εἴ μιν ἀεικισσαίμεθ' ἑλόντες,
Τεύχεά τ' ὤμοιϊν ἀφελοίμεθα, καί τιν' ἑταίρων
Αὐτοῦ ἀμυνομένων δαμασαίμεθα νηλέϊ χαλκῷ.
Ὣς ἔφαθ'· οἱ δὲ καὶ αὐτοὶ ἀλέξασθαι μενέαινον.
Οἱ δ' ἐπεὶ ἀμφοτέρωθεν ἐκαρτύναντο φάλαγγας,
Τρῶες καὶ Λύκιοι, καὶ Μυρμιδόνες καὶ Ἀχαιοὶ,
Σύμβαλον ἀμφὶ νέκυϊ κατατεθνειῶτι μάχεσθαι,
Δεινὸν ἀΰσαντες· μέγα δ' ἔβραχε τεύχεα φωτῶν.
Ζεὺς δ' ἐπὶ νύκτ' ὀλοὴν τάνυσε κρατερῇ ὑσμίνῃ,
Ὄφρα φίλῳ περὶ παιδὶ μάχης ὀλοὸς πόνος εἴη.
Ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
Βλῆτο γὰρ οὔτι κάκιστος ἀνὴρ μετὰ Μυρμιδόνεσσιν,
Υἱὸς Ἀγακλῆος μεγαθύμου, δῖος Ἐπειγεὺς,
Ὅς ῥ' ἐν Βουδείῳ εὐναιομένῳ ἤνασσε
Τοπρίν· ἀτὰρ τότε γ' ἐσθλὸν ἀνεψιὸν ἐξεναρίξας
Ἐς Πηλῆ' ἱκέτευσε, καὶ ἐς Θέτιν ἀργυρόπεζαν·
Οἱ δ' ἅμ' Ἀχιλλῆϊ ῥηξήνορι πέμπον ἕπεσθαι

κατέλαβε πένθος ἀφόρητον οὐχ ὑπομονητὸν, ἐπειδὴ αὐτοῖς ὑποστήριγμα τῆς πόλεως ἦν, καίπερ ὢν ξένος καὶ ἀλλογενής· πολλοὶ γὰρ μετ' αὐτοῦ λαοὶ ἠκολούθουν, ἐν τούτοις δὲ αὐτὸς ἠνδραγάθει μαχόμενος· ἐπορεύθησαν δὲ εὐθὺ τῶν Ἑλλήνων προθύμως, ἡγεῖτο δ' αὐτοῖς ὁ Ἕκτωρ ὀργιζόμενος ἕνεκα τοῦ Σαρπηδόνος· τοὺς Ἕλληνας δὲ διήγειρεν ἡ τοῦ Πατρόκλου τοῦ υἱοῦ τοῦ Μενοιτίου συνετὴ ψυχή..............................

Ὦ Αἴαντες νῦν ὑμῖν ἀρεστὸν ἔστω μάχεσθαι, ὁποῖοι καὶ πρότερον ὑπήρχετε ἐν τοῖς ἀνδράσιν, ἢ καὶ βελτίους. τέθνηκεν ἀνὴρ ὃς πρῶτος εἰσεπήδησε τὸ τεῖχος τῶν Ἑλλήνων, ὁ Σαρπηδὼν, ἀλλ' εἴγ' αὐτὸν ὑβρίσαιμεν λαβόντες καὶ τὰ ὅπλα ἀφελοίμεθα τῶν ὤμων, καί τινα τῶν φίλων αὐτοῦ μαχομένων ἀνέλοιμεν σιδήρῳ ἀνηλεεῖ. Οὕτως εἶπεν· ἔτι δὲ καὶ αὐτοὶ βοηθῆσαι προεθυμοῦντο. ἐπεὶ δὲ οὗτοι ἑκατέρωθεν ἐνεδυνάμωσαν τὰς τάξεις οἱ Τρῶες, καὶ οἱ Λύκιοι, καὶ οἱ Μυρμιδόνες, καὶ οἱ λοιποὶ Ἕλληνες, συνέβαλον πολεμεῖν περὶ τὸν τεθνηκότα νεκρὸν φοβερῶς βοήσαντες, μεγάλως δὲ ἤχησαν τὰ ὅπλα τῶν ἀνδρῶν. ὁ Ζεὺς δὲ σκότος χαλεπὸν καὶ ὀλέθριον ἐξέτεινεν ἐπὶ τῇ κραταιᾷ μάχῃ, ὅπως ἂν περὶ τοῦ ἀγαπητοῦ υἱοῦ πόνος ὀλέθριος πολέμου γένοιτο. ἀπεκρούσαντο δὲ πρότερον οἱ Τρῶες τοὺς ἀξιοθεάτους Ἕλληνας, ἐτρώθη γὰρ ἀνὴρ κράτιστος ἐν τοῖς Μυρμιδόσιν, υἱὸς τοῦ μεγαλοψύχου Ἀγακλέους ὁ ἐνδοξότατος Ἐπειγεὺς, ὃς δὴ ἐν τῷ Βουδείῳ τῷ καλῶς οἰκουμένῳ ἐβασίλευε τὸ πρῶτον, τότε δὲ ἀδελφιδοῦν χρηστὸν φονεύσας, ἱκέτης ἀφίκετο πρὸς τὸν Πηλέα, καὶ πρὸς τὴν λευκόποδα Θέτιν· οὗτοι δὲ ἔπεμψαν ἀκολουθεῖν Ἀχιλλεῖ τῷ ἀνδρείῳ εἰς τὸ

Ἴλιον εἰς εὔπωλον, ἵνα Τρώεσσι μάχοιτο.
Τόν ῥα τόθ' ἁπτόμενον νέκυος βάλε φαίδιμος Ἕκτωρ
Χερμαδίῳ κεφαλήν· ἡ δ' ἄνδιχα πᾶσα κεάσθη
Ἐν κόρυθι βριαρῇ· ὁ δ' ἄρα πρηνὴς ἐπὶ νεκρῷ
Κάππεσεν, ἀμφὶ δέ μιν θάνατος χύτο θυμοραϊστής.
Πατρόκλῳ δ' ἄρ' ἄχος γένετο φθιμένου ἑτάροιο·
Ἴθυσεν δὲ διὰ προμάχων, ἴρηκι ἐοικὼς
Ὠκέϊ, ὅστ' ἐφόβησε κολοιούς τε, ψῆράς τε·
Ὣς ἰθὺς Λυκίων, Πατρόκλεις ἱπποκέλευθε,
Ἔσσυο καὶ Τρώων: κεχόλωσο δὲ κῆρ, ἑτάροιο.
Καί ῥ' ἔβαλε Σθενέλαον, Ἰθαιμένεος φίλον υἱὸν
Αὐχένα χερμαδίῳ, ῥῆξεν δ' ἀπὸ τοῖο τένοντας.
Χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ.
Ὅσση δ' αἰγανέης ῥιπὴ ταναοῖο τέτυκται,
Ἥν ῥά τ' ἀνὴρ ἀφέῃ πειρώμενος ἢ ἐν ἀέθλῳ,
Ἠὲ καὶ ἐν πολέμῳ, δηΐων ὑπὸ θυμοραϊστέων·
Τόσσον ἐχώρησαν Τρῶες, ὤσαντο δ' Ἀχαιοί·
Γλαῦκος δὲ πρῶτος, Λυκίων ἀγὸς ἀσπιστάων,
Ἐτράπετ', ἔκτεινε δὲ Βαθυκλῆα μεγάθυμον,
Χάλκωνος φίλον υἱὸν, ὃς Ἑλλάδι οἰκία ναίων,
Ὄλβῳ τε πλούτῳ τε μετέπρεπε Μυρμιδόνεσσι.
Τὸν μὲν ἄρα Γλαῦκος, στῆθος μέσον, οὔτασε δουρὶ,
Στρεφθεὶς ἐξαπίνης, ὅτε μιν κατέμαρπτε διώκων·
Δούπησεν δὲ πεσών· πυκινὸν δ' ἄχος ἔλλαβ' Ἀχαιοὺς,
Ὡς ἔπεσ' ἐσθλὸς ἀνήρ, μέγα δὲ Τρῶες κεχάροντο·
Σταν δ' ἀμφ' αὐτὸν ἰόντες ἀολλέες· οὐδ' ἄρ' Ἀχαιοὶ
Ἀλκῆς ἐξελάθοντο, μένος δ' ἰθὺς φέρον αὐτῶν.
Ἔνθ' αὖ Μηριόνης Τρώων ἕλεν ἄνδρα κορυστὴν

καλοὺς ἵππους ἔχον Ἴλιον, ἵνα τοῖς Τρωσὶ πολεμοίη. τοῦτον δὴ τότε ἀπτόμειον τοῦ νεκροῦ ἔπληξεν ὁ λαμπρὸς Ἕκτωρ λίθῳ χειροπληθεῖ κατὰ τὴν κεφαλὴν, αὕτη δὲ εἰς δύο πᾶσα ἐσχίσθη ἐν τῇ στερεᾷ περικεφαλαίᾳ, οὗτος δὲ ἐπὶ πρόσωπον ἐπάνω τοῦ νεκροῦ κατέπεσε, περὶ αὐτὸν δὲ θάνατος ἐχέθη ὁ χωρίζων τὴν ψυχὴν, τῷ Πατρόκλῳ δὲ λύπη ἐγένετο ἀποθανόντος τοῦ φίλου, ὥρμησε δὲ διὰ τῶν πρωταγωνιστῶν ὅμοιος ἱέρακι ταχεῖ, ὅστις εἰς φυγὴν ἔτρεψε τοὺς κολοιοὺς καὶ τοὺς ψῆρας. οὕτως εὐθὺς τῶν Λυκίων, ὦ Πάτροκλε ἱππικὲ, ὥρμησας καὶ Τρώων, ὠργίσθης δὲ κατὰ τὴν ψυχὴν ἕνεκα τοῦ φίλου· καὶ δὴ ἔτρωσε Σθενέλαον τὸν ἀγαπητὸν υἱὸν τοῦ Ἰθαιμενοῦς κατὰ τὸν αὐχένα λίθῳ χειροπληθεῖ, διέκοψε δὲ ἀπ' αὐτοῦ τὰ νεῦρα, ὑπεχώρησαν δὲ οἵτε πρωταγωνισταὶ καὶ ὁ λαμπρὸς Ἕκτωρ· ὅση δὲ ἀκοντίου ὁρμὴ ἐπιμήκους γίνεται, ὃ δὴ ἂν ἀνὴρ ἀφῇ ἢ ἐν ἀγῶνι πεῖραν ἑαυτοῦ λαμβάνων, ἢ καὶ ἐν πολέμῳ βάλλων ὑπὸ τῶν ψυχοφθόρων πολεμίων. τοσοῦτον ὑπεχώρησαν μὲν οἱ Τρῶες, ἐξήλασαν δὲ οἱ Ἕλληνες· ὁ Γλαῦκος δὲ πρῶτος ὁ ἡγεμὼν τῶν ὁπλιτῶν Λυκίων ἐτράπη, ἀνεῖλε δὲ τὸν μεγαλόψυχον Βαθυκλέα τὸν ἀγαπητὸν υἱὸν τοῦ Χάλκωνος, ὃς ἐν Ἑλλάδι τὴν οἰκίαν οἰκῶν πλούτῳ τε καὶ περιουσίᾳ διέπρεπε ἐπὶ τοῖς Μυρμιδόσι, καὶ ἔξοχος ἦν· Τοῦτον μὲν οὖν ὁ Γλαῦκος ἔτρωσε κατὰ τὸ μέσον τοῦ στήθους τῷ δόρατι, ἐπιστραφεὶς ἐξαίφνης, ὁπηνίκα αὐτὸν κατελάμβανε διώκων, ἐψόφησε δὲ καταπεσὼν, λύπη δὲ πυκνὴ καὶ μεγάλη κατέλαβε τοὺς Ἕλληνας, ἐπειδὴ τέθνηκεν ἀνὴρ ἀνδρεῖος, μεγάλως δὲ οἱ Τρῶες ἐχάρησαν· ἔστασαν δὲ περὶ αὐτὸν ἐλθόντες ἀθρόοι· οὐ μὴν οὐδὲ οἱ Ἕλληνες ἐπελάθοντο τῆς ἰσχύος, δύναμιν δὲ εὔτολμον ἐπέφερον εὐθὺ αὐτῶν. τότε δὴ Μηριόνης ἀπέκτεινεν ἄνδρα ὁπλίτην τῶν

Λαόγονον, θρασὺν υἱὸν Ὀνήτορος, ὃς Διὸς ἱρεὺς
Ἰδαίου ἐτέτυκτο, θεὸς δ' ὣς, τίετο δήμῳ·
Τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος· ὦκα δὲ θυμὸς
Ὤιχετ' ἀπὸ μελέων, στυγερὸς δ' ἄρα μὶν σκότος εἷλεν.
Αἰνείας δ' ἐπὶ Μηριόνη δόρυ χάλκεον ἧκεν·
Ἔλπετο γὰρ τεύξεσθαι ὑπασπίδια προβιβῶντος·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος,
Πρόσσω γὰρ κατέκυψε, τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
Οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
Ἔγχεος· ἐνθά δ' ἔπειτ' ἀφίει μένος ὄβριμος ἄρης·
Αἰνείας δ' ἄρα θυμὸν ἐχώσατο, φώνησέν τε·
Μηριόνη, τάχα κέν σε, καὶ ὀρχηστήν περ ἐόντα,
Ἔγχος ἐμὸν κατέπαυσε διαμπερὲς, εἴ σ' ἔβαλόν περ.
Τὸν δ' αὖ Μηριόνης δουρικλυτὸς ἀντίον ηὔδα.
Αἰνεία, χαλεπόν σε, καὶ ἴφθιμόν περ ἐόντα,
Πάντων ἀνθρώπων σβέσσαι μένος, ὅς κέ σευ ἄντα
Ἔλθῃ ἀμυνόμενος· θνητὸς δέ νυ καὶ σὺ τέτυξαι.
Εἰ καὶ ἐγώ σε βάλοιμι τυχὼν μέσον ὀξέϊ χαλκῷ,
Αἶψά κε, καὶ κρατερός περ ἐὼν καὶ χερσὶ πεποιθὼς,
Εὖχος ἐμοὶ δώης, ψυχὴν δ' Ἄϊδι κλυτοπώλῳ.
Ὣς φάτο· τὸν δ' ἐνένιπτε Μενοιτίου ἄλκιμος υἱὸς·
Μηριόνη, τί σὺ ταῦτα, καὶ ἐσθλὸς ἐὼν, ἀγορεύεις;
Ὦ πέπον, οὔτι Τρῶες ὀνειδείοις ἐπέεσσι
Νεκροῦ χωρήσουσι, πάρος τινὰ γαῖα καθέξει,
Ἐν γὰρ χερσὶ τέλος πολέμου, ἐπέων δ', ἐνὶ βουλῇ·
Τῷ, οὔτι χρὴ μῦθον ὀφέλλειν, ἀλλὰ μάχεσθαι,
Ὣς εἰπὼν, ὁ μὲν ἦρχ', ὁ δ' ἅμ' ἕσπετο ἰσόθεος φώς.
Τῶν δ' ὥστε δρυτόμων ἀνδρῶν ὀρυμαγδὸς ὀρώρει

Τρώων Λαόγονον, ὃς ἱερεὺς τοῦ Διὸς τοῦ Ἰδαίου ἦν, καθάπερ δὲ θεὸς ἐτιμᾶτο ὑπὸ τοῦ δήμου· τοῦτον ἔτρωσεν ὑποκάτω τῆς σιαγόνος καὶ τοῦ ὠτὸς, ταχέως δὲ ἡ ψυχὴ ἀνεχώρησεν ἀπὸ τῶν μελῶν, μισητὸν δὲ σκότος αὐτὸν κατέλαβεν. Ὁ Αἰνείας δὲ κατὰ Μηριόνου τὸ σιδηροῦν δόρυ ἀφῆκεν, ἤλπιζε γὰρ ἐπιτεύξεσθαι αὐτοῦ ὑπὸ τὴν ἀσπίδα τιθέντος τοὺς πόδας, καὶ οὕτω προβαίνοντος. ἀλλ᾽ οὗτος μὲν ἐναντίον θεασάμενος ἐξέκλινε τὸ σιδηροῦν δόρυ, κατέκυψε γὰρ ἔμπροσθεν, τὸ μακρὸν δὲ δόρυ ὄπισθεν εἰς τὸ ἔδαφος ἐνεπάγη, διεσείσθη δὲ ὁ σαυρωτὴρ τοῦ δόρατος· ἐκεῖ δὲ μετὰ ταῦτα ἀφῆκε τὴν ὁρμὴν ὁ ἰσχυρὸς σίδηρος· ὁ Αἰνείας δὲ βαρέως ὠργίσθη κατὰ ψυχὴν, καὶ εἶπεν· Ὦ Μηριόνη, ταχέως ἄν σε καίπερ ὄντα δεδιδαγμένον τὴν ἐνόπλιον ὄρχησιν τὸ ἐμὸν δόρυ κατέπαυσε παντελῶς, εἴπερ σε ἔτρωσα. Πρὸς τοῦτον δὲ Μηριόνης ὁ κατὰ πόλεμον ἔνδοξος ἐκ τοῦ ἐναντίου ἔλεγεν· Ὦ Αἰνεία, ἀδύνατόν σε καίπερ ὄντα ἰσχυρὸν καὶ γενναῖον σβέσαι καὶ ἀφανίσαι τὴν δύναμιν πάντων τῶν ἀνθρώπων, ὃς ἂν ἐναντίον σου ἀφίκηται μαχόμενος, θνητὸς δὲ καὶ σὺ ὑπάρχεις. καὶ εἰ ἐγώ σε τρώσαιμι ἐπιτυχὼν κατὰ τὸ μέσον τῷ ὀξεῖ σιδήρῳ, ταχέως ἂν, καίπερ ὢν κραταιὸς καὶ γενναῖος, καὶ θαρρῶν ταῖς χερσὶ, καὶ τῇ μεγάλῃ δυνάμει, καύχημα μὲν ἐμοὶ δοίης, τὴν ψυχὴν δὲ τῷ ᾅδῃ τῷ τοὺς ἐνδόξους ἔχοντι ἵππους. Οὕτως εἶπε. τοῦτον δὲ ἐπέπληξεν ὁ ἰσχυρὸς υἱὸς τοῦ Μενοιτίου λέγων· Ὦ Μηριόνη, διὰ τί σὺ ταῦτα καίπερ γενναῖος ὢν λέγεις, ὦ προσηνέστατε, οὐδαμῶς οἱ Τρῶες λόγοις ὀνειδιστικοῖς ἀναχωρήσουσι τοῦ νεκροῦ, πρίν τινα ἡ γῆ ἐμπεριλήψεται· τέλος μὲν γὰρ πολέμου ἐν ταῖς χερσίν ἐστι, λόγων δὲ ἐν τῇ βουλῇ, δι᾽ ὃ οὐδαμῶς δεῖ λόγον αὔξειν καὶ ἐκτείνειν, ἀλλὰ πολεμεῖν. Οὕτως εἰπὼν, ὁ μὲν ἡγεῖτο· ὁ δὲ συνείπετο ἀνὴρ ὅμοιος θεῷ· τούτων δὲ ὥσπερ ἀνδρῶν δενδροκόπων βοὴ ἐγείρεται ἐν τοῖς

Οὔρεος ἐν βήσσῃς, ἕκαθεν δέ τε γίνετ' ἀκουή·
Ὣς τῶν ὤρνυτο δοῦπος ἀπὸ χθονὸς εὐρυοδείης,
Χαλκοῦ τε, ῥινοῦ τε, βοῶν τ' εὐποιητάων,
Νυσσομένων ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν.
Οὐδ' ἂν ἔτι φράδμων περ ἀνὴρ Σαρπηδόνα δῖον
Ἔγνω, ἐπεὶ βελέεσσι, καὶ αἵματι, καὶ κονίῃσιν,
Ἐκ κεφαλῆς εἴλυτο διαμπερὲς ἐς πόδας ἄκρους.
Οἱ δ' αἰεὶ περὶ νεκρὸν ὁμίλεον, ὡς ὅτε μυῖαι.
Σταθμῷ ἔνι βρομέωσι περιγλαγέας κατὰ πέλλας,
Ὥρῃ ἐν εἰαρινῇ, ὅτε τε γλάγος ἄγγεα δεύει·
Ὣς ἄρα τοὶ περὶ νεκρὸν ὁμίλεον, οὐδέ ποτε Ζεὺς
Τρέψεν ἀπὸ κρατερῆς ὑσμίνης ὄσσε φαεινώ,
Ἀλλὰ κατ' αὐτοὺς αἰὲν ὅρα, καὶ φράζετο θυμῷ
Πολλὰ μάλ' ἀμφὶ φόνῳ Πατρόκλου, μερμηρίζων,
Ἢ ἤδη κἀκεῖνον ἐνὶ κρατερῇ ὑσμίνῃ
Αὐτοῦ ἐπ' ἀντιθέῳ Σαρπηδόνι φαίδιμος Ἕκτωρ
Χαλκῷ δῃώσῃ, ἀπό τ' ὤμων τεύχε' ἕληται,
Ἦ ἔτι καὶ πλεόνεσσιν ὀφέλλειεν πόνον αἰπύν.
Ὧδε δέ οἱ φρονέοντι, δοάσσατο κέρδιον εἶναι,
Ὄφρ' ἠῢς θεράπων Πηληϊάδεω Ἀχιλῆος
Ἐξαῦτις Τρῶάς τε καὶ Ἕκτορα χαλκοκορυστὴν
Ὤσαιτο προτὶ ἄστυ, πολέων δ' ἀπὸ θυμὸν ἕλοιτο.
Ἕκτορι δὲ πρωτίστῳ ἀνάλκιδα φύζαν ἐνῆκεν·
Ἐς δίφρον δ' ἀναβὰς φύγαδ' ἔτραπε, κέκλετο δ' ἄλλους
Τρῶας φευγέμεναι· γνῶ γὰρ Διὸς ἱρὰ τάλαντα.
Ἔνθ' οὐδ' ἴφθιμοι Λύκιοι μένον, ἀλλ' ἐφόβηθεν
Πάντες, ἐπεὶ βασιλῆα ἴδον βεβλημένον ἦτορ,
Κείμενον ἐν νεκύων ἀγύρει· πολέες γὰρ ἄμ' αὐτῷ

βασίμοις καὶ κοίλοις τόποις τοῦ ὄρους, πόῤῥω δὲ γίνεται ἀκοή· οὕτως αὐτῶν ἠγείρετο κτύπος ἀπὸ τῆς γῆς τῆς εὐρυχώρου, καὶ τοῦ σιδήρου, καὶ τῶν βυρσῶν, καὶ τῶν λαισηΐων τῶν εὖ γεγονότων πληττομένων τοῖς ξίφεσιν καὶ τοῖς διστόμοις δόρασιν· οὐδ᾽ ἂν ἔτι οὐδ᾽ ὁ πάνυ γνώριμος καὶ συνήθης τὸν ἐνδοξότατον Σαρπηδόνα ἐγνώρισεν, ἐπειδὴ βέλεσι, καὶ αἵματι, καὶ κόνει ἐκ τῆς κεφαλῆς μέχρι τῶν ἄκρων ποδῶν ἐκεκάλυπτο διόλου· οὗτοι δὲ ἀεὶ περὶ τὸν νεκρὸν συνανεστρέφοιντο, ὥσπερ ὅταν αἱ μυῖαι ἐν τῇ ἐπαύλει τῶν προβάτων περιηχῶσι περὶ τὰς γεγαλακτωμένας καταπέλλας, ἤτοι τὰ γαλακτοδόχα ἀγγεῖα ἐν τῷ καιρῷ τοῦ ἔαρος, ὁπηνίκα τὸ γάλα βρέχει τὰ ἀγγεῖα. οὕτω δὴ οὗτοι περὶ τὸν νεκρὸν συνανεστρέφοντο, οὐδὲ ὁ Ζεὺς πώποτε ἔτρεψεν ἀπὸ τῆς κραταιᾶς μάχης τοὺς φωτεινοὺς ὀφθαλμοὺς, ἀλλὰ κατ᾽ αὐτοὺς ἀεὶ ἑώρα, καὶ ἐλογίζετο ἐν τῇ ψυχῇ πάνυ πολλὰ μεριμνῶν καὶ φροντίζων περὶ τοῦ θανάτου τοῦ Πατρόκλου· ἢ ἤδη κἀκεῖνον ἐν τῇ ἰσχυρᾷ μάχῃ αὐτόθι ἐπὶ τῷ ἰσοθέῳ Σαρπηδόνι ὁ λαμπρὸς Ἕκτωρ σιδήρῳ ἀποκτείνῃ, καὶ τὰ ὅπλα ἀφέληται τῶν ὤμων, ἢ ἔτι καὶ πλείοσιν αὐξήσειεν κάματον ἀφανιστικὸν, οὕτω δὲ αὐτῷ διανοουμένῳ ἔδοξε βέλτιον εἶναι, ἵνα ὁ γενναῖος θεράπων Ἀχιλλέως τοῦ υἱοῦ τοῦ Πηλέως ἐκ δευτέρου τούς τε Τρῶας, καὶ τὸν Ἕκτορα τὸν σιδήρῳ καθωπλισμένον ἀποδιώξειεν πρὸς τὴν πόλιν, πολλῶν δὲ ψυχὴν ἀφέλοιτο. πρώτῳ δὲ πάντων τῷ Ἕκτορι φυγὴν ἀγενῆ ἐνέβαλεν· ἀναβὰς δὲ εἰς τὸ ὄχημα εἰς φυγὴν ἐτράπη, ἐκέλευσε δὲ τοὺς ἄλλους Τρῶας φεύγειν, ἔγνω γὰρ τὰς θείας πλάστιγγας τοῦ Διός. τότε οὐδὲ οἱ ἰσχυροὶ Λύκιοι παρέμενον, ἀλλ᾽ εἰς φυγὴν ἐτράπησαν πάντες, ἐπειδὴ τὸν βασιλέα ἐθεάσαντο τετρωμένον τὴν καρδίαν, κείμενον ἐν τῷ ἀθροίσματι τῶν νεκρῶν, πολλοὶ γὰρ σὺν αὐτῷ κατέπεσον, ὁπηνίκα

Κάππεσον, εὖτ' ἔριδα κρατερὴν ἐτάνυσσε Κρονίων.
Οἱ δ' ἄρ' ἀπ' ὤμοιϊν Σαρπηδόνος ἔντε' ἕλοντο,
Χάλκεα, μαρμαίροντα, τὰ μὲν κοίλας ἐπὶ νῆας
Δῶκε φέρειν ἑτάροισι Μενοιτίου ἄλκιμος υἱός.
Καὶ τότ' Ἀπόλλωνα προσέφη νεφεληγερέτα Ζεύς·
Εἰδ' ἄγε νῦν, φίλε Φοῖβε, κελαινεφὲς αἷμα κάθηρον
Ἐλθὼν ἐκ μελέων Σαρπηδόνα, καί μιν ἔπειτα
Πολλὸν ἄπο προφέρων, λοῦσον ποταμοῖο ῥοῇσι,
Χρῖσόν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσον.
Πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν, οἵ ῥά μιν ὦκα
Θήσουσιν Λυκίης εὐρείης πίονι δήμῳ·
Ἔνθα ἑ ταρχύσουσι κασίγνητοί τε, ἔται τε,
Τύμβῳ τε, στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων.
Ὣς ἔφατ'· οὐδ' ἄρα πατρὸς ἀνηκούστησεν Ἀπόλλων·
Βῆ δὲ κατ' Ἰδαίων ὀρέων ἐς φύλοπιν αἰνήν·
Αὐτίκα δ' ἐκ βελέων Σαρπηδόνα δῖον ἀείρας
Πολλὸν ἄπο προφέρων, λοῦσεν ποταμοῖο ῥοῇσι,
Χρῖσέν τ' ἀμβροσίῃ, περὶ δ' ἄμβροτα εἵματα ἕσσεν·
Πέμπε δέ μιν πομποῖσιν ἅμα κραιπνοῖσι φέρεσθαι,
Ὕπνῳ καὶ Θανάτῳ διδυμάοσιν· οἵ ῥά μιν ὦκα
Κάτθεσαν ἐν Λυκίης εὐρείης πίονι δήμῳ.
Πάτροκλος δ' ἵπποισι καὶ Αὐτομέδοντι κελεύσας,
Τρῶας καὶ Λυκίους μετεκίαθε, καὶ μέγ' ἀάσθη.
Νήπιος· εἰ δὲ ἔπος Πηληϊάδαο φύλαξεν,
Ἦτ' ἂν ὑπέκφυγε κῆρα κακὴν μέλανος θανάτοιο.
Ἀλλ' αἰεί τε Διὸς κρείσσων νόος, ἠέ περ ἀνδρός,
Ὅστε καὶ ἄλκιμον ἄνδρα φοβεῖ, καὶ ἀφείλετο νίκην

μάχην κραταιὰν ἐξέτεινεν ὁ υἱὸς τοῦ Κρόνου. οὗτοι δὲ ἀπὸ τῶν ὤμων τοῦ Σαρπηδόνος τὰ ὅπλα ἀφείλοντο σιδηρᾶ λάμποντα, ταῦτα δὲ ἐπὶ τὰς βαθείας ναῦς φέρειν ἔδωκε τοῖς φίλοις ὁ ἰσχυρὸς υἱὸς τοῦ Μενοιτίου. Καὶ τότε Ζεὺς ὁ τὰς νεφέλας ἀθροίζων εἶπε πρὸς τὸν Ἀπόλλωνα· Ἄγε νῦν, ὦ ἀγαπητὲ Φοῖβε, τὸ μέλαν αἷμα κάθηρον παραγενόμενος ἀπὸ τῶν μελῶν τοῦ Σαρπηδόνος καὶ μετὰ ταῦτα αὐτὸν πολλῷ πόῤῥω τοῦ ἔμπροσθεν κομίσας λοῦσον καὶ νίψον τοῖς ῥεύμασι τοῦ ποταμοῦ, καὶ ἄλειψον ἀφθαρσίᾳ, ἱμάτια δὲ ἄφθαρτα ἔνδυσον, πέμψον δὲ αὐτὸν φέρεσθαι ταχέσι διακομισταῖς, τῷ Ὕπνῳ καὶ τῷ Θανάτῳ τοῖς διδύμοις, οἳ δὴ αὐτὸν ταχέως καταθήσουσιν ἐν τῷ εὐδαίμονι δήμῳ τῆς μεγάλης Λυκίας, ἐκεῖ δ' αὐτὸν ἐνταφιάσουσιν οἱ ἀδελφοί τε καὶ συγγενεῖς καὶ πολῖται καὶ φίλοι τάφῳ τε καὶ ἐπιγράμματι· αὕτη γάρ ἐστιν ἡ τῶν τεθνηκότων τιμή. Οὕτως εἶπεν. οὐδὲ ἠπείθησε τῷ πατρὶ ὁ Ἀπόλλων, ἐπορεύθη δὲ ἐκ τῶν τῆς Ἴδης ὀρέων εἰς τὴν χαλεπὴν μάχην, παραχρῆμα δὲ ἐκ τῶν βελῶν τὸν ἐνδοξότατον Σαρπηδόνα ἀνελόμενος πολλῷ πόῤῥω τοῦ ἔμπροσθεν κομίσας ἔλουσε καὶ ἔνιψε τοῖς ῥεύμασι τοῦ ποταμοῦ, καὶ ἤλειψεν ἀφθαρσίᾳ, ἱμάτια δὲ ἄφθαρτα ἐνέδυσεν, ἔπεμψε δὲ αὐτὸν φέρεσθαι σὺν ταχέσι διακομισταῖς τῷ Ὕπνῳ καὶ τῷ Θανάτῳ τοῖς διδύμοις, οἳ δὴ αὐτὸν ταχέως κατέθηκαν ἐν τῷ εὐδαίμονι δήμῳ τῆς μεγάλης Λυκίας. Ὁ Πάτροκλος δὲ τοῖς ἵπποις, καὶ τῷ Αὐτομέδοντι ἐπιτάξας ἐπὶ τοὺς Τρῶας καὶ τοὺς Λυκίους ἔτρεχε, καὶ μεγάλως ἐβλάβη, ὁ μωρὸς καὶ ἀνόητος· εἰ δὲ τὸν λόγον ἐφύλαξε τοῦ υἱοῦ τοῦ Πηλέως, ὄντως που ἐξέφυγεν ἂν τὴν χαλεπὴν μοῖραν τοῦ σκοτεινοῦ θανάτου· ἀλλ' ἀεὶ ὁ τοῦ Διὸς νοῦς ἰσχυρότερός ἐστιν, ἢ ὁ τοῦ ἀνδρὸς, ὅστις δὴ καὶ ἄνδρα ἰσχυρὸν καὶ ἀνδρεῖον ἐκφοβεῖ καὶ τρέπει,

Ῥηϊδίως, ὅτε δ' αὐτὸς ἐποτρύνῃσι μάχεσθαι·
Ὅς οἱ καὶ τότε θυμὸν ἐνὶ στήθεσσιν ἐνῆκεν.
Ἔνθα τίνα πρῶτον, τίνα δ' ὕστατον ἐξενάριξας,
Πατρόκλεις, ὅτε δή σε θεοὶ θάνατόνδε κάλεσσαν;
Ἄδρηστον μὲν πρῶτα, καὶ Αὐτόνοον, καὶ Ἔχεκλον,
Καὶ Πέριμον Μεγάδην, καὶ Ἐπίστορα, καὶ Μελάνιππον·
Αὐτὰρ ἔπειτ' Ἔλασον, καὶ Μούλιον, ἠδὲ Πυλάρτην·
Τοὺς ἕλεν· οἱ δ' ἄλλοι φύγαδ' ἐμνώοντο ἕκαστος.
Ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν,
Πατρόκλου ὑπὸ χερσὶ, περὶ πρὸ γὰρ ἔγχεϊ θῦεν·
Εἰ μὴ Ἀπόλλων Φοῖβος ἐϋδμήτου ἐπὶ πύργου
Ἔστη, τῷ ὀλοὰ φρονέων, Τρώεσσι δ' ἀρήγων.
Τρὶς μὲν ἐπ' ἀγκῶνος βῆ τείχεος ὑψηλοῖο
Πάτροκλος, τρὶς δ' αὐτὸν ἀπεστυφέλιξεν Ἀπόλλων.
Χείρεσιν ἀθανάτῃσι φαεινὴν ἀσπίδα νύσσων·
Ἀλλ', ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος,
Δεινὰ δ' ὁμοκλήσας προσέφη ἑκάεργος Ἀπόλλων·
Χάζεο, διογενὲς Πατρόκλεις· οὔ νύ τοι αἶσα
Σῷ ὑπὸ δουρὶ πόλιν πέρθαι Τρώων ἀγερώχων,
Οὐδ' ὑπ' Ἀχιλλῆος, ὅσπερ σέο πολλὸν ἀμείνων.
Ὣς φάτο. Πάτροκλος δ' ἀνεχάζετο πολλὸν ὀπίσσω,
Μῆνιν ἀλευάμενος ἑκατηβόλου Ἀπόλλωνος.
Ἕκτωρ δ' ἐν Σκαιῇσι πύλῃς ἔχε μώνυχας ἵππους·
Δῖζε γὰρ, ἠὲ μάχοιτο κατὰ κλόνον αὖθις ἐλάσσας,
Ἦ λαοὺς ἐς τεῖχος ὁμοκλήσειεν ἀλῆναι.
Ταῦτ' ἄρα οἱ φρονέοντι παρίστατο Φοῖβος Ἀπόλλων,
Ἀνέρι εἰσάμενος αἰζηῷ τε κρατερῷ τε,
Ἀσίῳ, ὃς μήτρως ἦν Ἕκτορος ἱπποδάμοιο,

καὶ νίκην ἀφείλετο ῥαδίως καὶ ὅταν αὐτὸς παροξύνῃ πολεμεῖν, ὅστις αὐτῷ καὶ τοτε προθυμίαν εἰς τὸ στῆθος ἐνέβαλε. τότε τίνα πρῶτον, τίνα δὲ ἔσχατον ἀπέκτεινας, ὦ Πάτροκλε, ὁπηνίκα σε οἱ θεοὶ ἐκάλεσαν εἰς τὸν θάνατον. πρῶτον μὲν τὸν Ἄδραστον, καὶ τὸν Αὐτόνουν, καὶ τὸν Ἔχεκλον, καὶ Πέριμον τὸν υἱὸν τοῦ Μέγου, καὶ Ἐπίστορα, καὶ Μελάνιππον, μετὰ ταῦτα δὲ τὸν Ἔλασον, καὶ τὸν Μούλιον, καὶ τὸν Πυλάρτην. τούτους ἀπέκτεινεν, οἱ ἄλλοι δὲ πάντες φυγῆς ἐμέμνηντο. τότε δ᾽ ἂν τὴν ὑψηλὰς πύλας ἔχουσαν Τροίαν ἐκράτησαν οἱ υἱοὶ τῶν Ἑλλήνων διὰ τῶν τοῦ Πατρόκλου χειρῶν, πάνυ γὰρ πρὸ τῶν ἄλλων ἔτρεχε μετὰ τοῦ δόρατος, εἰ μὴ Ἀπόλλων ὁ καθαρὸς ἐπὶ τοῦ καλῶς ᾠκοδομημένου πύργου ἔστη, τούτῳ ὀλέθρια διανοούμενος, τοῖς Τρωσὶ δὲ βοηθῶν. τρὶς μὲν οὖν ἐπέβη τοῦ ἀγκῶνος καὶ τῆς ἐξοχῆς τοῦ ὑψηλοῦ τείχους ὁ Πάτροκλος, τρὶς δὲ αὐτὸν ἀπέκρουσεν ὁ Ἀπόλλων, ἄμφω ταῖς χερσὶ ταῖς ἀθανάταις πλήττων καὶ ἀπωθούμενος τὴν λαμπρὰν ἀσπίδα. ἀλλ᾽ ἡνίκα τὸ τέταρτον ἐφώρμησεν ὅμοιος θεῷ, φοβερῶς ἀπειλήσας εἶπε πρὸς αὐτὸν ὁ πόῤῥωθεν ἐργαζόμενος Ἀπόλλων· Ὑποχώρει, ὦ ἐνδοξότατε Πάτροκλε, οὔτοί σοι εἵμαρτο ἐκπορθηθῆναι τὴν πόλιν τῶν ὑπερηφάνων Τρώων ὑπὸ τοῦ σοῦ δόρατος, οὐδὲ ὑπὸ τοῦ Ἀχιλλέως, ὅστις πολλῷ κρείττων σοῦ ὑπάρχει. Οὕτως εἶπεν. ὁ Πάτροκλος δὲ ἀνεχώρει πολλῷ εἰς τοὐπίσω, ἐκκλίνων τὴν ὀργὴν τοῦ πόῤῥω βάλλοντος Ἀπόλλωνος. ὁ Ἕκτωρ δὲ περὶ τὰς Σκαιὰς πύλας ἤλαυνε τοὺς μονώνυχας ἵππους, ἐφρόντιζε γὰρ καὶ ἐπεζήτει, ἢ ἵνα πολεμίῃ κατὰ τὸν τάραχον πάλιν ἐλάσας τοὺς ἵππους, ἢ τοὺς λαοὺς εἰς τὸ τεῖχος συναθροισθῆναι κελεύσειε. Ταῦτα δὲ αὐτῷ διανοουμένῳ παρέστη ὁ καθαρὸς Ἀπόλλων ὁμοιωθεὶς ἀνδρὶ νέῳ τε καὶ ἰσχυρῷ, τῷ Ἀσίῳ, ὃς πρὸς μητρὸς θεῖος ἦν τοῦ ἱππικοῦ Ἕκτορος, αὐτάδελφος τῆς Ἑκάβης,

Αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος,
Ὃς Φρυγίην ναίεσκε ῥοῆς ἐπὶ Σαγγαρίοιο·
Τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Ἕκτορ, τίπτε μάχης ἀποπαύεαι; οὐδέ τί σε χρή.
Αἴθ' ὅσον ἥσσων εἰμὶ, τόσον σέο φέρτερος εἴην·
Τῷ κε τάχα στυγερῶς πολέμου ἀπερωήσειας.
Ἀλλ' ἄγε, Πατρόκλῳ ἔφεπε κρατερώνυχας ἵππους,
Αἴκεν πώς μιν ἕλῃς, δῴη δέ τοι εὖχος Ἀπόλλων.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη Θεὸς ἀμπόνον ἀνδρῶν·
Κεβριόνῃ δ' ἐκέλευσε δαΐφρονι φαίδιμος Ἕκτωρ
Ἵππους ἐς πόλεμον πεπληγέμεν· αὐτὰρ Ἀπόλλων
Δύσεθ' ὅμιλον ἰών· ἐν δὲ Δαναοῖσι κυδοιμὸν
Ἧκε κακὸν, Τρωσὶν δὲ καὶ Ἕκτορι κῦδος ὄπαζεν.
Ἕκτωρ δ' ἄλλους μὲν Δαναοὺς ἔα, οὐδ' ἐνάριζεν·
Αὐτὰρ ὁ Πατρόκλῳ ἔπεχε κρατερώνυχας ἵππους.
Πάτροκλος δ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε,
Σκαιῇ ἔγχος ἔχων· ἑτέρηφι δὲ λάζετο πέτρον,
Μάρμαρον ὀκριόεντα, τόν οἱ περὶ χεὶρ ἐκάλυψε.
Ἧκε δ' ἐρεισάμενος· οὐδὲ δὴν χάζετο φωτὸς,
Οὐδ' ἁλίωσε βέλος· βάλε δ' Ἕκτορος ἡνιοχῆα
Κεβριόνην, νόθον υἱὸν ἀγακλῆος Πριάμοιο,
Ἵππων ἡνί' ἔχοντα, μετώπιον ὀξέϊ λᾶϊ·
Ἀμφοτέρας δ' ὀφρῦς σύνελεν λίθος, οὐδέ οἱ ἔσχεν
Ὀστέον· ὀφθαλμοὶ δὲ χαμαὶ πέσον ἐν κονίῃσιν
Αὐτοῦ πρόσθε ποδῶν· ὁ δ' ἄρ', ἀρνευτῆρι ἐοικὼς,
Κάππεσ' ἀπ' εὐεργέος δίφρου· λίπε δ' ὀστέα θυμός.
Τὸν δ' ἐπικερτομέων προσέφης, Πατρόκλεις ἱππεῦ·
Ὢ πόποι, ἦ μάλ' ἐλαφρὸς ἀνὴρ, ὡς ῥεῖα κυβιστᾷ·

υἱὸς δὲ τοῦ Δύμαντος, ὃς κατῴκει ἐν τῇ Φρυγίᾳ παρὰ τὰ ῥεύματα τοῦ Σαγγαρίου ποταμοῦ. τούτῳ ὁμοιωθεὶς εἶπε πρὸς αὐτὸν Ἀπόλλων ὁ υἱὸς τοῦ Διός· Ὦ Ἕκτορ, τί δήποτε ἀποπαύῃ τοῦ πολέμου; οὐδαμῶς σε δεῖ· εἴθε ὅσον ἥττων καὶ ἀσθενέστερός εἰμι, τοσοῦτον κρείττων σοῦ εἴην· ταύτῃ γὰρ ἂν ταχέως μισητῶς ἐκ τῆς μάχης ἀναχωρήσειας· ἀλλ' ἄγε ἐπὶ Πάτροκλον ἔλαυνε τοὺς ἰσχυρώνυχας ἵππους, ἐάν πως αὐτὸν ἀνέλῃς, παράσχῃ δέ σοι καύχημα ὁ Ἀπόλλων. Οὕτως εἰπὼν ὁ θεὸς μὲν αὖθις ἐπορεύθη εἰς τὸν πόλεμον τῶν ἀνδρῶν. Ἕκτωρ δὲ ὁ λαμπρὸς προσέταξε τῷ συνετῷ Κεβριόνῃ τοὺς ἵππους μαστίζειν εἰς τὸν πόλεμον· ὁ Ἀπόλλων δὲ εἰσῆλθεν εἰς τὸ πλῆθος παραγενόμενος, θόρυβον δὲ τοῖς Ἕλλησιν ἐνέβαλε χαλεπὸν, τοῖς Τρωσὶ δὲ καὶ τῷ Ἕκτορι δόξαν ἐδωρεῖτο. Ὁ Ἕκτωρ δὲ τοὺς μὲν ἄλλους Ἕλληνας ἠφίει, οὐδὲ ἀπέκτεινεν· ἐπὶ Πάτροκλον δ' οὗτος ἤλαυνε τοὺς ἰσχυρώνυχας ἵππους, ὁ Πάτροκλος δὲ ἐκ τοῦ ἑτέρου μέρους ἀπὸ τῶν ἵππων κατεπήδησεν ἐπὶ τὴν γῆν, τῇ μὲν ἀριστερᾷ τὸ δόρυ κρατῶν, τῇ ἑτέρᾳ δὲ ἔλαβε πέτραν, μάρμαρον τραχὺν, ὃν ἡ χεὶρ αὐτοῦ περιεκάλυψεν, ἀφῆκε δὲ ἀντιβὰς, οὐδ' ἐπὶ πολὺ ἀπείχετο ἀνδρὸς, οὐδὲ ματαίως ἔπεμψε τὸν λίθον, ἔπληξε δὲ τὸν ἡνίοχον τοῦ Ἕκτορος τὸν Κεβριόνην τὸν νόθον υἱὸν τοῦ ὑπερενδόξου Πριάμου κατέχοντα τὰς ἡνίας τῶν ἵππων, κατὰ τὸ μετώπιον (μεσόφρυον) τῷ ὀξεῖ λίθῳ, ἀμφοτέρας δὲ τὰς ὀφρῦς συνέχεε καὶ συνέτριψεν ὁ λίθος, οὐδὲ ἀντέσχεν αὐτῷ τὸ ὀστοῦν, οἱ ὀφθαλμοὶ δὲ κατέπεσον εἰς γῆν ἐν τῇ κόνει αὐτόθι ἔμπροσθεν τῶν ποδῶν, οὗτος δὲ ὅμοιος κυβιστῇ κατέπεσεν ἀπὸ τοῦ καλῶς εἰργασμένου ὀχήματος, ἀπέλιπε δὲ τὰ ὀστᾶ ἡ ψυχή. Πρὸς τοῦτον δὲ σκώπτων καὶ χλευάζων εἶπες, ὦ Πάτροκλε ἱππικέ· Φεῦ φεῦ, ὄντως πάνυ εὐκίνητος καὶ κοῦφος οὗτος ὁ ἀνὴρ, ὡς ῥᾳδίως καταδύνει, εἴ που δὴ καὶ ἐν τῇ τοὺς ἰχθύας

Εἰ δή που καὶ πόντῳ ἐν ἰχθυόεντι γένοιτο,
Πολλοὺς ἂν κορέσειεν ἀνὴρ ὅδε, τήθεα διφῶν,
Νηὸς ἀποθρώσκων, εἰ καὶ δυσπέμφελος εἴη·
Ὡς νῦν ἐν πεδίῳ ἐξ ἵππων ῥεῖα κυβιστᾷ.
Ἦ ῥα καὶ ἐν Τρώεσσι κυβιστητῆρες ἔασιν.
Ὡς εἰπὼν, ἐπὶ Κεβριόνῃ ἥρωϊ βεβήκει,
Οἶμα λέοντος ἔχων, ὅστε σταθμοὺς κεραΐζων,
Ἔβλητο πρὸς στῆθος, ἑή τέ μιν ὤλεσεν ἀλκή·
Ὣς ἐπὶ Κεβριόνῃ, Πατρόκλεις, ἆλσο μεμαώς.
Ἕκτωρ δ' αὖθ' ἑτέρωθεν ἀφ' ἵππων ἆλτο χαμᾶζε.
Τὼ περὶ Κεβριόναο, λέονθ' ὣς, δηρινθήτην·
Ὥτ' ὄρεος κορυφῇσι περὶ κταμένης ἐλάφοιο,
Ἄμφω πεινάοντε, μέγα φρονέοντε μάχεσθον·
Ὣς περὶ Κεβριόναο δύω μήστωρες ἀϋτῆς,
Πάτροκλός τε Μενοιτιάδης καὶ φαίδιμος Ἕκτωρ,
Ἵεντ' ἀλλήλων ταμέειν χρόα νηλέϊ χαλκῷ.
Ἕκτωρ μὲν κεφαλῆφιν ἐπεὶ λάβεν, οὐχὶ μεθίει·
Πάτροκλος δ' ἑτέρωθεν ἔχεν ποδός· οἱ δὲ δὴ ἄλλοι
Τρῶες καὶ Δαναοὶ σύναγον κρατερὴν ὑσμίνην.
Ὡς δ' Εὖρός τε Νότος τ' ἐριδαίνετον ἀλλήλοιϊν
Οὔρεος ἐν βήσσῃς, βαθέην πελεμιζέμεν ὕλην,
Φηγόν τε, μελίην τε, τανύφλοιόν τε κράνειαν,
Αἵ τε πρὸς ἀλλήλας ἔβαλον τανυήκεας ὄζους
Ἠχῇ θεσπεσίῃ, πάταγος δέ τε ἀγνυμενάων·
Ὣς Τρῶες καὶ Ἀχαιοὶ ἐπ' ἀλλήλοισι θορόντες
Δῄουν, οὐδ' ἕτεροι μνώοντ' ὀλοοῖο φόβοιο.
Πολλὰ δὲ Κεβριόνην ἀμφ' ὀξέα δοῦρα πεπήγει,
Ἰοί τε πτερόεντες ἀπὸ νευρῆφι θορόντες·

ἰχούσῃ θαλάσσῃ παραγένοιτο, πολλοὺς ἂν ἐμπλήσειεν οὗτος ὁ ἀνὴρ, ὄστρεα ζητῶν, ἐκ τῆς νεὼς καταπηδῶν, εἰ καὶ δυσχείμερος (χαλεπαίνουσα) εἴη ἡ θάλασσα, ὡς καὶ νῦν ἐν τῇ πεδιάδι ῥαδίως ἐκ τῶν ἵππων καταδύνει· ὄντως δὴ καὶ ἐν τοῖς Τρωσὶ κολυμβηταὶ εἰσίν· Οὕτως εἰπὼν ἐπὶ τὸν ἥρωα Κεβριόνην ὥρμησεν ὅρμημα λέοντος ἔχων, ὅστις ἐπαύλεις διαφθείρων ἐτρώθη κατὰ τὸ στῆθος καὶ ἡ ἑαυτοῦ δύναμις ἀπώλεσεν αὐτόν· οὕτως, ὦ Πάτροκλε πρόθυμος ἐπηδήσας ἐπὶ τὸν Κεβριόνην· ὁ Ἕκτωρ δὲ ἐκ τοῦ ἑτέρου μέρους ἀπὸ τῶν ἵππων κατεπήδησεν ἐπὶ τὴν γῆν. οὗτοι δὲ περὶ τοῦ Κεβριόνου καθάπερ λέοντες ἐμαχέσαντο, οἵτινες ἐν ταῖς κορυφαῖς τοῦ ὄρους περὶ ἐλάφου ἀνῃρημένης ἀμφότεροι πεινῶντες μεγαλοφρονοῦντες μάχονται. οὕτω δὴ περὶ τοῦ Κεβριόνου οἱ δύο ἔμπειροι τῆς μάχης ὅτε Πάτροκλος ὁ υἱὸς τοῦ Μενοιτίου, καὶ ὁ λαμπρὸς Ἕκτωρ ἐφίεντο τεμεῖν ἀλλήλων τὸ σῶμα σιδήρῳ ἀνηλεεῖ. ὁ μὲν οὖν Ἕκτωρ ἐπειδὴ ἔλαβε κατὰ τὴν κεφαλὴν οὐκ ἠφίει· ὁ Πάτροκλος δὲ ἐκ τοῦ ἑτέρου μέρους κατεῖχεν ἀπὸ τοῦ ποδός· οἱ ἄλλοι δὲ Τρῶες καὶ Ἕλληνες συνῆγον καὶ συνῆπτον ἰσχυρὰν μάχην. ὥσπερ δὲ ὁ Νότος τε καὶ ὁ Εὖρος ἐριδαίνουσι καὶ ἀντιβάλλουσιν ἀλλήλοις ἐν τοῖς βασίμοις καὶ κοίλοις τόποις τοῦ ὄρους τὴν βαθεῖαν καὶ πυκνὴν ὕλην παρακινεῖν φηγόν τε καὶ μελίαν, καὶ μακρόφλοιον κράνειαν, αἳ δὴ πρὸς ἀλλήλας ἔβαλον τοὺς μακροὺς κλάδους σὺν μεγάλῳ καὶ θαυμαστῷ ἤχῳ, κτύπος δὲ γίνεται συντριβομένων· οὕτως οἱ Τρῶες καὶ οἱ Ἕλληνες κατ' ἀλλήλων ἐπιπηδῶντες ἀπέκτεινον, οὐδέτεροι ἐμέμνηντο φυγῆς ὀλεθρίας, πολλὰ δὲ περὶ τὸν Κεβριόνην δόρατα ὀξέα ἐπάγησαν, καὶ οἰστοὶ πτερὰ ἔχοντες ἀπὸ τῆς νευρᾶς ἐκπηδῶντες, πολλοὶ δὲ λίθοι χειροπλη-

Πολλὰ δὲ χερμάδια μεγάλ' ἀσπίδας ἐστυφέλιξε
Μαρναμένων ἀμφ' αὐτόν, ὁ δ' ἐν στροφάλιγγι κονίης
Κεῖτο μέγας μεγαλωστὶ, λελασμένος ἱπποσυνάων·
Ὄφρα μὲν ἠέλιος μέσον οὐρανὸν ἀμφιβεβήκει,
Τόφρα μάλ' ἀμφοτέρων βέλε' ἥπτετο· πίπτε δὲ λαός·
Ἦμος δ' ἠέλιος μετενείσσετο βουλυτόνδε,
Καὶ τότε δή ῥ' ὑπὲρ αἶσαν Ἀχαιοὶ φέρτεροι ἦσαν·
Ἐκ μὲν Κεβριόνην βελέων ἥρωα ἔρυσσαν,
Τρώων ἐξ ἐνοπῆς, καὶ ἀπ' ὤμων τεύχε' ἕλοντο.
Πάτροκλος δὲ Τρωσὶ κακὰ φρονέων ἐνόρουσε·
Τρὶς μὲν ἔπειτ' ἐπόρουσε, θοῷ ἀτάλαντος Ἄρηϊ,
Σμερδαλέα ἰάχων· τρὶς δ' ἐννέα φῶτας ἔπεφνεν·
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο, δαίμονι ἶσος,
Ἔνθ' ἄρα τοι, Πάτροκλε, φάνη βιότοιο τελευτή·
Ἤντετο γάρ τοι Φοῖβος ἐνὶ κρατερῇ ὑσμίνῃ
Δεινός· ὁ μὲν τὸν ἰόντα κατὰ κλόνον οὐκ ἐνόησεν·
Ἠέρι γὰρ πολλῇ κεκαλυμμένος ἀντεβόλησε·
Στῆ δ' ὄπιθε, πλῆξεν δὲ μετάφρενον, εὐρέε τ' ὤμω
Χειρὶ καταπρηνεῖ· στρεφεδίνηθεν δέ οἱ ὄσσε.
Τοῦ δ' ἀπὸ μὲν κρατὸς κυνέην βάλε Φοῖβος Ἀπόλλων·
Ἡ δὲ κυλινδομένη καναχὴν ἔχε ποσσὶν ὑφ' ἵππων
Αὐλῶπις τρυφάλεια· μιάνθησαν δὲ ἔθειραι
Αἵματι καὶ κονίῃσι· πάρος γε μὲν οὐ θέμις ἦεν,
Ἱπποκόμον πήληκα μιαίνεσθαι κονίῃσιν·
Ἀλλ' ἀνδρὸς θείοιο κάρη, χαρίεν τε μέτωπον
Ῥύετ' Ἀχιλλῆος· τότε δὲ Ζεὺς Ἕκτορι δῶκεν
Ἧι κεφαλῇ φορέειν· σχεδόθεν δέ οἱ ἦεν ὄλεθρος.
Πᾶν δέ οἱ ἐν χείρεσσιν ἄγη δολιχόσκιον ἔγχος,

θεῖς μεγάλοι τὰς ἀσπίδας παρεκίνησαν μαχομένων περὶ αὐτόν. οὗτος δὲ ἐν τῇ συστροφῇ τῆς κόνεως ἔκειτο μέγας μεγάλως, ἐπιλαθόμενος τῆς ἱππικῆς. Ὅτε μὲν οὖν ὁ ἥλιος περὶ τὸ μέσον ἦν τοῦ οὐρανοῦ, τότε πάνυ ἀμφοτέρων ἥπτοντο τὰ βέλη, ἔπιπτε δὲ καὶ ἀπέθνησκεν ὁ λαός. ὁπηνίκα δὲ ὁ ἥλιος ἐπορεύετο πρὸς τὴν ἑσπέραν, τηνικαῦτα δὴ οἱ Ἕλληνες ὑπὲρ μέτρον κρείττονες ἦσαν, καὶ τὸν μὲν ἥρωα Κεβριόνην ἐκ τῶν βελῶν εἵλκυσαν ἐκ τῆς μάχης τῶν Τρώων, καὶ ἐκ τῶν ὤμων ἀφείλοντο τὰ ὅπλα. ὁ Πάτροκλος δὲ τοῖς Τρωσὶν χαλεπὰ διανοούμενος ἐφώρμησεν· τρὶς μὲν οὖν ἐφώρμησεν, ὅμοιος τῷ ταχεῖ Ἄρει καταπληκτικῶς βοῶν, τρὶς δὲ ἐννέα ἄνδρας ἀπέκτεινεν. ἀλλ' ὁπηνίκα δὴ τὸ τέταρτον ἐφώρμησεν ὅμοιος θεῷ, τηνικαῦτα δή σοι, ὦ Πάτροκλε, ἐφάνη τὸ τέλος τοῦ βίου, ἀπήντησε γάρ σοι ὁ Φοῖβος ἐν τῇ κραταιᾷ μάχῃ φοβερός· οὗτος μὲν τοῦτον ἐπιόντα κατὰ τὸν τάραχον καὶ τὴν μάχην οὐκ ἐθεάσατο, ἀέρι γὰρ πολλῷ κεκαλυμμένος ἀπήντησεν, ἔστη δὲ ὄπισθεν, ἔπληξε δὲ τὸ μετάφρενον, καὶ τοὺς πλατεῖς ὤμους χειρὶ καταφερεῖ καὶ πλαγίως διατεταμένῃ· περιενεχθέντες δὲ ἐστράφησαν καὶ ἐσκοτώθησαν αὐτῷ οἱ ὀφθαλμοί. τούτου δὲ ἀπὸ μὲν τῆς κεφαλῆς ἐξέβαλε τὴν περικεφαλαίαν ὁ καθαρὸς Ἀπόλλων, αὕτη δὲ κυλιομένη κτύπον ἀπετέλει ὑπὸ τῶν ποδῶν τῶν ἵππων ἡ παραμήκεις ἔχουσα τὰς τῶν ὀφθαλμῶν ὀπὰς περικεφαλαία· ἐμολύνθησαν δὲ αἱ τρίχες αἵματι καὶ κόνει. πρότερόν γε μὴν οὐχ ὅσιον ἦν τὴν ἱππείαις θριξὶ κοσμουμένην περικεφαλαίαν μολύνεσθαι κόνει· ἀλλὰ κεφαλὴν ἀνδρὸς θείου, καὶ μέτωπον ἡδὺ ἐφύλαττε καὶ ἔσωζε τοῦ Ἀχιλλέως. τότε δὲ ὁ Ζεὺς τῷ Ἕκτορι ἐδωρήσατο φορεῖν ἐν τῇ ἑαυτοῦ κεφαλῇ, ἐγγὺς δὲ αὐτῷ ἡ φθορὰ, καὶ ὁ θάνατος ἦν. ὅλον δὲ τὸ μακρὸν δόρυ συνετρίβη ἐν ταῖς χερσὶν αὐτοῦ, τὸ βαρὺ, τὸ

Βριθὺ, μέγα, στιβαρὸν, κεκορυθμένον· αὐτὰρ ἀπ' ὤμων
Ἀσπὶς σὺν τελαμῶνι χαμαὶ πέσε τερμιόεσσα·
Λῦσε δέ οἱ θώρηκα ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων.
Τὸν δ' ἄτη φρένας εἷλε, λύθεν δ' ὑπὸ φαίδιμα γυῖα·
Στῆ δὲ ταφών· ὄπιθεν δὲ μετάφρενον ὀξεϊ δουρὶ
Ὤμων μεσσηγὺ σχεδόθεν βάλε Δάρδανος ἀνὴρ,
Πανθοΐδης Εὔφορβος, ὃς ἡλικίην ἐκέκαστο
Ἔγχεΐ θ', ἱπποσύνῃ τε, πόδεσσί τε καρπαλίμοισι·
Καὶ γὰρ δή ποτε φῶτας ἐείκοσι βῆσεν ἀφ' ἵππων,
Πρῶτ' ἐλθὼν σὺν ὄχεσφι, διδασκόμενος πολέμοιο.
Ὅς τοι πρῶτος ἐφῆκε βέλος, Πατρόκλεις ἱππεῦ,
Οὐδὲ δάμασσ'· ὁ μὲν αὖθις ἀνέδραμε, μίκτο δ' ὁμίλῳ,
Ἐκ χροὸς ἁρπάξας δόρυ μείλινον· οὐδ' ὑπέμεινε
Πάτροκλον, γυμνόν περ ἐόντ', ἐν δηϊοτῆτι.
Πάτροκλος δὲ θεοῦ πληγῇ καὶ δουρὶ δαμασθεὶς,
Ἂψ ἑτάρων εἰς ἔθνος ἐχάζετο, κῆρ ἀλεείνων.
Ἕκτωρ δ', ὡς εἶδεν Πατροκλῆα μεγάθυμον
Ἂψ ἀναχαζόμενον, βεβλημένον ὀξέϊ χαλκῷ,
Ἀγχίμολόν ῥά οἱ ἦλθε κατὰ στίχας, οὖτα δὲ δουρὶ
Νείατον ἐς κενεῶνα· διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·
Δούπησεν δὲ πεσὼν, μέγα δ' ἤκαχε λαὸν Ἀχαιῶν.
Ὡς δ' ὅτε σῦν ἀκάμαντα λέων ἐβιήσατο χάρμῃ,
Ὥ τ' ὄρεος κορυφῇσι μέγα φρονέοντε μάχεσθον,
Πίδακος ἀμφ' ὀλίγης· ἐθέλουσι δὲ πιέμεν ἄμφω·
Πολλὰ δέ τ' ἀσθμαίνοντα λέων ἐδάμασσε βίηφι.
Ὣς πολέας πέφνοντα Μενοιτίου ἄλκιμον υἱὸν
Ἕκτωρ Πριαμίδης σχεδὸν ἔγχεϊ θυμὸν ἀπηύρα·
Καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντα προσηύδα.

μέγα, τὸ στερεὸν, τὸ σιδήρῳ ὡπλισμένον. ἐκ τῶν ὤμων δὲ ἡ ἀσπὶς σὺν τῷ λώρῳ τῷ ἀναφορεῖ εἰς γῆν κατέπεσεν ἡ μεγάλη καὶ μέχρι τῶν ποδῶν διήκουσα, ἔλυσε δὲ αὐτῷ τὸν θώρακα ὁ βασιλεὺς Ἀπόλλων ὁ υἱὸς τοῦ Διὸς, τοῦτον δὲ βλάβη κατέλαβε κατὰ διάνοιαν, ὑπελύθησαν δὲ τὰ λαμπρὰ μέλη. ἔστη δὲ ἐκπλαγεὶς, ὄπισθεν δὲ τὰ μετάφρενα δόρατι ὀξεῖ καὶ τμητικῷ μεταξὺ τῶν ὤμων ἐκ τοῦ σύνεγγυς ἔτρωσεν ἀνὴρ Δάρδανος ὁ υἱὸς τοῦ Πάνθου, ὁ Εὔφορβος, ὃς τοὺς ἥλικας ἐνίκα δόρατί τε καὶ ἱππικῇ καὶ ποσὶ ταχέσι, καὶ γὰρ ποτε εἴκοσιν ἄνδρας κατεβίβασεν ἀπὸ τῶν ἵππων, πρῶτον ἐλθὼν σὺν τοῖς ἅρμασι γυμναζόμενος τὰ τοῦ πολέμου. οὗτός σοι πρῶτον ἐπαφῆκε τὸ δόρυ, ὦ Πάτροκλε ἱππικὲ, οὐδὲ ἀπέκτεινεν, ἀλλ' οὗτος μὲν αὖθις εἰς τοὐπίσω ἔδραμεν, συνεμίγη δὲ τῷ πλήθει, ἁρπάσας ἐκ τοῦ σώματος τὸ ἐκ τῆς μελίας δόρυ, οὐδὲ ὑπέμεινε τὸν Πάτροκλον, καίπερ ὄντα γυμνὸν ἐν τῇ μάχῃ. ὁ Πάτροκλος δὲ τῇ πληγῇ τοῦ θεοῦ, καὶ τῷ δόρατι καταπονηθεὶς, ὀπίσω εἰς τὸ πλῆθος τῶν φίλων ἀνεχώρει, ἐκκλίνων τὴν θανατηφόρον μοῖραν. ὁ Ἕκτωρ δὲ ἐπειδὴ ἐθεάσατο τὸν μεγαλόψυχον Πάτροκλον εἰς τοὐπίσω ἀναχοροῦντα, τετρωμένον σιδήρῳ ὀξεῖ καὶ τμητικῷ, σύνεγγυς αὐτῷ ἐπῆλθε κατὰ τὰς τάξεις, ἔτρωσε δὲ τῷ δόρατι, εἰς τὸ ἔσχατον τοῦ λαγόνος, εἰς τὸ πρόσω δὲ τὸν σίδηρον διεπέρασεν, ἐκτύπησε δὲ καταπεσὼν, μεγάλως δὲ ἐλύπησε τὸν στρατὸν τῶν Ἑλλήνων. ὥσπερ δὲ ὅτε λέων χοῖρον ἄγριον ἰσχυρὸν ἐβιάσατο, καὶ κατηγωνίσατο μάχῃ, οἵτινες ἐν ταῖς κορυφαῖς τοῦ ὄρους μεγαλοφρονοῦντες μάχονται περὶ πηγῆς μικρᾶς, θέλουσι δὲ πιεῖν ἀμφότεροι, πολλὰ δὲ αὐτὸν πνευστιῶντα ὁ λέων ἀπέκτεινεν ἰσχύϊ· οὕτω πολλοὺς ἀναιροῦντα τὸν ἰσχυρὸν υἱὸν τοῦ Μενοιτίου Ἕκτωρ ὁ υἱὸς τοῦ Πριάμου ἐκ τοῦ σύνεγγυς δόρατι τὴν ψυχὴν ἀφείλετο, καὶ ἐπ' αὐτῷ καυχώμενος λόγους ταχεῖς ἔλεγε πρὸς αὐτόν·

Πάτροκλ᾽, ἤπου ἔφησθα πόλιν κεραϊζέμεν ἀμὴν,
Τρωϊάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
Ἄξειν ἐν νήεσσι φίλην ἐς πατρίδα γαῖαν,
Νήπιε· τάων δὲ πρόσθ᾽ Ἕκτορος ὠκέες ἵπποι
Ποσσὶν ὀρωρέχαται πολεμίζειν· ἔγχεϊ δ᾽ αὐτὸς
Τρωσὶ φιλοπτολέμοισι μεταπρέπω, ὅς σφιν ἀμύνω
Ἦμαρ ἀναγκαῖον· σὲ δέ τ᾽ ἐνθάδε γῦπες ἔδονται.
Ἆ δεῖλ᾽, οὐδέ τοι, ἐσθλὸς ἐὼν, χραίσμησεν Ἀχιλλεὺς,
Ὅς πού σοι μάλα πολλὰ μένων ἐπετέλλετ᾽ ἰόντι,
Μή μοι πρὶν ἰέναι, Πατρόκλεις ἱπποκέλευθε,
Νῆας ἀνὰ γλαφυρὰς, πρίν γ᾽ Ἕκτορος ἀνδροφόνοιο
Αἱματόεντα χιτῶνα περὶ στήθεσσι δαΐξαι·
Ὥς πού σε προσέφη, σοὶ δὲ φρένας ἄφρονι πεῖθε.
Τὸν δ᾽ ὀλιγοδρανέων προσέφης, Πατρόκλεις ἱππεῦ·
Ἤδη νῦν, Ἕκτορ, μεγάλ᾽ εὔχεο· σοὶ γὰρ ἔδωκε
Νίκην Ζεὺς Κρονίδης καὶ Ἀπόλλων, οἵ μ᾽ ἐδάμασσαν
Ῥηϊδίως· αὐτοὶ γὰρ ἀπ᾽ ὤμων τεύχε᾽ ἕλοντο.
Τοιοῦτοι δ᾽ εἴπερ μοι ἐείκοσιν ἀντεβόλησαν,
Πάντες ἂν αὐτόθ᾽ ὄλοντο, ἐμῷ ὑπὸ δουρὶ δαμέντες.
Ἀλλά με μοῖρ᾽ ὀλοὴ, καὶ Λητοῦς ἔκτανεν υἱὸς,
Ἀνδρῶν δ᾽ Εὔφορβος· σὺ δέ με τρίτος ἐξεναρίζεις.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ᾽ ἐνὶ φρεσὶ βάλλεο σῇσιν,
Οὔ θην οὐδ᾽ αὐτὸς δηρὸν βέῃ, ἀλλά τοι ἤδη
Ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιὴ
Χερσὶ δαμέντ᾽ Ἀχιλῆος ἀμύμονος Αἰακίδαο.
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε.
Ψυχὴ δ᾽ ἐκ ῥεθέων πταμένη ἄϊδόσδε βεβήκει,
Ὃν πότμον γοόωσα, λιποῦσ᾽ ἀνδροτῆτα καὶ ἥβην.

Ὦ Πάτροκλε, ὄντως που ᾠήθης ἐκπορθήσειν τὴν ἡμετέραν πόλιν, τὰς Τρωϊκὰς δὲ γυναῖκας, τὴν ἐλευθέραν ζωὴν ἀφελόμενος, ἄξειν ἐν ταῖς ναυσὶν εἰς τὴν ἀγαπητὴν γῆν τὴν πατρίδα· μωρὲ καὶ ἀνόητε, ἔμπροσθεν δὲ τούτων οἱ ταχεῖς ἵπποι τοῦ Ἕκτορος τοῖς ποσὶν ὥρμηνται πολεμεῖν, δόρατι δὲ ἐγὼ διαπρέπω ἐπὶ τοῖς πολεμικοῖς Τρωσὶν, ὅστις αὐτοῖς ἀποσοβῶ τὴν ἀναγκαίαν τοῦ θανάτου ἡμέραν, σὲ δὲ ἐνταῦθα τὰ ὄρνεα φαγοῦνται· φεῦ ἄθλιε, οὐδέ σοι Ἀχιλλεὺς γενναῖος ὢν ἐβοήθησεν, ὅστίς σοι πάνυ πολλὰ παραμένων ἐνετέλλετο ἀπιόντι. μή μοι πρότερον ἐπανέλθῃς, ὦ Πάτροκλε ἱππικὲ, ἐπὶ τὰς βαθείας ναῦς, πρὶν τὸν τοῦ ἀνδροκτόνου Ἕκτορος χιτῶνα ᾑμαγμένον διαῤῥῆξαι περὶ τὰ στήθη. οὕτω που εἶπε πρὸς σὲ, σοὶ δὲ τῷ ἀνοήτῳ κατέπειθε τὴν διάνοιαν. Πρὸς τοῦτον δὲ ὀλίγον ἔχων τὸ δρᾷν εἶπες, ὦ Πάτροκλε ἱππικέ· Ὄντως νῦν, ὦ Ἕκτορ, πάνυ ἐπικαυχῶ, σοὶ γὰρ ἐδωρήσατο τὴν νίκην Ζεὺς ὁ υἱὸς τοῦ Κρόνου, καὶ ὁ Ἀπόλλων, οἵτινές με κατηγωνίσαντο ῥᾳδίως, αὐτοὶ γὰρ ἀπὸ τῶν ὤμων ἀφείλοντο τὰ ὅπλα. τοιοῦτοι δὲ εἴπερ καὶ εἴκοσί μοι ἀπήντησαν, πάντες ἂν αὐτόθι ἀπώλοντο ἀναιρεθέντες ὑπὸ τοῦ ἐμοῦ δόρατος. ἀλλά με μοῖρα ὀλεθρία καὶ θανατηφόρος, καὶ ὁ υἱὸς τῆς Λητοῦς ἀνεῖλεν. ἀπὸ τῶν ἀνδρῶν δὲ ὁ Εὔφορβος, σὺ δέ με τρίτος ἀποκτείνεις. ἄλλο δέ σοι λέξω, σὺ δ᾽ ἔμβαλον αὐτὸ εἰς τὴν σὴν διάνοιαν. οὔτοι οὐδὲ σὺ ἐπὶ πολὺν χρόνον ζήσεις, ἀλλ᾽ ἤδη σοι ἐγγὺς παρεγένετο ὁ θάνατος καὶ ἡ ἰσχυρὰ μοῖρα, ἀναιρεθησομένῳ ὑπὸ τῶν χειρῶν τοῦ ἐγγόνου τοῦ Αἰακοῦ. Οὕτω δὴ εἰπόντα αὐτὸν ἐκάλυψε τὸ τέλος τοῦ θανάτου. ἡ ψυχὴ δὲ ἐκ τῶν μελῶν ἀποπτᾶσα εἰς τὸν ᾅδην κατῄει τὴν ἑαυτῆς μοῖραν θρηνοῦσα, καταλιποῦσα τὸ γενναῖον σῶμα, καὶ τὴν τῆς ἡλικίας

Τὸν καὶ τεθνειῶτα προσηύδα φαίδιμος Ἕκτωρ·
Πατρόκλεις, τί νύ μοι μαντεύεαι αἰπὺν ὄλεθρον;
Τίς δ' οἶδ' εἴκ' Ἀχιλεὺς, Θέτιδος παῖς ἠϋκόμοιο,
Φθήῃ ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσαι;
Ὣς ἄρα φωνήσας δόρυ χάλκεον ἐξ ὠτειλῆς
Εἴρυσε, λὰξ προσβάς· τὸν δ' ὕπτιον ὦσ' ἀπὸ δουρός·
Αὐτίκα δὲ ξὺν δουρὶ μετ' Αὐτομέδοντα βεβήκει,
Ἀντίθεον θεράποντα ποδώκεος Αἰακίδαο·
Ἵετο γὰρ βαλέειν· τὸν δ' ἔκφερον ὠκέες ἵπποι
Ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν, ἀγλαὰ δῶρα.

ἀκμήν. Πρὸς τοῦτον δὲ καὶ τεθνηκότα ἔλεγεν ὁ λαμπρὸς Ἕκτωρ· Ὦ Πάτροκλε, τί δή μοι μαντεύῃ καὶ προλέγεις τὸν ἀφανιστικὸν θάνατον; τίς δὲ οἶδεν εἰ Ἀχιλλεὺς ὁ υἱὸς τῆς καλλικόμου Θέτιδος φθαίη ἀπολέσσας τὴν ψυχὴν, πληγεὶς ὑπὸ τοῦ ἐμοῦ δόρατος; Οὕτω δὴ εἰπὼν τὸ σιδηροῦν δορυ ἐκ τοῦ τραύματος εἵλκυσε λακτικῶς ἐπιβὰς, τοῦτον δὲ ἐπὶ τὰ μετάφρενα ὤθησεν ἀπὸ τοῦ δόρατος· παραχρῆμα δὲ σὺν τῷ δόρατι ἐπὶ τὸν Αὐτομέδοντα ᾤχετο τὸν ἰσόθεον θεράποντα τοῦ ταχύποδος ἐγγόνου τοῦ Αἰακοῦ, ἐφίετο γὰρ βαλεῖν, τοῦτον δὲ ἐξέφερον οἱ ταχεῖς ἵπποι καὶ θεῖοι, οὓς τῷ Πηλεῖ οἱ θεοὶ ἔδωκαν δῶρα λαμπρά.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩΔΙΑ Ρ.

Οὐδ' ἔλαθ' Ἀτρέος υἱὸν, ἀρηΐφιλον Μενέλαον,
Πάτροκλος Τρώεσσι δαμεὶς ἐν δηϊοτῆτι·
Βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
Ἀμφὶ δ' ἄρ' αὐτῷ βαῖν', ὥς τις περὶ πόρτακι μήτηρ,
Πρωτοτόκος, κινυρὴ, οὐ πρὶν εἰδυῖα τόκοιο.
Ὣς περὶ Πατρόκλῳ βαῖνε ξανθὸς Μενέλαος·
Πρόσθε δέ οἱ δόρυ τ' ἔσχε καὶ ἀσπίδα πάντοσ' ἐΐσην,
Τὸν κτάμεναι μεμαὼς, ὅστις τοῦ γ' ἀντίος ἔλθοι.
Οὐδ' ἄρα Πάνθου υἱὸς ἐϋμμελίης ἀμέλησε
Πατρόκλοιο πεσόντος ἀμύμονος· ἄγχι δ' ἄρ' αὐτοῦ
Ἔστη, καὶ προσέειπεν ἀρηΐφιλον Μενέλαον·
Ἀτρείδη Μενέλαε, διοτρεφὲς, ὄρχαμε λαῶν,
Χάζεο, λεῖπε δὲ νεκρὸν, ἔα δ' ἔναρα βροτόεντα·
Οὐ γάρ τις πρότερος Τρώων κλειτῶν τ' ἐπικούρων

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑΣ Ρ

ΠΑΡΑΦΡΑΣΙΣ.

Οὐδὲ ἔλαθε τὸν υἱὸν τοῦ Ἀτρέως τὸν πολεμικὸν Μενέλαον ὁ Πάτροκλος ὑπὸ τῶν Τρῴων ἀναιρεθεὶς ἐν τῇ μάχῃ, ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιστῶν καθωπλισμένος σιδήρῳ λαμπρῷ, περὶ δὲ αὐτὸν ἵστατο ὥσπερ τις περὶ δάμαλιν μικρὰ μήτηρ πρώτως τετοκυῖα, οἰκτρόφωνος, οὐ πρότερον ἐγνωκυῖα τόκον· οὕτως περὶ τὸν Πάτροκλον ἵστατο ὁ πυῤῥὸς Μενέλαος, ἔμπροσθεν δὲ αὐτῷ τό τε δόρυ ἐκράτησε, καὶ τὴν ἀσπίδα τὴν πανταχόθεν ἴσην, τοῦτον ἀποκτεῖναι προθυμούμενος ὅστις ἂν ἐναντίον αὐτοῦ ἀφίκηται. οὐδ' ἄρα ὁ υἱὸς τοῦ Πάνθου ὁ καλῶς τῷ ἐκ μελίας δόρατι χρώμενος, ἤτοι ὁ πολεμικὸς, ἠμέλησε τοῦ ἀμωμήτου Πατρόκλου ἀποθανόντος, πλησίον δὲ αὐτοῦ ἔστη, καὶ εἶπε πρὸς αὐτὸν πολεμικὸν Μενέλαον· Ὦ Μενέλαε υἱὲ τοῦ Ἀτρέως, ἐνδοξότατα τεθραμμένε, ἡγεμὼν τοῦ στρατοῦ, ὑποχώρει, κατάλειπε δὲ τὸν νεκρὸν, ἄφες δὲ τὰ ἡμαγμένα ὅπλα, οὐδεὶς γὰρ τῶν Τρῴων καὶ τῶν ἐνδόξων βοηθῶν πρό-

Πάτροκλον βάλε δουρὶ κατὰ κρατερὴν ὑσμίνην·
Τῷ με ἔα κλέος ἐσθλὸν ἐνὶ Τρώεσσιν ἀρέσθαι,
Μή σε βάλω, ἀπὸ δὲ μελιηδέα θυμὸν ἕλωμαι.
  Τὸν δὲ μέγ' ὀχθήσας προσέφη ξανθὸς Μενέλαος·
Ζεῦ πάτερ, οὐ μὲν καλὸν ὑπέρβιον εὐχετάασθαι.
Οὔτ' οὖν πορδάλιος τόσσον μένος, οὔτε λέοντος,
Οὔτε συὸς κάπρου ὀλοόφρονος, οὗ τε μέγιστος
Θυμὸς ἐνὶ στήθεσσι περὶ σθένεϊ βλεμεαίνει,
Ὅσσον Πάνθου υἷες ἐϋμμελίαι φρονέουσιν.
Οὐδὲ μὲν οὐδὲ βίη Ὑπερήνορος ἱπποδάμοιο
Ἧς ἥβης ἀπόνηθ', ὅτε μ' ὤνατο, καί μ' ὑπέμεινε,
Καί μ' ἔφατ' ἐν Δαναοῖσιν ἐλέγχιστον πολεμιστὴν
Ἔμμεναι· οὐδέ ἑ φημὶ πόδεσσί γε οἷσι κιόντα,
Εὐφρῆναι ἄλοχόν τε φίλην, κεδνούς τε τοκῆας.
Ὣς θην καὶ σὸν ἐγὼ λύσω μένος. εἴκε μεῦ, ἄντα
Στήῃς· ἀλλά σ' ἐγὼ ἀναχωρήσαντα κελεύω
Ἐς πληθὺν ἰέναι μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
Πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.
  Ὣς φάτο· τὸν δ' οὐ πεῖθεν· ἀμειβόμενος δὲ προσηύδα·
Νῦν μὲν δὴ, Μενέλαε διοτρεφὲς, ἦ μάλα τίσεις
Γνωτὸν ἐμὸν, τὸν ἔπεφνες· ἐπευχόμενος δ' ἀγορεύεις.
Χήρωσας δὲ γυναῖκα μυχῷ θαλάμοιο νέοιο,
Ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας.
Ἦ κέ σφιν δειλοῖσι γόου κατάπαυμα γενοίμην,
Εἴ κεν ἐγὼ κεφαλήν τε τεὴν καὶ τεύχε' ἐνείκας,
Πάνθῳ ἐν χείρεσσι βάλω καὶ Φρόντιδι δίῃ·
Ἀλλ' οὐ μὰν ἔτι δηρὸν ἀπείρητος πόνος ἔσται,
Οὐδέ τ' ἀδήριτος, οὔτ' ἀλκῆς, οὔτε φόβοιο.

τερος ἐμοῦ τὸν Πάτροκλον ἔτρωσε δόρατι κατὰ τὴν ἰσχυρὰν μάχην, δι' ὃ ἔασόν με δόξαν ἀγαθὴν ἐν τοῖς Τρωσὶ κτήσασθαι, μήπώς σε τρώσω, καὶ ἀφέλωμαι τὴν ὑπερηδίστην ψυχήν. Πρὸς τοῦτον δὲ μεγάλως ἀγανακτήσας, καὶ στενάξας εἶπεν ὁ πυῤῥὸς Μενέλαος· Ὦ Ζεῦ πάτερ, οὐδαμῶς καλὸν ὑπὲρ δύναμιν καυχᾶσθαι· οὔτε οὖν παρδάλεως τοσαύτη ὁρμὴ καὶ θρασύτης, οὔτε λέοντος, οὔτε χοίρου ἀγρίου δεινοῦ, καὶ ὀλεθρίου, οὗ μέγιστος θυμὸς ἐν τῷ στήθει σὺν δυνάμει μεγάλῃ ἐνθουσιᾷ, ὅσον οἱ τοῦ Πάνθου υἱοὶ οἱ πολεμικοὶ καὶ ἀνδρεῖοι φρονοῦσι καὶ ἐπαίρονται· οὐ μὴν οὐδὲ ἡ δύναμις Ὑπερήνορος τοῦ πολεμικοῦ, ἤτοι αὐτὸς Ὑπερήνωρ τῆς ἑαυτοῦ ἀκμαζούσης ἡλικίας ἀπέλαυσεν, ὅτε με ἐμέμψατο, καὶ παρέμεινέ με, καὶ εἶπέ με ἐπονείδιστον μαχητὴν εἶναι ἐν τοῖς Ἕλλησιν· οὐδ' οἴομαι αὐτὸν ποσὶν ἰδίοις ἀφικόμενον εἰς τὸν ἑαυτοῦ οἶκον εὐφρᾶναι τήν τε ἀγαπητὴν γαμετὴν, καὶ τοὺς σώφρονας γονεῖς. οὕτω δὴ ἐγὼ καὶ τὴν σὴν ἰσχὺν, καὶ τόλμην καταλύσω, ἐὰν ἐναντίον ἐμοῦ στῇς, ἀλλά σε ἔγωγε ἀναχωρήσαντα λέγω ἀπιέναι εἰς τὸ πλῆθος, μηδὲ ἵστασο ἐναντίον ἐμοῦ πρὸ τοῦ παθεῖν τι δεινὸν, πραχθὲν δὲ τὸ κακὸν ὁ μωρὸς ἐνόησεν. Οὕτως εἶπε· τοῦτον δὲ οὐ κατέπειθεν, ἀποκρινόμενος δὲ εἶπε πρὸς αὐτόν· Νῦν δήπου, ὦ Μενέλαε ἐνδοξότατα τεθραμμένε, τῷ ὄντι πάνυ δώσεις τιμωρίαν εἰς ἐκδίκησιν τοῦ ἐμοῦ ἀδελφοῦ ὃν ἀπέκτεινας, ἐπικαυχώμενος δὲ λέγεις, χήραν δὲ αὐτοῦ τὴν γυναῖκα ἐποίησας ἐν τῷ ἐνδοτάτῳ τοῦ νέου θαλάμου, μισητὸν δὲ καὶ ἐπάρατον πένθος, καὶ θρῆνον ἐποίησας τοῖς γονεῦσιν· ὄντως που τοῖς κακοδαίμοσι κατάπαυσις τοῦ θρήνου γενοίμην ἂν, ἐὰν ἐγὼ τὴν σὴν κεφαλὴν, καὶ τὰ ὅπλα κομίσας τῷ Πάνθῳ τῷ πατρὶ εἰς τὰς χεῖρας ἐμβάλω, καὶ τῇ ἐνδοξοτάτῃ Φρόντιδι τῇ μητρί. ἀλλὰ μὴν οὐκέτι ἐπὶ πολὺ ὁ κάματος, καὶ ὁ πόλεμος ἀπείρατος ἔσαι οὐδὲ ἀκαταμάχητος, οὔτε δυνάμεως, οὔτε φυγῆς. Οὕτως

Ὣς εἰπὼν, οὔτησε κατ' ἀσπίδα πάντοσ' ἐΐσην.
Οὐδ' ἔῤῥηξεν χαλκὸν, ἀνεγνάφθη δέ οἱ αἰχμὴ
Ἀσπίδι ἐν κρατερῇ· ὁ δὲ δεύτερος ὤρνυτο χαλκῷ
Ἀτρείδης Μενέλαος, ἐπευξάμενος Διῒ πατρί.
Ἂψ δ' ἀναχαζομένοιο κατὰ στομάχοιο θέμεθλα
Νύξ', ἐπὶ δ' αὐτὸς ἔρεισε, βαρείῃ χειρὶ πιθήσας·
Ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή.
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Αἵματί οἱ δεύοντο κόμαι, Χαρίτεσσιν ὁμοῖαι,
Πλοχμοί θ', οἳ χρυσῷ τε καὶ ἀργύρῳ ἐσφήκωντο.
Οἷον δὲ τρέφει ἔρνος ἀνὴρ ἐριθηλὲς ἐλαίης
Χώρῳ ἐν οἰοπόλῳ, ὅθ' ἅλις ἀναβέβρυχεν ὕδωρ,
Καλὸν, τηλεθάον, τὸ δέ τε πνοιαὶ δονέουσι
Παντοίων ἀνέμων, καί τε βρύει ἄνθεϊ λευκῷ·
Ἐλθὼν δ' ἐξαπίνης ἄνεμος, σὺν λαίλαπι πολλῇ,
Βόθρου τ' ἐξέστρεψε καὶ ἐξετάνυσσ' ἐπὶ γαίῃ.
Τοῖον Πάνθου υἱὸν ἐϋμμελίην Εὔφορβον
Ἀτρείδης Μενέλαος, ἐπεὶ κτάνε, τεύχε' ἐσύλα.
Ὡς δ' ὅτε τίς τε λέων ὀρεσίτροφος, ἀλκὶ πεποιθὼς
Βοσκομένης ἀγέλης βοῦν ἁρπάσῃ, ἥτις ἀρίστη·
Τῆς δ' ἐξ αὐχέν' ἔαξε, λαβὼν κρατεροῖσιν ὀδοῦσι,
Πρῶτον, ἔπειτα δέ θ' αἷμα καὶ ἔγκατα πάντα λαφύσσει
Δῃῶν, ἀμφὶ δὲ τόν γε κύνες τ' ἄνδρες τε νομῆες
Πολλὰ μάλ' ἰΰζουσιν ἀπόπροθεν, οὐδ' ἐθέλουσιν
Ἀντίον ἐλθέμεναι· μάλα γὰρ χλωρὸν δέος αἱρεῖ·
Ὣς τῶν οὔ τινι θυμὸς ἐνὶ στήθεσσιν ἐτόλμα
Ἀντίον ἐλθέμεναι Μενελάου κυδαλίμοιο.
Ἔνθα κε ῥεῖα φέροι κλυτὰ τεύχεα Πανθοΐδαο

εἰπὼν ἔβαλε κατὰ τὴν πανταχόθεν ἴσην ἀσπίδα, οὐδὲ διέκοψε τὸν σίδηρον, ἐκάμφθη δὲ ἡ ἐπιδορατὶς αὐτοῦ ἐν τῇ στερεᾷ ἀσπίδι· ὁ δὲ δεύτερος ὥρμησε σὺν τῷ σιδήρῳ ὁ Μενέλαος ὁ υἱὸς τοῦ Ἀτρέως εὐξάμενος τῷ Διὶ τῷ πατρί· εἰς τοὐπίσω δὲ ἀναχωροῦντος κατὰ τὰ θεμέλια τοῦ στομάχου, ἤτοι κατὰ τὴν θέσιν τοῦ βρόγχου καὶ τὴν ἀρχὴν ἔπληξεν, ἐπέρρεισε δὲ καὶ συνεπεβάρυνε καὶ αὐτὸς τῇ ἑαυτοῦ ἰσχυρᾷ χειρὶ θαῤῥήσας· καταντικρὺ δὲ διὰ τοῦ ἁπαλοῦ τραχήλου διῆλθε τὸ ὀξὺ τοῦ δόρατος, ἐψόφησε δὲ καταπεσὼν, ἤχησαν δὲ τὰ ὅπλα ἐπ' αὐτῷ, αἵματι δὲ ἐβρέχοντο αἱ κόμαι αὐτοῦ. αἱ ὅμοιαι ταῖς συνεστραμμέναις καὶ οὔλαις μυρσίναις, καὶ οἱ πλόκαμοι, οἳ διὰ χρυσοῦ καὶ ἀργύρου συνδεδεμένοι ἦσαν. οἷον δὲ φυτὸν ἀειθαλὲς ἐλαίας ἀνατρέφει ἀνὴρ ἐν ἐρήμῳ τόπῳ, ὅπου ἱκανῶς ἀναβλύζει καὶ ἀναῤῥεῖ ὕδωρ εὐειδὲς, πολυθαλὲς, τοῦτο δὲ πνοαὶ ταράττουσι παντοίων ἀνέμων, καὶ ἄνθει θάλλει λευκῷ. ἐπελθὼν δὲ ἐξαίφνης ἄνεμος σὺν καταιγίδι καὶ συστροφῇ σφοδρᾷ ἐκ βάθους ἀπέσπασε πρόῤῥιζον καὶ κατὰ γῆς ἐξέτεινε καὶ ἐξήπλωσε. τοιοῦτον τοῦ Πάνθου τὸν υἱὸν τὸν πολεμικὸν καὶ ἀνδρεῖον Εὔφορβον ὁ τοῦ Ἀτρέως υἱὸς Μενέλαος, ἐπειδὴ ἀπέκτεινε, τὰ ὅπλα ἀφῄρειτο. ὥσπερ δὲ ὅταν τις λέων ἐν ὄρεσι τεθραμμένος τῇ ἑαυτοῦ δυνάμει θαῤῥῶν ἁρπάσῃ βοῦν ἀγέλης βοσκομένης, ἥτις κρείττων τῶν ἄλλων ἐστὶ, ταύτης δὲ τὸν τράχηλον συνέτριψε διὰ τῶν ἰσχυρῶν ὀδόντων πρῶτον, μετὰ ταῦτα δὲ τὸ αἷμα καὶ τὰ ἐντὸς πάντα λάπτει καὶ κατεσθίει σπαράσσων καὶ διακόπτων, περὶ αὐτὸν δὲ κύνες καὶ ἄνδρες νομεῖς πάνυ πολλὰ ἀγροικῇ φωνῇ προσφωνοῦσι πόῤῥωθεν, οὐδὲ βούλονται ἐναντίον ἐπελθεῖν, πάνυ γὰρ αὐτοὺς ὠχροποιὸς φόβος κατακρατεῖ· οὕτως οὐδενὶ τούτων ἡ ψυχὴ ἐν τῷ στήθει ὑπέμενεν ἐπελθεῖν ἐναντίον τοῦ ἐνδόξου Μενελάου. τότε ῥᾳδίως ἂν ἔλαβε τὰ ἔνδοξα ὅπλα τοῦ υἱοῦ τοῦ Πάνθου ὁ υἱὸς τοῦ Ἀτρέως, εἰ μὴ ἐφθό-

Ἀτρείδης, εἰ μή οἱ ἀγάσσατο Φοῖβος Ἀπόλλων,
Ὅς ῥά οἱ Ἕκτορ' ἐπῶρσε, θοῷ ἀτάλαντον Ἄρηϊ,
Ἀνέρι εἰσάμενος Κικόνων ἡγήτορι Μέντῃ·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἕκτορ, νῦν σὺ μὲν ὧδε θέεις, ἀκίχητα διώκων
Ἵππους Αἰακίδαο δαΐφρονος· οἱ δ' ἀλεγεινοὶ
Ἀνδράσι γε θνητοῖσι δαμήμεναι, ἠδ' ὀχέεσθαι,
Ἄλλῳ γ', ἢ Ἀχιλῆϊ, τὸν ἀθανάτη τέκε μήτηρ.
Τόφρα δέ τοι Μενέλαος, ἀρήϊος Ἀτρέος υἱὸς,
Πατρόκλῳ περιβὰς, Τρώων τὸν ἄριστον ἔπεφνε,
Πανθοΐδην Εὔφορβον, ἔπαυσε δὲ θούριδος ἀλκῆς.
Ὣς εἰπὼν, ὁ μὲν αὖτις ἔβη θεὸς ἀμ πόνον ἀνδρῶν·
Ἕκτορα δ' αἰνὸν ἄχος πύκασε φρένας ἀμφὶ μελαίνας·
Πάπτηνεν δ' ἄρ' ἔπειτα κατὰ στίχας· αὐτίκα δ' ἔγνω
Τὸν μὲν ἀπαινύμενον κλυτὰ τεύχεα, τὸν δ' ἐπὶ γαίῃ
Κείμενον, ἔῤῥει δ' αἷμα κατ' οὐταμένην ὠτειλήν.
Βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ,
Ὀξέα κεκληγὼς, φλογὶ εἴκελος Ἡφαίστοιο
Ἀσβέστῳ· οὐδ' υἱὸν λάθεν Ἀτρέος ὀξὺ βοήσας·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγὼν, εἰ μέν κε λίπω κατὰ τεύχεα καλὰ,
Πάτροκλόν θ', ὃς κεῖται ἐμῆς ἕνεκ' ἐνθάδε τιμῆς,
Μή τίς μοι Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται·
Εἰ δέ κεν Ἕκτορι μοῦνος ἐὼν καὶ Τρωσὶ μάχωμαι
Αἰδεσθεὶς, μήπως με περιστείωσ' ἕνα πολλοί·
Τρῶας δ' ἐνθάδε πάντας ἄγει κορυθαίολος Ἕκτωρ.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Ὁππότ' ἀνὴρ ἐθέλει πρὸς δαίμονα φωτὶ μάχεσθαι,

νησεν αὐτῷ ὁ καθαρὸς Ἀπόλλων, ὃς δὴ αὐτῷ τὸν Ἕκτορα ἐπήγειρεν ὅμοιον τῷ ταχεῖ Ἄρει, ὁμοιωθεὶς ἀνδρὶ Μέντῃ τῷ ἡγεμόνι τῶν Κικόνων, καὶ φωνήσας ἔλεγε πρὸς αὐτὸν λόγους ταχεῖς· Ὦ Ἕκτορ, σὺ μὲν νῦν ἐνταῦθα τρέχεις ἀκατάληπτα διώκων, τοὺς ἵππους τοῦ συνετοῦ ἐγγόνου τοῦ Αἰακοῦ. οὔπι δὲ χαλεποί εἰσιν ἀνδράσι θνητοῖς δουλωθῆναι, καὶ ἱππεύεσθαι ἄλλῳ, ἢ Ἀχιλλεῖ, ὃν ἔτεκε μήτηρ ἀθάνατος. τηνικαῦτα δὲ Μενέλαος ὁ πολεμικὸς υἱὸς τοῦ Ἀτρέως περὶ τὸν Πάτροκλον στὰς ἀπέκτεινε τὸν κράτιστον τῶν Τρώων τὸν υἱὸν τοῦ Πάνθου τὸν Εὔφορβον, ἀπέπαυσε δὲ αὐτὸν τῆς ὁρμητικῆς καὶ πολεμικῆς δυνάμεως. Οὕτως εἰπὼν, ὁ μὲν θεὸς αὖθις ἐπορεύθη εἰς τὸν κάματον καὶ τὴν μάχην τῶν ἀνδρῶν. τὸν Ἕκτορα δὲ λύπη χαλεπὴ περιεκάλυψε κατὰ τὴν βαθυγνώμονα διάνοιαν, περιεβλέψατο δ' οὖν κατὰ τὰς τάξεις, παραχρῆμα δὲ ἐθεάσατο τὸν μὲν ἀφαιρούμενον τὰ τίμια ὅπλα, τὸν δὲ ἐπὶ τῆς γῆς κείμενον, ἐξεχεῖτο δὲ τὸ αἷμα κατὰ τὸ ἐκ τῆς οὐτήσεως τραῦμα· ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιστῶν καθωπλισμένος σιδήρῳ λαμπρῷ ὀξέως καὶ μεγάλως βοῶν, ὅμοιος φλογὶ πυρὸς ἀκαταπαύστῳ, οὐδὲ τὸν υἱὸν ἔλαθε τοῦ Ἀτρέως ὀξέως βοήσας· στενάξας δὲ εἶπε πρὸς τὴν ἑαυτοῦ μεγαλόφρονα ψυχήν. Φεῦ ἐμοὶ, ἐὰν μὲν καταλίπω τὰ καλὰ ὅπλα, καὶ τὸν Πάτροκλον, ὃς τέθνηκεν ἐνταῦθα ἕνεκα τιμῆς ἐμῆς, μή τίς μοι τῶν Ἑλλήνων μέμψηται, ὃς ἂν θεάσηται· εἰ δὲ τῷ Ἕκτορι μόνος ὢν καὶ τοῖς Τρωσὶ πολεμῶ αἰσχυνθεὶς, μήπως με περικυκλώσωσιν ἕνα πολλοὶ, πάντας γὰρ τοὺς Τρῶας δεῦρο ἄγει ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν Ἕκτωρ. ἀλλὰ τί δή μοι ταῦτα διελέχθη ἡ ἀγαπητὴ ψυχὴ, ὅταν ἀνὴρ θέλῃ μάχεσθαι ἀνδρὶ θεῷ ἐναντιούμενος προϊσταμένῳ αὐτοῦ, ὃν ἂν ὁ θεὸς αὐτὸς

Ὅν κε θεὸς τιμᾷ, τάχα οἱ μέγα πῆμα κυλίσθη·
Τῷ μ' οὔτις Δαναῶν νεμεσήσεται, ὅς κεν ἴδηται
Ἕκτορι χωρήσαντ', ἐπεὶ ἐκ θεόφιν πολεμίζει.
Εἰ δέ που Αἴαντός γε βοὴν ἀγαθοῖο πυθοίμην,
Ἄμφω κ' αὖτις ἰόντες ἐπιμνησαίμεθα χάρμης
Καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρὸν
Πηλείδῃ Ἀχιλῆϊ· κακῶν δέ κε φέρτατον εἴη.
Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν,
Τόφρα δ' ἐπὶ Τρώων στίχες ἤλυθον· ἦρχε δ' ἄρ' Ἕκτωρ.
Αὐτὰρ ὅγ' ἐξοπίσω ἀνεχάζετο, λεῖπε δὲ νεκρὸν
Ἐντροπαλιζόμενος· ὥστε λῖς ἠϋγένειος,
Ὅν ῥα κύνες τε καὶ ἄνδρες ἀπὸ σταθμοῖο δίωνται
Ἔγχεσι καὶ φωνῇ· τοῦ δ' ἐν φρεσὶν ἄλκιμον ἦτορ
Παχνοῦται, ἀέκων δέ τ' ἔβη ἀπὸ μεσσαύλοιο·
Ὣς ἀπὸ Πατρόκλοιο κίε ξανθὸς Μενέλαος.
Στῆ δὲ μεταστρεφθεὶς, ἐπεὶ ἵκετο ἔθνος ἑταίρων,
Παπταίνων Αἴαντα μέγαν, Τελαμώνιον υἱόν·
Τὸν δὲ μάλ' αἶψ' ἐνόησε μάχης ἐπ' ἀριστερὰ πάσης,
Θαρσύνονθ' ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
Θεσπέσιον γάρ σφιν φόβον ἔμβαλε Φοῖβος Ἀπόλλων·
Βῆ δὲ θέειν, εἶθαρ δὲ παριστάμενος ἔπος ηὔδα·
Αἶαν, δεῦρο, πέπον, περὶ Πατρόκλοιο θανόντος
Σπεύσομεν, αἴκε νέκυν περ Ἀχιλλῆϊ προφέρωμεν
Γυμνόν· ἀτὰρ τάγε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.
Ὣς ἔφατ'· Αἴαντι δὲ δαΐφρονι θυμὸν ὄρινε·
Βῆ δὲ διὰ προμάχων, ἅμα δὲ ξανθὸς Μενέλαος·
Ἕκτωρ μὲν Πάτροκλον, ἐπεὶ κλυτὰ τεύχε' ἀπηύρα,
Ἕλχ', ἵν' ἀπ' ὤμοιϊν κεφαλὴν τάμοι ὀξέϊ χαλκῷ,

τιμᾷ, ταχέως αὐτῷ βλάβη μεγάλη ἐπῆλθε. δι᾽ ὃ οὐδείς μοι τῶν Ἑλλήνων μέμψεται, ὃς ἂν θεάσηται ὑποχωρήσαντα τῷ Ἕκτορι, ἐπειδὴ θείᾳ δυνάμει μάχεται· εἰ δέ που ἀκούσαιμι τὴν φωνὴν τοῦ ἀγαθοῦ καὶ ἀνδρείου Αἴαντος, ἀμφότεροι ἂν αὖθις ἐπελθόντες μνησθείημεν τῆς μάχης, καίπερ πρὸς θεὸν, εἴπως ἑλκύσαιμεν τὸν νεκρὸν Ἀχιλλεῖ τῷ υἱῷ τοῦ Πηλέως, τῶν παρόντων δὲ κακῶν τοῦτο ἂν εἴη τὸ ἄριστον. Ἕως οὗτος ταῦτα διενοεῖτο κατὰ τὸ λογιστικὸν καὶ κατὰ τὴν ψυχὴν, τηνικαῦτα αἱ τάξεις τῶν Τρώων ἐπῆλθον, ἡγεῖτο δὲ ὁ Ἕκτωρ. οὗτος δὲ εἰς τοὐπίσω ἀνεχώρει, κατέλιπε δὲ τὸν νεκρὸν κατ᾽ ὀλίγον ὑποβαίνων, ὥσπερ λέων μέγα καὶ εὔτονον τὸ γένειον ἔχων, ὃν δὴ κύνες τε καὶ ἄνδρες ἀπὸ τῆς ἐπαύλεως διώκωσι δόρασι καὶ βοῇ, τούτου δὲ ἐν ταῖς φρεσὶν ἡ ἰσχυρὰ καὶ γενναία ψυχὴ φρίσσει καὶ λυπεῖται, ἄκων δὲ καὶ μὴ βουλόμενος ἀπῆλθεν ἐκ τῆς ἐπαύλεως. οὕτως ἀπὸ τοῦ Πατρόκλου ἀνεχώρει ὁ πυῤῥὸς Μενέλαος, ἔστη δὲ ἐπιστραφεὶς, ἐπειδὴ ἀφίκετο εἰς τὸ πλῆθος τῶν φίλων, περιβλεπόμενος ἰδεῖν τὸν μέγαν Αἴαντα τὸν υἱὸν τοῦ Τελαμῶνος. τοῦτον δὲ πάνυ ταχέως ἐθεάσατο ἐπὶ τὸ ἀριστερὸν μέρος πάσης τῆς μάχης θαῤῥύνοντα καὶ προτρέποντα τοὺς φίλους καὶ παροξύνοντα πολεμεῖν, μέγαν γὰρ καὶ θαυμαστὸν φόβον ἐνέβαλεν αὖτις ὁ καθαρὸς Ἀπόλλων· ὥρμησε δὲ τρέχειν, τάχιστα δὲ παραγενόμενος λόγον εἶπεν· Ὦ Αἶαν, ἐνθάδε φίλτατε περὶ Πατρόκλου ἀποθανόντος δράμωμεν, εἴ τι καίπερ νεκρὸν τῷ Ἀχιλλεῖ κομίσαιμεν αὐτὸν ἄοπλον, τὰ ὅπλα δὲ ἔχει ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν Ἕκτωρ. Οὕτως εἶπεν, ἐτάραξε δὲ τὴν ψυχὴν τῷ συνετῷ Αἴαντι· ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιστῶν, σὺν αὐτῷ δὲ καὶ ὁ πυῤῥὸς Μενέλαος. Ὁ Ἕκτωρ μὲν οὖν τὸν Πάτροκλον, ἐπειδὴ ἀφείλετο τὰ τίμια ὅπλα, εἷλκεν, ἵνα ἀπὸ τῶν ὤμων ἐκκόψῃ τὴν κεφαλὴν σιδήρῳ ὀξεῖ καὶ τμητικῷ, τὸν

Τὸν δὲ νέκυν Τρωῇσιν ἐρυσσάμενος κυσὶ δοίη·
Αἴας δ' ἐγγύθεν ἦλθε, φέρων σάκος, ἠύτε πύργον,
Ἕκτωρ δ' ἂψ ἐς ὅμιλον ἰὼν ἀνεχάζεθ' ἑταίρων·
Ἐς δίφρον δ' ἀνόρουσε· δίδου δ' ὅγε τεύχεα καλὰ
Τρωσὶ φέρειν προτὶ ἄστυ μέγα, κλέος ἔμμεναι αὐτῷ.
Αἴας δ' ἀμφὶ Μενοιτιάδῃ σάκος εὐρὺ καλύψας,
Εἱστήκει, ὥς τίς τε λέων περὶ οἷσι τέκεσσιν·
Ὧι ῥά τε νήπι' ἄγοντι συναντήσονται ἐν ὕλῃ
Ἄνδρες ἐπακτῆρες, ὁ δέ τε σθένεϊ βλεμεαίνει,
Πᾶν δέ τ' ἐπισκύνιον κάτω ἕλκεται, ὄσσε καλύπτων.
Ὣς Αἴας περὶ Πατρόκλῳ ἥρωϊ βεβήκει.
Ἀτρείδης δ' ἑτέρωθεν, ἀρηΐφιλος Μενέλαος,
Εἱστήκει, μέγα πένθος ἐνὶ στήθεσσιν ἀέξων.
Γλαῦκος δ', Ἱππολόχοιο πάϊς, Λυκίων ἀγὸς ἀνδρῶν,
Ἕκτορ' ὑπόδρα ἰδὼν χαλεπῷ ἠνίπαπε μύθῳ·
Ἕκτορ, εἶδος ἄριστε, μάχης ἄρα πολλὸν ἐδεύεο·
Ἦ σ' αὔτως κλέος ἐσθλὸν ἔχει, φύξηλιν ἐόντα.
Φράζεο νῦν, ὅππως κε πόλιν καὶ ἄστυ σαώσῃς
Οἶος σὺν λαοῖσι, τοὶ Ἰλίῳ ἐγγεγάασιν·
Οὐ γάρ τις Λυκίων γε μαχησόμενος Δαναοῖσιν
Εἶσι περὶ πτόλιος· ἐπεὶ οὐκ ἄρα τὶς χάρις ἦεν
Μάρνασθαι δηΐοισι μετ' ἀνδράσι νωλεμὲς αἰεί.
Πῶς κε σὺ χείρονα φῶτα σαώσειας μεθ' ὅμιλον,
Σχέτλι'· ἐπεὶ Σαρπηδόν' ἅμα ξεῖνον καὶ ἑταῖρον
Κάλλιπες Ἀργείοισιν ἕλωρ καὶ κύρμα γενέσθαι·
Ὅς τοι πόλλ' ὄφελος γένετο πτόλεΐ τε καὶ αὐτῷ,
Ζωὸς ἐών· νῦν δ' οὔ οἱ ἀλαλκέμεναι κύνας ἔτλης.
Τῷ νῦν εἴτις ἐμοὶ Λυκίων ἐπιπείσεται ἀνδρῶν,

νεκρὸν δὲ ἑλκύσας ταῖς Τρωϊκαῖς κυσὶ δῷ. ὁ Αἴας δὲ ἐγγὺς ἀφίκετο φέρων τὴν ἀσπίδα καθάπερ τεῖχος. ὁ Ἕκτωρ δὲ ὀπίσω εἰς τὸ πλῆθος τῶν φίλων ἀπερχόμενος ὑπεχώρησεν, εἰς τὸ ὄχημα δὲ ἀνεπήδησεν, ἔδωκε δ' οὗτος τὰ καλὰ ὅπλα τοῖς Τρωσὶ κομίσαι πρὸς τὴν μεγάλην πόλιν, δόξαν εἶναι αὐτῷ. Ὁ Αἴας δὲ περὶ τὸν υἱὸν τοῦ Μενοιτίου περιθεὶς τὴν πλατεῖαν ἀσπίδα ἵστατο, ὥσπέρ τις λέων περὶ τὰ ἑαυτοῦ τέκνα, ᾧ δὴ τὰ νεογνὰ γεννήματα ἐπαγομένῳ ἀπαντήσουσιν ἐν τῷ δρυμῷ ἄνδρες κυνηγοὶ, οὗτος δὲ ἰσχύϊ παροξύνεται καὶ ἐνθουσιᾷ, πᾶν δὲ τὸ συνοφρύωμα τοῦ μετώπου κάτω ἕλκει καλύπτων τοὺς ὀφθαλμούς. οὕτως ὁ Αἴας παρὰ τὸν ἥρωα Πάτροκλον ἵστατο, ὁ υἱὸς δὲ τοῦ Ἀτρέως ἐκ τοῦ ἑτέρου μέρους ὁ φιλοπόλεμος Μενέλαος ἔμενε, μεγάλην λύπην αὔξων ἐν τῷ ἑαυτοῦ στήθει. Γλαῦκος δὲ ὁ υἱὸς τοῦ Ἱππολόχου ὁ ἡγεμὼν τῶν Λυκίων ἀνδρῶν τὸν Ἕκτορα δεινῶς ὑποβλεψάμενος λόγῳ χαλεπῷ ὠνείδισε καὶ ἐπέπληξεν· Ὦ Ἕκτορ κάλλιστε τὴν μορφὴν, πολλῷ ἄρα τῆς μάχης ἀπελείπου· ὄντως σε μάτην ἡ ἀγαθὴ φήμη κατέχει δειλὸν καὶ λειποτάκτην ὄντα· σκόπει νῦν ὅπως ἂν τὸν λαὸν καὶ τὴν πόλιν σώσῃς, μόνος σὺν τοῖς λαοῖς, οἳ ἐν τῷ Ἰλίῳ γεγόνασιν· οὐδεὶς γὰρ τῶν Λυκίων πολεμήσων τοῖς Ἕλλησι πορεύσεται περὶ τῆς πόλεως, ἐπειδὴ οὐδεμία ἀμοιβὴ κατ' εὐεργεσίαν γίνεται ἐκ τοῦ μάχεσθαι ἐν τοῖς πολεμίοις ἀνδράσιν ἀδιαλείπτως· πῶς ἂν σὺ ἥττονα ἄνδρα σώσαις εἰς τὸ πλῆθος, χαλεπὲ καὶ ἄδικε, ἐπειδὴ Σαρπηδόνα ξένον ἅμα καὶ συνήθη καὶ φίλον κατέλιπες τοῖς Ἕλλησι σπάραγμα καὶ ἐπίταγμα γενέσθαι, ὅστις πολλαχῆ(κις) ὠφέλεια ἐγένετο τῇ τε πόλει καὶ σοὶ αὐτῷ ζῶν, νυνὶ δὲ οὐχ ὑπέμεινας ἀποσοβῆσαι αὐτῷ τοὺς κύνας· δι' ὃ νῦν εἴτις τῶν Λυκίων ἀνδρῶν ὑπακούσεταί μοι,

Οἴκαδ' ἴμεν, Τροίῃ δὲ πεφήσεται αἰπὺς ὄλεθρος.
Εἰ γὰρ νῦν Τρώεσσι μένος πολυθαρσὲς ἐνείη
Ἄτρομον, οἷόν τ' ἄνδρας ἐσέρχεται, οἳ περὶ πάτρης
Ἀνδράσι δυσμενέεσσι πόνον καὶ δῆριν ἔθεντο,
Αἶψά κε Πάτροκλον ἐρυσαίμεθα Ἴλιον εἴσω·
Εἰ δ' οὗτος προτὶ ἄστυ μέγα Πριάμοιο ἄνακτος
Ἔλθοι τεθνειὼς, καί μιν ἐρυσαίμεθα χάρμης,
Αἶψά κεν Ἀργεῖοι Σαρπηδόνος ἔντεα καλὰ
Λύσειαν, καί κ' αὐτὸν ἀγοίμεθα Ἴλιον εἴσω·
Τοίου γὰρ θεράπων πέφατ' ἀνέρος, ὃς μέγ' ἄριστος
Ἀργείων παρὰ νηυσὶ, καὶ ἀγχέμαχοι θεράποντες.
Ἀλλὰ σύγ' Αἴαντος μεγαλήτορος οὐκ ἐτάλασσας
Στήμεναι ἄντα, κατ' ὄσσε ἰδὼν δηΐων ἐν ἀϋτῇ.
Οὐδ' ἰθὺς μαχέσασθαι· ἐπεὶ σέο φέρτερός ἐστι.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη κορυθαίολος Ἕκτωρ·
Γλαῦκε, τίη δὲ σὺ τοῖος ἐὼν ὑπέροπλον ἔειπες;
Ὢ πέπον, ἦτ' ἐφάμην σε περὶ φρένας ἔμμεναι ἄλλων
Τῶν, ὅσσοι Λυκίην ἐριβώλακα ναιετάουσι·
Νῦν δέ σευ ὠνοσάμην πάγχυ φρένας, οἷον ἔειπες.
Ὅς τέ με φὴς Αἴαντα πελώριον οὐχ ὑπομεῖναι.
Οὔτι ἐγὼν ἔῤῥιγα μάχην, οὐδὲ κτύπον ἵππων·
Ἀλλ' αἰεί τε Διὸς κρείσσων νόος, ἠέ περ ἀνδρὸς,
Ὅστε καὶ ἄλκιμον ἄνδρα φοβεῖ, καὶ ἀφείλετο νίκην
Ῥηϊδίως· ὁτὲ δ' αὐτὸς ἐποτρύνει μαχέσασθαι.
Ἀλλ' ἄγε δεῦρο, πέπον, παρ' ἔμ' ἵστασο καὶ ἴδε ἔργον.
Ἠὲ πανημέριος κακὸς ἔσσομαι, ὡς ἀγορεύεις,
Ἦ τινα καὶ Δαναῶν, ἀλκῆς μέγα περ μεμαῶτα,
Σχήσω ἀμυνέμεναι περὶ Πατρόκλοιο θανόντος.

εἰς τὸν οἶκον πορευσόμεθα, τῇ Τροίᾳ δὲ δηλωθήσεται καὶ γένηται ἀφανισμὸς χαλεπός· εἰ γὰρ νῦν τοῖς Τρωσὶ δύναμις εὔτολμος ἐνυπάρχοι ἀφόβητος, ὁποία τοὺς ἄνδρας εἰσέρχεται, οἳ περὶ τῆς πατρίδος ἀνδράσιν ἐχθροῖς πόλεμον καὶ μάχην ἐποίησαν, ταχέως ἂν τὸν Πάτροκλόν ἑλκύσαιμεν εἰς τὸ Ἴλιον· εἰ δὲ οὕτως εἰς τὴν μεγάλην πόλιν τοῦ βασιλέως Πριάμου ἀφίκοιτο νεκρὸς, καὶ ἐκ τῆς μάχης αὐτὸ ἀφελκύσαιμεν, ταχέως ἂν οἱ Ἕλληνες τὰ καλὰ ὅπλα τοῦ Σαρπηδόνος ἀποδοῖεν, καὶ αὐτὸν κομίσαιμεν ἂν εἰς τὸ Ἴλιον, τοιούτου γὰρ ἀνδρὸς θεράπων ἀνῃρέθη, ὅστις μάλα κράτιστός ἐστι παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων, καὶ οἱ πολεμικοὶ θεράποντες αὐτοῦ· ἀλλὰ σύ γε οὐχ ὑπέμεινας στῆναι ἐναντίον τοῦ μεγαλοψύχου Αἴαντος, κατ᾽ ὀφθαλμοὺς θεασάμενος καὶ ἀντιβλέψας ἐν τῇ μάχῃ τῶν πολεμίων, οὐδ᾽ ἐπ᾽ εὐθείας μάχεσθαι, ἐπειδὴ κρείττων σοῦ ὑπάρχει. Πρὸς τοῦτον δὲ δεινῶς ὑποβλεψάμενος εἶπεν ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν Ἕκτωρ· Ὦ Γλαῦκε, τί δὴ σὺ τοιοῦτος ὢν, ψεῦδος παρὰ τὸ δέον εἴρηκας; φίλε, ὄντως ᾤμην σε εἶναι ὑπὲρ τοὺς ἄλλους κατὰ τὴν διάνοιαν τούτους, ὅσοι τὴν μεγαλόβωλον καὶ εὔγειον Λυκίαν κατοικοῦσι· νυνὶ δέ σου τὴν διάνοιαν πάντελῶς ἐμεμψάμην, ὁποῖον εἶπας, ὃς ἐμὲ λέγεις οὐχ ὑπομεῖναι τὸν μέγαν Αἴαντα· οὐδαμῶς ἐγὼ ἐφοβήθην τὴν μάχην, οὐδὲ τὸν κτύπον τῶν ἵππων, ἀλλ᾽ ἀεὶ ὁ τοῦ Διὸς νοῦς ἰσχυρότερός ἐστιν, ἢ ὁ τοῦ ἀνδρὸς, ὅστις καὶ τὸν γενναῖον ἄνδρα ἐκφοβεῖ καὶ τρέπει, καὶ τὴν νίκην ἀφείλετο εὐχερῶς, ἐνίοτε δὲ αὐτὸς παροξύνει πολεμεῖν καὶ μάχεσθαι. ἀλλ᾽ ἄγε ἐνθάδε, ὦ προσφιλέστατε, ἵστασο παρ᾽ ἐμὲ, καὶ θέασαι τὴν πρᾶξιν· ἢ ὅλην τὴν ἡμέραν δειλὸς ἔσομαι ὥσπερ λέγεις, ἢ καί τινα τῶν Ἑλλήνων καίπερ προθυμούμενον πάνυ τῆς ἰσχύος ἐπισχήσω βοηθεῖν καὶ μάχεσθαι περὶ τοῦ Πατρόκλου τεθνηκότος. Οὕτως εἰπὼν τοῖς Τρωσὶ διε-

Ὣς εἰπὼν, Τρώεσσιν ἐκέκλετο μακρὸν ἀΰσας·
Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι ἀγχιμαχηταὶ,
Ἀνέρες ἐστὲ φίλοι, μνήσασθε δὲ θούριδος ἀλκῆς·
Ὄφρ' ἂν ἐγὼν Ἀχιλῆος ἀμύμονος ἔντεα δύω,
Καλὰ, τὰ Πατρόκλοιο βίην ἐνάριξα κατακτάς.
Ὣς ἄρα φωνήσας ἀπέβη κορυθαίολος Ἕκτωρ
Δηΐου ἐκ πολέμοιο· θέων δ' ἐκίχανεν ἑταίρους
Ὦκα μάλ', οὔπω τῆλε, ποσὶ κραιπνοῖσι μετασπὼν,
Οἳ προτὶ ἄστυ φέρον κλυτὰ τεύχεα Πηλείδαο.
Στὰς δ' ἀπάνευθε μάχης πολυδακρύτου, ἔντε' ἄμειβεν,
Ἤτοι ὁ μὲν τὰ ἃ δῶκε φέρειν προτὶ Ἴλιον ἱρὴν,
Τρωσὶ φιλοπτολέμοισιν· ὁ δ' ἄμβροτα τεύχεα δῦνε
Πηλείδεω Ἀχιλῆος, ἅ οἱ θεοὶ οὐρανίωνες
Πατρὶ φίλῳ ἔπορον· ὁ δ' ἄρα ᾧ παιδὶ ὄπασσε
Γηράς· ἀλλ' οὐχ υἱὸς ἐν ἔντεσι πατρὸς ἐγήρα.
Τὸν δ' ὡς οὖν ἀπάνευθεν ἴδεν νεφεληγερέτα Ζεὺς
Τεύχεσι Πηλείδαο κορυσσόμενον θείοιο,
Κινήσας ῥα κάρη προτὶ ὃν μυθήσατο θυμόν·
Ἆ δεῖλ', οὐδέ τί τοι θάνατος καταθύμιός ἐστιν.
Ὃς δή τοι σχεδόν ἐστι· σὺ δ' ἄμβροτα τεύχεα δύνεις
Ἀνδρὸς ἀριστῆος, τόν τε τρομέουσι καὶ ἄλλοι.
Τοῦ δὴ ἑταῖρον ἔπεφνες ἐνηέα τε, κρατερόν τε·
Τεύχεα δ' οὐ κατὰ κόσμον ἀπὸ κρατός τε καὶ ὤμων
Εἵλευ· ἀτάρ τοι νῦν γε μέγα κράτος ἐγγυαλίξω,
Τῶν ποινὴν, ὅ τοι οὔτι μάχης ἐκνοστήσαντι
Δέξεται Ἀνδρομάχη κλυτὰ τεύχεα Πηλείωνος.
Ἦ, καὶ κυανέῃσιν ἐπ' ὀφρύσι νεῦσε Κρονίων·
Ἕκτορι δ' ἥρμοσε τεύχε' ἐπὶ χροΐ· δῦ δέ μιν Ἄρης

κελεύσατο τρανῶς βοήσας, λέγων· Ὦ Τρῶες, καὶ Λύκιοι, καὶ Δάρδανοι πολεμισταὶ, ἀνδρεῖοι ὑπάρχετε, ὦ φίλοι, μνήσθητε δὲ τῆς πολεμικῆς καὶ ὁρμητικῆς ἰσχύος, ἕως ἂν ἐγὼ τὰ τοῦ ἀμωμήτου Ἀχιλλέως ὅπλα ἐνδυθῶ τὰ καλὰ, ἅτινα τὴν τοῦ Πατρόκλου ἰσχὺν ἀφειλόμην ἀποκτείνας. Οὕτω δὴ εἰπὼν ἀπῆλθεν ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν Ἕκτωρ ἐκ τοῦ ἀφανιστικοῦ πολέμου, τρέχων δὲ κατέλαβε τοὺς φίλους πάνυ ταχέως, οὔπω πόῤῥω τοῖς ταχέσι ποσὶν ἐπιδραμὼν, οἳ εἰς τὴν πόλιν ἐκόμιζον τὰ πολύτιμα ὅπλα τοῦ υἱοῦ τοῦ Πηλέως· στὰς δὲ πόῤῥω τῆς μάχης τῆς δακρύων γεμούσης ἤλλαξε τὰ ὅπλα, καὶ τὰ μὲν ἑαυτοῦ ἔδωκεν οὗτος κομίσαι εἰς τὴν ἱερὰν Ἴλιον τοῖς τὸν πόλεμον φιλοῦσι Τρωσὶν, αὐτὸς δὲ τὰ θεῖα ὅπλα ἐνεδύσατο Ἀχιλλέως τοῦ υἱοῦ τοῦ Πηλέως, ἅπερ οἱ οὐράνιοι θεοὶ τῷ ἀγαπητῷ αὐτοῦ πατρὶ ἐδωρήσαντο, οὗτος δὲ τῷ ἑαυτοῦ υἱῷ ἔδωκε γηράσας, ἀλλ' οὐχ ὁ υἱὸς ἐν τοῖς ὅπλοις τοῦ πατρὸς ἐγήρασε· τοῦτον δὲ ~~ἐπειδὴ~~ πόῤῥωθεν ἐθεάσατο ὁ τὰς νεφέλας ἀθροίζων Ζεὺς, καθοπλιζόμενον τοῖς ὅπλοις τοῦ θείου υἱοῦ τοῦ Πηλέως, κινήσας δὴ τὴν κεφαλὴν εἶπε πρὸς τὴν ἑαυτοῦ ψυχήν· Φεῦ ἄθλιε, οὐδέ τί σοι ὁ θάνατος διὰ μνήμης ὑπάρχει, ὃς δὴ πλησίον ἐστὶ, σὺ δὲ θεῖα ὅπλα ἐνδύνῃ ἀνδρὸς ἀριστέως, ὅν περ τρέμουσι καὶ οἱ ἄλλοι πάντες· τούτου δὴ τὸν φίλον ἀπέκτεινας προσηνῆ τε καὶ ἐπιεικῆ καὶ ἰσχυρὸν, τὰ ὅπλα δὲ οὐ κατὰ τὸ πρέπον ἐκ κεφαλῆς καὶ τῶν ὤμων ἀφείλου· νυνὶ δέ σοι μεγάλην νίκην παρέξω τούτων τιμωρίαν, καὶ ἀντέκτισιν, ὅτι οὐδαμῶς σοι ἐκ τῆς μάχης ὑποστρέψαντι δέξεται ἡ Ἀνδρομάχη τὰ πολύτιμα ὅπλα τοῦ υἱοῦ τοῦ Πηλέως. Εἶπε, καὶ ταῖς μελαίναις ὀφρύσιν ἐπένευσεν ὁ υἱὸς τοῦ Κρόνου. Τῷ Ἕκτορι δὲ ἥρμοσαν τὰ ὅπλα ἐπὶ τῷ σώματι, εἰσῄει δὲ αὐτὸν Ἄρης ὁ χαλεπὸς

Δεινὸς ἐνυάλιος· πλῆσθεν δ' ἄρα οἱ μέλε' ἐντὸς
Ἀλκῆς καὶ σθένεος· μετὰ δὲ κλειτοὺς ἐπικούρους
Βῆ ῥα μέγα ἰάχων· ἰνδάλλετο δέ σφισι πᾶσι,
Τεύχεσι λαμπόμενος μεγαθύμου Πηλείωνος.
Ὤτρυνεν δὲ ἕκαστον ἐποιχόμενος ἐπέεσσι,
Μέσθλην τε, Γλαῦκόν τε, Μέδοντά τε, Θερσίλοχόν τε,
Ἀστεροπαῖόν τε, Δεισήνορά θ', Ἱππόθοόν τε,
Φόρκυν τε, Χρομίον τε, καὶ Ἔννομον οἰωνιστήν·
Τοὺς ὅγ' ἐποτρύνων, ἔπεα πτερόεντα προσηύδα·
Κέκλυτε, μυρία φῦλα περικτιόνων ἐπικούρων,
Οὐ γὰρ ἐγὼ πληθὺν διζήμενος, οὐδὲ χατίζων,
Ἐνθάδ' ἀφ' ὑμετέρων πολίων ἤγειρα ἕκαστον·
Ἀλλ' ἵνα μοι Τρώων ἀλόχους καὶ νήπια τέκνα
Προφρονέως ῥύοισθε φιλοπτολέμων ὑπ' Ἀχαιῶν·
Τὰ φρονέων δώροισι κατατρύχω καὶ ἐδωδῇ
Λαοὺς, ὑμέτερον δὲ ἑκάστου θυμὸν ἀέξω.
Τῷ τις νῦν ἰθὺς τετραμμένος, ἢ ἀπολέσθω,
Ἠὲ σαωθήτω, ἣ γὰρ πολέμου ὀαριστύς.
Ὃς δέ κε Πάτροκλον, καὶ τεθνειῶτά περ, ἔμπης
Τρῶας ἐς ἱπποδάμους ἐρύσει, εἴξει δέ οἱ Αἴας,
Ἥμισυ τῶν ἐνάρων ἀποδάσσομαι, ἥμισυ δ' αὐτὸς
Ἕξω ἐγώ· τὸ δέ οἱ κλέος ἔσσεται, ὅσσον ἐμοί περ.
Ὣς ἔφαθ'· οἱ δ' ἰθὺς Δαναῶν βρίσαντες ἔβησαν,
Δούρατ' ἀνασχόμενοι· μάλα δέ σφισιν ἔλπετο θυμὸς
Νεκρὸν ὑπ' Αἴαντος ἐρύειν Τελαμωνιάδαο·
Νήπιοι· ἦτε πολέσσιν ἐπ' αὐτῷ θυμὸν ἀπηύρα·
Καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
Ὦ πέπον, ὦ Μενέλαε διοτρεφὲς, οὐκέτι νῶϊ

καὶ φονικὸς, ἐπληρώθησαν δ' ἄρα αὐτῷ τὰ μέλη ἐντὸς ἰσχύος τε καὶ δυνάμεως, ἐπὶ τοὺς ἐνδόξους δὲ βοηθοὺς ᾤχετο δὴ μεγάλως βοῶν, ἐφαίνετο δὲ πᾶσιν αὐτοῖς περιλαμπόμενος τοῖς ὅπλοις τοῦ μεγαλοψύχου υἱοῦ τοῦ Πηλέως, παρώξυνε δὲ ἕκαστον ἐπερχόμενος λόγοις, τόν τε Μέσθλην, καὶ τὸν Γλαῦκον, καὶ τὸν Μέδοντα, καὶ τὸν Ὀρσίλοχον, καὶ τὸν Ἀστεροπαῖον, καὶ τὸν Δεινόρα, καὶ τὸν Ἱππόθοον, καὶ τὸν Φόρκυν, καὶ τὸν Χρόμιον, καὶ τὸν Ἔννομον τὸν οἰωνοσκόπον· τούτους οὗτος διεγείρων λόγους ταχεῖς ἔλεγεν· Ἀκούσατε, ὦ πλεῖστα γένη τῶν περιοίκων βοηθῶν, οὐ γὰρ ἐγὼ πλῆθος ζητῶν, οὐδὲ δεόμενος, δεῦρο πάντας συνήθροισα ἀπὸ τῶν ὑμετέρων πολέμων· ἀλλ' ὅπως μοι τὰς γυναῖκας τῶν Τρώων καὶ τὰ μικρὰ τέκνα προθύμως σώζοιτε καὶ φυλάττοιτε ἀπὸ τῶν φιλοπολέμων Ἑλλήνων· ταῦτα διανοούμενος δώροις καὶ εὐωχίαις καταπονῶ τοὺς Τρῶας, τὴν ὑμετέραν δὲ πάντων προθυμίαν αὐξάνω, δι' ὃ νυνί τις κατ' εὐθὺ ἐφορμῶν ἢ τεθνάτω, ἢ σωθήτω, αὕτη γάρ ἐστιν ἡ τοῦ πολέμου ὁμιλία, ἤγουν οὕτω δεῖ ἀναστρέφεσθαι ἐν τῷ πολέμῳ. ὃς δ' ἂν τὸν Πάτροκλον καίπερ τεθνηκότα ἑλκύσῃ πρὸς τοὺς ἱππικοὺς Τρῶας, ὑποχωρήσῃ δὲ αὐτῷ ὁ Αἴας, τὸ ἥμισυ τῶν λαφύρων ἀπομερίσω αὐτῷ, τὸ ἥμισυ δὲ ἐγὼ λήψομαι, ἡ δόξα δὲ αὐτῷ τοσαύτη ἔσται, ὅσηπερ καὶ ἐμοί. Οὕτως εἶπεν. οὗτοι δὲ εὐθὺ τῶν Ἑλλήνων στίφος ποιήσαντες καὶ συνασπίσαντες συνωρμήθησαν τὰ δόρατα ἀνατείναντες, πάνυ δὲ αὐτῶν ἡ ψυχὴ ἤλπιζεν ἑλκύσειν τὸν νεκρὸν ἀπὸ τοῦ Αἴαντος τοῦ υἱοῦ τοῦ Τελαμῶνος, οἱ μωροὶ καὶ ἄφρονες· ὄντως ἐπ' αὐτῷ ψυχὰς πολλῶν ἀφείλετο. καὶ τότε δὴ Αἴας εἶπε πρὸς τὸν κατὰ πόλεμον ἀγαθὸν Μενέλαον· Ὦ φίλτατε, ὦ Μενέλαε ἐνδοξότατα τεθραμμένε, οὐκέτι ἡ-

Ἔλπομαι αὐτῷ περ νοστησέμεν ἐκ πολέμοιο·
Οὔ τι τόσον νέκυος πέρι δείδια Πατρόκλοιο,
Ὅς κε τάχα Τρώων κορέσει κύνας, ἠδ᾽ οἰωνοὺς,
Ὅσσον ἐμῇ κεφαλῇ πέρι δείδια, μήτι πάθῃσι,
Καὶ σῇ· ἐπεὶ πολέμοιο νέφος περὶ πάντα καλύπτει·
Ἕκτωρ ἡμῖν δ᾽ αὖτ᾽ ἀναφαίνεται αἰπὺς ὄλεθρος·
Ἀλλ᾽ ἄγ᾽, ἀριστῆας Δαναῶν κάλει, ἤντις ἀκούσῃ.
Ὣς ἔφατ᾽· οὐδ᾽ ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος·
Ἤϋσεν δὲ διαπρύσιον Δαναοῖσι γεγωνώς·
Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
Οἵτε παρ᾽ Ἀτρείδῃς Ἀγαμέμνονι καὶ Μενελάῳ,
Δήμια πινουσιν, καὶ σημαίνουσιν ἕκαστος
Λαοῖς · ἐκ δὲ Διὸς τιμὴ καὶ κῦδος ὀπηδεῖ·
Ἀργαλέον δέ μοι ἐστὶ διασκοπιᾶσθαι ἕκαστον
Ἡγεμόνων· τόσση γὰρ ἔρις πολέμοιο δέδηεν.
Ἀλλά τις αὐτὸς ἴτω, νεμεσιζέσθω δ᾽ ἐνὶ θυμῷ,
Πάτροκλον Τρῳῇσι κυσὶν μέλπηθρα γενέσθαι.
Ὣς ἔφατ᾽· ὀξὺ δ᾽ ἄκουσεν Ὀϊλῆος ταχὺς Αἴας·
Πρῶτος δ᾽ ἀντίος ἦλθε, θέων ἀνὰ δηϊοτῆτα.
Τὸν δὲ μέτ᾽ Ἰδομενεὺς καὶ ὀπάων Ἰδομενῆος
Μηριόνης, ἀτάλαντος Ἐνυαλίῳ ἀνδρειφόντῃ.
Τῶν δ᾽ ἄλλων τίς κεν ᾗσι φρεσὶν οὐνόματ᾽ εἴποι,
Ὅσσοι δὴ μετόπισθε μάχην ἤγειραν Ἀχαιῶν;
Τρῶες δὲ προὔτυψαν ἀολλέες· ἦρχε δ᾽ ἄρ᾽ Ἕκτωρ.
Ὡς δ᾽ ὅτ᾽ ἐπὶ προχοῇσι διϊπετέος ποταμοῖο
Βέβρυχεν μέγα κῦμα ποτὶ ῥόον, ἀμφὶ δέ τ᾽ ἄκραι
Ἠϊόνες βοόωσιν, ἐρευγομένης ἁλὸς ἔξω·
Τόσσῃ ἄρα Τρῶες ἰαχῇ ἴσαν· αὐτὰρ Ἀχαιοὶ

μᾶς αὐτοὺς ἐλπίζω ὑποστρέψειν ἐκ τοῦ πολέμου, οὐδαμῶς τοσοῦτον φοβοῦμαι περὶ τοῦ νεκροῦ τοῦ Πατρόκλου, ὃς ταχέως ἂν ἐμπλήσῃ τοὺς κύνας καὶ τὰ ὄρνεα, ὅσον δέδοικα περὶ τῇ ἐμῇ κεφαλῇ μή τι πάθῃ, καὶ τῇ σαυτοῦ, ἐπειδὴ νέφος πολέμου πάντα περικαλύπτει· ὁ Ἕκτωρ δὲ ἡμῖν ἀναφαίνεται μέγας ἀφανισμός. ἀλλ' ἄγε συγκάλει τοὺς ἀριστέας τῶν Ἑλλήνων, ἐάν τις ἀκούσῃ Οὕτως εἶπεν· ὑπήκουσε δὲ ὁ κατὰ πόλεμον ἀγαθὸς Μενέλαος, ἐβόησε δὲ τρανῶς καὶ ἐξακούστως τοῖς Ἕλλησι φωνῶν. Ὦ φίλοι ἡγεμόνες καὶ βασιλεῖς τῶν Ἑλλήνων, οἵτινες παρὰ τοῖς υἱοῖς τοῦ Ἀτρέως τῷ Ἀγαμέμνονι καὶ τῷ Μενελάῳ τὰ δημόσια ἀναλίσκουσι καὶ ἄρχουσιν ἅπαντες λαῶν, ἐκ τοῦ Διὸς δὲ δόξα καὶ τιμὴ ἕπεται καὶ ἀκολουθεῖ. χαλεπὸν δέ μοι ἐστὶ διασκοπεῖσθαι ἕκαστον τῶν ἡγεμόνων, τοσαύτη γὰρ μάχη πολέμου διηγέρθη· ἀλλά τις αὐτὸς παραγενέσθω, ἀνάξιον δὲ καὶ μεμπτὸν ἡγείσθω ἐν τῇ ψυχῇ τὸν Πάτροκλον γενέσθαι παίγνια ταῖς Τρωϊκαῖς κυσίν. Οὕτως εἶπεν· ὀξέως δὲ ἤκουσεν ὁ τοῦ Οἰλέως ταχύπους Αἴας, πρῶτος δὲ ἐναντίον ἐπῆλθε τρέχων εἰς τὴν μάχην, μετ' αὐτὸν δὲ ὁ Ἰδομενεὺς, καὶ ὁ θεράπων τοῦ Ἰδομενέως ὁ Μηριόνης ὅμοιος τῷ τοὺς ἄνδρας ἀποκτείνοντι Ἄρει· τῶν ἄλλων δὲ τίς ἂν τῇ ἑαυτοῦ διανοίᾳ τὰ ὀνόματα εἴποι, ὅσοι δὴ μετὰ ταῦτα Ἕλληνες μάχην διέγειραν καὶ συνηύξησαν. Οἱ Τρῶες δὲ προέτυψαν καὶ ἀντέβαλον ἀθρόοι, ἡγεῖτο δὲ ὁ Ἕκτωρ. ὥσπερ δὲ ὅτε ἐπὶ ταῖς ἐκβολαῖς τοῦ ἐκ τοῦ Διὸς γεγενημένου ποταμοῦ περιηχεῖ τὸ μέγα κῦμα πρὸς τὴν ῥῦσιν, τὰ ἄκρα δὲ τῶν αἰγιαλῶν περιβοῶσιν, ἐκβρασσομένης τῆς θαλάσσης εἰς τὸ ἔξω· τοσαύτῃ δὴ οἱ Τρῶες βοῇ ἐχώρουν. οἱ Ἕλληνες δὲ ἔστησαν περὶ τὸν υἱὸν τοῦ Μενοιτίου μίαν

Ἔστασαν ἀμφὶ Μενοιτιάδῃ, ἕνα θυμὸν ἔχοντες,
Φραχθέντες σάκεσι χαλκήρεσιν· ἀμφὶ δ' ἄρα σφι
Λαμπρῇσιν κορύθεσσι Κρονίων ἠέρα πολλὴν
Χεῦ'· ἐπεὶ οὐδὲ Μενοιτιάδην ἤχθαιρε πάρος γε,
Ὄφρα ζωὸς ἐὼν θεράπων ἦν Αἰακίδαο·
Μίσησε δ' ἄρα μιν δηΐων κυσὶ κύρμα γενέσθαι
Τρῳῇσιν· τῷ καί οἱ ἀμυνέμεν ὦρσεν ἑταίρους.
Ὦσαν δὲ πρότεροι Τρῶες ἑλίκωπας Ἀχαιούς·
Νεκρὸν δὲ προλιπόντες ὑπέτρεσαν, οὐδέ τιν' αὐτῶν
Τρῶες ὑπέρθυμοι ἕλον ἔγχεσιν, ἱέμενοί περ·
Ἀλλὰ νέκυν ἐρύοντο· μίνυνθα δὲ καὶ τοῦ Ἀχαιοὶ
Μέλλον ἀπέσσεσθαι· μάλα γὰρ σφέας ὦκ' ἐλέλιξεν
Αἴας, ὃς περὶ μὲν εἶδος, περὶ δ' ἔργα τέτυκτο
Τῶν ἄλλων Δαναῶν, μετ' ἀμύμονα Πηλείωνα·
Ἴθυσεν δὲ διὰ προμάχων, συῒ εἴκελος ἀλκὴν
Καπρίῳ, ὅστ' ἐν ὄρεσσι κύνας θαλερούς τ' αἰζηοὺς
Ῥηϊδίως ἐκέδασσεν, ἑλιξάμενος διὰ βήσσας·
Ὣς υἱὸς Τελαμῶνος ἀγαυοῦ φαίδιμος Αἴας,
Ῥεῖα μετεισάμενος Τρώων ἐκέδασσε φάλαγγας,
Οἳ περὶ Πατρόκλῳ βέβασαν, φρόνεον δὲ μάλιστα
Ἄστυ ποτὶ σφέτερον ἐρύειν, καὶ κῦδος ἀρέσθαι.
Ἤτοι τὸν, Λήθοιο Πελασγοῦ φαίδιμος υἱὸς,
Ἱππόθοος ποδὸς εἷλκε κατὰ κρατερὴν ὑσμίνην,
Δησάμενος τελαμῶνι παρὰ σφυρὸν ἀμφὶ τένοντας,
Ἕκτορι καὶ Τρώεσσι χαριζόμενος· τάχα δ' αὐτῷ
Ἦλθε κακὸν, τό οἱ οὔτις ἐρύκακεν ἱεμένων περ.
Τὸν δ' υἱὸς Τελαμῶνος, ἐπαΐξας δι' ὁμίλου,
Πλῆξ' αὐτοσχεδίην, κυνέης διὰ χαλκοπαρῄου·

ψυχὴν ἔχοντες, περιφραχθέντες ταῖς χαλκῷ ἡρμοσμέναις ἀσπίσι, περὶ δὲ τὰς ἑαυτῶν λαμπρὰς περικεφαλαίας ὁ υἱὸς τοῦ Κρόνου ἀέρα πολὺν ἔχεεν, ἐπειδὴ οὐδὲ τὸν υἱὸν τοῦ Μενοιτίου ἐμίσει τὸ πρὶν, ὁπηνίκα ζῶν θεράπων ἦν τοῦ ἐγγόνου τοῦ Αἰακοῦ, μισητὸν δὲ ἄρα ἡγήσατο γενέσθαι αὐτὸν ἐπίτευγμα καὶ σπάραγμα ταῖς τῶν πολεμίων κυσὶ ταῖς Τρωϊκαῖς· δι᾽ ὃ καὶ βοηθεῖν αὐτῷ διήγειρε τοὺς φίλους. πρότερον δὲ οἱ Τρῶες ἀπεωθήσαντο τοὺς ἀξιοθεάτους Ἕλληνας, τὸν νεκρὸν δὲ καταλιπόντες εἰς φυγὴν ἐτράπησαν, οὐδέ τινα αὐτῶν οἱ μεγαλόψυχοι Τρῶες ἀνεῖλον τοῖς δόρασιν, καίπερ προθυμούμενοι, ἀλλὰ τὸν νεκρὸν εἷλκυον, ἐπ᾽ ὀλίγον δὲ καὶ τούτου οἱ Ἕλληνες ἔμελλον ἀποστήσεσθαι· πάνυ γὰρ αὐτοὺς ταχέως μετακαλεσάμενος συςραφῆναι ἐποίησεν ὁ Αἴας, ὃς καὶ κατὰ τὴν μορφὴν καὶ κατὰ τὴν πρᾶξιν περιεγίνετο τῶν ἄλλων Ἑλλήνων μετὰ τὸν ἀμώμητον υἱὸν τοῦ Πηλέως· ὥρμησε δὲ διὰ τῶν πρωταγωνιςτῶν ὅμοιος τὴν δύναμιν χοίρῳ ἀγρίῳ, ὅστις ἐν τοῖς ὄρεσι κύνας, καὶ νέους ἀκμάζοντας ῥαδίως διεσκέδασε συστραφεὶς κατὰ τὰ κοῖλα καὶ ὑδρηλὰ καὶ βάσιμα τοῦ ὄρους. Οὕτως ὁ τοῦ λαμπροῦ Τελαμῶνος υἱὸς Αἴας ὁ λαμπρὸς, εὐχερῶς μεθορμήσας διεσκέδασε τὰς τάξεις τῶν Τρώων, οἳ περὶ τὸν Πάτροκλον ἵσταντο, διενοοῦντο δὲ τὰ μάλιστα πρὸς τὴν ἑαυτῶν πόλιν ἑλκύσαι, καὶ δόξαν λαβεῖν. Τοῦτον μὲν οὖν ὁ Λήθου τοῦ Πελασγοῦ λαμπρὸς υἱὸς ὁ Ἱππόθοος εἷλκεν ἀπὸ τοῦ ποδὸς κατὰ τὴν ἰσχυρὰν μάχην, δήσας λώρῳ παρὰ τὸν ἀστράγαλον περὶ τὰ μεγάλα νεῦρα, τῷ Ἕκτορι καὶ τοῖς Τρωσὶ τὰ πρὸς χάριν ποιῶν· ταχέως δὲ αὐτῷ ἐπῆλθε δεινὸν, ὅπερ αὐτῷ οὐδεὶς ἐκείνων διεκώλυσε, καίπερ προθυμουμένων. τοῦτον γὰρ ὁ υἱὸς τοῦ Τελαμῶνος ἐφορμήσας διὰ τοῦ πλήθους ἔπληξεν ἐκ τοῦ σύνεγγυς διὰ τῆς περικεφαλαίας τῆς σιδηρᾶς παραγναθίδας ἐχούσης,

Ἤρικε δ' ἱπποδάσεια κόρυς περὶ δουρὸς ἀκωκῇ,
Πληγεῖσ' ἔγχεϊ τε μεγάλῳ καὶ χειρὶ παχείῃ·
Ἐγκέφαλος δὲ, παρ' αὐλὸν, ἀνέδραμεν ἐξ ὠτειλῆς,
Αἱματόεις, τοῦ δ' αὖθι λύθη μένος· ἐκ δ' ἄρα χειρῶν
Πατρόκλοιο πόδα μεγαλήτορος ἧκε χαμᾶζε
Κεῖσθαι· ὁ δ' ἄγχ' αὐτοῖο πέσε πρηνὴς ἐπὶ νεκρῷ,
Τῆλ' ἀπὸ Λαρίσσης ἐριβώλακος· οὐδὲ τοκεῦσι
Θρέπτρα φίλοις ἀπέδωκε, μινυνθάδιος δέ οἱ αἰὼν
Ἔπλεθ', ὑπ' Αἴαντος μεγαθύμου δουρὶ δαμέντι.
Ἕκτωρ δ' αὖτ' Αἴαντος ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος
Τυτθόν· ὁ δὲ Σχέδιον, μεγαθύμου Ἰφίτου υἱὸν,
Φωκήων ὄχ' ἄριστον, ὃς ἐν κλειτῷ Πανοπῆϊ
Οἰκία ναιετάασκε, πολέσσ' ἄνδρεσσιν ἀνάσσων·
Τὸν βάλ' ὑπὸ κληῖδα μέσην· διὰ δ' ἀμπερὲς ἄκρη
Αἰχμὴ χαλκείη παρὰ νείατον ὦμον ἀνέσχε,
Δούπησεν δὲ πεσὼν, ἀράβησε δὲ τεύχε' ἐπ' αὐτῷ.
Αἴας δ' αὖ Φόρκυνα δαΐφρονα, Φαίνοπος υἱὸν,
Ἱπποθόῳ περιβάντα, μέσην κατὰ γαστέρα τύψε·
Ῥῆξε δὲ θώρηκος γύαλον, διὰ δ' ἔντερα χαλκὸς
Ἤφυσ'· ὁ δ' ἐν κονίῃσι πεσὼν ἕλε γαῖαν ἀγοστῷ.
Χώρησαν δ' ὑπό τε πρόμαχοι καὶ φαίδιμος Ἕκτωρ·
Ἀργεῖοι δὲ μέγ' ἴαχον, ἐρύσαντο δὲ νεκροὺς,
Φόρκυν, θ' Ἱππόθοόν τε· λύοντο δὲ τεύχε' ἀπ' ὤμων.
Ἔνθα κεν αὖτε Τρῶες, ἀρηϊφίλων ὑπ' Ἀχαιῶν,
Ἴλιον εἰσανέβησαν, ἀναλκείῃσι δαμέντες·
Ἀργεῖοι δέ κε κῦδος ἕλον, καὶ ὑπὲρ Διὸς αἶσαν,
Κάρτεϊ καὶ σθένεϊ σφετέρῳ· ἀλλ' αὐτὸς Ἀπόλλων

ἐῤῥάγη δὲ καὶ διεσχίσθη ἡ θριξὶν ἱππείαις δασυνομένη περικεφαλαία περὶ τὸ τοῦ δόρατος ὀξὺ τυπεῖσα δόρατι μεγάλῳ, καὶ χειρὶ παχείᾳ, καὶ ἰσχυρᾷ. ὁ ἐγκέφαλος δὲ ἀνεπήδησε καὶ ἐξεῤῥευσεν ἐκ τοῦ τραύματος παρὰ τὴν ἀνάτασιν τοῦ κράνου, ἢ παρὰ τὸν αὐλὸν, ἤγουν τὸ μέρος τοῦ δόρατος, εἰς ὃ τὸ ξύλον ἐμβάλλεται, κεκραμένος τῷ αἵματι, τούτου δὲ αὐτόθι διελύθη ἡ δύναμις, ἐκ τῶν χειρῶν δὲ ἀφῆκεν εἰς γῆν τὸν πόδα τοῦ μεγαλοψύχου Πατρόκλου κατακεῖσθαι, οὗτος δὲ πλησίον αὐτοῦ κατέπεσεν ἐπὶ πρόσωπον παρὰ τῷ νεκρῷ πόῤῥω ἀπὸ τῆς Λαρίσσης πόλεως τῆς μεγαλοβώλου καὶ εὐγείου, οὐδὲ τοῖς γονεῦσι τοῖς ἀγαπητοῖς ἀπέδωκε τὰ τροφεῖα, ὀλιγοχρόνιος δὲ αὐτῷ ἡ ζωὴ ἐγένετο ἀναιρεθέντι δόρατι ὑπὸ τοῦ μεγαλοψύχου Αἴαντος. ὁ Ἕκτωρ δὲ κατὰ τοῦ Αἴαντος ἔβαλε δόρατι λαμπρῷ, ἀλλ' οὗτος μὲν καταντικρὺ θεασάμενος ἐξέκλινε τὸ σιδηροῦν δόρυ πρὸς βραχὺ, αὐτὸς δὲ Σχέδιον τὸν υἱὸν τοῦ μεγαλοψύχου Ἰφίτου τὸν ἐξόχως κράτιστον τῶν Φωκέων, ὃς ἐν τῷ ἐνδόξῳ Πανοπεῖ τὴν οἰκίαν ᾤκει πολλῶν ἀνδρῶν βασιλεύων· τοῦτον ἔτρωσεν ὑπὸ τὸ μέσον τῆς κατακλεῖδος, διόλου δὲ τὸ ἄκρον τῆς σιδηρᾶς ἐπιδορατίδος παρὰ τὸ ἔσχατον τοῦ ὤμου διεπέρασεν, ἐψόφησε δὲ καταπεσὼν, ἤχησαν δὲ τὰ ὅπλα ἐπ' αὐτῷ. ὁ Αἴας δὲ τὸν συνετὸν Φόρκυνα τὸν υἱὸν τοῦ Φαίνοπος περὶ τὸν Ἱππόθοον στάντα ἔπληξε κατὰ τὸ μέσον τῆς γαστρὸς, διέῤῥηξε δὲ καὶ διέκοψε τὸ κοῖλον τοῦ θώρακος, τὰ ἔντερα δὲ ὁ σίδηρος ἤντλησεν· οὗτος δὲ χαμαὶ ἐν τῇ κόνει καταπεσὼν ἐλάβετο τῆς γῆς τῷ ἀγκῶνι, ὑπεχώρησαν δὲ οἵ τε πρωταγωνισταὶ, καὶ ὁ λαμπρὸς Ἕκτωρ. οἱ Ἕλληνες δὲ μεγάλως ἐβόησαν, εἵλκυσαν δὲ τοὺς νεκροὺς τὸν Φόρκυνα, καὶ τὸν Ἱππόθοον, ἔλυσαν δὲ τὰ ὅπλα ἀπὸ τῶν ὤμων. Τότε δ' ἂν οἱ Τρῶες ὑπὸ τῶν φιλοπολέμων Ἑλλήνων ἀνέδραμον εἰς τὸ Ἴλιον δαμασθέντες καὶ ἡττηθέντες ἀσθενείᾳ καὶ ἀνανδρίᾳ, οἱ Ἕλληνες δ' ἂν δόξαν ἔσχον καὶ παρὰ τὴν τοῦ Διὸς πεπρωμένην τῇ ἑαυτῶν ἰσχύϊ καὶ δυνάμει, ἀλλ'

Αἰνείαν ὤτρυνε, δέμας Περίφαντι ἐοικὼς,
Κήρυκι Ἠπυτίδῃ, ὅς οἱ παρὰ πατρὶ γέροντι
Κηρύσσων γήρασκε, φίλα φρεσὶ μήδεα εἰδώς·
Τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων.
Αἰνεία, πῶς ἂν καὶ ὑπὲρ θεὸν εἰρύσαισθε
Ἴλιον αἰπεινήν; ὡς δὴ ἴδον ἀνέρας ἄλλους
Κάρτεΐ τε σθένεΐ τε πεποιθότας, ἠνορέῃ τε,
Πλήθεΐ τε σφετέρῳ, καὶ ὑπερδέα δῆμον ἔχοντας·
Ἡμῖν δὲ Ζεὺς μὲν πολὺ βούλεται, ἢ Δαναοῖσι,
Νίκην· ἀλλ' αὐτοὶ τρεῖτ' ἄσπετον, οὐδὲ μάχεσθε.
Ὣς ἔφατ'· Αἰνείας δ' ἑκατηβόλον Ἀπόλλωνα
Ἔγνω ἐσάντα ἰδών· μέγα δ' Ἕκτορα εἶπε βοήσας·
Ἕκτορ τ', ἠδ' ἄλλοι Τρώων ἀγοὶ, ἠδ' ἐπικούρων,
Αἰδὼς μὲν νῦν ἥδε γ' ἀρηϊφίλων ὑπ' Ἀχαιῶν
Ἴλιον εἰσαναβῆναι, ἀναλκείῃσι δαμέντας·
Ἀλλ' ἔτι γάρ τις φησὶ θεῶν, ἐμοὶ ἄγχι παραστὰς,
Ζῆν' ὕπατον μήστωρα μάχης ἐπιτάῤῥοθον εἶναι·
Τῷ ῥ' ἰθὺς Δαναῶν ἴομεν, μηδ' οἵ γε ἕκηλοι
Πάτροκλον νηυσὶν πελασαίατο τεθνειῶτα.
Ὣς φάτο· καί ῥα πολὺ προμάχων ἐξάλμενος ἔστη·
Οἱ δ' ἐλελίχθησαν, καὶ ἐναντίοι ἔσταν Ἀχαιῶν.
Ἔνθ' αὖτ' Αἰνείας Λειώκριτον οὔτασε δουρὶ,
Υἱὸν Ἀρίσβαντος, Λυκομήδεος ἐσθλὸν ἑταῖρον.
Τὸν δὲ πεσόντ' ἐλέησεν ἀρηΐφιλος Λυκομήδης·
Στῆ δὲ μάλ' ἐγγὺς ἰὼν, καὶ ἀκόντισε δουρὶ φαεινῷ,
Καὶ βάλεν Ἱππασίδην Ἀπισάονα, ποιμένα λαῶν,
Ἧπαρ ὑπὸ πραπίδων· εἶθαρ δ' ὑπὸ γούνατ' ἔλυσεν·
Ὅς ῥ' ἐκ Παιονίης ἐριβώλακος εἰληλούθει,

αὐτὸς ὁ Ἀπόλλων παρώξυνε τὸν Αἰνείαν, ὅμοιος τὸ σῶμα Περίφαντι τῷ κήρυκι τῷ υἱῷ τοῦ Ἠπύτου, ὅστις παρὰ τῷ γέροντι πατρὶ αὐτοῦ κηρύσσων ἐγήρασε, βουλεύματα προσφιλῆ κατὰ διάνοιαν ἐπιςάμενος· τούτῳ ὁμοιωθεὶς εἶπε πρὸς αὐτὸν Ἀπόλλων ὁ υἱὸς τοῦ Διός· Ὦ Αἰνεία, πῶς ἂν καὶ παρὰ γνώμην θεοῦ φυλάξαιτε τὸ ὑψηλὸν Ἴλιον; ὡς ἤδη ἐθεασάμην ἐγὼ ἄνδρας ἄλλους δυνάμει τε καὶ ἰσχύϊ θαῤῥοῦντας, καὶ ἀνδρίᾳ, καὶ πολυανθρωπίᾳ ἰδίᾳ, καὶ πλῆθος ἐνδεὲς καὶ ἔλαττον ἔχοντας· ἡμῖν δὲ ὁ μέν τοι Ζεὺς μᾶλλον βούλεται ἢ τοῖς Ἕλλησι νίκην, ἀλλ' ὑμεῖς μεγάλως φοβεῖσθε καὶ τρέπεσθε, οὐδὲ πολεμεῖτε. Οὕτως εἶπεν· ὁ Αἰνείας δὲ τὸν πόῤῥω βάλλοντα Ἀπόλλωνα ἐνόησεν, ἐναντίον θεασάμενος, μεγάλως δὲ βοήσας εἶπε πρὸς τὸν Ἕκτορα· Ὦ Ἕκτορ, καὶ ἄλλοι ἡγεμόνες τῶν Τρώων, καὶ τῶν βοηθῶν, αἰσχύνη μέντοι αὕτη γ' ἐστὶν ὑπὸ τῶν φιλοπολέμων Ἑλλήνων ἀνελθεῖν εἰς τὸ Ἴλιον καταπονηθέντες καὶ ἡττηθέντες ἀσθενείᾳ καὶ ἀνανδρίᾳ· ἀλλὰ γὰρ ἔτι τις τῶν θεῶν ἐγγὺς παραγενόμενος εἶπε μοι τὸν ὕπατον Δία καὶ ποιητὴν καὶ ἐπιστήμονα τοῦ πολέμου βοηθὸν εἶναι ἡμῖν, δι' ὃ δὴ εὐθὺ τῶν Ἑλλήνων ἐπέλθωμεν, μηδ' οὗτοί γε ἐφ' ἡσυχίας τὸν Πάτροκλον εἰς τὰς ναῦς ἀπαγάγοιεν ἀποθανόντα. Οὕτως εἶπε, καὶ δὴ πολὺ πρὸ τῶν πρωταγωνιστῶν ἐκπηδήσας ἔστη, οὗτοι δὲ μεταβάλλοντες συνεστράφησαν, καὶ ἐναιτίον ἔστησαν τῶν Ἑλλήνων. τότε δὴ ὁ Αἰνείας Λειώκριτον ἔτρωσε τῷ δόρατι τὸν υἱὸν τοῦ Ἀρίσβαντος, τὸν τοῦ Λυκομήδους ἀγαθὸν φίλον· τοῦτον δὲ ἀποθανόντα ᾤκτειρεν ὁ φιλοπόλεμος Λυκομήδης, ἔστη δὲ πάνυ πλησίον ἐπελθὼν, καὶ ἔβαλε δόρατι λαμπρῷ, καὶ ἔτρωσε τὸν υἱὸν τοῦ Ἱππάσου Ἀπισάονα τὸν βασιλέα τοῦ πλήθους κατὰ τὸ ἧπαρ ὑπὸ τὰς φρένας, εὐθέως δὲ τὰ γόνατα ὑπέλυσε καὶ ἐνέκρωσεν, ὅστις δὴ ἐκ τῆς Παιονίας τῆς μεγαλοβώλου, καὶ εὐγείου ἀφίκετο,

Καὶ δὲ μετ' Ἀστεροπαῖον ἀριστεύεσκε μάχεσθαι.
Τὸν δὲ πεσόντ' ἐλέησεν ἀρήϊος Ἀστεροπαῖος,
Ἴθυσεν δὲ καὶ ὁ πρόφρων Δαναοῖσι μάχεσθαι·
Ἀλλ' οὔπως ἔτι εἶχε· σάκεσσι γὰρ ἕρχατο πάντη
Ἑσταότες περὶ Πατρόκλῳ, πρὸ δὲ δούρατ' ἔχοντο·
Αἴας γὰρ μάλα πάντας ἐπῴχετο, πολλὰ κελεύων·
Οὔτε τιν' ἐξοπίσω νεκροῦ χάζεσθαι ἀνώγει,
Οὔτε τινὰ προμάχεσθαι Ἀχαιῶν ἔξοχον ἄλλων,
Ἀλλὰ μάλ' ἀμφ' αὐτῷ βεβάμεν, σχεδόθεν δὲ μάχεσθαι.
Ὡς Αἴας ἐπέτελλε πελώριος· αἵματι δὲ χθὼν
Δεύετο πορφυρέῳ· τοὶ δ' ἀγχηστῖνοι ἔπιπτον
Νεκροὶ ὁμοῦ Τρώων καὶ ὑπερμενέων ἐπικούρων,
Καὶ Δαναῶν· οὐδ' οἳ γὰρ ἀναιμωτί γ' ἐμάχοντο·
Παυρότεροι δὲ πολὺ φθίνυθον· μέμνηντο γὰρ αἰεὶ
Ἀλλήλοις ἀν' ὅμιλον ἀλεξέμεναι φόνον αἰπύν.
Ὣς οἱ μὲν μάρναντο δέμας πυρός· οὐδέ κε φαίης
Οὔτε πότ' ἠέλιον σόον ἔμμεναι, οὔτε σελήνην·
Ἠέρι γὰρ κατέχοντο μάχης ἔπι, ὅσσοι ἄριστοι
Ἕστασαν ἀμφὶ Μενοιτιάδῃ κατατεθνηῶτι·
Οἱ δ' ἄλλοι Τρῶές τε καὶ εὐκνήμιδες Ἀχαιοὶ,
Εὔκηλοι πολέμιζον ὑπ' αἰθέρι· πέπτατο δ' αὐγὴ
Ἠελίου ὀξεῖα· νέφος δ' οὐ φαίνετο πάσης
Γαίης, οὐδ' ὀρέων· μεταπαυόμενοι δὲ μάχοντο
Ἀλλήλων ἀλεείνοντες βέλεα στονόεντα,
Πολλὸν ἀφεσταότες· τοὶ δ' ἐν μέσῳ, ἄλγε' ἔπασχον
Ἠέρι καὶ πολέμῳ. τείροντο δὲ νηλέϊ χαλκῷ,
Ὅσσοι ἄριστοι ἔσαν· δύο δ' οὔπω φῶτε πεπύσθην.
Ἀνέρε κυδαλίμω, Θρασυμήδης, Ἀντίλοχός τε,

καὶ δὴ μετὰ τὸν Ἀστεροπαῖον ἠνδραγάθει ἐν τῷ πολεμεῖν. τοῦτον δὲ ἀποθανόντα ᾤκτειρεν ὁ φιλοπόλεμος Ἀστεροπαῖος, ὥρμησε δὲ καὶ οὗτος προθύμως τοῖς Ἕλλησι πολεμεῖν, ἀλλ' οὐδαμῶς ἔτι ἐδύνατο, ἀσπίσι γὰρ πεφραγμένοι ἦσαν πανταχοῦ ἑστῶτες περὶ τὸν Πάτροκλον, τὰ δόρατα δὲ προβεβλημένα εἶχον· ὁ Αἴας γὰρ πάνυ πολλὰ ἐπιτάττων ἐπὶ πάντας παρῄει, οὔτε τινὰ ὄπισθεν τοῦ νεκροῦ ὑποχωρεῖν ἐκέλευεν, οὔτε τινὰ προπολεμεῖν μᾶλλον τῶν ἄλλων Ἑλλήνων, ἀλλὰ μάλα περὶ αὐτὸν ἑστάναι, καὶ ἐκ τοῦ σύνεγγυς πολεμεῖν. Οὕτως Αἴας ἐπέταττεν ὁ μέγας, ἡ γῆ δὲ αἵματι μέλανι ἐβρέχετο, οὗτοι δὲ πυκνοὶ καὶ ἀλλεπάλληλοι κατέπιπτον νεκροὶ, ὁμοῦ τῶν τε Τρώων, καὶ τῶν μεγαλοδυνάμων βοηθῶν, καὶ τῶν Ἑλλήνων, οὐδὲ γὰρ οὗτοι ἄνευ αἵματος καὶ θανάτου ἐπολέμουν, πολλῷ δὲ ἐλάττονες ἀπέθνησκον, ἐμέμνηντο γὰρ ἀεὶ κατὰ τὸν στρατὸν ἀλλήλοις βοηθεῖν, καὶ ἀποσοβεῖν τὸν χαλεπὸν φόνον. Οὕτως οὗτοι μὲν ἐμάχοντο τρόπον πυρὸς, οὐδ' ἂν εἴποις, οὔτε ποτὲ τὸν ἥλιον σῶον, καὶ ὁλόκληρον εἶναι, οὔτε τὴν σελήνην, ἀορασίᾳ γὰρ κατείχοντο ὅσοι ἄριστοι ἐπὶ τῆς μάχης καὶ περὶ τὸν υἱὸν τοῦ Μενοιτίου τεθνηκότα ἵσταντο. οἱ ἄλλοι δὲ Τρῶες καὶ εὔοπλοι Ἕλληνες ἐφ' ἡσυχίας ἐμάχοιτο ὕπαιθροι, ἐξήπλωτο δὲ καὶ ἐξέλαμψε τὸ φῶς τοῦ ἡλίου ὀξέως, νεφέλη δὲ οὐκ ἐφαίνετο ἐπὶ πάσης τῆς γῆς, οὐδ' ἐπὶ τῶν ὀρέων, ἐκ διαδοχῆς δὲ καὶ ἀναπαύσεως ἐπολέμουν ἀλλήλων ἐκκλίνοντες, καὶ φυλαττόμενοι τὰ ὀδυνηρὰ βέλη, πολὺ ἀφεστῶτες καὶ διέχοντες· οὗτοι δὲ ἐν τῷ μέσῳ ὀδύνας ὑπέμενον ὁμίχλῃ καὶ μάχῃ, κατεπονοῦντο δὲ σιδήρῳ ἀπηνεῖ ὅσοι κράτιστοι ἦσαν· δύο δὲ ἄνθρωποι οὔπω ἤκουσαν ἄνδρες ἔνδοξοι, ὅ τε Θρασυμήδης, καὶ ὁ Ἀντίλοχος τοῦ Πατρόκλου τεθνηκό-

Πατρόκλοιο θανόντος ἀμύμονος, ἀλλ' ἔτ' ἔφαντο·
Ζωὸν ἐνὶ πρώτῳ ὁμάδῳ Τρώεσσι μάχεσθαι.
Τὼ δ' ἐπιοσσομένω θάνατον καὶ φύζαν ἑταίρων,
Νόσφιν ἐμαρνάσθην, ἐπεὶ ὣς ἐπετέλλετο Νέστωρ,
Ὀτρύνων πόλεμόνδε μελαινάων ἀπὸ νηῶν.
Τοῖς δὲ πανημερίοις ἔριδος μέγα νεῖκος ὀρώρει
Ἀργαλέης· καμάτῳ δὲ καὶ ἱδρῷ νωλεμὲς αἰεὶ
Γούνατά τε, κνῆμαί τε, πόδες θ' ὑπένερθεν ἑκάστου,
Χεῖρές τ', ὀφθαλμοί τε, παλάσσετο μαρναμένοισιν,
Ἀμφ' ἀγαθὸν θεράποντα ποδώκεος Αἰακίδαο.
Ὡς δ' ὅτ' ἀνὴρ ταύροιο βοὸς μεγάλοιο βοείην
Λαοῖσιν δώῃ τανύειν, μεθύουσαν ἀλοιφῇ·
Δεξάμενοι δ' ἄρα τοίγε διαστάντες τανύουσι
Κυκλόσ', ἄφαρ δέ τε ἰκμὰς ἔβη, δύνει δέ τ' ἀλοιφὴ,
Πολλῶν ἑλκόντων, τάνυται δέ τε πᾶσα διαπρό·
Ὡς οἵγ' ἔνθα καὶ ἔνθα νέκυν ὀλίγῃ ἐνὶ χώρῃ
Εἵλκεον ἀμφότεροι· μάλα δέ σφισιν ἤλπετο θυμὸς,
Τρωσὶν μὲν, ἐρύειν προτὶ Ἴλιον, αὐτὰρ Ἀχαιοῖς,
Νῆας ἔπι γλαφυράς· περὶ δ' αὐτοῦ μῶλος ὀρώρει
Ἄγριος· οὐδέ κ' Ἄρης λαοσσόος, οὐδέ κ' Ἀθήνη
Τόν γε ἰδοῦσ' ὀνόσαιτ', οὐδ' εἰ μάλα μιν χόλος ἵκοι
Τοῖον Ζεὺς ἐπὶ Πατρόκλῳ ἀνδρῶν τε καὶ ἵππων
Ἤματι τῷ ἐτάνυσσε κακὸν πόνον· οὐδ' ἄρα πώ τι
Ἤιδεε Πάτροκλον τεθνηότα δῖος Ἀχιλλεύς·
Πολλὸν γὰρ ἀπάνευθε νεῶν μάρναντο θοάων,
Τείχει ὑπὸ Τρώων· τό μιν οὔποτε ἤλπετο θυμῷ
Τεθνάμεν, ἀλλὰ ζωὸν ἐνιχριφθέντα πύλῃσιν,
Ἂψ ἀπονοστήσειν· ἐπεὶ οὐδὲ τὸ ἔλπετο πάμπαν,

τος τοῦ ἀμωμήτου, ἀλλ' ἔτι ᾤοντο ζῶντα αὐτὸν ἐν τῷ πρώτῳ θορύβῳ τοῖς Τρωσὶ πολεμεῖν. οὗτοι δὲ ἐπιβλέποντες τὸν θάνατον καὶ τὴν φυγὴν τῶν φίλων χωρὶς ἐμάχοντο, ἐπειδὴ οὕτως ἐπέταττεν ὁ Νέστωρ διεγείρων εἰς τὸν πόλεμον ἀπὸ τῶν μελαινῶν νεῶν· τούτοις δὲ διὰ ὅλης τῆς ἡμέρας μεγάλη φιλονεικία ἠγέρθη μάχης χαλεπῆς, ταλαιπωρίᾳ δὲ καὶ ἱδρῶτι ἀδιαλείπτως τά τε γόνατα, καὶ αἱ κνῆμαι, καὶ κάτωθεν οἱ πόδες ἑκάστου, καὶ αἱ χεῖρες, καὶ οἱ ὀφθαλμοὶ ἐβρέχοντο μαχομένοις περὶ τὸν χρηστὸν θεράποντα τοῦ ταχύποδος Ἀχιλλέως· Ὥσπερ δὲ ὅταν ἀνὴρ βοὸς ταύρου μεγάλου δορὰν ἀνθρώποις δῷ διατείνειν, ἐλαίῳ διάβροχον ἢ λίπει, παραλαβόντες δὲ οὗτοι διαχωρισθέντες ἐκτείνουσι κυκλόθεν, ταχέως δὲ ὑγρασία ἀπῆλθεν, ἐντήκεται γὰρ τὸ λίπος πολλῶν διατεινόντων, ἐκτείνεται δὲ πᾶσα διὰ ὅλου εἰς τοὔμπροσθεν· οὕτως οὗτοι ἐντεῦθεν, κἀκεῖθεν τὸν νεκρὸν ἐν ὀλίγῳ τόπῳ εἷλκυον ἀμφότεροι, πάνυ δὲ αὐτοῖς ἤλπιζεν ἡ ψυχὴ τοῖς μὲν Τρωσὶν ἑλκύσαι πρὸς τὸ Ἴλιον, τοῖς δὲ Ἕλλησιν ἐπὶ τὰς βαθείας ναῦς, περὶ αὐτοῦ δὲ πόλεμος ἠγέρθη ἄγριος καὶ χαλεπός. οὐδ' ἂν Ἄρης ὁ τὸν λαὸν παρορμῶν εἰς τὸν πόλεμον, οὐδ' ἂν ἡ Ἀθηνᾶ τοῦτόν γε θεασαμένη μέμψαιτο, οὐδ' εἰ πάνυ αὐτὴν ὀργὴ καταλάβοι· τοιοῦτον ὁ Ζεὺς ἐπὶ τῷ Πατρόκλῳ ἀνδρῶν τε καὶ ἵππων χαλεπὴν ταλαιπωρίαν ἐξέτεινε καὶ συνηύξησε τῇ ἡμέρᾳ ἐκείνῃ, οὐδέ τί πω ἄρα ἐγίνωσκε τὸν Πάτροκλον ἀποθανόντα ὁ ἐνδοξότατος Ἀχιλλεύς, πολὺ γὰρ δὴ πόῤῥω τῶν ταχειῶν νεῶν ἐμάχοντο ὑπὸ τῷ τείχει τῶν Τρώων, διὸ ὅπερ αὐτὸν οὐδεπώποτε ἤλπιζεν ἐν τῇ ψυχῇ ἀποθανεῖν, ἀλλὰ ζῶντα ἐμπελάσαντα καὶ πλησιάσαντα ταῖς πύλαις εἰς τοὐπίσω ὑποστρέψειν, ἐπειδὴ οὐδὲ τοῦτο ἤλπιζε παντελῶς, ἐκπορθήσειν τὴν

Ἐκπέρσειν πτολίεθρον ἄνευ ἕθεν, οὐδὲ σὺν αὐτῷ.
Πολλάκι γὰρ τόγε μητρὸς ἐπεύθετο, νόσφιν ἀκούων,
Ἥ οἱ ἀπαγγέλλεσκε Διὸς μεγάλοιο νόημα.
Δὴ τότε γ' οὔ οἱ ἔειπε κακὸν τόσον, ὅσσον ἐτύχθη,
Μήτηρ, ὅττι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος.
Οἱ δ' αἰεὶ περὶ νεκρὸν ἀκαχμένα δούρατ' ἔχοντες,
Νωλεμὲς ἐγχρίπτοντο, καὶ ἀλλήλους ἐνάριζον·
Ὧδε δέ τις εἴπεσκεν Ἀχαιῶν χαλκοχιτώνων·
Ὦ φίλοι, οὐ μὰν ἧμιν ἐϋκλεὲς ἀπονέεσθαι
Νῆας ἐπὶ γλαφυράς, ἀλλ' αὐτοῦ γαῖα μέλαινα
Πᾶσι χάνοι· τό κεν ἧμιν ἄφαρ πολὺ κέρδιον εἴη,
Ἢ τοῦτον Τρώεσσι μεθήσομεν ἱπποδάμοισιν
Ἄστυ ποτὶ σφέτερον ἐρύσαι, καὶ κῦδος ἀρέσθαι.
Ὧδε δέ τις Τρώων μεγαθύμων αὐδήσασκεν·
Ὦ φίλοι, εἰ καὶ μοῖρα παρ' ἀνέρι τῷδε δαμῆναι
Πάντας ὁμῶς, μήπω τις ἐρωείτω πολέμοιο.
Ὣς ἄρα τις εἴπεσκε, μένος δ' ὄρσασκεν ἑκάστου.
Ὣς οἱ μὲν μάρναντο· σιδήρειος δ' ὀρυμαγδὸς
Χάλκεον οὐρανὸν ἷκε, δι' αἰθέρος ἀτρυγέτοιο.
Ἵπποι δ' Αἰακίδαο, μάχης ἀπάνευθεν ἐόντες,
Κλαῖον, ἐπειδὴ πρῶτα πυθέσθην ἡνιόχοιο
Ἐν κονίῃσι πεσόντος ὑφ' Ἕκτορος ἀνδροφόνοιο.
Ἦ μὰν Αὐτομέδων, Διώρεος ἄλκιμος υἱός,
Πολλὰ μὲν ἂρ μάστιγι θοῇ ἐπεμαίετο θείνων,
Πολλὰ δὲ μειλιχίοισι προσηύδα, πολλὰ δ' ἀρειῇ·
Τὼ δ' οὔτ' ἂψ ἐπὶ νῆας ἐπὶ πλατὺν Ἑλλήσποντον
Ἠθελέτην ἰέναι, οὔτ' ἐς πόλεμον μετ' Ἀχαιούς·
Ἀλλ' ὥστε στήλη μένει ἔμπεδον, ἥτ' ἐπὶ τύμβῳ

πόλιν ἄνευ αὐτοῦ, οὐδὲ μετ' αὐτοῦ, πολλάκις γὰρ τοῦτό γε τῆς μητρὸς ἤκουσε κατ' ἰδίαν ἀκούων, ἥτις αὐτῷ ἀπήγγελλε τὸ τοῦ μεγάλου Διὸς διανόημα, καὶ βούλημα. τοτε γοῦν οὐκ εἶπεν αὐτῷ τοσοῦτον δεινὸν, ὁπόσον ἐγένετο, ἡ μήτηρ, ὅτι δὴ αὐτῷ ὁ πάνυ φίλτατος φίλος ἀπώλετο. Οὗτοι δὲ ἀεὶ περὶ τὸν νεκρὸν δόρατα ἠκονημένα κρατοῦντες ἀδιαλείπτως συνέβαλλον, καὶ ἀλλήλους ἀπέκτεινον. Οὕτω δέ τις τῶν σιδηροθωράκων Ἑλλήνων εἶπεν· Ὦ φίλοι οὐδαμῶς ἡμῖν ἐστιν εὐπρεπὲς ὑποςρέψαι ἐπὶ τὰς βαθείας ναῦς, ἀλλ' αὐτόθι ἡ μέλαινα γῆ πᾶσι χάσμα ποιήσειε, τοῦτ' ἂν ἡμῖν παραχρῆμα πάνυ ἐπικερδέστερον καὶ ὠφελιμώτερον εἴη, εἰ τοῦτον τοῖς ἱππικοῖς Τρωσὶ καταλείψομεν ἑλκύσαι πρὸς τὴν ἑαυτῶν πόλιν καὶ δόξαν λαβεῖν. Οὕτω δέ τις πάλιν τῶν μεγαλοψύχων Τρώων ἔλεγεν· Ὦ προσφιλέστατοι, εἰ καὶ εἱμαρμένον ἐστὶ παρὰ τούτῳ τῷ ἀνδρὶ ἀναιρεθῆναι πάντας ὁμοίως, μηδαμῶς τις ἀναχωρείτω τῆς μάχης. Οὕτως ἄρα τις εἶπεν, ἑκάστου δὲ ἰσχὺν καὶ προθυμίαν διήγειρεν. Οὕτως οὗτοι μὲν ἐμάχοντο, ςερεώτατος δὲ θόρυβος εἰς τὸν χαλκοῦν καὶ ἰσχυρὸν οὐρανὸν ἀφικνεῖτο διὰ τοῦ ἀτρύτου (ἀπείρου, ἀκάρπου) αἰθέρος οἱ ἵπποι δὲ τοῦ ἐγγόνου τοῦ Αἰακοῦ πόῤῥω τῆς μάχης ἀπελθόντες ἔκλαιον, ἐπειδὴ τὰ πρῶτα ᾔσθοντο τοῦ ἡνιόχου ἐν τῇ κόνει καταπεσόντος καὶ ἀναιρεθέντος ὑπὸ τοῦ ἀνδροκτόνου Ἕκτορος. ὄντως μὴν Αὐτομέδων ὁ ἰσχυρὸς υἱὸς τοῦ Διώρεος πολλὰ μὲν δὴ μάστιγι ταχυποιῷ ἐφήπτετο τύπτων, πολλὰ δὲ λόγοις προσηνέσιν ἔλεγε, πολλὰ δὲ ἀπειλῇ· οὗτοι δὲ οὔτε εἰς τοὐπίσω ἐπὶ τὸν εὐρὺν Ἑλλήσποντον ἔθελον πορεύεσθαι, οὔτε εἰς τὸν πόλεμον πρὸς τοὺς Ἕλληνας· ἀλλ' ὥσπερ στήλη μένει ἑδραίως καὶ μονίμως,

Ἀνέρος εἱστήκει τεθνηότος, ἠὲ γυναικός·
Ὣς μένον ἀσφαλέως περικαλλέα δίφρον ἔχοντες,
Οὔδει ἐνισκήψαντε καρήατα· δάκρυα δέ σφιν
Θερμὰ κατὰ βλεφάρων χαμάδις ῥέε μυρομένοισιν.
Ἡνιόχοιο πόθῳ· θαλερὴ δὲ μιαίνετο χαίτη,
Ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν ἀμφοτέροισι.
Μυρομένω δ' ἄρα τώ γε ἰδὼν, ἐλέησε Κρονίων,
Κινήσας δὲ κάρη, προτὶ ὃν μυθήσατο θυμόν·
Ἆ δειλὼ, τί σφῶϊ δόμεν Πηλῆϊ ἄνακτι
Θνητῷ; ὑμεῖς δ' ἐστὸν ἀγήρω τ' ἀθανάτω τε·
Ἦ ἵνα δυστήνοισι μετ' ἀνδράσιν ἄλγε' ἔχητον;
Οὐ μὲν γάρ τί πού ἐστιν ὀϊζυρώτερον ἀνδρὸς
Πάντων, ὅσσα τε γαῖαν ἐπιπνείει τε καὶ ἕρπει.
Ἀλλ' οὐ μὰν ὑμῖν γε καὶ ἅρμασι δαιδαλέοισιν
Ἕκτωρ Πριαμίδης ἐποχήσεται· οὐ γὰρ ἐάσω.
Ἦ οὐχ ἅλις, ὡς καὶ τεύχε' ἔχει, καὶ ἐπεύχεται αὔτως;
Σφῶϊν δ' ἐν γούνασσι βαλῶ μένος, ἠδ' ἐνὶ θυμῷ,
Ὄφρα καὶ Αὐτομέδοντα σαώσετον ἐκ πολέμοιο
Νῆας ἐπὶ γλαφυράς· ἔτι γάρ σφισι κῦδος ὀρέξω
Κτείνειν, εἰσόκε νῆας ἐϋσσέλμους ἀφίκωνται,
Δύῃ τ' ἠέλιος, καὶ ἐπὶ κνέφας ἱερὸν ἔλθῃ.
Ὣς εἰπὼν, ἵπποισιν ἐνέπνευσεν μένος ἠΰ·
Τὼ δ' ἀπὸ χαιτάων κονίην οὖδάσδε βαλόντε,
Ῥίμφ' ἔφερον θοὸν ἅρμα μετὰ Τρῶας καὶ Ἀχαιούς·
Τοῖσι δ' ἔπ' Αὐτομέδων μάχετ', ἀχνύμενός περ ἑταίρου,
Ἵπποις ἀΐσσων, ὥστ' αἰγυπιὸς μετὰ χῆνας.
Ῥεῖα μὲν γὰρ φεύγεσκεν ὑπ' ἐκ Τρώων ὀρυμαγδοῦ,
Ῥεῖα δ' ἐπαΐξασκε πολὺν καθ' ὅμιλον ὀπάζων.

ἥτις ἐπὶ τάφῳ ἀνδρὸς ἵσταται ἀποθανόντος, ἢ γυναικός· οὕτως ἔμενον ἀσφαλῶς καὶ ἀμετακινήτως τὸ περικαλλὲς καὶ εὐειδὲς ὄχημα ἔχοντες, τῷ ἐδάφει προσερείσαντες τὰς κεφαλὰς, δάκρυα δὲ αὐτοῖς θερμὰ ἀπὸ τῶν ὀμμάτων ἐπὶ τὴν γῆν κατέῤῥεον θρηνοῦσι τῷ πόθῳ τοῦ ἡνιόχου, ἡ ἀνθηρὰ δὲ καὶ ἀκμαία χαίτη αὐτῶν ἐμολύνετο, ἐκπεσοῦσα τῆς ζεύγλης εἰς τὸν ζυγὸν ἑκατέρῳ. θρηνοῦντας δ' ἄρα τούτους θεασάμενος ᾤκτειρεν ὁ υἱὸς τοῦ Κρόνου, κινήσας δὲ τὴν κεφαλὴν πρὸς τὴν ἑαυτοῦ ψυχὴν εἶπε· Φεῦ ἄθλιοι, ἵνα τί ὑμᾶς δοῦναι τεθελήκαμεν τῷ βασιλεῖ Πηλεῖ τῷ θνητῷ ἀνθρώπῳ, ὑμεῖς δὲ ὑπάρχετε μήτε γήρᾳ, μήτε θανάτῳ ὑποκείμενοι, ἢ ἵνα λύπας καὶ ὀδύνας ἔχητε ἐν τοῖς ταλαιπώροις ἀνδράσιν· οὐδαμῶς γάρ που ἐστί τι ταλαιπωρότερον καὶ ἀθλιώτερον τοῦ ἀνδρὸς συμπάντων, ὅσα κατὰ τὴν γῆν ἀναπνέουσι καὶ κινοῦνται· ἀλλ' οὐδαμῶς ὑμῖν γε καὶ τοῖς ποικίλοις ὀχήμασιν Ἕκτωρ ὁ υἱὸς τοῦ Πριάμου ἐπιβήσεται, οὐ γὰρ ἀφήσω· ἢ οὐχ ἱκανὸν ὅτι καὶ τὰ ὅπλα ἔχει, καὶ ἐπικαυχᾶται ματαίως; ὑμῖν δὲ ἐν τοῖς γόνασιν ἐμβαλῶ δύναμιν καὶ ἐν τῇ ψυχῇ, ὅπως καὶ τὸν Αὐτομέδοντα σώσητε ἐκ τοῦ πολέμου ἐπὶ τὰς βαθείας ναῦς, ἔτι γὰρ αὐτοῖς δόξαν παρέξω ἀναιρεῖν, ἕως ἂν εἰς τὰς εὐκαθέδρους ναῦς καταλάβωσι, καὶ ὁ ἥλιος δύῃ, καὶ τὸ ἱερὸν σκότος ἐπέλθῃ. Οὕτως εἰπὼν τοῖς ἵπποις ἐνέβαλε δύναμιν μεγάλην. οὗτοι δὲ ἀπὸ τῶν χαιτῶν τὴν κόνιν ἐπὶ τὸ ἔδαφος καταβαλόντες, τάχιστα ἔφερον τὸ ταχὺ ἅρμα πρὸς τοὺς Τρῶας καὶ Ἕλληνας· ἐπὶ τούτοις δὲ Αὐτομέδων ἐπολέμει καίπερ λυπούμενος ἕνεκα τοῦ φίλου διὰ τῶν ἵππων ἐφορμῶν, ὥσπερ τις γὺψ ἐπὶ χῆνας, ῥαδίως μὲν γὰρ ἔφυγεν ἐκ τοῦ θορύβου τῶν Τρώων, ῥαδίως δὲ ἐφώρμα κατὰ τὸν μέγαν στρατὸν ἐπιδιώκων (ἐλαύνων). ἀλλ'

Ἀλλ' οὐχ ᾕρει φῶτας, ὅτ' ἐσσεύαιτο διώκειν·
Οὐ γάρ πως ἦν, οἷον ἐόνθ' ἱερῷ ἐνὶ δίφρῳ,
Ἔγχει ἐφορμᾶσθαι, καὶ ἐπίσχειν ὠκέας ἵππους.
Ὀψὲ δὲ δή μιν ἑταῖρος ἀνὴρ ἴδεν ὀφθαλμοῖσιν
Ἀλκιμέδων, υἱὸς Λαέρκεος Αἱμονίδαο·
Στῆ δ' ὄπιθεν δίφροιο, καὶ Αὐτομέδοντα προσηύδα·
Αὐτόμεδον, τίς τοί νυ θεῶν νηκερδέα βουλὴν
Ἐν στήθεσσιν ἔθηκε, καὶ ἐξέλετο φρένας ἐσθλάς;
Οἷον· πρὸς Τρῶας μάχεαι πρώτῳ ἐν ὁμίλῳ
Μοῦνος· ἀτάρ τοι ἑταῖρος ἀπέκτατο· τεύχεα δ' Ἕκτωρ
Αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται Αἰακίδαο.
Τὸν δ' αὖτ' Αὐτομέδων προσέφη, Διώρεος υἱός·
Ἀλκίμεδον, τίς γάρ τοι Ἀχαιῶν ἄλλος ὁμοῖος,
Ἵππων ἀθανάτων ἐχέμεν δμῆσίν τε μένος τε,
Εἰ μὴ Πάτροκλος, θεόφιν μήστωρ ἀτάλαντος,
Ζωὸς ἐών; νῦν δ' αὖ θάνατος καὶ μοῖρα κιχάνει.
Ἀλλὰ σὺ μὲν μάστιγα καὶ ἡνία σιγαλόεντα
Δέξαι, ἐγὼ δ' ἵππων ἀποβήσομαι, ὄφρα μάχωμαι.
Ὣς ἔφατ'· Ἀλκιμέδων δὲ βοηθόον ἅρμ' ἐπορούσας,
Καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν·
Αὐτομέδων δ' ἀπόρουσε· νόησε δὲ φαίδιμος Ἕκτωρ
Αὐτίκα δ' Αἰνείαν προσεφώνεεν ἐγγὺς ἐόντα·
Αἰνεία, Τρώων βουληφόρε χαλκοχιτώνων,
Ἵππω τώδ' ἐνόησα ποδώκεος Αἰακίδαο
Ἐς πόλεμον προφανέντε σὺν ἡνιόχοισι κακοῖσι
Τῷ κεν ἐελποίμην αἱρησέμεν, εἰ σύ γε θυμῷ
Σῷ ἐθέλεις· ἐπεὶ οὐκ ἂν ἐφορμηθέντε γε νῶϊν
Τλαῖεν ἐναντίβιον στάντες μαχέσασθαι ἄρηϊ

οὐκ ἀνῄρει ἄνδρας, ὅτε ἀνώρμητο διώκειν, οὐ γὰρ ἦν δυνατὸν μόνον ὄντα ἐπὶ τοῦ ἱεροῦ ὀχήματος σὺν δόρατι ἐφορμᾷν, καὶ τοὺς ταχεῖς ἵππους ἐπέχειν· μετὰ πολὺ δὲ αὐτὸν ἐθεάσατο τοῖς ὀφθαλμοῖς φίλος ἀνὴρ Ἀλκιμέδων ὁ υἱὸς τοῦ Λαέρκους τοῦ υἱοῦ τοῦ Αἱμόνου, ἔστη δὲ ὄπισθεν τοῦ ὀχήματος, καὶ ἔλεγε πρὸς τὸν Αὐτομέδοντα· Ὦ Αὐτόμεδον, τίς δή σοι τῶν θεῶν ἀκερδῆ καὶ ἀνωφελῆ βουλὴν εἰς τὸ στῆθος ἐνέβαλε, καὶ ἀφείλετο τὴν ἀγαθὴν διάνοιαν; θαῦμα, πρὸς τοὺς Τρῶας πολεμεῖς ἐν τῷ πρώτῳ πλήθει, ἤγουν ἐν τοῖς πρωταγωνισταῖς μόνος, ὁ φίλος δέ σοι ἀνῃρέθη, τὰ ὅπλα δὲ ὁ Ἕκτωρ αὐτὸς ἔχων περὶ τοὺς ὤμους τέρπεται τοῦ ἐγγόνου τοῦ Αἰακοῦ. Πρὸς τοῦτον δὲ εἶπεν Αὐτομέδων ὁ υἱὸς τοῦ Διωρους· Ὦ Ἀλκίμεδον, τίς δὲ ἄλλος τῶν Ἑλλήνων ὅμοιός σοι ἐπέχειν δάμασιν καὶ δύναμιν εὔτολμον ἵππων ἀθανατων, εἰ μὴ Πάτροκλος ὁ θεοῖς ὅμοιος ἐπιστήμων τῶν τοιούτων, ὅτε ἔζη; νῦν δὲ ὁ θάνατος αὐτὸν καὶ τὸ εἱμαρμένον κατέλαβεν· ἀλλὰ σὺ μὲν τὴν μάστιγα, καὶ τὰς λαμπρὰς ἡνίας λάβε, ἐγὼ δὲ ἀποβήσομαι τῶν ἵππων ἵνα πολεμῶ. Οὕτως εἶπεν. Ἀλκιμέδων δὲ εἰς τὸ βοηδρόμον ἅρμα ἀναβὰς ταχέως, τὴν μάστιγα καὶ τὰς ἡνίας ἔλαβε ταῖς χερσίν. Αὐτομέδων δὲ κατῆλθεν, ἐθεάσατο δὲ αὐτὸν ὁ λαμπρὸς Ἕκτωρ, παραχρῆμα δὲ πρὸς τὸν Αἰνείαν ἔλεγε πλησίον ὄντα· Ὦ Αἰνεία βουλευτὰ καὶ γνωμοδότα τῶν σιδηροθωράκων Τρώων τοὺς ἵππους τούσδε ἐθεασάμην τοῦ ταχύποδος ἐγγόνου τοῦ Αἰακοῦ εἰς τὴν μάχην φανέντας μετὰ ἡνιόχων δειλῶν· τούτους ἐλπίζοιμ' ἂν ἑλεῖν, εἰ σύ γε προθύμως βούλοιο, ἐπειδὴ οὐκ ἂν ἐφορμήσαντας ἡμᾶς γε ὑπομείνειεν, ὥστε κατ' ἐναντίωσιν βιαίαν ἀνθισταμένοι πολεμῆσαι μάχῃ (σιδήρῳ). Οὕτως εἶπεν· ὑπήκουσε

Ὣς ἔφατ'· οὐδ' ἀπίθησεν ἐῢς πάϊς Ἀγχίσαο·
Τὼ δ' ἰθὺς βήτην, βοέῃς εἰλημμένω ὤμους
Αὔῃσι, στερεῇσι· πολὺς δ' ἐπελήλατο χαλκός·
Τοῖσι δ' ἅμα Χρόμιός τε, καὶ Ἄρητος θεοειδὴς,
Ἤϊσαν ἀμφότεροι· μάλα δέ σφισιν ἤλπετο θυμὸς
Αὐτώ τε κτενέειν, ἐλάαν τ' ἐριαύχενας ἵππους.
Νήπιοι, οὐδ' ἄρ' ἔμελλον ἀναιμωτεί γε νέεσθαι
Αὖτις ἀπ' Αὐτομέδοντος· ὁ δ', εὐξάμενος Διῒ πατρὶ,
Ἀλκῆς καὶ σθένεος πλῆτο φρένας ἀμφιμελαίνας·
Αὐτίκα δ' Ἀλκιμέδοντα προσηύδα, πιστὸν ἑταῖρον·
Ἀλκίμεδον, μὴ δή μοι ἀπόπροθεν ἰσχέμεν ἵππους·
Ἀλλὰ μάλ' ἐμπνείοντε μεταφρένῳ· οὐ γὰρ ἔγωγε
Ἕκτορα Πριαμίδην μένεος σχήσεσθαι ὀΐω,
Πρίν γ' ἐπ' Ἀχιλλῆος καλλίτριχε βήμεναι ἵππω,
Νῶϊ κατακτείναντα, φοβῆσαι δὲ στίχας ἀνδρῶν
Ἀργείων· ἤ κ' αὐτὸς ἐνὶ πρώτοισιν ἁλῴη.
Ὣς εἰπὼν, Αἴαντε καλέσσατο, καὶ Μενέλαον·
Αἴαντ', Ἀργείων ἡγήτορε, καὶ Μενέλαε,
Ἤτοι μὲν τὸν νεκρὸν ἐπιτράπεθ', ὅσσοι ἄριστοι,
Ἀμφ' αὐτῷ βεβάμεν, καὶ ἀμύνεσθαι στίχας ἀνδρῶν.
Νῶϊν δὲ ζωοῖσιν ἀμύνετε νηλεὲς ἦμαρ.
Τῇδε γὰρ ἔβρισαν πόλεμον κατὰ δακρυόεντα
Ἕκτωρ, Αἰνείας θ', οἳ Τρώων εἰσὶν ἄριστοι·
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται·
Ἥσω γὰρ καὶ ἐγώ· τὰ δέ κεν Διῒ πάντα μελήσει.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλεν Ἀρήτοιο κατ' ἀσπίδα πάντοσ' ἐΐσην·
Ἡ δ' οὐκ ἔγχος ἔρυτο· διὰ πρὸ δὲ εἴσατο χαλκὸς,

δὲ ὁ γενναῖος υἱὸς τοῦ Ἀγχίσου. οὗτοι δὲ ἐπ' εὐθείας ἐπορεύθησαν βύρσαις βοῶν κεκαλυμμένοι κατὰ τοὺς ὤμους ξηραῖς, στερεαῖς καὶ ἰσχυραῖς, πολὺς δὲ χαλκὸς ἐφήπλωτο αὐτοῖς· σὺν αὐτοῖς καὶ Χρόμιος, καὶ Ἄρητος ὁ ὅμοιος θεῷ ἐπορεύοντο ἀμφότεροι, πάνυ δὲ αὐτοῖς ἤλπιζεν ἡ ψυχὴ αὐτούς τε ἀποκτεῖναι, καὶ ἐλάσαι τοὺς μεγαλαύχενας ἵππους· οἱ μωροὶ καὶ ἀνόητοι, οὐδὲ δὴ ἔμελλον ἄνευ αἵματος καὶ φόνου ὑποστρέφειν εἰς τοὐπίσω ἀπὸ τοῦ Αὐτομέδοντος· οὗτος δὲ εὐξάμενος τῷ Διὶ τῷ πατρὶ ἰσχύος τε καὶ δυνάμεως ἐνεπλήσθη κατὰ τὰς βαθείας καὶ συνετὰς φρένας. εὐθέως δὲ πρὸς τὸν Ἀλκιμέδοντα ἔλεγε τὸν πιστὸν φίλον· Ὦ Ἀλκίμεδον, μή μοι πόῤῥωθεν κάτεχε τοὺς ἵππους, ἀλλὰ πάνυ καταπνέοντας αὐτὰ τὰ μετάφρενα, ἤγουν ἐγγὺς ὄντας τῶν νώτων· οὐ γὰρ ἔγωγε ὑπολαμβάνω τὸν τοῦ Πριάμου υἱὸν Ἕκτορα στήσεσθαι τῆς ὁρμῆς, πρὶν ἐπιβῆναι τῶν ὡραιοτρίχων ἵππων τοῦ Ἀχιλλέως ἡμᾶς ἀνελόντα, καὶ εἰς φυγὴν τρέψαι τὰς τάξεις τῶν ἀνδρῶν τῶν Ἑλλήνων, ἢ αὐτὸς ἂν ἐν τοῖς πρώτοις ἀναιρεθείη. Οὕτως εἰπὼν τοὺς Αἴαντας ἐκάλεσε, καὶ τὸν Μενέλαον λέγων· Ὦ Αἴαντες ἡγεμόνες τῶν Ἑλλήνων, καὶ Μενέλαε, τὸν μὲν νεκρὸν ἐπιτρέψατε αὐτοῖς, ὅσοι κράτιστοι, περὶ αὐτὸν ἵστασθαι, καὶ μάχεσθαι πρὸς τὰς τάξεις τῶν ἀνδρῶν· ἡμῖν δὲ τοῖς ζῶσιν ἀποσοβήσατε τὴν χαλεπὴν ἡμέραν· ἐνθάδε γὰρ ἐπέδραμον κατὰ τὸν πόλεμον τὸν δακρύων γέμοντα ὅ τε Ἕκτωρ καὶ ὁ Αἰνείας, οἵτινές εἰσι κράτιστοι τῶν Τρώων. ἀλλὰ ταῦτα μὲν ἐν τοῖς γόνασι (τῇ δυνάμει) τῶν θεῶν κεῖνται, ἀκοντίσω γὰρ καὶ ἐγὼ, ταῦτα δὲ πάντα τῷ Διῒ διὰ φροντίδος ἔσται. Εἶπε δὴ καὶ διασείσας ἀφῆκε τὸ μακρὸν δόρυ, καὶ ἔτυψε κατὰ τὴν τοῦ Ἀρήτου ἀσπίδα τὴν πάντοθεν ἴσην, αὕτη δὲ οὐκ ἐκώλυσε τὸ δόρυ, εἰς τὸ πρόσω δὲ διῆλθεν ὁ σίδηρος, εἰς τὸ ἔσχατον

Νειαίρῃ δ' ἐν γαστρὶ διὰ ζωστῆρος ἔλασσεν.
Ὡς δ' ὅταν ὀξὺν ἔχων πέλεκυν αἰζήϊος ἀνὴρ,
Κόψας ἐξόπιθεν κεράων βοὸς ἀγραύλοιο,
Ἶνα τάμῃ διὰ πᾶσαν, ὁ δὲ προθορὼν ἐρίπῃσιν·
Ὣς ἄρ' ὅγε προθορὼν πέσεν ὕπτιος· ἐν δέ οἱ ἔγχος
Νηδυΐοισι μάλ' ὀξὺ κραδαινόμενον λύε γυῖα.
Ἕκτωρ δ' Αὐτομέδοντος ἀκόντισε δουρὶ φαεινῷ·
Ἀλλ' ὁ μὲν ἄντα ἰδὼν ἠλεύατο χάλκεον ἔγχος·
Πρόσσω γὰρ κατέκυψε· τὸ δ' ἐξόπιθεν δόρυ μακρὸν
Οὔδει ἐνισκίμφθη, ἐπὶ δ' οὐρίαχος πελεμίχθη
Ἔγχεος· ἔνθα δ' ἔπειτ' ἀφίει μένος ὄβριμος ἄρης·
Καὶ νύ κε δὴ ξιφέεσσ' αὐτοσχεδὸν ὡρμηθήτην,
Εἰ μή σφω Αἴαντε διέκριναν μεμαῶτε,
Οἵ ῥ' ἦλθον καθ' ὅμιλον, ἑταίρου κικλήσκοντος.
Τοὺς δ' ὑποταρβήσαντες ἐχώρησαν πάλιν αὖτις
Ἕκτωρ, Αἰνείας τ', ἠδὲ Χρόμιος θεοειδής·
Ἄρητον δὲ κατ' αὖθι λίπον, δεδαϊγμένον ἦτορ,
Κείμενον· Αὐτομέδων δὲ, θοῷ ἀτάλαντος Ἄρηϊ,
Τεύχεά τ' ἐξενάριξε, καὶ εὐχόμενος ἔπος ηὔδα·
Ἦ δὴ μὰν ὀλίγον γε Μενοιτιάδαο θανόντος
Κῆρ ἄχεος μεθέηκα, χερείονά περ καταπέφνων.
Ὣς εἰπὼν, ἐς δίφρον ἑλὼν ἔναρα βροτόεντα
Θῆκ', ἀν δ' αὐτὸς ἔβαινε, πόδας καὶ χεῖρας ὕπερθεν
Αἱματόεις, ὥς τίς τε λέων κατὰ ταῦρον ἐδηδώς.
Ἂψ δ' ἐπὶ Πατρόκλῳ τέτατο κρατερὴ ὑσμίνη,
Ἀργαλέη, πολύδακρυς· ἔγειρε δὲ νεῖκος Ἀθήνη,
Οὐρανόθεν καταβᾶσα· προῆκε γὰρ εὐρύοπα Ζεὺς
Ὀρνύμεναι Δαναούς· δὴ γὰρ νόος ἐτράπετ' αὐτοῦ.

δὲ τῆς γαστρὸς διὰ τῆς θωρακίτιδος ζώνης ἐπέρασεν· ὥσπερ δὲ ὅταν ἀνὴρ νέος πέλεκυν τμητικὸν ἔχων πλήξας ὄπισθεν τῶν κεράτων τοῦ ἐν τῷ ἀγρῷ διατρίβοντος βοὸς, ὅλον τὸ νεῦρον διακόψῃ, οὗτος δὲ εἰς τὸ πρόσω ὁρμῶν καταπίπτῃ· οὕτω δὴ αὐτὸς εἰς τὸ πρόσω ὁρμήσας κατέπεσεν ἐπὶ τὰ μετάφρενα, τὸ δόρυ δὲ αὐτοῦ ἐν τῇ γαστρὶ πάνυ ὀξέως περισειόμενον διέλυε καὶ ἐνέκρου τὰ μέλη. Ὁ Ἕκτωρ δὲ κατὰ τοῦ Αὐτομέδοντος ἔβαλε δόρατι λαμπρῷ, ἀλλ᾽ οὗτος μὲν καταντικρὺ θεασάμενος ἐξέκλινε τὸ σιδηροῦν δόρυ, εἰς τὸ πρόσω γὰρ ἐκλίθη, τοῦτο δὲ ὄπισθεν τὸ μακρὸν δόρυ τῷ ἐδάφει προσερείσθη, ὁ σαυρωτὴρ δὲ περιεσείσθη τοῦ δόρατος· τότε δὲ ἵστη τὴν ὁρμὴν ὁ ἰσχυρὸς σίδηρος, καὶ δὴ ἂν ξίφεσιν ἐκ τοῦ σύνεγγυς ὡρμήθησαν, εἰ μὴ αὐτοὺς προθύμως ὁρμῶντας διεχώρισαν οἱ Αἴαντες, οἳ δὴ ἐπῆλθον εἰς τὴν μάχην τοῦ φίλου καλέσαντος, τούτους φοβηθέντες ἀνεχώρησαν εἰς τοὐπίσω ὅ τε Ἕκτωρ, ὁ Αἰνείας, καὶ ὁ Χρόμιος ὁ θεῷ ὅμοιος τῷ εἴδει, τὸν Ἄρητον δὲ κατέλιπον αὐτόθι τετρωμένον τὰ καιριώτατα μόρια κείμενον· ὁ Αὐτομέδων δὲ ὅμοιος τῷ ταχεῖ Ἄρει τά τε ὅπλα ἀφείλετο, καὶ καυχώμενος ἔλεγεν· Ὄντως δήπου πρὸς βραχὺ τοῦ υἱοῦ τοῦ Μενοιτίου ἀποθανόντος τὴν ψυχὴν τῆς λύπης ἀπέλυσα, καίπερ χείρονα ἀποκτείνας. Οὕτως εἰπὼν εἰς τὸ ὄχημα λαβὼν τὰ ᾑμαγμένα ὅπλα ἔθηκεν, ἀνέβαινε δὲ αὐτὸς τοὺς πόδας καὶ τὰς χεῖρας ἄνωθεν ᾑμαγμένος, ὥσπερ τις λέων ταῦρον καταφαγών. Πάλιν δὲ ἐπὶ τῷ Πατρόκλῳ ἐξετάθη καὶ συνηυξήθη ἰσχυρὰ μάχη χαλεπὴ πολλῶν δακρύων αἰτία, διήγειρε δὲ καὶ ἠρέθισε φιλονεικίαν καὶ ἔριν ἡ Ἀθηνᾶ ἐκ τοῦ οὐρανοῦ κατελθοῦσα, ἔπεμψε γὰρ αὐτὴν ὁ μεγαλόφωνος Ζεὺς διεγεῖραι καὶ παροξῦναι τοὺς Ἕλληνας, ἤδη γὰρ ὁ νοῦς αὐτοῦ ἐτράπη καὶ μετέβαλεν. Ὥσπερ

Ἠΰτε πορφυρέην ἶριν θνητοῖσι τανύσσῃ
Ζεὺς ἐξ οὐρανόθεν, τέρας ἔμμεναι ἢ πολέμοιο,
Ἢ καὶ χειμῶνος δυσθαλπέος· ὅς ῥά τε ἔργων
Ἀνθρώπους ἀνέπαυσεν ἐπὶ χθονὶ, μῆλα δὲ κήδει·
Ὣς ἣ, πορφυρέῃ νεφέλῃ πυκάσασα ἑαυτὴν,
Δύσετ' Ἀχαιῶν ἔθνος, ἔγειρε δὲ φῶτα ἕκαστον.
Πρῶτον δ' Ἀτρέος υἱὸν ἐποτρύνασα προσηύδα,
Ἴφθιμον Μενέλαον, ὃ γάρ ῥά οἱ ἐγγύθεν ἦεν,
Εἰσαμένη Φοίνικι δέμας καὶ ἀτειρέα φωνήν·
Σοὶ μὲν δὴ, Μενέλαε, κατηφείη καὶ ὄνειδος
Ἔσσεται εἴ κ' Ἀχιλῆος ἀγαυοῦ πιστὸν ἑταῖρον
Τείχει ὑπὸ Τρώων ταχέες κύνες ἑλκύσωσιν·
Ἀλλ' ἔχεο κρατερῶς, ὄτρυνε δὲ λαὸν ἅπαντα.
Τὴν δ' αὖτε προσέειπε βοὴν ἀγαθὸς Μενέλαος·
Φοῖνιξ, ἄττα, γεραιὲ παλαιγενὲς, εἰ γὰρ Ἀθήνη
Δοίη κάρτος ἐμοὶ, βελέων δ' ἀπερύκοι ἐρωήν·
Τῷ κεν ἔγωγ' ἐθέλοιμι παρεστάμεναι καὶ ἀμύνειν
Πατρόκλῳ· μάλα γάρ με θανὼν ἐσεμάσσετο θυμόν.
Ἀλλ' Ἕκτωρ πυρὸς αἰνὸν ἔχει μένος, οὐδ' ἀπολήγει
Χαλκῷ δηϊόων· τῷ γὰρ Ζεὺς κῦδος ὀπάζει.
Ὣς φάτο· γήθησεν δὲ θεὰ γλαυκῶπις Ἀθήνη,
Ὅττι ῥά οἱ πάμπρωτα θεῶν ἠρήσατο πάντων·
Ἐν δὲ βίην ὤμοισι καὶ ἐν γούνασσιν ἔθηκε,
Καί οἱ μυίης θάρσος ἐνὶ στήθεσσιν ἐνῆκεν,
Ἥτε καὶ ἐργομένη μάλα περ χροὸς ἀνδρομέοιο.
Ἰσχανάα δακέειν, λαρόν τέ οἱ αἷμ' ἀνθρώπου.
Τοίου μιν θάρσους πλῆσεν φρένας ἀμφιμελαίνας·
Βῆ δ' ἐπὶ Πατρόκλῳ, καὶ ἀκόντισε δουρὶ φαεινῷ.

δὲ ὅταν ἶριν ποικίλην τοῖς ἀνθρώποις ἐκτείνῃ ὁ Ζεὺς ἐκ τοῦ οὐρανοῦ σημεῖον εἶναι ἢ πολέμου, ἢ καὶ χειμῶνος ψυχροῦ, ὃς δὴ τῶν ἔργων τοὺς ἀνθρώπους ἀπέπαυσεν ἐπὶ τῆς γῆς, τὰ δὲ θρέμματα λυπεῖ. οὕτως αὕτη πορφυρᾷ νεφέλῃ καλύψασα ἑαυτὴν εἰσῆλθεν εἰς τὸ πλῆθος τῶν Ἑλλήνων, προὐτρέψατο δὲ ἕκαστον ἄνδρα. Πρῶτον δὲ πρὸς τὸν υἱὸν τοῦ Ἀτρέως διεγείρουσα ἔλεγε τὸν ἰσχυρὸν Μενέλαον, οὗτος γὰρ δὴ αὐτῇ ἦν πλησίον, ὁμοιωθεῖσα τῷ Φοίνικι κατά τε τὸ σῶμα, καὶ τὴν ἀκαταπόνητον φωνήν· Σοὶ μὲν δὴ, ὦ Μενέλαε, στυγνότης καὶ αἰσχύνη καὶ ὄνειδος ἔςαι, ἐὰν τοῦ λαμπροῦ Ἀχιλλέως τὸν πιστὸν φίλον οἱ ταχεῖς κύνες σπαράξωσιν ὑπὸ τῷ τείχει τῶν Τρώων, ἀλλ᾽ ἀνθίστασο ἰσχυρῶς, παρόξυνε δὲ πάντα τὸν στρατόν. Πρὸς ταύτην δὲ εἶπεν ὁ κατὰ πόλεμον χρηστὸς καὶ ἀνδρεῖος Μενέλαος· Ὦ Φοῖνιξ τίμιε, πρεσβύτα πολυχρόνιε, εἰ γὰρ ἡ Ἀθηνᾶ παράσχοι μοι δύναμιν, τὴν τῶν βελῶν δὲ ὁρμὴν ἀποσοβοίη, οὕτως ἂν ἔγωγε βουλοίμην παρεστᾶναι καὶ βοηθεῖν τῷ Πατρόκλῳ, πάνυ γὰρ ἀποθανὼν ἔπληξέ μου τὴν ψυχήν· ἀλλ᾽ ὁ Ἕκτωρ πυρὸς δύναμιν χαλεπὴν ἔχει, οὐδὲ ἀποπαύεται σιδήρῳ ἀναιρῶν καὶ ἀφανίζων· τούτῳ γὰρ ὁ Ζεὺς δόξαν δωρεῖται. Οὕτως εἶπεν· ἐχάρη δὲ ἡ θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ, διότι δὴ αὐτῇ πρὸ πάντων τῶν ἄλλων θεῶν ηὔξατο, ἐνέβαλε δὲ ἰσχὺν εἰς τοὺς ὤμους, καὶ εἰς τὰ γόνατα, καὶ θάρσος μυίας εἰς τὸ στῆθος αὐτοῦ ἐνέπνευσεν, ἥτις καὶ ἀποτρεπομένη πάνυ γε τοῦ ἀνδρείου σώματος ἐπιθυμεῖ δακεῖν, προσηνὲς δὲ καὶ ἡδὺ αὐτῇ τὸ αἷμα τοῦ ἀνθρώπου· τοιούτου θάρσους ἐνέπλησεν αὐτὸν κατὰ τὰς βαθείας καὶ συνετὰς φρένας· ἔστη δὲ παρὰ τῷ Πατρόκλῳ, καὶ ἔβαλε δόρατι λαμπρῷ. Ἦν δέ τις ἐν τοῖς

Ἔσκε δ' ἐνὶ Τρώεσσι Ποδῆς, υἱὸς Ἠετίωνος,
Ἀφνειός τ', ἀγαθός τε· μάλιστα δέ μιν τίεν Ἕκτωρ
Δήμου, ἐπεί οἱ ἑταῖρος ἔην φίλος εἰλαπιναστής·
Τόν ῥα κατὰ ζωστῆρα βάλε ξανθὸς Μενέλαος,
Ἀΐξαντα φόβονδε· διὰ πρὸ δὲ χαλκὸν ἔλασσε·
Δούπησεν δὲ πεσών· ἀτὰρ Ἀτρείδης Μενέλαος
Νεκρὸν ὑπ' ἐκ Τρώων ἔρυσεν μετὰ ἔθνος ἑταίρων,
Ἕκτορα δ' ἐγγύθεν ἱστάμενος ὤτρυνεν Ἀπόλλων,
Φαίνοπι Ἀσιάδῃ ἐναλίγκιος, ὅς οἱ ἁπάντων
Ξείνων φίλτατος ἔσκεν, Ἀβυδόθι οἰκία ναίων·
Ἕκτορ, τίς κέ σ' ἔτ' ἄλλος Ἀχαιῶν ταρβήσειεν;
Οἷον δὴ Μενέλαον ὑπέτρεσας, ὃς τὸ πάρος περ
Μαλθακὸς αἰχμητὴς, νῦν δ' οἴχεται οἶος ἀείρας
Νεκρὸν ὑπ' ἐκ Τρώων· σὸν δ' ἔκτανε πιστὸν ἑταῖρον·
Ἐσθλὸν, ἐνὶ προμάχοισι, Ποδῆν, υἱὸν Ἠετίωνος.
Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
Βῆ δὲ διὰ προμάχων κεκορυθμένος αἴθοπι χαλκῷ.
Καὶ τότ' ἄρα Κρονίδης ἕλετ' αἰγίδα θυσσανόεσσαν,
Μαρμαρέην, Ἴδην δὲ κατὰ νεφέεσσι κάλυψεν·
Ἀστράψας δὲ, μάλα μεγάλ' ἔκτυπε· τὴν δ' ἐτίναξε·
Νίκην δὲ Τρώεσσι δίδου, ἐφόβησε δ' Ἀχαιούς.
Πρῶτος Πηνέλεως Βοιώτιος ἦρξε φόβοιο·
Βλῆτο γὰρ ὦμον δουρὶ, πρόσω τετραμμένος αἰεὶ,
Ἄκρον ἐπιλίγδην· γράψεν δέ οἱ ὀστέον ἄχρις
Αἰχμὴ Πουλυδάμαντος· ὁ γὰρ βάλε σχεδόθεν ἐλθών.
Λήϊτον αὖθ' Ἕκτωρ σχεδὸν οὔτασε χεῖρ' ἐπὶ καρπῷ,
Υἱὸν Ἀλεκτρυόνος μεγαθύμου· παῦσε δὲ χάρμης·
Τρέσσε δὲ παπτήνας, ἐπεὶ οὐκέτι ἤλπετο θυμῷ

Τρωσὶ Ποδῆς υἱὸς τοῦ Ἠετίωνος πλούσιός τε καὶ χρηστὸς, μάλιστα δὲ αὐτὸν ἐτίμα ὁ Ἕκτωρ τῶν δημοτῶν, ἐπειδὴ ἀγαπητὸς φίλος ἦν αὐτῷ σύσσιτος καὶ συμπότης· τοῦτον δὴ κατὰ τὴν θωρακίτιδα ζώνην ἔπληξεν ὁ πυῤῥὸς Μενέλαος ὁρμήσαντα εἰς φυγὴν, εἰς τὸ πρόσω δὲ τὸν σίδηρον διεπέρασεν, ἐψόφησε δὲ καταπεσών. Μενέλαος δὲ ὁ υἱὸς τοῦ Ἀτρέως τὸν νεκρὸν ἐκ τῶν Τρώων ἐφείλκυσε πρὸς τὸ πλῆθος τῶν φίλων· τὸν Ἕκτορα δὲ πλησίον στὰς παρώξυνεν ὁ Ἀπόλλων ὅμοιος Φαίνοπι τῷ υἱῷ τοῦ Ἰάσου, ὅστις αὐτῷ συμπάντων τῶν ξένων φίλτατος ἦν ἐν Ἀβύδῳ τὴν οἰκίαν οἰκῶν. Ὦ Ἕκτορ, τίς ἄν σε ἄλλος ἔτι τῶν Ἑλλήνων φοβηθείη, ὅσον δὴ τὸν Μενέλαον ἐφοβήθης, ὅς τὸ πρότερον ἀσθενὴς ἦν πολεμιστὴς, νῦν δὲ ἀπῆλθε μόνος ἄρας νεκρὸν ἐκ τῶν Τρώων, σὸν δὲ πιστὸν φίλον ἀπέκτεινε, καὶ ἀνδρεῖον ἐν τοῖς πρωταγωνισταῖς, Ποδῆν τὸν υἱὸν τοῦ Ἠετίωνος. Οὕτως εἶπε, τοῦτον δὲ λύπης νεφέλη σκοτεινὴ περιεκάλυψεν· ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιστῶν καθωπλισμένος σιδήρῳ λαμπρῷ. καὶ τότε δὴ ὁ υἱὸς τοῦ Κρόνου ἔλαβε τὴν αἰγίδα τὴν κροσσοὺς ἔχουσαν τὴν λαμπρὰν, τὴν Ἴδην δὲ κατεκάλυψε νέφεσιν, ἀστράψας δὲ πάνυ μεγάλως ἐβρόντησε, ταύτην δὲ διέσεισε, τοῖς Τρωσὶ δὲ νίκην ἐδωρεῖτο, τοὺς Ἕλληνας δὲ εἰς φυγὴν ἔτρεψε. Πρῶτος Πηνέλαος ὁ Βοιωτὸς ἤρξατο φυγῆς, ἐτρώθη γὰρ κατὰ τὸν ὦμον δόρατι, εἰς τὸ πρόσω ἀεὶ ὁρμῶν κατὰ τὸ ἄκρον ἐπιξεστικῶς, ἔξεσε δὲ τὸ ὀστοῦν αὐτοῦ παντελῶς ἡ ἐπιδορατὶς τοῦ Πολυδάμαντος, οὗτος γὰρ αὐτὸν ἔτρωσεν ἐγγὺς παραγενόμενος. Ἕκτωρ δὲ τὸν Λήϊτον ἐκ τοῦ σύνεγγυς ἔτρωσε κατὰ τὴν χεῖρα παρὰ τῷ καρπῷ, τὸν υἱὸν τοῦ μεγαλοψύχου Ἀλεκτρυόνος, ἀπέπαυσε δὲ αὐτὸν τῆς μάχης, ἐτράπη δὲ εἰς φυγὴν περι-

Ἔγχος ἔχων ἐν χειρὶ μαχήσεσθαι Τρώεσσιν.
Ἕκτορα δ' Ἰδομενεὺς μετὰ Λήϊτον ὁρμηθέντα
Βεβλήκει θώρηκα κατὰ στῆθος παρὰ μαζόν·
Ἐν καυλῷ δ' ἐάγη δολιχὸν δόρυ· τοὶ δ' ἐβόησαν
Τρῶες· ὁ δ' Ἰδομενῆος ἀκόντισε Δευκαλίδαο
Δίφρῳ ἐφεσταότος· τοῦ μέν ῥ' ἀπὸ τυτθὸν ἅμαρτεν·
Αὐτὰρ ὁ Μηριόναο ὀπάονά θ', ἡνίοχόν τε,
Κοίρανον, ὅς ῥ' ἐκ Λύκτου ἐϋκτιμένης ἕπετ' αὐτῷ·
Πεζὸς γὰρ τὰ πρῶτα, λιπὼν νέας ἀμφιελίσσας
Ἤλυθε, καί κεν Τρωσὶ μέγα κράτος ἐγγυάλιξεν,
Εἰ μὴ Κοίρανος ὦκα ποδώκεας ἤλασεν ἵππους·
Καὶ τῷ μὲν φάος ἦλθεν, ἄμυνε δὲ νηλεὲς ἦμαρ·
Αὐτὸς δ' ὤλεσε θυμὸν ὑφ' Ἕκτορος ἀνδροφόνοιο.
Τὸν βάλ' ὑπὸ γναθμοῖο καὶ οὔατος, ἐκ δ' ἄρ' ὀδόντας
Ὦσε δόρυ πρυμνὸν, διὰ δὲ γλῶσσαν τάμε μέσσην.
Ἤριπε δ' ἐξ ὀχέων, κατὰ δ' ἡνία χεῦεν ἔραζε·
Καὶ τάγε Μηριόνης ἔλαβεν χείρεσσι φίλῃσι
Κύψας ἐκ πεδίοιο, καὶ Ἰδομενῆα προσηύδα·
Μάστιε νῦν, εἵως κε θοὰς ἐπὶ νῆας ἵκηαι·
Γινώσκεις δὲ καὶ αὐτὸς, ὅτ' οὐκέτι κάρτος Ἀχαιῶν.
Ὣς ἔφατ'· Ἰδομενεὺς δ' ἵμασεν καλλίτριχας ἵππους
Νῆας ἐπὶ γλαφυράς· δὴ γὰρ δέος ἔμπεσε θυμῷ·
Οὐδ' ἔλαθ' Αἴαντα μεγαλήτορα καὶ Μενέλαον
Ζεὺς, ὅτε δὴ Τρώεσσι δίδου ἑτεραλκέα νίκην·
Τοῖσι δὲ μύθων ἦρχε μέγας Τελαμώνιος Αἴας·
Ὢ πόποι, ἤδη μέν γε καὶ ὃς μάλα νήπιός ἐστι,
Γνοίη, ὅτι Τρώεσσι πατὴρ Ζεὺς αὐτὸς ἀρήγει·
Τῶν μὲν γὰρ πάντων βέλε' ἅπτεται, ὅστις ἀφείη,

βλεψάμενος, ἐπειδὴ οὐκέτι ἤλπιζε τῇ ψυχῇ πολεμήσειν τοῖς Τρωσὶν ἔχων τὸ δόρυ ἐν τῇ χειρί. Τὸν Ἕκτορα δὲ ὁ Ἰδομενεὺς ἐπὶ τὸν Λήϊτον ὁρμηθέντα ἔβαλε κατὰ τὸν θώρακα εἰς τὸ στῆθος παρὰ τὸν μαζὸν, συνετρίβη δὲ τὸ μακρὸν δόρυ ἐν τῷ καυλῷ, ἤγουν κατὰ τὸ ἀποξυνόμενον μέρος, ὃ ἐμβάλλεται τῇ ἐπιδορατίδι· οἱ δὲ ἐβόησαν οἱ Τρῶες, οὗτος δὲ κατὰ τοῦ Ἰδομενέως τοῦ υἱοῦ τοῦ Δευκαλίωνος ἀφῆκε τὸ δόρυ ἐπὶ τοῦ ὀχήματος ἑστῶτος· τούτου μὲν οὖν δι' ὀλίγον ἀπέτυχεν, αὐτὸς δὲ τὸν θεράποντα καὶ ἡνίοχον τοῦ Μηριόνου τὸν Κοίρανον, ὅστις δὴ ἐκ τῆς Λύκτου τῆς καλῶς οἰκουμένης εἵπετο αὐτῷ· πεζὸς γὰρ τὸ πρῶτον καταλιπὼν τὰς ἀμφοτέρωθεν ἐλαυνομένας ναῦς ἀφίκετο, καὶ νίκην μεγάλην τοῖς Τρωσὶν ἐπέδωκεν ἂν, εἰ μὴ ὁ Κοίρανος ταχέως ἀπήγαγε τοὺς ταχύποδας ἵππους, καὶ τούτῳ μὲν φῶς καὶ ζωὴ παρεγένετο, ἀπεσόβησε γὰρ τὴν χαλεπὴν ἡμέραν, αὐτὸς δὲ ἀπώλεσε τὴν ψυχὴν ὑπὸ τοῦ ἀνδροκτόνου Ἕκτορος· τοῦτον ἔτρωσεν ὑπὸ τὴν σιαγόνα καὶ τὸ οὖς, τοὺς ὀδόντας δὲ ἐξέσπασε τὸ τοῦ δόρατος ἄκρον, ἤγουν ἡ ἐπιδορατὶς, διέκοψε δὲ τὸ μέσον τῆς γλώττης, κατέπεσε δὲ ἐκ τοῦ ὀχήματος, καὶ τὰς ἡνίας ἐπὶ τὴν γῆν κατέχεε, καὶ ταύτας ὁ Μηριόνης ἔλαβε ταῖς ἀγαπηταῖς χερσὶ κύψας χαμόθεν ἐκ τοῦ πεδίου, καὶ πρὸς τὸν Ἰδομενέα ἔλεγε· Μάστιζε νῦν ἕως ἂν εἰς τὰς ταχείας ναῦς καταλάβῃς, οἶδας γὰρ καὶ σὺ ὅτι οὐκέτι νίκη τῶν Ἑλλήνων ἐστίν. Οὕτως εἶπεν. ὁ Ἰδομενεὺς δὲ ἐμάστιξε τοὺς ὡραιότριχας ἵππους ἐπὶ τὰς βαθείας ναῦς, ἤδη γὰρ ἐνέπεσε φόβος εἰς τὴν ψυχὴν αὐτοῦ, οὐδὲ τὸν μεγαλόψυχον Αἴαντα, καὶ τὸν Μενέλαον ἔλαθεν ὁ Ζεὺς, ἡνίκα τοῖς Τρωσὶν ἐδωρεῖτο νίκην ἑτερορρεπῆ. ἐν τούτοις δὲ λόγων ἤρξατο ὁ μέγας τοῦ Τελαμῶνος Αἴας· Φεῦ φεῦ, ἤδη καὶ ὃς πάνυ ἀνόητος ὑπάρχει εἰδείη ἂν, ὅτι τοῖς Τρωσὶν αὐτὸς ὁ Ζεὺς ὁ πατὴρ βοηθεῖ, τούτων μὲν γὰρ πάντων

Ἢ κακὸς, ἢ ἀγαθός· Ζεὺς δ' ἔμπης πάντ' ἰθύνει·
Ἡμῖν δ' αὔτως πᾶσιν ἐτώσια πίπτει ἔραζε.
Ἀλλ' ἄγετ', αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
Ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
Χάρμα φίλοις ἑτάροισι γενώμεθα νοστήσαντες·
Οἵ που δεῦρ' ὁρόωντες ἀκηχέδατ', οὐδ' ἔτι φασὶν
Ἕκτορος ἀνδροφόνοιο μένος καὶ χεῖρας ἀάπτους
Σχήσεσθ', ἀλλ' ἐν νηυσὶ μελαίνῃσιν πεσέεσθαι·
Εἴη δ' ὅστις ἑταῖρος ἀπαγγείλειε τάχιστα
Πηλείδῃ· ἐπεὶ οὔ μιν ὀΐομαι οὐδὲ πεπύσθαι
Λυγρῆς ἀγγελίης, ὅτι οἱ φίλος ὤλεθ' ἑταῖρος.
Ἀλλ' οὔπῃ δύναμαι ἰδέειν τοιοῦτον Ἀχαιῶν·
Ἠέρι γὰρ κατέχονται ὁμῶς αὐτοί τε καὶ ἵπποι.
Ζεῦ πάτερ, ἀλλὰ σὺ ῥῦσαι ὑπ' ἠέρος υἷας Ἀχαιῶν·
Ποίησον δ' αἴθρην, δὸς δ' ὀφθαλμοῖσιν ἰδέσθαι·
Ἐν δὲ φάει καὶ ὄλεσσον, ἐπεί νύ τοι εὔαδεν οὕτως.
Ὣς φάτο· τὸν δὲ πατὴρ ὀλοφύρατο δακρυχέοντα·
Αὐτίκα δ' ἠέρα μὲν σκέδασεν, καὶ ἀπῶσεν ὀμίχλην·
Ἠέλιος δ' ἐπέλαμψε, μάχη δ' ἐπὶ πᾶσα φαάνθη·
Καὶ τότ' ἄρ' Αἴας εἶπε βοὴν ἀγαθὸν Μενέλαον·
Σκέπτεο νῦν, Μενέλαε διοτρεφὲς, αἴκεν ἴδηαι
Ζωὸν ἔτ' Ἀντίλοχον, μεγάθυμον Νέστορος υἱόν·
Ὄτρυνον δ' Ἀχιλῆϊ δαΐφρονι θᾶσσον ἰόντα
Εἰπεῖν, ὅττι ῥά οἱ πολὺ φίλτατος ὤλεθ' ἑταῖρος.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε βοὴν ἀγαθὸς Μενέλαος·
Βῆ δ' ἰέναι, ὥς τίς τε λέων ἀπὸ μεσσαύλοιο,
Ὅστ' ἐπεὶ ἂρ κεκάμῃσι κύνας τ' ἄνδρας τ' ἐρεθίζων,
Οἵτε μιν οὐκ εἰῶσι βοῶν ἐκ πῖαρ ἑλέσθαι,

τὰ βέλη ἅπτονται, καὶ τιτρώσκουσιν, ὅς ἂν βάλοι, ἢ δειλὸς καὶ ἄπειρος, ἢ ἀνδρεῖος καὶ ἔμπειρος, ὁ Ζεὺς δ᾽ ὅμως πάντα κατευθύνει· ἡμῖν δὲ πᾶσιν εἰκῆ μάταια πίπτουσιν ἐπὶ τὴν γῆν. ἀλλ᾽ ἄγετε, ἡμεῖς γοῦν βουλευσώμεθα βουλὴν βελτίστην, καὶ ἵνα τὸν νεκρὸν ἑλκύσωμεν, καὶ ἡμεῖς χαρὰ τοῖς ἀγαπητοῖς φίλοις γενώμεθα ὑποστρέψαντες, οἳ δήπου ἐνθάδε ὁρῶντες λυποῦνται, οὐδέ τι οἴονται πρὸς τὴν τοῦ ἀνδροκτόνου Ἕκτορος ὁρμὴν, καὶ τὰς ἀπροσπελάστους χεῖρας ἀνθέξειν, ἀλλ᾽ ἐν ταῖς μελαίναις ναυσὶ πεσεῖσθαι· εἴη δὲ ὅστις φίλος μηνύσειε πάνυ ταχέως τῷ υἱῷ τοῦ Πηλέως, ἐπειδὴ οὐκ οἴομαι αὐτὸν ἀκηκοέναι τὴν λυπηρὰν ἀγγελίαν, ὅτι ἀπώλετο αὐτῷ ὁ ἀγαπητὸς φίλος. ἀλλ᾽ οὐδαμοῦ δύναμαι θεάσασθαι τοιοῦτόν τινα τῶν Ἑλλήνων, ἀορασία (ὁμίχλη) γὰρ κατέχονται αὐτοί τε ὁμοίως καὶ οἱ ἵπποι· Ὦ Ζεῦ πάτερ, ἀλλὰ σὺ ἀπάλλαξον τῆς ὁμίχλης τοὺς υἱοὺς τῶν Ἑλλήνων, ποίησον δὲ εὐδίαν καὶ αὐγὴν, δὸς δὲ θεάσασθαι τοῖς ὀφθαλμοῖς, ἐν τῷ φωτὶ δὲ καὶ ἀπόκτεινον, ἐπειδή σοι οὕτως ἀρέσκει. Οὕτως εἶπε· τοῦτον δὲ ὁ πατὴρ ἠλέησε δακρυρροοῦντα, παραχρῆμα δὲ τὴν μὲν ὁμίχλην διεσκέδασε, καὶ ἐξήλασε τὸν σκοτεινὸν ἀέρα, ἐπέλαμψε δὲ ὁ ἥλιος, πᾶσα δὲ ἡ μάχη ἐπεφάνη. καὶ τότε δὴ εἶπεν ὁ Αἴας πρὸς τὸν κατὰ πόλεμον χρηστὸν καὶ ἀνδρεῖον Μενέλαον· Σκόπει νῦν, ὦ Μενέλαε ἐνδόξως τεθραμμένε, ἐὰν ἴδῃς ἔτι ζῶντα τὸν Ἀντίλοχον, τὸν υἱὸν τοῦ μεγαλοψύχου Νέστορος, πρότρεψον δὲ τάχιον παρελθόντα τῷ συνετῷ Ἀχιλλεῖ εἰπεῖν, ὅτι δὴ αὐτῷ ἀπώλετο ὁ τὰ μάλιστα ἠγαπημένος φίλος. Οὕτως εἶπεν· ὑπήκουσε δὲ ὁ κατὰ πόλεμον ἀγαθὸς Μενέλαος, ὥρμησε δὲ πορεύεσθαι ὥσπερ τις λέων ἀπὸ σταθμοῦ, ὅστις ἐπειδὰν κάμῃ καὶ ἀδυνατήσῃ παροξύνων τοὺς κύνας καὶ τοὺς ἄνδρας,

Παννύχιοι ἐγρήσσοντες· ὁ δὲ, κρειῶν ἐρατίζων,
Ἰθύει, ἀλλ᾽ οὔτι πρήσσει· θαμέες γὰρ ἄκοντες
Ἀντίοι ἀΐσσουσι θρασειάων ἀπὸ χειρῶν,
Καιόμεναί τε δεταὶ, τάς τε τρεῖ ἐσσύμενός περ·
Ἠῶθεν δ᾽ ἀπονόσφιν ἔβη τετιηότι θυμῷ·
Ὡς ἀπὸ Πατρόκλοιο βοὴν ἀγαθὸς Μενέλαος
Ἤϊε πόλλ᾽ ἀέκων· πέρι γὰρ δίε, μή μιν Ἀχαιοὶ
Ἀργαλέου πρὸ φόβοιο ἕλωρ δηΐοισι λίποιεν·
Πολλὰ δὲ Μηριόνῃ τε καὶ Αἰάντεσσ᾽ ἐπέτελλεν·
Αἴαντ᾽, Ἀργείων ἡγήτορε, Μηριόνη τε,
Νῦν τις ἐνηείης Πατροκλῆος δειλοῖο
Μνησάσθω· πᾶσι γὰρ ἐπίστατο μείλιχος εἶναι
Ζωὸς ἐών· νῦν δ᾽ αὖ θάνατος καὶ μοῖρα κιχάνει.
Ὡς ἄρα φωνήσας ἀπέβη ξανθὸς Μενέλαος,
Πάντοσε παπταίνων, ὥστ᾽ αἰετὸς, ὅν ῥά τε φασὶ
Ὀξύτατον δέρκεσθαι ὑπουρανίων πετεηνῶν,
Ὅν τε καὶ ὑψόθ᾽ ἐόντα πόδας ταχὺς οὐκ ἔλαθε πτὼξ,
Θάμνῳ ὑπ᾽ ἀμφικόμῳ κατακείμενος· ἀλλά τ᾽ ἐπ᾽ αὐτῷ
Ἔσσυτο, καί τε μιν ὦκα λαβὼν ἐξείλετο θυμόν.
Ὡς τότε σοὶ, Μενέλαε διοτρεφὲς, ὄσσε φαεινὼ
Πάντοσε δινείσθην, πολέων κατὰ ἔθνος ἑταίρων,
Εἴ που Νέστορος υἱὸν ἔτι ζώοντα ἴδοιο.
Τὸν δὲ μάλ᾽ αἶψ᾽ ἐνόησε, μάχης ἐπ᾽ ἀριστερὰ πάσης·
Θαρσύνοιθ᾽ ἑτάρους, καὶ ἐποτρύνοντα μάχεσθαι·
Ἀγχοῦ δ᾽ ἱστάμενος προσέφη ξανθὸς Μενέλαος·
Ἀντίλοχ᾽, εἰδ᾽ ἄγε δεῦρο, διοτρεφὲς, ὄφρα πύθηαι
Λυγρῆς ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
Ἤδη μέν σε καὶ αὐτὸν ὀΐομαι εἰσορόωντα

οἵτινες αὐτὸν οὐκ ἐῶσιν ἐξελέσθαι καὶ ἀποσπάσαι λίπος βοῶν ὅλην τὴν νύκτα γρηγοροῦντες· οὗτος δὲ κρεάτων ἐπιθυμῶν ὁρμᾷ, ἀλλ᾽ οὐδὲν πράττει, πυκνὰ γὰρ ἀκόντια ἐξ ἐναντίας φέρονται ἀπὸ χειρῶν θρασειῶν καὶ εὐτόλμων, καὶ αἱ καιόμεναι ἐκ δᾴδων συνδεδεμέναι λαμπάδες, ἅσπερ δέδοικεν, καίπερ προθυμότατα ἐφορμῶν, ἕωθεν δὲ πόῤῥω ἀπῆλθε τεθλιμμένῃ ψυχῇ. οὕτως ἀπὸ τοῦ Πατρόκλου ὁ κατὰ πόλεμον ἀγαθὸς Μενέλαος ἐπορεύετο πάνυ ἄκων, μάλα γὰρ ἐδεδοίκει, μήπως αὐτὸν οἱ Ἕλληνες ὑπὸ τοῦ ὀδυνηροῦ φόβου σπάραγμα τοῖς πολεμίοις καταλίπωσι. πολλὰ δὲ τῷ τε Μηριόνῃ καὶ τοῖς Αἴασιν ἐπέταττε λέγων· Ὦ Αἴαντες ἡγεμόνες τῶν Ἑλλήνων, καὶ Μηριόνη, νυνί τις τῆς φιλοφροσύνης καὶ πρᾳότητος τοῦ κακοδαίμονος Πατρόκλου μνησθήτω, σύμπασι γὰρ ᾔδει εἶναι φιλόφρων τε καὶ ἐπιεικὴς, ἡνίκα ἔζη, νῦν δὲ θάνατος καὶ τὸ πεπρωμένον αὐτὸν κατέλαβεν. Οὕτω δὴ φωνήσας ἀπῆλθεν ὁ πυῤῥὸς Μενέλαος ἐπὶ πᾶν μέρος θεώμενος, καθάπερ ἀετὸς, ὃν δή φασι διορατικὸν καὶ ὀξύτατον ἐν τῷ ὁρᾷν πάντων τῶν ἐναερίων πετεινῶν, ὅνπερ καὶ ἐν τῷ ὕψει ὄντα οὐκ ἔλαθεν ὁ κατὰ τοὺς πόδας ταχὺς λαγωὸς ὑπὸ θάμνῳ ἀμφιλαφεῖ κατακείμενος, ἀλλ᾽ ἐπ᾽ αὐτὸν ὥρμησε, καὶ ταχέως αὐτὸν λαβὼν ἀφείλετο τὴν ψυχήν. οὕτω τότε σοὶ, ὦ Μενέλαε ἐνδοξότατα τεθραμμένε, οἱ λαμπροὶ ὀφθαλμοὶ ἐπὶ πᾶν μέρος περιεστρέφοντο κατὰ τὸ πλῆθος τῶν πολλῶν φίλων, εἴ που τὸν υἱὸν τοῦ Νέστορος ἔτι ζῶντα θεάσαιο· τοῦτον δὲ πάνυ ταχέως εἶδεν εἰς τὰ ἀριστερὰ παντὸς τοῦ πολέμου παραθαῤῥύνοντα καὶ εὐτόλμους ποιοῦντα τοὺς φίλους καὶ παροξύνοντα πολεμεῖν· πλησίον δὲ στὰς εἶπε πρὸς αὐτὸν ὁ πυῤῥὸς Μενέλαος· Ὦ Ἀντίλοχε, ἄγε δὴ ἐνθάδε, ἐνδόξως τεθραμμένε, ὅπως ἀκούσῃς ἀγγελίαν ὀδυνηρὰν, ἥτις εἴθε μὴ ὤφλησε γενέσθαι· ἤδη

Γινώσκειν, ὅτι πῆμα θεὸς Δαναοῖσι κυλίνδει,
Νίκη δὲ Τρώων· πέφαται δ' ὤριστος Ἀχαιῶν
Πάτροκλος, μεγάλη δὲ ποθὴ Δαναοῖσι τέτυκται·
Ἀλλὰ σύ γ' αἶψ' Ἀχιλῆϊ, θέων ἐπὶ νῆας Ἀχαιῶν,
Εἰπεῖν, αἴκε τάχιστα νέκυν ἐπὶ νῆα σαώσῃ
Γυμνόν· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.
Ὣς ἔφατ'· Ἀντίλοχος δὲ κατέστυγε, μῦθον ἀκούσας·
Δὴν δέ μιν ἀμφασίη ἐπέων λάβε· τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή·
Ἀλλ' οὐδ' ὧς Μενελάου ἐφημοσύνης ἀμέλησε·
Βῆ δὲ θέειν, τὰ δὲ τεύχε' ἀμύμονι δῶκεν ἑταίρῳ
Λαοδόκῳ, ὅς οἱ σχεδὸν ἔστρεφε μώνυχας ἵππους·
Τὸν μὲν, δακρυχέοντα πόδες φέρον ἐκ πολέμοιο,
Πηλείδῃ Ἀχιλῆϊ κακὸν ἔπος ἀγγελέοντα.
Οὐδ' ἄρα σοὶ, Μενέλαε διοτρεφὲς, ἤθελε θυμὸς
Τειρομένοις ἑτάροισιν ἀμυνέμεν. ἔνθεν ἀπῆλθεν
Ἀντίλοχος, μεγάλη δὲ ποθὴ Πυλίοισιν ἐτύχθη·
Ἀλλ' ὅγε τοῖσιν μὲν Θρασυμήδεα δῖον ἀνῆκεν,
Αὐτὸς δ' αὖτ' ἐπὶ Πατρόκλῳ ἥρωϊ βεβήκει·
Στῆ δὲ παρ' Αἰάντεσσι θέων, εἶθαρ δὲ προσηύδα·
Κεῖνον μὲν δὴ νηυσὶν ἐπιπροέηκα θοῇσιν,
Ἐλθεῖν εἰς Ἀχιλῆα πόδας ταχύν· οὐδέ μιν οἴω
Νῦν ἰέναι, μάλα περ κεχολωμένον Ἕκτορι δίῳ,
Οὐ γάρ πως ἂν γυμνὸς ἐὼν Τρώεσσι μάχοιτο·
Ἡμεῖς δ' αὐτοί περ φραζώμεθα μῆτιν ἀρίστην,
Ἠμὲν ὅπως τὸν νεκρὸν ἐρύσσομεν, ἠδὲ καὶ αὐτοὶ
Τρώων ἐξ ἐνοπῆς θάνατον καὶ κῆρα φύγοιμεν.
Τὸν δ' ἠμείβετ' ἔπειτα μέγας Τελαμώνιος Αἴας

μέντοι καὶ σὲ αὐτὸν ὑπολαμβάνω θεόμενον εἰδέναι, ὅτι ὁ θεὸς βλάβος τοῖς Ἕλλησιν ἐπάγει, ἡ νίκη δὲ τῶν Τρώων ἐστὶν, ἀνῃρέθη γὰρ ὁ ἄριστος τῶν Ἑλλήνων Πάτροκλος, μεγάλη δὲ ὑστέρησις καὶ ἐπιπόθησις γέγονε τοῖς Ἕλλησιν. ἀλλὰ σύγε ταχέως τῷ Ἀχιλλεῖ τρέχων ἐπὶ τὰς ναῦς τῶν Ἑλλήνων εἰπὲ, ἂν ὅτι τάχος τὸν νεκρὸν εἰς τὰς ναῦς διασώσῃ ἄοπλον, τὰ γὰρ ὅπλα ἔχει Ἕκτωρ ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν. Οὕτως εἶπεν· Ἀντίλοχος δὲ κατεπλάγη ἀκούσας τὸν λόγον, ἐπὶ πολὺ δὲ αὐτὸν ἀφωνία λόγων κατέλαβεν, οἱ ὀφθαλμοὶ δὲ αὐτοῦ δακρύων ἐπλήσθησαν, ἡ ἀνθηρὰ δὲ καὶ ἀκμαία φωνὴ αὐτοῦ κατεσχέθη. ἀλλ' οὐδὲ οὕτως τῆς ἐντολῆς τοῦ Μενελάου ἠμέλησεν, ὥρμησε δὲ τρέχειν, τὰ ὅπλα δὲ ἔδωκε τῷ ἀμωμήτῳ φίλῳ τῷ Λαοδόκῳ, ὅστις πλησίον αὐτοῦ περιῆγε τοὺς μονώνυχας ἵππους. τοῦτον μὲν οὖν κλαίοντα οἱ πόδες ἀπῆγον ἐκ τοῦ πολέμου, Ἀχιλλεῖ τῷ υἱῷ τοῦ Πηλέως δεινὸν λόγον μηνύσοντα· οὐδ' ἄρα σοὶ, ὦ Μενέλαε ἐνδόξως τεθραμμένε, ἔθελεν ἡ ψυχὴ καταπονουμένοις τοῖς φίλοις βοηθεῖν, ὅθεν ἀνεχώρησεν ὁ Ἀντίλοχος, μεγάλη δὲ στέρησις καὶ ἐπιπόθησις ἐγένετο τοῖς Πυλίοις. ἀλλ' οὗτός γε τούτοις μὲν Θρασυμήδην τὸν ἐνδοξότατον παρορμήσας ἀφῆκεν, αὐτὸς δὲ πρὸς τὸν ἥρωα Πάτροκλον ἐπορεύθη, τρέχων δὲ ἔστη παρὰ τοῖς Αἴασιν, εὐθέως δὲ ἔλεγε πρὸς αὐτούς· Ἐκεῖνον μὲν οὖν ἐπὶ τὰς ταχείας ναῦς ἔπεμψα ἀφικέσθαι πρὸς τὸν κατὰ πόδας ταχὺν Ἀχιλλέα, οὐδ' ὑπολαμβάνω αὐτὸν νῦν ἐπιέναι τῷ ἐνδοξοτάτῳ Ἕκτωρι, καίπερ τὰ μάλιστα ὀργιζόμενον· οὐ γὰρ ἄν πως δύναιτο μάχεσθαι τοῖς Τρωσὶν ἄοπλος ὤν· ἡμεῖς δὲ αὐτοὶ βουλευσώμεθα βουλὴν ἀρίστην, ἵνα καὶ τὸν νεκρὸν ἑλκύσωμεν, καὶ ἡμεῖς ἐκ τῆς μάχης τῶν Τρώων θάνατον καὶ μοῖραν κακὴν διαφύγωμεν. Πρὸς τοῦτον δὲ ἀπεκρίνετο μετὰ

Πάντα κατ' αἶσαν ἔειπες, ἀγακλεὲς ὦ Μενέλαε·
Ἀλλὰ σὺ μὲν, καὶ Μηριόνης, ὑποδύντε μάλ' ὦκα,
Νεκρὸν ἀείραντες φέρετ' ἐκ πόνου· αὐτὰρ ὄπισθε
Νῶϊ μαχησόμεθα Τρωσίν τε καὶ Ἕκτορι δίῳ,
Ἶσον θυμὸν ἔχοντες ὁμώνυμοι, οἳ τὸ πάρος περ
Μίμνομέν ὀξὺν ἄρηα παρ' ἀλλήλοισι μένοντες.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα νεκρὸν ἀπὸ χθονὸς ἀγκάζοντο
Ὕψι μάλα μεγάλως· ἐπὶ δ' ἴαχε λαὸς ὄπισθε
Τρωϊκὸς, ὡς εἴδοντο νέκυν αἴροντας Ἀχαιούς·
Ἴθυσαν δὲ, κύνεσσιν ἐοικότες, οἵτ' ἐπὶ κάπρῳ
Βλημένῳ ἀΐξωσι πρὸ κούρων θηρητήρων·
Ἕως μὲν γάρ τε θέουσι, διαῤῥαῖσαι μεμαῶτες·
Ἀλλ' ὅτε δή ῥ' ἐν τοῖσιν ἑλίξεται, ἀλκὶ πεποιθὼς,
Ἄψ τ' ἀνεχώρησαν διά τ' ἔτρεσαν ἄλλυδις ἄλλος·
Ὣς Τρῶες, εἵως μὲν ὁμιλαδὸν αἰὲν ἕποντο,
Νύσσοντες ξίφεσίν τε καὶ ἔγχεσιν ἀμφιγύοισιν·
Ἀλλ' ὅτε δή ῥ' Αἴαντε μεταστρεφθέντε κατ' αὐτοὺς
Σταίησαν, τῶνδε τρέπετο χρὼς, οὐδέ τις ἔτλη
Πρόσσω ἀΐξας, περὶ νεκροῦ δηριάασθαι·
Ὣς οἵ γε μεμαῶτε νέκυν φέρον ἐκ πολέμοιο
Νῆας ἐπὶ γλαφυράς· ἐπὶ δὲ πτόλεμος τέτατό σφιν
Ἄγριος, ἠΰτε πῦρ, τό τ' ἐπεσσύμενον, πόλιν ἀνδρῶν
Ὄρμενον ἐξαίφνης φλεγέθει, μινύθουσι δὲ οἶκοι
Ἐν σέλαϊ μεγάλῳ· τὸ δ' ἐπιβρέμει ἶς ἀνέμοιο·
Ὣς μὲν τοῖς ἵππων τε καὶ ἀνδρῶν αἰχμητάων
Ἀζηχὴς ὀρυμαγδὸς ἐπήϊεν ἐρχομένοισιν.
Οἱ δ' ὥσθ' ἡμίονοι, κρατερὸν μένος ἀμφιβαλόντες,
Ἕλκωσ' ἐξ ὄρεος κατὰ παιπαλόεσσαν ἀταρπὸν,

ταῦτα ὁ τοῦ Τελαμῶνος μέγας Αἴας· Πάντα κατὰ τὸ πρέπον εἶπας, ὦ ὑπερένδοξε Μενέλαε· ἀλλὰ σὺ μὲν καὶ ὁ Μηριόνης ὑπεισελθόντες πάνυ ταχέως, τὸν νεκρὸν ἄραντες κομίσατε ἔξω τῆς μάχης, ὄπισθεν δὲ ἡμεῖς πολεμήσομεν τοῖς Τρωσὶ καὶ τῷ ἐνδοξοτάτῳ Ἕκτορι, ὁμοίαν εὐψυχίαν ἔχοντες οἱ τῷ αὐτῷ ὀνόματι καλούμενοι, οἳ καὶ πρότερον ὑπεμένομεν τὸν ὀξὺν πόλεμον παρ᾽ ἀλλήλοις ἑστῶτες. Οὕτως εἶπεν· οὗτοι δὲ τὸν νεκρὸν ἀπὸ τῆς γῆς περιελάμβανον εἰς ὕψος πάνυ ἠρμένως, ὄπισθεν δὲ τὸ πλῆθος ἐβόησε τὸ Τρωϊκὸν, ἐπειδὴ ἐθεάσαντο τοὺς Ἕλληνας ἀναιρουμένους τὸν νεκρὸν, ὥρμησαν δὲ ὅμοιοι τοῖς κυσὶν, οἵπερ ἂν ἐπὶ κάπρον τετρωμένον ὁρμήσωσιν, ἔμπροσθεν νέων θηρευτῶν· τέως μὲν γὰρ τρέχουσι διασπαράξαι αὐτὸν προθυμούμενοι, ἀλλ᾽ ὁπηνίκα δὴ ἐν τούτοις στραφήσεται τῇ ἰσχύϊ θαῤῥῶν, εἰς τοὐπίσω ἀνέδραμον, καὶ εἰς φυγὴν ἐτράπησαν ἄλλοσε ἄλλος. Οὕτως οἱ Τρῶες τέως μὲν ἀθρόοι ἀεὶ ἐπεδίωκον πλήττοντες ξίφεσι καὶ δόρασιν ἑκατέρωθεν ἠκονημένοις· ἀλλ᾽ ὁπηνίκα δὴ οἱ Αἴαντες ἐπιστραφέντες παρ᾽ αὐτοὺς ἔστησαν, τούτων ἀλλοιοῦτο τὸ χρῶμα, οὐδέ τις ὑπέμενεν εἰς τὸ πρόσω ὁρμήσας περὶ τοῦ νεκροῦ μαχέσασθαι. Οὕτως οὗτοι προθυμούμενοι τὸν νεκρὸν ἔφερον ἔξω τῆς μάχης ἐπὶ τὰς βαθείας ναῦς, πόλεμος δὲ αὐτοῖς ἐξετάθη καὶ συνηύξητο χαλεπὸς, καθάπερ πῦρ, ὅπερ ἐπειγόμενον πόλιν ἀνδρῶν κατακαίει, ὁρμηθὲν αἰφνιδίως, φθείρονται δὲ οἱ οἶκοι ἐν ἐξάψει πυρὸς μεγάλῃ, τοῦτο δὲ ἐπηχεῖ, καὶ ἐπεγείρει ἡ δύναμις τοῦ ἀνέμου· οὕτω μὲν τούτοις τῶν τε ἵππων καὶ τῶν ὁπλιτῶν ἀνδρῶν βοὴ καὶ θόρυβος ἰσχυρός τε καὶ διηνεκὴς ἠγείρετο πορευομένοις. οὗτοι δὲ ὥσπερ ἡμίονοι δύναμιν ἰσχυρὰν συμπλέξαντες καὶ ἐρώσαντες ἕλκουσιν ἐκ τοῦ ὄρους, καθ᾽ ὁδὸν σκολιὰν καὶ τραχεῖαν,

Ἢ δοκὸν, ἠὲ δόρυ μέγα νήϊον· ἐν δέ τε θυμὸς
Τείρεθ' ὁμοῦ καμάτῳ τε καὶ ἱδρῷ σπευδόντεσσιν·
Ὣς οἵ γε μεμαῶτε νέκυν φέρον· αὐτὰρ ὄπισθεν
Αἴαντ' ἰσχανέτην, ὥστε πρὼν ἰσχάνει ὕδωρ
Ὑλήεις, πεδίοιο διαπρύσιον τετυχηκώς·
Ὅστε καὶ ἰφθίμων ποταμῶν ἀλεγεινὰ ῥέεθρα
Ἴσχει, ἄφαρ δέ τε πᾶσι ῥόον πεδίονδε τίθησι
Πλάζων, οὐδέ τί μιν σθένεϊ ῥηγνῦσι ῥέοντες·
Ὣς αἰεὶ Αἴαντε μάχην ἀνέεργον ὀπίσσω
Τρώων· οἱ δ' ἅμ' ἕποντο, δύω δ' ἐν τοῖσι μάλιστα,
Αἰνείας τ' Ἀγχισιάδης· καὶ φαίδιμος Ἕκτωρ.
Τῶν δ' ὥστε ψαρῶν νέφος ἔρχεται, ἠὲ κολοιῶν,
Οὖλον κεκλήγοντες, ὅτε προΐδωσιν ἰόντα
Κίρκον, ὅ, τε σμικρῇσι φόνον φέρει ὀρνίθεσσιν·
Ὣς ἄρ' ὑπ' Αἰνείᾳ τε καὶ Ἕκτορι κοῦροι Ἀχαιῶν,
Οὖλον κεκλήγοντες ἴσαν, λήθοντο δὲ χάρμης,
Πολλὰ δὲ τεύχεα καλὰ πέσον περί τ' ἀμφί τε τάφρον,
Φευγόντων Δαναῶν· πολέμου δ' οὐ γίνετ' ἐρωή.

ἢ δοκὸν, ἢ ξύλον μέγαν ναυπηγήσιμον, ἡ ψυχὴ δὲ ἐν αὐτοῖς ἐπειγομένοις καταπονεῖται ὁμοῦ κόπῳ καὶ ἱδρῶτι· οὕτως οὗτοι προθυμούμενοι τὸν νεκρὸν ἔφερον, ὄπισθεν δὲ οἱ Αἴαντες διεκώλυον, ὥσπερ προοχὴ ὄρους κωλύει τὸ ὕδωρ δασεῖα καὶ ξυλώδης, διὰ τοῦ πεδίου διατόμως καὶ διατεταμένως κειμένη, ἥτις καὶ ποταμῶν σφοδρῶν χαλεπὰ ῥεύματα ἐπέχει καὶ κωλύει, ταχέως δὲ πᾶσι τὴν ῥύσιν εἰς τὸ πεδίον ἐμβάλλει ἀνακόπτουσα καὶ ἀνακρούουσα, οὐδέ τι δυνάμει διαιροῦσι καὶ διασπῶσιν αὐτὴν ῥέοντες. Οὕτως ἀεὶ οἱ Αἴαντες τὴν μάχην ἀνέστελλον καὶ ἀνεχαίτιζον εἰς τοὐπίσω τῶν Τρώων, οὗτοι δὲ ὁμοῦ ἐπεδίωκον, δύο δὲ ἐν τούτοις μάλιστα, Αἰνείας ὁ υἱὸς τοῦ Ἀγχίσου, καὶ ὁ λαμπρὸς Ἕκτωρ· τούτων δὲ ὥσπερ ἵπταται τὸ πλῆθος τῶν ψαρῶν, ἢ τῶν κολοιῶν κατὰ συστροφὴν ὀξέως βοῶντες, ὅταν προθεάσωνται ἐπερχόμενον ἱέρακα, ὅστις ταῖς μικραῖς ὄρνισι φόνον ἐπάγει· οὕτως δὴ ὑπὸ τοῦ Αἰνείου καὶ τοῦ Ἕκτορος οἱ υἱοὶ τῶν Ἑλλήνων συστρεφόμενοι εἰς ἀλλήλους καὶ βοῶντες ἐχώρουν, ἐπελάθοντο δὲ τῆς μάχης, πολλὰ δὲ καλὰ ὅπλα ἔπεσον περὶ τὴν τάφρον, φευγόντων τῶν Ἑλλήνων· ὑποχώρησις δὲ καὶ ἐπίσχεσις τοῦ πολέμου οὐκ ἐγίνετο.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩΔΙΑ Σ.

Ὣς οἱ μὲν μάρναντο δέμας πυρὸς αἰθομένοιο·
Ἀντίλοχος δ' Ἀχιλῆϊ πόδας ταχὺς ἄγγελος ἦλθε.
Τὸν δ' εὗρε προπάροιθε νεῶν ὀρθοκραιράων,
Τὰ φρονέοντ' ἀνὰ θυμὸν, ἃ δὴ τετελεσμένα ἦεν·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγὼ, τί τ' ἄρ' αὖτε καρηκομόωντες Ἀχαιοὶ
Νηυσὶν ἐπικλονέονται, ἀτυζόμενοι πεδίοιο;
Μὴ δή μοι τελέσωσι θεοὶ κακὰ κήδεα θυμῷ,
Ὥς ποτέ μοι μήτηρ διεπέφραδε, καί μοι ἔειπε,
Μυρμιδόνων τὸν ἄριστον, ἔτι ζώοντος ἐμεῖο,
Χερσὶν ὑπὸ Τρώων λείψειν φάος ἠελίοιο.
Ἦ μάλα δὴ τέθνηκε Μενοιτίου ἄλκιμος υἱὸς,
Σχέτλιος· ἦ τ' ἐκέλευον ἀπωσάμενον δήϊον πῦρ,
Ἂψ ἐπὶ νῆας ἴμεν, μηδ' Ἕκτορι ἶφι μάχεσθαι.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑΣ Σ

ΠΑΡΑΦΡΑΣΙΣ.

Οὕτως οὗτοι μὲν ἐμάχοντο τρόπον πυρὸς καιομένου· ὁ Ἀντίλοχος δὲ τῷ Ἀχιλλεῖ ταχύπους ἄγγελος παρεγένετο, τοῦτον δὲ εὗρεν ἔμπροσθεν τῶν νεῶν τῶν κατὰ πρύμναν καὶ πρώραν ἀνατεταμένων, ταῦτα διανοούμενον κατὰ ψυχὴν, ἃ δὴ τετελειωμένα ἦν, στενάξας δὲ εἶπε πρὸς τὴν ἑαυτοῦ μεγαλόφρονα ψυχήν· Οἴμοι, τί δὴ πάλιν οἱ τὰς κεφαλὰς κομῶντες Ἕλληνες ἐπὶ τὰς ναῦς συστρέφονται φεύγοντες διὰ τοῦ πεδίου; δέδοικα μή μοι τελειώσωσιν οἱ θεοὶ λύπας δεινὰς ἐν τῇ ψυχῇ, ὥσπερ ποτέ μοι ἡ μήτηρ διεσάφησε, καί μοι εἶπε· τὸν κράτιστον τῶν Μυρμιδόνων ἔτι ζῶντος ἐμοῦ ὑπὸ τῶν χειρῶν τῶν Τρώων καταλείψειν τὸ φῶς τοῦ ἡλίου, ἤγουν τεθνήξεσθαι· ὄντως (ἀκριβῶς) πάνυ δὴ ἀπέθανεν ὁ ἰσχυρὸς υἱὸς τοῦ Μενοιτίου, ὁ τλήμων καὶ ἑαυτῷ κακῶν αἴτιος· ὄντως ἐπέταττον ἀποκρουσάμενον τὸ καυστικὸν πῦρ ἐπὶ τὰς ναῦς εἰς τοὐπίσω ἔρχεσθαι, μηδὲ τῷ Ἕκτορι ἰσχυρῶς πολεμεῖν.

Ἕως ὁ ταῦθ' ὥρμαινε κατὰ φρένα καὶ κατὰ θυμὸν,
Τόφρα οἱ ἐγγύθεν ἦλθεν ἀγαυοῦ Νέστορος υἱὸς,
Δάκρυα θερμὰ χέων, φάτο δ' ἀγγελίην ἀλεγεινήν·
Ὤ μοι, Πηλέος υἱὲ δαΐφρονος, ἦ μάλα λυγρῆς
Πεύσεαι ἀγγελίης, ἣ μὴ ὤφελλε γενέσθαι.
Κεῖται Πάτροκλος· νέκυος δὲ δὴ ἀμφιμάχονται
Γυμνοῦ· ἀτὰρ τά γε τεύχε' ἔχει κορυθαίολος Ἕκτωρ.
Ὣς φάτο· τὸν δ' ἄχεος νεφέλη ἐκάλυψε μέλαινα·
Ἀμφοτέρῃσι δὲ χερσὶν ἑλὼν αἰθαλόεσσαν,
Χεύατο κὰκ κεφαλῆς, χαρίεν δ' ᾔσχυνε πρόσωπον·
Νεκταρέῳ δὲ χιτῶνι μέλαιν' ἀμφίζανε τέφρη.
Αὐτὸς δ' ἐν κονίῃσι μέγας μεγαλωστὶ τανυσθεὶς
Κεῖτο, φίλῃσι δὲ χερσὶ κόμην ᾔσχυνε δαΐζων.
Δμωαὶ δ', ἃς Ἀχιλεὺς ληΐσσατο, Πάτροκλός τε,
Θυμὸν ἀκηχέμεναι μεγάλ' ἴαχον, ἐκ δὲ θύραζε
Ἔδραμον ἀμφ' Ἀχιλῆα δαΐφρονα· χερσὶ δὲ πᾶσαι
Στήθεα πεπλήγοντο, λύθεν δ' ὕπο γυῖα ἑκάστης.
Ἀντίλοχος δ' ἑτέρωθεν ὀδύρετο, δάκρυα λείβων,
Χεῖρας ἔχων Ἀχιλῆος· ὁ δ' ἔστενε κυδάλιμον κῆρ·
Δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ.
Σμερδαλέον δ' ᾤμωξεν· ἄκουσε δὲ πότνια μήτηρ,
Ἡμένη ἐν βένθεσσιν ἁλὸς, παρὰ πατρὶ γέροντι,
Κώκυσέν τ' ἄρ' ἔπειτα· θεαὶ δέ μιν ἀμφαγέροντο
Πᾶσαι, ὅσαι κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
Ἔνθ' ἄρ' ἔην Γλαύκη τε, Θάλειά τε, Κυμοδόκη τε,
Νησαίη, Σπειώ τε, Θόη θ', Ἁλίη τε βοῶπις,
Κυμοθόη τε, καὶ Ἀκταίη, καὶ Λιμνώρεια
Καὶ Μελίτη, καὶ Ἴαιρα, καὶ Ἀμφιθόη, καὶ Ἀγαυὴ,

ἕως οὗτος ταῦτα ἀνεπόλει κατὰ τὸ λογιστικόν τε καὶ θυμικὸν, ἐν τούτῳ πλησίον παρεγένετο αὐτοῦ ὁ τοῦ λαμπροῦ Νέστορος υἱὸς κλαίων περιπαθῶς, εἶπε δὲ τὴν ὀδυνηρὰν ἀγγελίαν· Οἴμοι, ὦ υἱὲ τοῦ Πηλέως τοῦ συνετοῦ καὶ φρονίμου, ὄντως πάνυ χαλεπῆς ἀγγελίας ἀκούσεις, ἥτις εἴθε μὴ ὤφλησε γενέσθαι· τέθνηκεν ὁ Πάτροκλος, περὶ τοῦ νεκροῦ δὲ νῦν πολεμοῦσιν ἀόπλου, τὰ γάρ τοι ὅπλα Ἕκτωρ ἔχει ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν. Οὕτως εἶπε· τοῦτον δὲ λύπης νέφος σκοτεινὸν περιεκάλυψεν, ἑκατέρᾳ δὲ χειρὶ λαβὼν χοῦν τεφρώδη ἔχεεν κατὰ τῆς κεφαλῆς, δυσειδὲς δὲ ἐποίησε τὸ ὡραῖον πρόσωπον, τῷ εὐπρεπεῖ δὲ καὶ εὐώδει χιτῶνι μέλαινα τέφρα ἐπεκάθιζεν, αὐτὸς δὲ ἐν τῇ κόνει μέγας μεγάλως ἐκταθεὶς ἔκειτο, ταῖς ἀγαπηταῖς δὲ χερσὶ τὴν κόμην αἰσχρὰν ἐποίησεν ἀνασπῶν· αἱ δοῦλαι δὲ, ἃς ὁ Ἀχιλλεὺς ἐκτήσατο καὶ ὁ Πάτροκλος, λυπούμεναι κατὰ ψυχὴν μεγάλως ὠλόλυξαν, ἔξω δὲ ἐξέδραμον περὶ τὸν συνετὸν Ἀχιλλέα, πᾶσαι δὲ χερσὶ κατὰ τὰ στήθη ἐτύπτοντο, παρελύθησαν δὲ τὰ μέλη ἑκάστης. ὁ Ἀντίλοχος δὲ ἀφ᾽ ἑτέρου μέρους ὠδύρετο δάκρυα χέων κατέχων τὰς χεῖρας τοῦ Ἀχιλλέως· οὗτος δὲ ἀνέστενε κατὰ τὴν ἔνδοξον ψυχὴν, ἐφοβεῖτο γὰρ μὴ τὸν λαιμὸν ἀποκόψῃ τῷ σιδήρῳ, καταπληκτικῶς δὲ ἀνῴμωξεν, ἤκουσε δὲ ἡ σεβαστὴ μήτηρ καθημένη ἐν τῷ βάθει τῆς θαλάσσης παρὰ τῷ πατρὶ τῷ γέροντι· ἐθρήνησεν οὖν μετὰ ταῦτα, αἱ θεαὶ δὲ περὶ αὐτὴν συνηθροίσθησαν πᾶσαι, ὅσαι κατὰ τὸ βάθος τῆς θαλάσσης θυγατέρες τοῦ Νηρέως ἦσαν. Ἐκεῖ τοίνυν ἦν ἡ Γλαύκη, καὶ ἡ Θάλεια, καὶ ἡ Κυμοδόκη, καὶ ἡ Νησαία, καὶ ἡ Σπειὼ, καὶ ἡ Θόη, καὶ ἡ εὐόφθαλμος Ἁλίη, καὶ ἡ Κυμοθόη, καὶ ἡ Ἀκταία, καὶ ἡ Λιμνώρεια, καὶ ἡ Μελίτη, καὶ ἡ Ἴαιρα, καὶ ἡ Ἀμφιθόη, καὶ ἡ Ἀγαυὴ,

Δωτώ τε, Πρωτώ τε, Φέρουσά τε, Δυναμένη τε,
Δεξαμένη τε, καὶ Ἀμφινόμη, καὶ Καλλιάνειρα,
Δωρὶς, καὶ Πανόπη, καὶ ἀγακλειτὴ Γαλάτεια,
Νημερτής τε, καὶ Ἀψευδὴς, καὶ Καλλιάνασσα·
Ἔνθα δὲ ἦν Κλυμένη, Ἰάνειρά τε, καὶ Ἰάνασσα,
Μαῖρα, καὶ Ὠρείθυια, ἐϋπλόκαμός τ' Ἀμάθυια·
Ἄλλαι θ', αἳ κατὰ βένθος ἁλὸς Νηρηΐδες ἦσαν.
Τῶν δὲ καὶ ἀργύφεον πλῆτο σπέος· αἱ δ' ἅμα πᾶσαι
Στήθεα πεπλήγοντο· Θέτις δ' ἐξῆρχε γόοιο·
Κλῦτε, κασίγνηται Νηρηΐδες, ὄφρ' εὖ πᾶσαι
Εἴδετ' ἀκούουσαι, ὅσ' ἐμῷ ἔνι κήδεα θυμῷ.
Ὤιμοι ἐγὼ δειλὴ, ὤμοι δυσαριστοτόκεια,
Ἥ τ' ἐπεὶ ἂρ τέκον υἱὸν ἀμύμονά τε, κρατερόν τε,
Ἔξοχον ἡρώων, ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος,
Τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὣς γουνῷ ἀλωῆς,
Νηυσὶν ἐπιπροέηκα κορωνίσιν Ἴλιον εἴσω,
Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
Οἴκαδε νοστήσαντα, δόμον Πηλήϊον εἴσω.
Ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
Ἄχνυται, οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
Ἀλλ' εἶμ', ὄφρα ἴδοιμι φίλον τέκος, ἠδ' ἐπακούσω
Ὅ, ττι μιν ἵκετο πένθος, ἄπο πτολέμοιο μένοντα.
Ὣς ἄρα φωνήσασα λίπε σπέος· αἱ δὲ, σὺν αὐτῇ
Δακρυόεσσαι ἴσαν, περὶ δέ σφισι κῦμα θαλάσσης
Ῥήγνυτο· ταὶ δ' ὅτε δὴ Τροίην ἐρίβωλον ἵκοντο,
Ἀκτὴν εἰσανέβαινον ἐπισχερὼ, ἔνθα θαμειαὶ
Μυρμιδόνων εἴρυντο νέες ταχὺν ἀμφ' Ἀχιλῆα.
Τῷ δὲ βαρυστενάχοντι παρίστατο πότνια μήτηρ.

καὶ ἡ Δωτὼ καὶ ἡ Πρωτὼ, καὶ ἡ Φέρουσα, καὶ ἡ Δυναμένη, καὶ ἡ Δεξαμένη, καὶ ἡ Ἀμφινόμη, καὶ ἡ Καλλιάνειρα, καὶ ἡ Δωρὶς, καὶ ἡ Πανόπη, καὶ ἡ ὑπερένδοξος Γαλάτεια, καὶ ἡ Νημερτὴς, καὶ ἡ Ἀψευδὴς, καὶ ἡ Καλλιάνασσα· ἐκεῖ δ' ἦν ἡ Κλυμένη, καὶ ἡ Ἰάνειρα, καὶ ἡ Ἰάνασσα, καὶ ἡ Μαῖρα, καὶ ἡ Ὠρείθυια, καὶ ἡ καλλίκομος Ἀμάθυια, καὶ αἱ ἄλλαι, αἳ κατὰ τὸ βάθος τῆς θαλάσσης θυγατέρες τοῦ Νηρέως ἦσαν· τούτων δὲ τὸ λαμπρὸν σπήλαιον ἐπληρώθη, αὗται δὲ ὁμοῦ πᾶσαι τὰ στήθη ἐπλήττοντο, ἡ Θέτις δὲ ἡγεῖτο τοῦ θρήνου, λέγουσα· Ἀκούσατε, ὦ ἀδελφαὶ θυγατέρες τοῦ Νηρέως, ὅπως καλῶς ἅπασαι εἰδῆτε ἀκούουσαι, ὁπόσαι λῦπαι εἰσὶν ἐν τῇ ἐμῇ ψυχῇ. οἴμοι ἐγὼ ἡ κακοδαίμων, οἴμοι ἡ ἐπὶ κακῷ τὸν ἄριστον τεκοῦσα, ἥτις ἐπειδὴ ἔτεκον υἱὸν ἀμώμητον καὶ κραταιὸν ἄριστον πάντων τῶν ἡρώων, οὗτος δὲ ηὐξήθη ὁμοίως φυτῷ εὐθαλεῖ, τοῦτον μὲν ἐγὼ ἀναθρέψασα καθάπερ φυτὸν ἐν τῷ γονίμῳ τοῦ συμφύτου χωρίου, ἐν ταῖς ναυσὶ ταῖς καμπυλοπρύμνοις ἔπεμψα εἰς τὸ Ἴλιον πολεμήσοντα τοῖς Τρωσὶ, τοῦτον δὲ αὖθις οὐχ ὑποδέξομαι ὑποστρέψαντα εἰς τὸν οἶκον, εἰς τὸν τοῦ Πηλέως δόμον· ἐν ὅσῳ δέ μοι ζῇ, καὶ ὁρᾷ τὸ φῶς τοῦ ἡλίου λυπεῖται, οὐδέ τι δύναμαι αὐτῷ βοηθῆσαι παραγενομένη. ἀλλὰ πορεύσομαι, ἵνα θεάσωμαι τὸ ἀγαπητὸν τέκνον, καὶ ἐπακούσω, ὅπερ αὐτὸν κατέλαβε πένθος πόῤῥω τοῦ πολέμου καθήμενον. Οὕτω δὴ εἰποῦσα ἀπέλιπε τὸ σπήλαιον, αὗται δὲ σὺν αὐτῇ δεδακρυμέναι ἐπορεύοντο, περὶ αὐτὰς δὲ τὸ κῦμα τῆς θαλάσσης διῃρεῖτο· αὗται δὲ ὁπηνίκα δὴ ἀφίκοντο εἰς τὴν μεγαλόβωλον καὶ εὔγειον Τροίαν, ἀνέβαινον εἰς τὴν ἀκτὴν ἐφεξῆς, ὅπου πυκνῶς αἱ τῶν Μυρμιδόνων νῆες ἦσαν εἱλκυσμέναι περὶ τὸν ταχύποδα Ἀχιλλέα. τούτῳ δὲ βαρέως στενάζοντι παρέστη ἡ σεβαστὴ μήτηρ, ὀξέως δὲ θρηνήσασα ἔλαβε

Ὀξὺ δὲ κωκύσασα κάρη λάβε παιδὸς ἑοῖο·
Καί ῥ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα·
Τέκνον, τί κλαίεις; τί δέ σε φρένας ἵκετο πένθος,
Ἐξαύδα, μὴ κεῦθε· τὰ μὲν δή τοι τετέλεσται
Ἐκ Διὸς, ὡς ἄρα δὴ πρίν γ' εὔχεο, χεῖρας ἀνασχὼν,
Πάντας ἐπὶ πρύμνῃσιν ἀλήμεναι υἷας Ἀχαιῶν,
Σεῦ ἐπιδευομένους, παθέειν τ' ἀεκήλια ἔργα.
Τὴν δὲ βαρυστενάχων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Μῆτερ ἐμὴ, τὰ μὲν ἄρ μοι Ὀλύμπιος ἐξετέλεσσεν·
Ἀλλὰ τί μοι τῶν ἦδος, ἐπεὶ φίλος ὤλεθ' ἑταῖρος,
Πάτροκλος; τὸν ἐγὼ περὶ πάντων τῖον ἑταίρων,
Ἶσον ἐμῇ κεφαλῇ, τὸν ἀπώλεσα· τεύχεα δ' Ἕκτωρ
Δῃώσας ἀπέδυσε πελώρια, θαῦμα ἰδέσθαι,
Καλά· τὰ μέν Πηλῆϊ θεοὶ δόσαν, ἀγλαὰ δῶρα,
Ἤματι τῷ, ὅτε σε βροτοῦ ἀνέρος ἔμβαλον εὐνῇ.
Ὡς ὄφελες σὺ μὲν αὖθι μετ' ἀθανάτῃς ἁλίῃσι
Ναίειν, Πηλεὺς δὲ θνητὴν ἀγαγέσθαι ἄκοιτιν·
Νῦν δ' ἵνα καὶ σοὶ πένθος ἐνὶ φρεσὶ μύριον εἴη,
Παιδὸς ἀποφθιμένοιο· τὸν οὐχ ὑποδέξεαι αὖτις
Οἴκαδε νοστήσαντ'· ἐπεὶ οὐδ' ἐμὲ θυμὸς ἄνωγε
Ζώειν, οὐδ' ἄνδρεσσι μετέμμεναι, αἴκε μὴ Ἕκτωρ
Πρῶτος ἐμῷ ὑπὸ δουρὶ τυπεὶς ἀπὸ θυμὸν ὀλέσσῃ;
Πατρόκλοιο δ' ἕλωρα Μενοιτιάδεω ἀποτίσῃ.
Τὸν δ' αὖτε προσέειπε Θέτις καταδακρυχέουσα·
Ὠκύμορος δή μοι, τέκος, ἔσσεαι, οἷ' ἀγορεύεις·
Αὐτίκα γάρ τοι ἔπειτα μεθ' Ἕκτορα πότμος ἑτοῖμος.
Τὴν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Αὐτίκα τεθναίην, ἐπεὶ οὐκ ἄρ' ἔμελλον ἑταίρῳ

τὴν κεφαλὴν τοῦ ἑαυτῆς παιδὸς, καὶ δὴ κλαίουσα λόγους ταχεῖς ἔλεγε πρὸς αὐτόν· Ὦ παῖ, τί κλαίεις; τί δὲ πένθος κατὰ τὰς φρένας σε κατέλαβεν; ἔξειπε, μὴ κρύπτε, ταῦτα μὲν ἤδη ἐτελειώθησαν ὑπὸ τοῦ Διὸς, καθάπερ δὴ τὸ πρότερον ηὔχου τὰς χεῖρας ἄρας, πάντας τοὺς υἱοὺς τῶν Ἑλλήνων εἰς τὰς πρύμνας συστραφῆναι σοῦ δεομένους, καὶ παθεῖν ἔργα ταραχώδη καὶ δεινά. Πρὸς ταύτην δὲ βαρέως στενάζων εἶπεν ὁ κατὰ πόδας ταχὺς Ἀχιλλεύς· Ὦ μῆτερ ἐμὴ ταῦτα μὲν δή μοι ὁ ἐπουράνιος ἐτελείωσεν, ἀλλὰ τίς μοι τούτων ἡδονὴ, ἐπειδὴ ὁ ἀγαπητὸς φίλος ἀπώλετο Πάτροκλος; ὃν ἐγὼ ὑπὲρ πάντας τοὺς φίλους ἐτίμων καὶ ἐφίλουν ὁμοίως τῇ ἐμαυτοῦ κεφαλῇ, τοῦτον ἀπέβαλον, τὰ ὅπλα δὲ ὁ Ἕκτωρ ἀποκτείνας ἀφείλετο τὰ μεγάλα, τὰ θαυμαστὰ τῇ ὄψει, τὰ περικαλλῆ· ταῦτα μὲν τῷ Πηλεῖ ἐδωρήσαντο οἱ θεοὶ δῶρα λαμπρὰ τῇ ἡμέρᾳ ἐκείνῃ, ἡνίκα σε ἐνέβαλον εἰς κοίτην ἀνδρὸς θνητοῦ· ὡς εἴθε ὤφλησας σὺ μὲν ἐκεῖ ἐν ταῖς ἀθανάταις Νηρηΐσι κατοικεῖν, ὁ Πηλεὺς δὲ γυναῖκα θνητὴν γῆμαι, νῦν δὲ ἵνα καὶ σοὶ πένθος μέγιστον εἴη ἐν τῇ διανοίᾳ ἀποθανόντος τοῦ υἱοῦ, ὃν αὖθις οὐχ ὑποδέξῃ ὑποστρέψαντα εἰς τὸν οἶκον, ἐπειδὴ οὐδ' ἐμὲ ἡ ψυχὴ προτρέπεται ζῆν, οὐδ' ἐν τοῖς ἀνδράσιν εἶναι, ἐὰν μὴ ὁ Ἕκτωρ πρῶτος ὑπὸ τοῦ ἐμοῦ δόρατος πληγεὶς ἀπολέσῃ τὴν ψυχὴν, τὰ τοῦ Πατρόκλου δὲ τοῦ υἱοῦ τοῦ Μενοιτίου σπαράγματα ἀποδώσῃ. Πρὸς τοῦτον δὲ εἶπεν ἡ Θέτις δακρυῤῥοοῦσα· Ταχὺς δή μοι πρὸς τὸν θάνατον, ὦ τέκνον, ἔσῃ καθάπερ λέγεις, μετὰ ταῦτα γὰρ παραχρῆμά σοι μετὰ τὸν Ἕκτορα ὁ θάνατος ἕτοιμος. Πρὸς ταύτην δὲ μεγάλως στενάξας εἶπεν ὁ κατὰ πόδας ταχὺς Ἀχιλλεύς· Παραχρῆμα ἀποθάνοιμι, ἐπειδὴ οὐκ ἔμελλον τῷ φίλῳ αἰαιρου-

Κτεινομένῳ ἐπαμῦναι· ὁ μὲν μάλα τηλόθι πάτρης
Ἔφθιτ᾽· ἐμεῖο δὲ δῆσεν ἀρῆς (Ἄρης) ἀλκτῆρα γενέσθαι.
Νῦν δ᾽ ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
Οὐδέ τι Πατρόκλῳ γενόμην φάος, οὐδ᾽ ἑτάροισι
Τοῖς ἄλλοις, οἳ δὴ πολέες δάμεν Ἕκτορι δίῳ·
Ἀλλ᾽ ἧμαι παρὰ νηυσὶν ἐτώσιον ἄχθος ἀρούρης·
Τοῖος ἐὼν, οἷος οὔτις Ἀχαιῶν χαλκοχιτώνων
Ἐν πολέμῳ· ἀγορῇ δέ τ᾽ ἀμείνονές εἰσι καὶ ἄλλοι·
Ὡς ἔρις ἔκ τε θεῶν, ἔκ τ᾽ ἀνθρώπων ἀπόλοιτο,
Καὶ χόλος, ὅς τ᾽ ἐφέηκε πολύφρονά περ χαλεπῆναι·
Ὅς τε πολὺ γλυκίων μέλιτος καταλειβομένοιο
Ἀνδρῶν ἐν στήθεσσιν ἀέξεται, ἠΰτε καπνός·
Ὡς ἐμὲ νῦν ἐχόλωσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων.
Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
Θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.
Νῦν δ᾽ εἶμ᾽, ὄφρα φίλης κεφαλῆς ὀλετῆρα κιχείω
Ἕκτορα· κῆρα δ᾽ ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέσαι, ἠδ᾽ ἀθάνατοι θεοὶ ἄλλοι·
Οὐδὲ γὰρ οὐδὲ βίη Ἡρακλῆος φύγε κῆρα,
Ὅσπερ φίλτατος ἔσκε Διῒ Κρονίωνι ἄνακτι,
Ἀλλά ἑ μοῖρα δάμασσε καὶ ἀργαλέος χόλος Ἥρης·
Ὡς καὶ ἐγὼν, εἰ δή μοι ὁμοίη μοῖρα τέτυκται,
Κείσομ᾽, ἐπεί κε θάνω· νῦν δὲ κλέος ἐσθλὸν ἀροίμην.
Καί τινα Τρωϊάδων καὶ Δαρδανίδων βαθυκόλπων,
Ἀμφοτέρῃσιν χερσὶ παρειάων ἁπαλάων
Δάκρυ᾽ ὀμορξαμένην, ἀδινὸν στοναχῆσαι ἐφείην·
Γνοῖεν δ᾽, ὡς δὴ δηρὸν ἐγὼ πολέμοιο πέπαυμαι.
Μηδέ μ᾽ ἔρυκε μάχης, φιλέουσά περ· οὐδέ με πείσεις.

μένῳ βοηθήσειν· ἀλλ' οὗτος μὲν πάνυ πόῤῥω τῆς πατρίδος ἀπώλετο, ἐμοῦ δὲ ἐδέησε, καὶ χρείαν ἔσχε τῆς λάβης βοηθὸν ἔχειν (ἐμοῦ δὲ τὴν ἔξοδον ἐδέησεν ὁ Ἄρης, ἤγουν ἡ τῶν ὅπλων ἀφαίρεσις, ὥστε με βοηθὸν γενέσθαι). νυνὶ δὲ ἐπειδὴ οὐ πορεύσομαι εἰς τὴν ἀγαπητὴν γῆν τὴν πατρίδα, οὐδέ τι τῷ Πατρόκλῳ ἐγενόμην φῶς καὶ βοήθεια, οὐδὲ τοῖς φίλοις τοῖς λοιποῖς, οἳ δὴ πολλοὶ ἀνῃρέθησαν ὑπὸ τοῦ ἐνδοξοτάτου Ἕκτορος, ἀλλὰ κάθημαι παρὰ ταῖς ναυσὶν ἀργὸν καὶ μάταιον βάρος τῆς γῆς, τοιοῦτος ὤν, οἷος οὐδεὶς τῶν σιδηροθωράκων Ἑλλήνων ἐν τῇ μάχῃ, ἐν γὰρ τῷ δημηγορεῖν εἰσὶ καὶ ἄλλοι κρείσσονες. βαβαὶ, εἴθε ἡ ἔρις ἀπόλοιτο, καὶ ἀφανισθείη καὶ ἐκ τῶν θεῶν καὶ ἐκ τῶν ἀνθρώπων, καὶ ὁ χόλος, ὅστις καὶ τὸν ἄγαν φρόνιμον παρώξυνεν εἰς χαλεπότητα ἀχθῆναι, ὅστις πολλῷ γλυκίων τοῦ καταστάζοντος μέλιτος αὔξάνεται ἐν τοῖς στήθεσι τῶν ἀνδρῶν καθάπερ πῦρ, οὕτως νῦν ἐμὲ εἰς ὀργὴν ἐνέβαλεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων· ἀλλὰ ταῦτα μὲν προγενόμενα καταλίπωμεν, καίπερ λυπούμενοι, τὴν ἀγαπητὴν ψυχὴν (ὀργὴν) ἐν τῷ στήθει δουλαγωγήσαντες τῇ παρούσῃ ἀνάγκῃ. νυνὶ δὲ πορεύσομαι ὅπως τὸν φθορέα τῆς ἀγαπητῆς κεφαλῆς καταλάβω τὸν Ἕκτορα, θάνατον δὲ ἐγὼ τότε προθύμως ὑποστήσομαι, ὅταν δὴ ὁ Ζεὺς βούλεται τοῦτο ποιῆσαι, καὶ οἱ ἄλλοι ἀθάνατοι θεοί. οὐδὲ γὰρ ἡ τοῦ Ἡρακλέους ἰσχὺς ἐξέφυγε τὸν θάνατον, ὅς γε φίλτατος ἦν τῷ Διῒ τῷ υἱῷ τοῦ Κρόνου τῷ βασιλεῖ, ἀλλὰ μοῖρα αὐτὸν ἐθανάτωσε, καὶ ἡ χαλεπὴ ὀργὴ τῆς Ἥρας· οὕτως καὶ ἐγὼ ἐπειδή μοι ὁμοία μοῖρα ὑπῆρξε, κείσομαι ἐπειδὰν ἀποθάνω· νυνὶ δὲ δόξαν καὶ φήμην χρηστὴν σχοίην καί τινα τῶν Τρῳάδων, καὶ τῶν μεγαλοκόλπων Δαρδανίδων ἀμφοτέραις ταῖς χερσὶν ἐκ τῶν ἁπαλῶν παρειῶν δάκρυα ἀπομάξαι καὶ ἀποψῆσαι, πυκνῶς στενάξαι καταστήσαιμι, μάθοιεν δὲ ὅτι δὴ ἐπὶ πολὺ ἐγὼ τῆς μάχης ἀποπέπαυμαι, μηδὲ κώλυέ με τοῦ πολεμεῖν

Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
Ναὶ δὴ ταῦτά γε, τέκνον, ἐτήτυμον· οὐ κακόν ἐστι,
Τειρομένοις ἑτάροισιν ἀμυνέμεν αἰπὺν ὄλεθρον·
Ἀλλά τοι ἔντεα καλὰ μετὰ Τρώεσσιν ἔχονται,
Χάλκεα, μαρμαίροντα· τὰ μὲν κορυθαίολος Ἕκτωρ
Αὐτὸς ἔχων ὤμοισιν ἀγάλλεται· οὐδέ ἑ φημὶ
Δηρὸν ἐπαγλαϊεῖσθαι, ἐπεὶ φόνος ἐγγύθεν αὐτῷ.
Ἀλλὰ σὺ μὲν μήπω καταδύσεο μῶλον Ἄρηος,
Πρίν γ' ἐμὲ δεῦρ' ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδηαι.
Ἠῶθεν γὰρ νεῦμαι, ἅμ' ἠελίῳ ἀνιόντι,
Τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος.
Ὣς ἄρα φωνήσασα, πάλιν τράπεθ' υἷος ἑοῖο.
Καὶ στρεφθεῖσ', ἁλίῃσι κασιγνήτῃσι μετηύδα·
Ὑμεῖς μὲν νῦν δῦτε θαλάσσης εὐρέα κόλπον,
Ὀψόμεναί τε γέροντ' ἅλιον καὶ δώματα πατρὸς,
Καί οἱ πάντ' ἀγορεύσατ'· ἐγὼ δ' ἐς μακρὸν Ὄλυμπον
Εἶμι παρ' Ἥφαιστον κλυτοτέχνην, αἴκ' ἐθέλῃσιν
Υἱεῖ ἐμῷ δόμεναι κλυτὰ τεύχεα παμφανόωντα.
Ὣς ἔφαθ'· αἱ δ' ὑπὸ κῦμα θαλάσσης αὐτίκ' ἔδυσαν·
Ἡ δ' αὖτ' Οὔλυμπόνδε θεὰ Θέτις ἀργυρόπεζα
Ἤϊεν, ὄφρα φίλῳ παιδὶ κλυτὰ τεύχε' ἐνείκῃ.
Τὴν μὲν ἄρ' Οὔλυμπόνδε πόδες φέρον· αὐτὰρ Ἀχαιοὶ
Θεσπεσίῳ ἀλαλητῷ ὑφ' Ἕκτορος ἀνδροφόνοιο
Φεύγοντες, νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο.
Οὐδέ κε Πάτροκλόν περ ἐϋκνήμιδες Ἀχαιοὶ
Ἐκ βελέων ἐρύσαντο νέκυν, θεράποντ' Ἀχιλῆος·
Αὖτις γὰρ δὴ τόν γε κίχον λαός τε καὶ ἵπποι,
Ἕκτωρ τε, Πριάμοιο πάϊς, φλογὶ ἴκελος ἀλκήν·

καίπερ φιλοῦσα, οὐ γάρ με καταπείσεις. Πρὸς τοῦτον δὲ ἀπεκρίνετο μετὰ ταῦτα ἡ θεὰ ἡ Θέτις ἡ λευκόπους· Ναὶ δὴ ταῦτά γε, ὦ παῖ, ἀληθῶς· οὐκ ἔστιν κακὸν καταπονουμένοις τοῖς φίλοις ἀποσοβῆσαι(εῖν) τὸν χαλεπὸν θάνατον· ἀλλά σοι τὰ καλὰ ὅπλα ἐν τοῖς Τρωσὶ κατέχονται τὰ σιδηρᾶ, καὶ περιλάμποντα· ταῦτα μὲν Ἕκτωρ ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν αὐτὸς φέρων ἐν τοῖς ὤμοις χαίρει καὶ τέρπεται, οὐδὲ οἴομαι αὐτὸν ἐπὶ πολὺ ἐπ' αὐτοῖς καλλωπισθήσεσθαι, ἐπειδὴ ὁ θάνατος ἤγγικεν αὐτῷ. ἀλλὰ σὺ μὲν μήπω εἰσέλθῃς εἰς τὴν συμπλοκὴν καὶ τὸν θόρυβον τοῦ πολέμου, πρίν γε ἐμὲ ἐνθάδε ἀφικομένην θεάσῃ πρὸ ὀφθαλμῶν· ἕωθεν γὰρ ἐπανήξω ἅμα ἡλίῳ ἀνατέλλοντι, ὅπλα καλὰ κομίζουσα παρὰ τοῦ βασιλέως Ἡφαίστου. Οὕτω δὴ εἰποῦσα ἐτράπη εἰς τοὐπίσω τοῦ ἑαυτῆς υἱοῦ, καὶ στραφεῖσα ἔλεγεν ἐν ταῖς θαλασσίαις ἀδελφαῖς· Ὑμεῖς μὲν νυνὶ εἰσέλθετε εἰς τὸν πλατὺν κόλπον τῆς θαλάσσης, θεασόμεναι τὸν θαλάσσιον γέροντα, καὶ τὰ οἰκήματα τοῦ πατρὸς, καὶ εἴπατε αὐτῷ πάντα· ἐγὼ δὲ εἰς τὸν ὑψηλὸν οὐρανὸν πορεύσομαι πρὸς τὸν Ἥφαιστον τὸν ἔνδοξον κατὰ τὴν τέχνην, ἐὰν βούληται δοῦναι τῷ ἐμῷ υἱῷ ὅπλα πολύτιμα, ὑπέρλαμπρα. Οὕτως εἶπεν· αὗται δὲ ὑπὸ τὸ κῦμα τῆς θαλάσσης παραχρῆμα εἰσῆλθον· ἡ θεὰ δὲ ἡ Θέτις ἡ λευκόπους εἰς τὸν οὐρανὸν ἐπορεύετο, ὅπως τῷ ἀγαπητῷ υἱῷ ὅπλα πολύτιμα ἐνέγκῃ. Ταύτην μὲν οὖν εἰς τὸν οὐρανὸν οἱ πόδες ἀπῆγον. Οἱ Ἕλληνες δὲ σὺν μεγίστῳ καὶ ἐξαισίῳ θορύβῳ ὑπὸ τοῦ ἀνδροκτόνου Ἕκτορος φεύγοντες ἀφίκοντο εἰς τὰς νῆας καὶ τὸν Ἑλλήσποντον· οὐδέ γε τὸν Πάτροκλον οἱ εὔοπλοι Ἕλληνες ἐξείλκυσαν ἀπὸ τῶν βελῶν νεκρὸν, τὸν θεράποντα τοῦ Ἀχιλλέως· πάλιν γὰρ δὴ αὐτὸν κατέλαβον ὅ τε λαὸς καὶ οἱ ἵπποι, καὶ ὁ Ἕκτωρ ὁ υἱὸς τοῦ Πριάμου ὅμοιος φλογὶ κατὰ τὴν

Τρὶς μέν μιν μετόπισθε ποδῶν λάβε φαίδιμος Ἕκτωρ,
Ἑλκέμεναι μεμαὼς, μέγα δὲ Τρώεσσιν ὁμόκλα·
Τρὶς δὲ δύ' Αἴαντες, θοῦριν ἐπιειμένοι ἀλκὴν,
Νεκροῦ ἀπεστυφέλιξαν· ὁ δ' ἔμπεδον ἀλκὶ πεποιθὼς,
Ἄλλοτ' ἐπαΐξασκε κατὰ μόθον, ἄλλοτε δ' αὖτε
Στάσκε μέγα ἰάχων· ὀπίσω δ' οὐ χάζετο πάμπαν
Ὡς δ' ἀπὸ σώματος οὔτι λέοντ' αἴθωνα δύνανται
Ποιμένες ἄγραυλοι μέγα πεινάοντα δίεσθαι·
Ὥς ῥα τὸν οὐκ ἐδύναντο δύω Αἴαντε κορυστὰ
Ἕκτορα Πριαμίδην ἀπὸ νεκροῦ δειδίξασθαι.
Καί νύ κεν εἴρυσσέν τε, καὶ ἄσπετον ἤρατο κῦδος,
Εἰ μὴ Πηλείωνι ποδήνεμος ὠκέα Ἶρις
Ἄγγελος ἦλθε θέουσ' ἀπ' Ὀλύμπου θωρήσσεσθαι,
Κρύβδα Διὸς, ἄλλων τε θεῶν· πρὸ γὰρ ἧκέ μιν Ἥρη·
Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
Ὄρσεο, Πηλείδη, πάντων ἐκπαγλότατ' ἀνδρῶν·
Πατρόκλῳ ἐπάμυνον, οὗ εἵνεκα φύλοπις αἰνὴ
Ἕστηκε πρὸ νεῶν· οἱ δ' ἀλλήλους ὀλέκουσιν,
Οἱ μὲν, ἀμυνόμενοι νέκυος πέρι τεθνειῶτος,
Οἱ δὲ, ἐρύσσασθαι ποτὶ Ἴλιον ἠνεμόεσσαν
Τρῶες ἐπιθύουσι· μάλιστα δὲ φαίδιμος Ἕκτωρ,
Ἑλκέμεναι μέμονεν· κέφαλὴν δέ ἑ θυμὸς ἀνώγει
Πῆξαι ἀνὰ σκολόπεσσι, ταμόνθ' ἁπαλῆς ἀπὸ δειρῆς.
Ἀλλ' ἄνα, μηδ' ἔτι κεῖσο· σέβας δέ σε θυμὸν ἱκέσθω,
Πάτροκλον Τρῳῇσι κυσὶν μέλπηθρα γενέσθαι·
Σοὶ λώβη, αἴ κέν τι νέκυς ἠσχυμμένος ἔλθῃ.
Τὴν δ' ἠμείβετ' ἔπειτα ποδάρκης δῖος Ἀχιλλεύς·
Ἶρι θεὰ, τίς γάρ σε θεῶν ἐμοὶ ἄγγελον ἧκε;

δύναμιν. τρὶς μὲν αὐτὸν ὄπισθεν ἀπὸ τῶν ποδῶν ἐκράτησεν ὁ λαμπρὸς Ἕκτωρ ἕλκειν προθυμούμενος, μεγάλως δὲ τοῖς Τρωσὶ παρεκελεύετο, τρὶς δὲ οἱ δύο Αἴαντες ὁρμητικὴν καὶ πολεμικὴν ἐνδεδυμένοι ἰσχὺν ἀπὸ τοῦ νεκροῦ ἀπεκρούσαντο καὶ ἀπεσόβησαν. οὗτος δὲ ἐπιμόνως τῇ δυνάμει θαῤῥῶν ἄλλοτε μὲν ἐφώρμα πρὸς μάχην, ἄλλοτε δὲ ἵστατο μεγάλως βοῶν, εἰς τοὐπίσω δὲ οὐδόλως ὑπεχώρει. ὥσπερ δὲ ἀπὸ σώματος ζώου οὐδαμῶς δύνανται λέοντα πυρώδη ποιμένες ἀγροῖκοι μεγάλως πεινῶντα ἀποδιῶξαι· οὕτως δὴ τοῦτον οὐκ ἐδύναντο οἱ δύο ὁπλῖται Αἴαντες τὸν Ἕκτορα τὸν υἱὸν τοῦ Πριάμου ἀπὸ τοῦ νεκροῦ ἐκφοβῆσαι καὶ ἐξελάσαι· καὶ δὴ εἵλκυσεν ἂν αὐτὸν καὶ δόξαν μεγίστην ἀπηνέγκατο, εἰ μὴ τῷ υἱῷ τοῦ Πηλέως ἡ ἀνεμόπους ταχεῖα Ἶρις μηνυτὴς ἀφίκετο τρέχουσα ἀπὸ τοῦ Ὀλύμπου καθοπλίζεσθαι κρύφα (ὁρμῆσαι πρὸς τὸν πόλεμον λάθρα) τοῦ Διὸς καὶ τῶν ἄλλων θεῶν, ἐπέπεμψε γὰρ αὐτὴν ἡ Ἥρα· πλησίον δὲ στᾶσα λόγους ταχεῖς ἔλεγε πρὸς αὐτόν· Διεγέρθητι, ὦ υἱὲ τοῦ Πηλέως φοβερώτατε πάντων τῶν ἀνδρῶν, βοήθησον τῷ Πατρόκλῳ, οὗ χάριν μάχη χαλεπὴ συνέστηκεν ἔμπροσθεν τῶν νεῶν, οὗτοι δὲ ἀλλήλους ἀναιροῦσιν, οἱ μὲν μαχόμενοι ὑπὲρ τοῦ ἀποθανόντος νεκροῦ, οἱ δὲ ἑλκύσαι πρὸς τὴν ὑψηλὴν καὶ ἀνέμοις καταπνεομένην Ἴλιον ἐφορμῶσιν οἱ Τρῶες, μάλιστα δὲ ὁ λαμπρὸς Ἕκτωρ ἑλκύσαι προθυμεῖται, τὴν κεφαλὴν δὲ προτρέπεται αὐτὸν ἡ ψυχὴ ἐμπῆξαι ἐπὶ τῶν ὀρθῶν καὶ ὀξέων ξύλων ἐκκόψαντα ἀπὸ τοῦ τρυφεροῦ αὐχένος. ἀλλ᾽ ἀνάστα, μηδὲ ὅλως κάθησο, αἰδὼς δέ σου τὴν ψυχὴν καταλαβέτω τὸν Πάτροκλον γενέσθαι παίγνια ταῖς Τρωϊκαῖς κυσί· σοὶ βλάβη καὶ ὕβρις ἔσται, ἐὰν ὁ νεκρὸς λελωβημένος κατά τι ἀφίκηται. Πρὸς ταύτην δὲ ἀπεκρίνετο μετὰ ταῦτα ὁ ἐνδοξότατος ταχύπους Ἀχιλλεύς· Ὦ θεὰ Ἶρι, τίς δή σε ἀπὸ τῶν θεῶν ἔπεμψε πρὸς ἐμὲ ἄγγελον; Πρὸς τοῦτον δὲ εἶ-

Τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις·
Ἥρη με προέηκε, Διὸς κυδρὴ παράκοιτις·
Οὐδ' οἶδε Κρονίδης ὑψίζυγος, οὐδέ τις ἄλλος
Ἀθανάτων, οἳ Ὄλυμπον ἀγάννιφον ἀμφινέμονται.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς.
Πῶς τ' ἄρ' ἴω μετὰ μῶλον; ἔχουσι δὲ τεύχε' ἐκεῖνοι·
Μήτηρ δ' οὔ με φίλη πρίν γ' εἴα θωρήσσεσθαι,
Πρίν γ' αὐτὴν ἐλθοῦσαν ἐν ὀφθαλμοῖσιν ἴδωμαι·
Στεῦτο γὰρ Ἡφαίστοιο πάρ' οἰσέμεν ἔντεα καλά.
Ἄλλου δ' οὔτευ οἶδα, τεῦ ἂν κλυτὰ τεύχεα δύω,
Εἰ μὴ Αἴαντός γε σάκος Τελαμωνιάδαο.
Ἀλλὰ καὶ αὐτὸς ὅγ', ἔλπομ', ἐνὶ Τρώεσσιν ὁμιλεῖ,
Ἔγχεϊ δηϊόων περὶ Πατρόκλοιο θανόντος.
Τὸν δ' αὖτε προσέειπε ποδήνεμος ὠκέα Ἶρις.
Εὖ νυ καὶ ἡμεῖς ἴδμεν, ὅτι κλυτὰ τεύχε' ἔχονται.
Ἀλλ' αὔτως ἐπὶ τάφρον ἰὼν, Τρώεσσι φάνηθι,
Αἴκε σ' ὑποδδείσαντες ἀπόσχωνται πολέμοιο
Τρῶες, ἀναπνεύσωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν.
Ἡ μὲν ἄρ' ὡς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις·
Αὐτὰρ Ἀχιλλεὺς ὦρτο Διῒ φίλος· ἀμφὶ δ' Ἀθήνη
Ὤμοις ἰφθίμοισι βάλ' αἰγίδα θυσανόεσσαν·
Ἀμφὶ δέ οἱ κεφαλῇ νέφος ἔστεφε δῖα θεάων
Χρύσεον, ἐκ δ' αὐτοῦ δαῖε φλόγα παμφανόωσαν.
Ὡς δ' ὅτε καπνὸς ἰὼν ἐξ ἄστεος αἰθέρ' ἵκηται
Τηλόθεν ἐκ νήσου, τὴν δήϊοι ἀμφιμάχονται,
Οἵτε πανημέριοι στυγερῷ κρίνονται ἄρηϊ
Ἄστεος ἐκ σφετέρου· ἅμα δ' ἠελίῳ καταδύντι
Πυρσοί τε φλεγέθουσιν ἐπήτριμοι, ὑψόσε δ' αὐγὴ

πεν ἡ ἀνεμόπους ταχεῖα Ἶρις· Ἡ Ἥρα με ἐπέπεμψεν ἡ ἀγαθὴ γαμετὴ τοῦ Διός, οὐδὲ ἐπίσταται τοῦτο ὁ ἐν ὕψει καθήμενος υἱὸς τοῦ Κρόνου, οὐδέ τις ἄλλος τῶν ἀθανάτων θεῶν, οἳ τὸν ἄγαν χιονόβλητον Ὄλυμπον καρποῦνται. Πρὸς ταύτην δὲ ἀποκρινόμενος εἶπεν ὁ κατὰ πόδας ταχὺς Ἀχιλλεύς· Πῶς δὲ πορευθῶ εἰς τὴν μάχην; τὰ γὰρ ὅπλα ἔχουσιν ἐκεῖνοι· ἡ ἀγαπητὴ δὲ μήτηρ οὐ πρότερόν με ἀφίη ὁρμῆσαι πρὸς τὸν πόλεμον, πρὶν ἂν αὐτὴν ἀφικομένην θεάσωμαι πρὸ τῶν ὀφθαλμῶν, ὑπέσχετο γὰρ παρὰ τοῦ Ἡφαίστου κομίσειν ὅπλα καλά· οὔ τινος δὲ ἄλλου οἶδα, οὗ ἂν τὰ πολύτιμα ὅπλα ἐνδύσωμαι, εἰ μὴ τὴν ἀσπίδα τοῦ Αἴαντος τοῦ υἱοῦ τοῦ Τελαμῶνος, ἀλλὰ καὶ αὐτὸς οὕτως ἐλπίζω ὅτι ἐν τοῖς Τρωσὶν ἀναστρέφεται, τῷ δόρατι ἀναιρῶν ὑπὲρ τοῦ Πατρόκλου ἀποθανόντος. Πρὸς τοῦτον δὲ εἶπεν ἡ ἀνεμόπους ταχεῖα Ἶρις· Καλῶς δὴ καὶ ἡμεῖς οἴδαμεν ὅτι τὰ πολύτιμα ὅπλα κατέχονται, ἀλλ' οὕτως εἰς τὴν τάφρον ἀφικόμενος δεῖξον σαυτὸν τοῖς Τρωσὶν, ἐὰν (ὅπως) σε φοβηθέντες ἀποστῶσι τῆς μάχης οἱ Τρῶες, ἀναπαύσωνται δὲ οἱ πολεμικοὶ υἱοὶ τῶν Ἑλλήνων. Αὕτη μὲν οὖν οὕτως εἰποῦσα ἀπῆλθεν ἡ κατὰ πόδας ταχεῖα Ἶρις· ἀνέστη δὲ Ἀχιλλεὺς ὁ φίλος τοῦ Διός, ἡ Ἀθηνᾶ δὲ περὶ τοὺς ἰσχυροὺς ὤμους αὐτοῦ ἔβαλε τὴν κροσσοτὴν αἰγίδα, περὶ τὴν κεφαλὴν δὲ αὐτῷ ἔστεψεν ἡ ἐνδοξοτάτη τῶν θεῶν νέφος χρυσοῦν, ἐξ αὐτοῦ δὲ ἀνῆπτε φλόγα ὑπέρλαμπρον. ὥσπερ δὲ ὅταν καπνὸς ἀνιὼν ἐκ τῆς πόλεως ἀφίκηται εἰς τὸν αἰθέρα πόῤῥωθεν ἐκ τῆς νήσου, περὶ ἣν πολέμιοι μάχονται, οἱ ἂν δι' ὅλης τῆς ἡμέρας μάχωνται πολέμῳ μισητῷ (φοβερῷ) ἐκ τῆς ἑαυτῶν πόλεως, ἅμα δὲ τῷ ἡλίῳ δύνοντι φρυκτοὶ καίονται

Γίγνεται ἀΐσσουσα, περικτιόνεσσιν ἰδέσθαι,
Αἴκεν πως σὺν νηυσὶν ἄρεως ἀλκτῆρες ἵκωνται·
Ὡς ἀπ' Ἀχιλλῆος κεφαλῆς σέλας αἰθέρ' ἵκανε.
Στῆ δ' ἐπὶ τάφρον ἰὼν ἀπὸ τείχεος· οὐδ' ἐς Ἀχαιοὺς
Μίσγετο· μητρὸς γὰρ πυκινὴν ὠπίζετ' ἐφετμήν.
Ἔνθα στὰς ἤϋσ'· ἀπάτερθε δὲ Παλλὰς Ἀθήνη
Φθέγξατ'· ἀτὰρ Τρώεσσιν ἐν ἄσπετον ὦρσε κυδοιμόν.
Ὡς δ' ὅτ' ἀριζήλη φωνὴ, ὅτε τ' ἴαχε σάλπιγξ
Ἄστυ περιπλομένων δηΐων ὑπὸ θυμοραϊστέων·
Ὣς τότ' ἀριζήλη φωνὴ γένετ' Αἰακίδαο.
Οἱ δ' ὡς οὖν ἄϊον ὄπα χάλκεον Αἰακίδαο,
Πᾶσιν ὀρίνθη θυμός· ἀτὰρ καλλίτριχες ἵπποι
Ἂψ ὄχεα τρόπεον· ὄσσοντο γὰρ ἄλγεα θυμῷ.
Ἡνίοχοι δ' ἔκπληγεν, ἐπεὶ ἴδον ἀκάματον πῦρ
Δεινὸν ὑπὲρ κεφαλῆς μεγαθύμου Πηλείωνος
Δαιόμενον· τὸ δ' ἔδαιε θεὰ γλαυκῶπις Ἀθήνη.
Τρὶς μὲν ὑπὲρ τάφρου μεγάλ' ἴαχε δῖος Ἀχιλλεύς·
Τρὶς δ' ἐκυκήθησαν Τρῶες κλειτοί τ' ἐπίκουροι.
Ἔνθα δὲ καὶ τότ' ὄλοντο δυώδεκα φῶτες ἄριστοι
Ἀμφὶ σφοῖς ὀχέεσσι καὶ ἔγχεσιν· αὐτὰρ Ἀχαιοὶ
Ἀσπασίως Πάτροκλον ὑπ' ἐκ βελέων ἐρύσαντες,
Κάτθεσαν ἐν λεχέεσσι· φίλοι δ' ἀμφέσταν ἑταῖροι
Μυρόμενοι· μετὰ δέ σφι ποδώκης εἵπετ' Ἀχιλλεὺς,
Δάκρυα θερμὰ χέων, ἐπεὶ εἴσιδε πιστὸν ἑταῖρον
Κείμενον ἐν φερέτρῳ, δεδαϊγμένον ὀξέϊ χαλκῷ·
Τόν ῥ' ἤτοι μὲν ἔπεμπε σὺν ἵπποισιν καὶ ὄχεσφιν
Ἐς πόλεμον, οὐδ' αὖτις ἐδέξατο νοστήσαντα.
Ἠέλιον δ' ἀκάμαντα βοῶπις πότνια Ἥρη

ἀλλεπάλληλοι, εἰς ὕψος δὲ ἡ λαμπηδὼν ἄνεισιν ὁρμῶσα τοῖς περιοίκοις ὥστε θεάσασθαι, ὅπως ἂν σὺν ταῖς ναυσὶν ἀφίκωνται βοηθοὶ τοῦ πολέμου· οὕτως ἀπὸ τῆς κεφαλῆς τοῦ Ἀχιλλέως αὐγὴ εἰς τὸν αἰθέρα ἀφικνεῖτο, ἔστη δὲ εἰς τὴν τάφρον ἐλθὼν ἀπὸ τοῦ τείχους, οὐδὲ τοῖς Ἕλλησι συνέμιξε, τὴν γὰρ τῆς μητρὸς συνετὴν ἐντολὴν ᾐδεῖτο· ἐκεῖ στὰς ἐφώνησεν, ἄποθεν δὲ ἡ πολεμικὴ Ἀθηνᾶ συνεπεφθέγξατο, τοῖς Τρωσὶ δὲ ἐνέβαλε μέγιστον θόρυβον. ὥσπερ δὲ ὅτε ἤχησεν ἡ σάλπιγξ, ἐξάκουστος γίνεται φωνὴ ὑπὸ τῶν τὴν πόλιν περικαθεζομένων ψυχοφθόρων πολεμίων· οὕτως τότε ἐξάκουστος ἐγένετο ἡ φωνὴ τοῦ ἐγγόνου τοῦ Αἰακοῦ. οὗτοι δὲ ἐπειδὴ ἤκουσαν τὴν σιδηρὰν φωνὴν τοῦ ἐγγόνου τοῦ Αἰακοῦ, πᾶσιν ἐταράχθη ἡ ψυχὴ, οἱ ὡραιότριχες δὲ ἵπποι εἰς τοὐπίσω τὰ ὀχήματα ἔτρεπον, προεώρων γὰρ τῇ ψυχῇ θλίψεις καὶ ὀδύνας, οἱ ἡνίοχοι δὲ ἐξεπλάγησαν, ἐπειδὴ ἐθεάσαντο τὸ πολὺ καὶ ἄφθονον πῦρ φοβερῶς ὑπεράνω τῆς κεφαλῆς τοῦ μεγαλοψύχου υἱοῦ τοῦ Πηλέως καιόμενον, τοῦτο δὲ ἀνῆπτεν ἡ θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ. Τρὶς μὲν οὖν ὑπεράνω τῆς τάφρου μεγάλως ἐβόησεν ὁ ἐνδοξότατος Ἀχιλλεὺς, τρὶς δὲ συνεταράχθησαν οἱ Τρῶες, καὶ οἱ ἔνδοξοι βοηθοί· ἐκεῖ δὲ ἀπώλοντο καὶ τότε δώδεκα ἄνδρες κράτιστοι περὶ τὰ ἑαυτῶν ὀχήματα καὶ δόρατα· οἱ Ἕλληνες δὲ ἀσμένως τὸν Πάτροκλον ἑλκύσαντες ἐκ τῶν βελῶν κατέθηκαν ἐν τῇ στρωμνῇ, οἱ ἀγαπητοὶ δὲ φίλοι περιέστησαν θρηνοῦντες, ἐν αὐτοῖς δὲ ὁ ταχύπους Ἀχιλλεὺς ἠκολούθει θερμὰ δάκρυα χέων, ἐπειδὴ ἐθεάσατο τὸν πιστὸν φίλον κείμενον ἐν τῇ νεκρικῇ κλίνῃ τετρωμένον σιδήρῳ ὀξεῖ. τοῦτον δὴ ἐπέπεμψε μὲν σὺν τοῖς ὅπλοις καὶ τοῖς ὀχήμασιν εἰς τὴν μάχην, οὐκ ἐδέξατο δὲ μετὰ ταῦτα ὑποστρέψαντα. Τὸν μὴ κάμνοντα δὲ ἥλιον ἡ

Πέμψεν ἐπ' Ὠκεανοῖο ῥοὰς ἀέκοντα νέεσθαι·
Ἠέλιος μὲν ἔδυ, παύσαντο δὲ δῖοι Ἀχαιοὶ
Φυλόπιδος κρατερῆς καὶ ὁμοιΐου πολέμοιο.
Τρῶες δ' αὖθ' ἑτέρωθεν, ἀπὸ κρατερῆς ὑσμίνης
Χωρήσαντες, ἔλυσαν ὑφ' ἅρμασιν ὠκέας ἵππους.
Ἐς δ' ἀγορὴν ἀγέροντο, πάρος δόρποιο μέδεσθαι·
Ὀρθῶν δ' ἑσταότων ἀγορὴ γένετ', οὐδέ τις ἔτλη
Ἕζεσθαι· πάντας γὰρ ἔχε τρόμος, οὕνεκ' Ἀχιλλεὺς
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
Τοῖσι δὲ Πουλυδάμας πεπνυμένος ἦρχ' ἀγορεύειν
Πανθοΐδης· ὁ γὰρ οἶος ὅρα πρόσσω καὶ ὀπίσσω·
Ἕκτορι δ' ἦεν ἑταῖρος, ἰῇ δ' ἐν νυκτὶ γένοντο·
Ἀλλ' ὁ μὲν ἂρ μύθοισιν, ὁ δ' ἔγχεϊ πολλὸν ἐνίκα·
Ὅς σφιν ἐϋφρονέων ἀγορήσατο καὶ μετέειπεν·
Ἀμφὶ μάλα φράζεσθε, φίλοι· κέλομαι γὰρ ἔγωγε
Ἄστυδε νῦν ἰέναι, μὴ μίμνειν ἠῶ δῖαν
Ἐν πεδίῳ παρὰ νηυσίν· ἑκὰς δ' ἀπὸ τείχεός εἰμέν·
Ὄφρα μὲν οὗτος ἀνὴρ Ἀγαμέμνονι μήνιε δίῳ,
Τόφρα δὲ ῥηΐτεροι πολεμίζειν ἦσαν Ἀχαιοί.
Χαίρεσκον γὰρ ἔγωγε θοῇς ἐπὶ νηυσὶν ἰαύων,
Ἐλπόμενος νῆας αἱρησέμεν ἀμφιελίσσας·
Νῦν δ' αἰνῶς δείδοικα ποδώκεα Πηλείωνα·
Οἷος ἐκείνου θυμὸς ὑπέρβιος· οὐκ ἐθελήσει
Μίμνειν ἐν πεδίῳ ὅθι περ Τρῶες καὶ Ἀχαιοὶ
Ἐν μέσῳ ἀμφότεροι μένος Ἄρηος δατέονται·
Ἀλλὰ περὶ πτόλιός τε μαχήσεται, ἠδὲ γυναικῶν.
Ἀλλ' ἴομεν προτὶ ἄστυ, πίθεσθέ μοι, ὧδε γὰρ ἔσται
Νῦν μὲν νὺξ ἀπέπαυσε ποδώκεα Πηλείωνα

εὐόφθαλμος σεβαστὴ Ἥρα ἔπεμψεν ἐπὶ τὰς ῥοὰς τοῦ Ὠκεανοῦ ἄκοντα πορεύεσθαι· Ὁ ἥλιος μὲν οὖν ἔδυ, ἀπεπαύσαντο δὲ οἱ ἐνδοξότατοι Ἕλληνες τῆς ἰσχυρᾶς μάχης, καὶ τοῦ χαλεποῦ πολέμου. καὶ δὴ καὶ οἱ Τρῶες ἀφ' ἑτέρου μέρους ἀπὸ τῆς ἰσχυρᾶς μάχης ἀναχωρήσαντες, ἔλυσαν ὑπὸ τὰ ἅρματα τοὺς ταχεῖς ἵππους, συνηθροίσθησαν δὲ εἰς τὴν ἐκκλησίαν πρὸ τοῦ φροντίσαι δείπνου. ὀρθῶν δὲ ἑστώτων ἐγένετο ἡ ἐκκλησία, οὐ γὰρ ὑπέμενέ τις καθίσαι, πάντας γὰρ κατέσχε φόβος, διότι Ἀχιλλεὺς ἐφάνη· ἐπὶ πολὺ δὲ ἀπέστη τοῦ χαλεποῦ πολέμου· ἐν τούτοις δὲ Πολυδάμας συνετὸς ἤρξατο δημηγορεῖν ὁ υἱὸς τοῦ Πάνθου, οὗτος γὰρ μόνος ἑώρα τά τε μέλλοντα καὶ τὰ παρελθόντα, τοῦ Ἕκτορος δὲ ἦν φίλος, ἐν μιᾷ δὲ νυκτὶ ἐγεννήθησαν· ἀλλ' ὁ μὲν τῷ λόγῳ, ὁ δὲ τῷ δόρατι πολλῷ ὑπερεῖχεν· ὅστις καλῶς διανοούμενος ἐδημηγόρησε, καὶ εἶπεν ἐν αὐτοῖς· Πάνυ διασκοπεῖσθε, ὦ φίλοι· κελεύω γὰρ ἔγωγε εἰς τὴν πόλιν νυνὶ πορευθῆναι, μὴ ἐκδέχεσθαι τὴν ἐνδοξοτάτην ἡμέραν ἐν τῇ πεδιάδι παρὰ ταῖς ναυσὶ, πόῤῥω γὰρ ἀπὸ τοῦ τείχους ἐσμέν· ὅτε μὲν οὗτος ὁ ἀνὴρ ἐμνησικάκει τῷ ἐνδοξοτάτῳ Ἀγαμέμνονι, τὸ τηνικαῦτα δὴ ῥᾴδιοι ἦσαν εἰς πόλεμον οἱ Ἕλληνες, ἤγουν ῥᾳδίως ἡττῶντο· ἔχαιρον γὰρ ἐγὼ παρὰ ταῖς ταχείαις ναυσὶ κοιμώμενος (διάγων), ἐλπίζων κρατήσειν τὰς ναῦς τὰς ἀμφοτέρωθεν ἐλαυνομένας, νῦν δὲ χαλεπῶς φοβοῦμαι τὸν ταχύποδα υἱὸν τοῦ Πηλέως· ὢ οἵα ἐστὶν ἡ ψυχὴ ἐκείνου ὑπεράγουσα τῇ δυνάμει· οὐ βουλήσεται μένειν ἐν τῷ πεδίῳ, ὅπου οἱ Τρῶες, καὶ οἱ Ἕλληνες ἐν τῷ μέσῳ ἀμφότεροι τὴν τοῦ πολέμου δύναμιν ἀπομερίζονται, ἀλλὰ περὶ τῆς πόλεως πολεμήσει, καὶ τῶν γυναικῶν. ἀλλὰ πορευθῶμεν εἰς τὴν πόλιν, ὑπακούσατέ μοι, οὕτω γὰρ γενήσεται·

Ἀμβροσίη· εἰ δ᾽ ἄμμε κιχήσεται ἐνθάδ᾽ ἐόντας
Αὔριον ὁρμηθεὶς σὺν τεύχεσιν, εὖ νύ τις αὐτὸν
Γνώσεται· ἀσπασίως γὰρ ἀφίξεται Ἴλιον ἱρὴν,
Ὅς κε φύγῃ· πολλοὺς δὲ κύνες καὶ γῦπες ἔδονται
Τρώων· αἲ γὰρ δή μοι ἀπ᾽ οὔατος ὧδε γένοιτο·
Εἰ δ᾽ ἂν ἐμοῖς ἐπέεσσι πιθώμεθα, κηδόμενοί περ,
Νύκτα μὲν εἰν ἀγορῇ σθένος ἕξομεν, ἄστυ δὲ πύργοι,
Ὑψηλαί τε πύλαι, σανίδες τ᾽ ἐπὶ τῇς ἀραρυῖαι
Μακραὶ, εὔξεστοι, ἐζευγμέναι εἰρύσονται.
Πρωῒ δ᾽ ὑπ᾽ ἠοῖοι σὺν τεύχεσι θωρηχθέντες
Στησόμεθ᾽ ἀμπύργους· τῷ δ᾽ ἄλγιον, αἴ κ᾽ ἐθέλῃσιν,
Ἐλθὼν ἐκ νηῶν περὶ τείχεος ἄμμι μάχεσθαι.
Ἂψ πάλιν εἶσ᾽ ἐπὶ νῆας, ἐπεί κ᾽ ἐριαύχενας ἵππους
Παντοίου δρόμου ἄσῃ ὑπὸ πτόλιν ἠλασκάζων.
Εἴσω δ᾽ οὔ μιν θυμὸς ἐφορμηθῆναι ἐάσει,
Οὐδέ ποτ᾽ ἐκπέρσει· πρίν μιν κύνες ἀργοὶ ἔδονται.
Τὸν δ᾽ ἄρ᾽ ὑπόδρα ἰδὼν προσέφη κορυθαιόλος Ἕκτωρ·
Πουλυδάμα, σὺ μὲν οὐκέτ᾽ ἐμοὶ φίλα ταῦτ᾽ ἀγορεύεις,
Ὃς κέλεαι κατὰ ἄστυ ἀλήμεναι αὖτις ἰόντας.
Ἦ οὔπω κεκόρησθε ἐελμένοι ἔνδοθι πυλῶν;
Πρὶν μὲν γὰρ Πριάμοιο πόλιν μέροπες ἄνθρωποι
Πάντες μυθέσκοντο πολύχρυσον, πολύχαλκον·
Νῦν δὲ δὴ ἐξαπόλωλε δόμων κειμήλια καλά·
Πολλὰ δὲ δὴ Φρυγίην καὶ Μῃονίην ἐρατεινὴν
Κτήματα περνάμεν᾽ ἵκει, ἐπεὶ μέγας ὠδύσατο Ζεύς·
Νῦν δ᾽ ὅτε πέρ μοι ἔδωκε Κρόνου παῖς ἀγκυλομήτεω
Κῦδος ἀρέσθ᾽, ἐπὶ νηυσὶ θαλάσσῃ τ᾽ ἔλσαι Ἀχαιοὺς,
Μηκέτι, νήπιε, ταῦτα νοήματα φαῖν᾽ ἐνὶ δήμῳ·

νυνὶ μὲν ἡ νὺξ ἔπαυσε τὸν ταχύποδα υἱὸν τοῦ Πηλέως ἡ θεία· εἰ δὲ ἡμᾶς καταλήψεται ἐνταῦθα ὄντας αὔριον ἐξορμήσας σὺν τοῖς ὅπλοις, καλῶς δή τις αὐτὸν ἐπιγνώσεται· ἀσμένως γὰρ εἰσελεύσεται εἰς τὴν ἱερὰν Ἴλιον, ὃς ἂν ἐκφύγῃ, πολλοὺς δὲ κύνες, καὶ γύπες καταφαγοῦνται τῶν Τρώων. εἴθε δή μοι τοῦτο οὐ μόνον μὴ ὀφθείη, ἀλλὰ καὶ ἀπὸ τοῦ ὠτὸς γένοιτο, ἤγουν μηδὲ ἀκουσθείη. ἐὰν δὲ τοῖς ἐμοῖς λόγοις πείθησθε, καίπερ ἀλγοῦντες, διὰ νυκτὸς μὲν ἐν τῇ ἀγορᾷ δύναμιν ἕξομεν, ἤγουν κρατερῶς βουλευσόμεθα, τὴν πόλιν δέ οἵ τε πύργοι, καὶ αἱ μεγάλαι πύλαι (δίοδοι), καὶ αἱ ἐπ᾽ αὐταῖς συνηρμοσμέναι σανίδες αἱ ἐπιμήκεις καὶ εὐξέστως εἰργασμέναι συγκεκλεισμέναι φυλάξουσι καὶ σώσουσι. τὸ πρωῒ δὲ ἕωθεν σὺν τοῖς ὅπλοις καθοπλισθέντες στησόμεθα ἐπὶ τῶν πύργων, τούτῳ δὲ ὀδυνηρὸν ἔσται, ἐὰν ἐθέλῃ ἀφικόμενος ἐκ τῶν νεῶν περὶ τὸ τεῖχος πολεμεῖν ἡμῖν· αὖθις εἰς τοὐπίσω ὑποστρέψει ἐπὶ τὰς ναῦς, ἐπειδὰν τοὺς μεγαλαύχενας ἵππους παντοδαποῦ δρόμου κορέσῃ, ὑπὸ τὴν πόλιν αὐτοὺς πλανῶν, καὶ μετὰ ἀναστροφῆς ἐλαύνων· ἔσω δὲ ἐφορμῆσαι οὐκ ἐάσει αὐτὸν ἡ ψυχὴ οὐδὲ ἐκπορθήσει ποτὲ πρὶν ἂν αὐτὸν κύνες ταχεῖς καταφάγωσι. Πρὸς τοῦτον δὲ δεινῶς ὑποβλεψάμενος, εἶπεν ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν Ἕκτωρ. Ὦ Πολυδάμα, σὺ μὲν οὐδαμῶς ἐμοὶ προσφιλῆ ταῦτα λέγεις, ὅστις κελεύεις συναθροισθῆναι εἰς τὴν πόλιν αὖθις ἐλθόντας· ἢ οὔπω ἐχορτάσθητε συγκεκλεισμένοι ἐντὸς τῶν πυλῶν; τὸ πρῶτον μὲν γὰρ τὴν πόλιν τοῦ Πριάμου οἱ μεμερισμένην ἔχοντες τὴν φωνὴν ἄνθρωποι σύμπαντες ἔφασκον πολὺν χρυσὸν ἔχουσαν, καὶ πολὺν χαλκὸν, νυνὶ δὲ ἐξανήλωται ἐκ τῶν οἴκων τὰ καλὰ ἐναποκείμενα χρήματα· πολλὰ δὲ δὴ κατὰ τὴν Φρυγίαν καὶ τὴν ἐπέρασον Μῃονίαν κτήματα πωλούμενα ἔρχονται, ἐπειδὴ ὁ μέγας Ζεὺς ἐχολώθη, καὶ ὠργίσθη· νυνὶ δὲ ἡνίκα μοι ἔδωκεν ὁ υἱὸς τοῦ Κρόνου σκολιοβούλου δόξαν κτήσασθαι, καὶ εἰς τὰς ναῦς καὶ τὴν θάλασσαν

Οὐ γάρ τις Τρώων ἐπιπείσεται· οὐ γὰρ ἐάσσω.
Ἀλλ' ἄγεθ' ὡς ἂν ἐγὼ εἴπω, πειθώμεθα πάντες.
Νῦν μὲν δόρπον ἕλεσθε, κατὰ στρατὸν ἐν τελέεσσι,
Καὶ φυλακῆς μνήσασθε, καὶ ἐγρήγορθε ἕκαστος·
Τρώων δ' ὃς κτεάτεσσιν ὑπερφιάλως ἀνιάζει,
Συλλέξας, λαοῖσι δότω καταδημοβορῆσαι,
Τῶν τινα βέλτερόν ἐστιν ἐπαυρέμεν, ἤπερ Ἀχαιούς.
Πρωῒ δ' ὑπ' ἠοῖοι σὺν τεύχεσι θωρηχθέντες,
Νηυσὶν ἐπὶ γλαφυρῇσιν ἐγείρομεν ὀξὺν ἄρηα.
Εἰ δ' ἐτεὸν παρὰ ναῦφιν ἀνέστη δῖος Ἀχιλλεὺς,
Ἄλγιον, αἴκ' ἐθέλῃσι, τῷ ἔσσεται· οὔ μιν ἔγωγε
Φεύξομαι ἐκ πολέμοιο δυσηχέος, ἀλλὰ μάλ' ἄντην
Στήσομαι· ἤ κε φέρῃσι μέγα κράτος, ἤ κε φεροίμην·
Ξυνὸς Ἐνυάλιος, καί τε κτανέοντα κατέκτα.
Ὣς Ἕκτωρ ἀγόρευ'· ἐπὶ δὲ Τρῶες κελάδησαν,
Νήπιοι· ἐκ γάρ σφέων φρένας εἵλετο Παλλὰς Ἀθήνη·
Ἕκτορι μὲν γὰρ ἐπῄνησαν κακὰ μητιόωντι,
Πουλυδάμαντι δ' ἄρ' οὔτις, ὃς ἐσθλὴν φράζετο βουλήν.
Δόρπον ἔπειθ' εἵλοντο κατὰ στρατόν· αὐτὰρ Ἀχαιοὶ
Παννύχιοι Πάτροκλον ἀνεστενάχοντο γοῶντες·
Τοῖσι δὲ Πηλείδης ἁδινοῦ ἐξῆρχε γόοιο,
Χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου,
Πυκνὰ μάλα στενάχων· ὥσπερ λῖς ἠϋγένειος,
Ὧι ῥά θ' ὑπὸ σκύμνους ἐλαφηβόλος ἁρπάσῃ ἀνὴρ
Ὕλης ἐκ πυκινῆς· ὁ δέ τ' ἄχνυται ὕστερος ἐλθών·
Πολλὰ δέ τ' ἄγκε' ἐπῆλθε μετ' ἀνέρος ἴχνι' ἐρευνῶν,
Εἴποθεν ἐξεύροι· μάλα γὰρ δριμὺς χόλος αἱρεῖ.
Ὣς ὁ βαρυστενάχων μετεφώνεε Μυρμιδόνεσσιν·

συνελάσαι τοὺς Ἕλληνας, μηδαμῶς, ὦ ἀνόητε, τὰ νοήματα ταῦτα λέγε ἐν τῷ δήμῳ· οὐδεὶς γὰρ τῶν Τρώων ὑπακούσεται, οὐ γὰρ ἀφήσω. Ἀλλ' ἄγετε ὥσπερ ἂν ἐγὼ εἴπω, πάντες ὑπακούωμεν· νυνὶ μὲν δεῖπνον λάβετε κατὰ τὸ στρατόπεδον ἐν ταῖς τάξεσι, καὶ φυλακῆς μνήσθητε, καὶ γρηγορεῖτε πάντες· ὅσις δὲ τῶν Τρώων κτήμασιν ὑπερβαλλόντως λυπεῖ τὸ κοινὸν, συνάξας αὐτὰ δότω τῷ πλήθει καταφαγεῖν δημοσίᾳ, βέλτιόν ἐστιν τινὰ τούτων ἀπολαύειν αὐτῶν., ἢ τοὺς Ἕλληνας. τὸ πρωῒ δὲ ἕωθεν σὺν τοῖς ὅπλοις καθοπλισθέντες παρὰ ταῖς βαθείαις ναυσὶ συστήσομεν πόλεμον σφοδρόν. εἰ δὲ ἀληθῶς ἐκ τῶν νεῶν ἀνέστη ὁ ἐνδοξότατος Ἀχιλλεὺς, λυπηρὸν αὐτῷ ἔσται ἐὰν ἐθέλῃ· οὐκ ἔγωγε αὐτὸν φεύξομαι ἐκ τοῦ κακοήχου πολέμου, ἀλλὰ πάνυ ἐναντίον στήσομαι, ἢ σχοίη ἂν νίκην μεγάλην, ἢ σχοίημ' ἄν· κοινός ἐστιν ὁ Ἄρης, καὶ τὸν, κτανέοντα ἤγουν τὸν ἐλπίζοντα ἀνελεῖν, ἀνεῖλεν. Οὕτως ἔλεγεν ὁ Ἕκτωρ, οἱ Τρῶες δὲ ἐπήχησαν, οἱ μωροὶ καὶ ἀνόητοι, ἐξείλετο γὰρ τὴν διάνοιαν αὐτῶν ἡ πολεμικὴ Ἀθηνᾶ· τῷ Ἕκτωρι μὲν γὰρ συνῄνεσαν δεινὰ βουλευομένῳ (συμβουλεύοντι)· τῷ Πολυδάμαντι δὲ οὐδεὶς, ὅστις ἀγαθὴν βουλὴν διενοεῖτο. Οἱ μὲν οὖν δεῖπνον ἔλαβον κατὰ τὸ στρατόπεδον· οἱ Ἕλληνες δὲ δι' ὅλης τῆς νυκτὸς τὸν Πάτροκλον θρηνοῦντες ἐστέναζον, ἐν τούτοις δὲ ὁ υἱὸς τοῦ Πηλέως ἡγεῖτο δαψιλοῦς θρήνου, θεὶς τὰς χεῖρας τὰς ἀνδροκτόνους ἐπὶ τοῖς στήθεσι τοῦ φίλου, συνεχῶς πάνυ στενάζων καθάπερ λέων μέγα τὸ γένειον ἔχων καὶ εὔτονος, ᾧτινι δὴ τὰ γεννήματα ὑφαρπάσῃ ἀνὴρ θηρευτὴς ἐκ τοῦ πυκτοῦ καὶ συνηρεφοῦς δρυμοῦ, οὗτος δὲ λυπεῖται μετέπειτα παραγενόμενος, πολλοὺς δὲ κοίλους καὶ φαραγκώδεις τόπους ἐπῆλθε κατὰ τὰ ἴχνη τοῦ ἀνδρὸς ζητῶν καὶ ῥινηλατῶν, εἴποθεν αὐτὸν εὕροι, πάνυ γὰρ ὀργὴ δριμεῖα κατακρατεῖ· οὕτως

Ὦ πόποι, ἦ ῥ' ἅλιον ἔπος ἔκβαλον ἤματι κείνῳ,
Θαρσύνων ἥρωα Μενοίτιον ἐν μεγάροισι·
Φῆν δέ οἱ εἰς Ὀπόεντα περικλυτὸν υἱὸν ἀπάξειν,
Ἴλιον ἐκπέρσαντα, λαχόντα τε ληΐδος αἶσαν.
Ἀλλ' οὐ Ζεὺς ἄνδρεσσι νοήματα πάντα τελευτᾷ·
Ἄμφω γὰρ πέπρωται ὁμοίην γαῖαν ἐρεῦσαι
Αὐτοῦ ἐνὶ Τροίῃ· ἐπεὶ οὐδέ με νοστήσαντα
Δέξεται ἐν μεγάροισι γέρων ἱππηλάτα Πηλεὺς,
Οὐδὲ Θέτις μήτηρ, ἀλλ' αὐτοῦ γαῖα καθέξει.
Νῦν δ' ἐπεὶ οὖν, Πάτροκλε, σεῦ ὕστερος εἶμ' ὑπὸ γαῖαν,
Οὔ σε πρὶν κτεριῶ, πρίν γ' Ἕκτορος ἐνθάδ' ἐνεῖκαι
Τεύχεα καὶ κεφαλὴν μεγαθύμου σεῖο φονῆος·
Δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσω
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
Τόφρα δέ μοι παρὰ νηυσὶ κορωνίσι κείσεαι αὔτως·
Ἀμφὶ δέ σε Τρῳαὶ καὶ Δαρδανίδες βαθύκολποι
Κλαύσονται, νύκτας τε καὶ ἤματα δακρυχέουσαι·
Τὰς αὐτοὶ καμόμεσθα, βίηφί τε δουρί τε μακρῷ.
Πιείρας πέρθοντε πόλεις μερόπων ἀνθρώπων.
Ὣς εἰπὼν, ἑτάροισιν ἐκέκλετο δῖος Ἀχιλλεὺς,
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα τάχιστα
Πάτροκλον λούσειαν ἄπο βρότον αἱματόεντα.
Οἱ δὲ λοετροχόον τρίποδ' ἵστασαν ἐν πυρὶ κηλέῳ,
Ἐν δ' ἄρ' ὕδωρ ἔχεαν· ὑπὸ δὲ ξύλα δαῖον ἑλόντες·
Γάστρην μὲν τρίποδος πῦρ ἄμφεπε, θέρμετο δ' ὕδωρ·
Αὐτὰρ ἐπεὶ δὴ ζέσσεν ὕδωρ ἐνὶ ἤνοπι χαλκῷ,
Καὶ τότε δὴ λοῦσάν τε, καὶ ἤλειψαν λίπ' ἐλαίῳ·
Ἐν δ' ὠτειλὰς πλῆσαν ἀλείφατος ἐννεώροιο·

αὐτὸς βαρέως στενάζων ἔλεγεν ἐν τοῖς Μυρμιδόσι. Φεῦ φεῦ, ὄντως δὴ ματαίως ἐξέβαλον λόγον τῇ ἡμέρᾳ ἐκείνῃ θαρσοποιῶν τὸν ἥρωα Μενοίτιον ἐν τοῖς οἴκοις· εἶπον γὰρ αὐτῷ ἀπάξειν τὸν υἱὸν εἰς τὸν ὑπερένδοξον Ὀπόεντα ἐκπορθήσαντα τὸ Ἴλιον, καὶ ἀπολαβόντα μοῖραν τῆς λαφυραγωγίας. ἀλλ' οὐ Ζεὺς τοῖς ἀνδράσι πάντα τὰ νοήματα τελειοῖ, ἀμφοτέρους γὰρ εἵμαρτο ὁμοίαν γῆν ἐρυθρὰν ποιῆσαι τῷ αἵματι αὐτόθι ἐν τῇ Τροίᾳ, ἐπειδὴ οὐδὲ ἐμὲ ὑποστρέψαντα ἀποδέξεται ἐν τοῖς οἴκοις ὁ γέρων ἱππικὸς Πηλεὺς, οὐδὲ Θέτις ἡ μήτηρ, ἀλλ' αὐτόθι ἡ γῆ καθέξει καὶ καλύψει. νυνὶ δὲ ἐπειδὴ, ὦ Πάτροκλε, μετὰ σὲ πορεύσομαι ὑπὸ τὴν γῆν, οὐ πρότερόν σε ἐνταφιάσω, πρὶν ἢ δεῦρο ἐνέγκαι τὰ τοῦ Ἕκτορος ὅπλα, καὶ τὴν κεφαλὴν τοῦ σοῦ μεγαλοψύχου φονέως· δώδεκα δὲ ἔμπροσθεν τοῦ πυρὸς ἀπαυχενίσω, καὶ ἀποτραχηλίσω τέκνα λαμπρὰ τῶν Τρώων, ὀργισθεὶς ἕνεκα σοῦ ἀνερεθέντος· ἐπὶ τοσοῦτον δέ μοι παρὰ ταῖς καμπυλοπρύμνοις ναυσὶ κείσῃ οὑτωσὶ, περὶ σὲ δὲ αἱ Τρωάδες καὶ αἱ μεγαλοκόλποι Δαρδανίδες κλαύσονται νύκτας καὶ ἡμέρας δακρυῤῥοοῦσαι, ἃς ἡμεῖς πονήσαντες ἐκτησάμεθα ἰσχύϊ τε καὶ δόρατι μακρῷ, εὐγείους πόλεις ἐκπορθοῦντες τῶν μεμερισμένων ἐχόντων τὴν φωνὴν ἀνθρώπων. Οὕτως εἰπὼν τοῖς φίλοις ἐκέλευσεν ὁ ἐνδοξότατος Ἀχιλλεὺς στῆσαι περὶ τὸ πῦρ λέβητα μέγαν, ὅπως πάνυ ταχέως τὸν Πάτροκλον ἀπολούσαιεν, καὶ ἐκπλύνειεν τὸν αἱματώδη λύθρον. οὗτοι δὲ τὸν εἰς ὃν τὰ λουτρὰ ἐγχέονται λέβητα ἔστησαν ἐν τῷ καυστικῷ πυρὶ, ἐνέχεαν δὲ ὕδωρ, ξύλα δὲ ὑπέκαιον λαβόντες· τὴν γάστραν μὲν οὖν καὶ τὸ κοῖλον τοῦ λέβητος τὸ πῦρ περιέθαλπεν, ἐθερμαίνετο δὲ τὸ ὕδωρ. ἐπειδὴ δὲ ἔβρασε τὸ ὕδωρ ἐν τῷ λεπτῷ καὶ καθαρῷ χαλκῷ, τότε δὴ ἔλουσαν αὐτὸν, καὶ ἔχρισαν λίπος δι' ἐλαίου, ἐνέπλησαν

Ἐν λεχέεσσι δὲ θέντες, ἑανῷ λιτὶ κάλυψαν
Ἐς πόδας ἐκ κεφαλῆς· καθύπερθε δὲ, φάρεϊ λευκῷ.
Παννύχιοι μὲν ἔπειτα πόδας ταχὺν ἀμφ' Ἀχιλῆα
Μυρμιδόνες Πάτροκλον ἀνεστενάχοντο γοῶντες·
Ζεὺς δ' Ἥρην προσέειπε κασιγνήτην, ἄλοχόν τε·
Ἔπρηξας καὶ ἔπειτα, βοῶπι πότνια Ἥρη,
Ἀνστήσασ' Ἀχιλῆα πόδας ταχύν· ἦ ῥά νυ σεῖο
Ἐξ αὐτῆς ἐγένοντο καρηκομόωντες Ἀχαιοί.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Αἰνότατε Κρονίδη, ποῖον τὸν μῦθον ἔειπες;
Καὶ μὲν δή πού τις μέλλει βροτὸς ἀνδρὶ τελέσσαι,
Ὅσπερ θνητός τ' ἐστὶ, καὶ οὐ τόσα μήδεα οἶδε·
Πῶς δὴ ἔγωγ', ἥ φημὶ θεάων ἔμμεν' ἀρίστη,
Ἀμφότερον, γενεῇ τε, καὶ οὕνεκα σὴ παράκοιτις
Κέκλημαι, σὺ δὲ πᾶσι μετ' ἀθανάτοισιν ἀνάσσεις,
Οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη κακὰ ῥάψαι;
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον·
Ἡφαίστου δ' ἵκανε δόμον Θέτις ἀργυρόπεζα
Ἄφθιτον, ἀστερόεντα, μετὰ πρεπέ' ἀθανάτοισι,
Χάλκεον, ὅν ῥ' αὐτὸς ποιήσατο Κυλλοποδίων.
Τὸν δ' εὗρ' ἱδρώοντα, ἑλισσόμενον περὶ φύσας,
Σπεύδοντα· τρίποδας γὰρ ἐείκοσι πάντας ἔτευχεν,
Ἑστάμεναι περὶ τοῖχον ἐϋσταθέος μεγάροιο.
Χρύσεα δέ σφ' ὑπὸ κύκλα ἑκάστῳ πυθμένι θῆκεν,
Ὄφρα οἱ αὐτόματοι θεῖον δυσαίατ' ἀγῶνα,
Ἠδ' αὖτις πρὸς δῶμα νεοίατο, θαῦμα ἰδέσθαι.
Οἱ δ' ἤτοι τόσσον μὲν ἔχον τέλος, οὔατα δ' οὔπω
Δαιδάλεα προσέκειτο, τά ῥ' ἤρτυε, κόπτε δὲ δεσμούς·

δὲ καὶ ἀνεστόμωσαν τὰ τραύματα ἐλαίου ἐνναετοῦς, ἐν τῇ στρωμνῇ δὲ καταθέντες λεπτῷ περιβολαίῳ (ὑφάσματι) ἐκάλυψαν ἐκ τῆς κεφαλῆς μέχρι τῶν ποδῶν, ἄνωθεν δὲ ἱματίῳ λευκῷ. Δι' ὅλης μὲν οὖν τῆς νυκτὸς περὶ τὸν ταχύποδα Ἀχιλλέα οἱ Μυρμιδόνες τὸν Πάτροκλον θρηνοῦντες ἀνεστέναζον. ὁ Ζεὺς δὲ εἶπε πρὸς τὴν Ἥραν τὴν ἀδελφὴν καὶ γαμετὴν αὐτοῦ. Ἔπραξας καὶ παραυτίκα νυνὶ, ὦ εὐόφθαλμε σεβαστὴ Ἥρα ἐγείρασα τὸν ταχύποδα Ἀχιλλέα· ὄντως που ἐκ σοῦ αὐτῆς ἐγεννήθησαν οἱ τὰς κεφαλὰς κομῶντες Ἕλληνες. Πρὸς τοῦτον δὲ ἀπεκρίνετο μετὰ ταῦτα ἡ εὐόφθαλμος σεβαστὴ Ἥρα· Δεινότατε υἱὲ τοῦ Κρόνου, τίνα τόνδε λόγον εἶπας; καὶ μήν που ἀνήρ τις φροντίζει τελειῶσαι ἀνδρὶ κακόν τι δηλονότι, ὀργισθεὶς αὐτῷ, ὅστις ὑπάρχει θνητὸς, καὶ οὐ τοσαύτας βουλὰς ἐπίσταται. πῶς οὖν ἔγωγε, ἥτις οἶομαι εἶναι κρατίστη πασῶν τῶν θεῶν κατ' ἄμφω, καὶ τῷ γένει, καὶ διότι σὴ γαμετὴ καλοῦμαι, σὺ δὲ ἐν πᾶσιν τοῖς ἀθανάτοις θεοῖς βασιλεύεις;, οὐκ ἔμελλον τοῖς Τρωσὶν ὀργισθεῖσα δεινὰ καὶ χαλεπὰ μηχανήσασθαι; Οὕτως οὗτοι μὲν τοιαῦτα πρὸς ἀλλήλους ἔλεγον. Ἡ Θέτις δὲ ἡ λευκόπους ἀφίκετο εἰς τὸν οἶκον τοῦ Ἡφαίστου τὸν ἄφθαρτον, τὸν λαμπρὸν, τὸν περιφανῆ ἐν τοῖς ἀθανάτοις, ὃν δὴ αὐτὸς χαλκοῦν ἐποίησεν ὁ χωλός. τοῦτον δὲ εὗρεν ἱδρῶτι περιῤῥεόμενον, συστρεφόμενον περὶ τοὺς πνευματικοὺς ἀσκοὺς ἐπειγόμενον, λέβητας εἴκοσι τοὺς πάντας κατεσκεύαζεν ἑστάναι περὶ τὸν τοῖχον τοῦ εὐσταθοῦς καὶ ἑδραίου οἴκου, χρυσοὺς δὲ τροχοὺς ὑπὸ τὸν πυθμένα ἑκάστου αὐτῶν ἔθηκεν, ὅπως αὐτῷ αὐτομάτως καὶ ἀφ' ἑαυτῶν εἰσίοιεν εἰς τὸν θεῖον ἀγῶνα, καὶ πάλιν εἰς τὸν οἶκον πορεύοιντο θαῦμα θεάσασθαι. οὗτοι δὲ ἐπὶ τοσοῦτον μὲν ἦσαν τετελεσμένοι, οὔπω δὲ τὰ ὦτα τὰ ποικίλα προσέκειντο, ἅπερ δὴ

Ὄφρ' ὅγε ταῦτ' ἐπονεῖτο ἰδυίῃσι πραπίδεσσι,
Τόφρα οἱ ἐγγύθεν ἦλθε θεὰ Θέτις ἀργυρόπεζα.
Τὴν δὲ ἴδε προμολοῦσα Χάρις λιπαροκρήδεμνος
Καλὴ τὴν ὤπυιε περικλυτὸς Ἀμφιγυήεις,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ,
Αἰδοίη τε φίλη τε; πάρος γε μὲν οὔτι θαμίζεις·
Ἀλλ' ἕπεο προτέρω, ἵνα τοι πὰρ ξείνια θείω.
Ὣς ἄρα φωνήσασα, πρόσω ἄγε δῖα θεάων·
Τὴν μὲν ἔπειτα καθεῖσεν ἐπὶ θρόνου ἀργυροήλου,
Καλοῦ, δαιδαλέου· ὑπὸ δὲ θρῆνυς ποσὶν ἦεν·
Κέκλετο δ' Ἥφαιστον κλυτοτέχνην, εἶπέ τε μῦθον·
Ἥφαιστε, πρόμολ' ὧδε, Θέτις νύ τι σεῖο χατίζει.
Τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·
Ἦ ῥά νύ μοι δεινή τε καὶ αἰδοίη θεὸς ἔνδον,
Ἥ μ' ἐσάωσ', ὅτε μ' ἄλγος ἀφίκετο τῆλε πεσόντα
Μητρὸς ἐμῆς ἰότητι κυνώπιδος, ἥ μ' ἐθέλησε
Κρύψαι χωλὸν ἐόντα· τότ' ἂν πάθον ἄλγεα θυμῷ,
Εἰ μή μ' Εὐρυνόμη τε, Θέτις θ' ὑπεδέξατο κόλπῳ,
Εὐρυνόμη θυγάτηρ ἀψοῤῥόου Ὠκεανοῖο·
Τῇσι παρ' εἰνάετες χάλκευον δαίδαλα πολλὰ,
Πόρπας τε, γναμπτάς θ' ἕλικας, κάλυκάς τε, καὶ ὅρμους,
Ἐν σπῆϊ γλαφυρῷ· περὶ δὲ ῥόος Ὠκεανοῖο
Ἀφρῷ μορμύρων ῥέεν ἄσπετος· οὐδέ τις ἄλλος
Ἤιδεεν, οὔτε θεῶν, οὔτε θνητῶν ἀνθρώπων,
Ἀλλὰ Θέτις τε καὶ Εὐρυνόμη ἔσαν, αἵ μ' ἐσάωσαν·
Ἣ νῦν ἡμέτερον δόμον ἵκει· τῷ με μάλα χρεὼ
Πάντα Θέτι καλλιπλοκάμῳ ζωάγρια τίνειν.

ἡτοίμαζεν, ἤλαυνε δὲ τοὺς ἥλους· ἐν ᾧ δὲ οὗτος ταῦτα εἰργάζετο φρεσὶν ἐπιστήμοσιν, ἐν τούτῳ παρεγένετο αὐτῷ ἡ θεὰ ἡ Θέτις ἡ λευκόπους, ταύτην δὲ ἐθεάσατο προϊοῦσα ἡ Χάρις, ἡ στίλβον καὶ λευκὸν τὸ ἐπιβόλαιον καὶ κεφαλόδεσμον ἔχουσα, ἡ ὡραία, ἣν ἔγημεν ὁ ὑπερένδοξος Ἥφαιστος ὁ χωλὸς, ἐνέφυ δὲ αὐτῇ τῇ χειρὶ, καὶ λόγον εἶπε, καὶ ἐξ ὀνόματος ἐκάλει. Τί δήποτε, ὦ Θέτι μακροπεπλε, ἀφίκου εἰς τὸ ἡμέτερον δῶμα, αἰδοῦς ἀξία καὶ προσφιλής; πρότερόν γε μὴν οὐ συνεχῶς παρεγίνου. ἀλλ' ἕπου εἰς τοὔμπροσθεν, ὅπως σοι ξένια παραθῶ. Οὕτως δὴ εἰποῦσα εἰς τὸ πρόσω ἦγεν ἡ ἐνδοξοτατη τῶν θεῶν. ταύτην μὲν οὖν ἐκάθισεν ἐπὶ τοῦ θρόνου τοῦ ἀργυροὺς ἥλους ἔχοντος τοῦ εὐειδοῦς, καὶ ποικίλως εἰργασμένου, ὑποπόδιον δὲ ὑπὸ τοῖς ποσὶν ἦν, ἐκάλεσε δὲ τὸν ἔνδοξον κατὰ τὴν τέχνην Ἥφαιστον, καὶ εἶπε λόγον οὕτως· Ὦ Ἥφαιστε, ἴθι δεῦρο (πρόελθε οὕτως ὡς ἔχεις σχήματος), ἡ Θέτις δή σου χρείαν κατά τι ἔχει. Πρὸς ταύτην δὲ ἀπεκρίνετο μετὰ ταῦτα ὁ ὑπερένδοξος Ἥφαιστος ὁ χωλός· Οντως δή μοι φοβερὰ καὶ αἰδοῦς ἀξία θεὰ πάρεστιν, ἥτις με ἔσωσεν, ἡνίκα με λύπη καὶ ὀδύνη κατέλαβε πόῤῥωθι τεχθέντα βουλῇ τῆς ἐμῆς ἀναιδοῦς μητρὸς, ἥτις με ἠβουλήθη ἀποκρύψαι χωλὸν ὑπάρχοντα. τότε ἂν λύπας καὶ ὀδύνας ὑπέμεινα τῇ ψυχῇ, εἰ μὴ ἡ Εὐρυνόμη τε καὶ ἡ Θέτις με ὑπεδέξατο εἰς τὸν κόλπον, ἡ Εὐρυνόμη ἡ θυγάτηρ τοῦ παλιῤῥόου (ταχέως ῥέοντος) Ὠκεανοῦ, παρ' αὐταῖς ἐννέα ἔτη ἐχάλκευον πολλὰ ποικίλα, περόνας τε, καὶ περιφερῆ ψέλλια (...εἰς στρεπτοὺς), καὶ σύριγκας (σωληνίσκους), καὶ περιτραχηλίους κόσμους ἐν τῷ κοίλῳ καὶ βαθεῖ σπηλαίῳ, ὁ ῥοῦς δὲ τοῦ Ὠκεανοῦ περιέῤῥει μέγιστος, σὺν ἀφρῷ ποιὸν ἦχον ἀποτελῶν, οὐδέ τις ἄλλος ἠπίστατο, οὔτε ἀπὸ τῶν θεῶν, οὔτε ἀπὸ τῶν θνητῶν ἀνθρώπων· ἀλλ' ἡ Θετις τε καὶ ἡ Εὐρυνόμη ἦσαν αἵτινές με ἔσωσαν, ἥτις νυνὶ ἀφίκετο εἰς τὸν ἡμέτερον οἶκον· διὰ τοῦτό με πανυ χρέος ἀποδιδόναι τῇ ὡραιο-

Ἀλλὰ σὺ μὲν νῦν οἱ παράθες ξεινήϊα καλὰ,
Ὄφρ' ἂν ἐγὼ φύσας ἀποθείομαι, ὅπλα τε πάντα.
Ἦ, καὶ ἀπ' ἀκμοθέτοιο πέλωρ αἴητον ἀνέστη
Χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
Φύσας μέν ῥ' ἀπάνευθε τίθει πυρὸς, ὅπλα τε πάντα
Λάρνακ' ἐς ἀργυρέην συλλέξατο, τοῖς ἐπονεῖτο·
Σπόγγῳ δ' ἀμφὶ πρόσωπα, καὶ ἄμφω χεῖρ', ἀπομόργνυ
Αὐχένα τε στιβαρὸν, καὶ στήθεα λαχνήεντα·
Δῦ δὲ χιτῶν'· ἕλε δὲ σκῆπτρον παχύ· βῆ δὲ θύραζε
Χωλεύων· ὑπὸ δ' ἀμφίπολοι ῥώοντο ἄνακτι,
Χρύσειαι, ζωῇσι νεήνισιν εἰοικυῖαι.
Τῇς ἐν μὲν νόος ἐστὶ μετὰ φρεσὶν, ἐν δὲ καὶ αὐδὴ,
Καὶ σθένος, ἀθανάτων δὲ θεῶν ἄπο ἔργα ἴσασιν.
Αἱ μὲν, ὕπαιθα ἄνακτος ἐποίπνυον· αὐτὰρ ὁ ἔῤῥων,
Πλησίον, ἔνθα Θέτις περ, ἐπὶ θρόνου ἷζε φαεινοῦ,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε.
Τίπτε, Θέτι τανύπεπλε, ἱκάνεις ἡμέτερον δῶ,
Αἰδοίη τε, φίλη τε; πάρος γε μὲν οὔτι θαμίζεις.
Αὔδα ὅ, τι φρονέεις· τελέσαι δέ με θυμὸς ἀνώγει,
Εἰ δύναμαι τελέσαι γε, καὶ εἰ τετελεσμένον ἐστί.
Τὸν δ' ἠμείβετ' ἔπειτα Θέτις καταδακρυχέουσα·
Ἥφαιστ', ἦ ἄρα δή τις, ὅσαι θεαί εἰσ' ἐν Ὀλύμπῳ,
Τοσσάδ' ἐνὶ φρεσὶν ᾗσιν ἀνέσχετο κήδεα λυγρὰ,
Ὅσσ' ἐμοὶ ἐκ πασέων Κρονίδης Ζεὺς ἄλγε' ἔδωκεν;
Ἐκ μέν μ' ἀλλάων ἁλιάων ἀνδρὶ δάμασσεν,
Αἰακίδῃ Πηλῆϊ, καὶ ἔτλην ἀνέρος εὐνὴν,
Πολλὰ μάλ' οὐκ ἐθέλουσα· ὁ μὲν δὴ γήραϊ λυγρῷ
Κεῖται ἐνὶ μεγάροις ἀρημένος· ἄλλα δέ μοι νῦν

κόμῳ Θέτιδι πᾶσαν χάριν ὑπὲρ τῆς ἐμῆς ζωῆς. Ἀλλὰ σὺ μὲν αὐτῇ νυνὶ παράθες ξένια καλὰ, μέχρις ἂν ἐγὼ τοὺς πνευματικοὺς ἀσκοὺς ἀποθῶ, καὶ πάντα τὰ ἔνθετα καὶ ἐνεργά. Εἶπε καὶ ἀπὸ τοῦ τόπου τοῦ ἄκμονος, μεγάλως ἀετηδὸν (δίκην ἀετοῦ) ἀνέστη σκάζων, ἐῤῥωμένως δὲ ὑφώρμων αἱ βεβλαμμέναι κνῆμαι. Τοὺς μὲν οὖν πνευματικοὺς ἀσκοὺς πόῤῥωθεν τοῦ πυρὸς ἔθηκε, καὶ πάντα τὰ ὄργανα, καὶ τὰ σκεύη εἰς τὴν ἀργυρᾶν κιβωτὸν συνήθροισεν, οἷς ἐνήργει· σπόγγῳ δὲ τό τε πρόσωπον καὶ ἄμφω τὰς χεῖρας ἀπέπασσε, καὶ ἀπέψα, καὶ τὸν στερεὸν τράχηλον, καὶ τὰ τετριχωμένα, καὶ δασέα στήθη, ἐνεδύσατο δὲ τὸν χιτῶνα, ἔλαβε δὲ τὴν παχεῖαν ῥάβδον, ἐπορεύθη δὲ ἔξω σκάζων, ὑφώρμων δὲ τῷ βασιλεῖ θεράπαιναι χρυσαῖ, ζώσαις νεάνισιν ὅμοιαι, ταύταις ἔνεστι μὲν νοῦς ἐν διανοίᾳ (λογιστικῷ), ἔνεστι δὲ φωνὴ, καὶ δύναμις, οἴδασι δὲ τὰ ἔργα τῶν ἀθανάτων θεῶν· Αὗται μὲν οὖν ὑπὸ τοῦ βασιλέως ἐνήργουν καὶ διηκόνουν· οὗτος δὲ παρεφθαρμένως πορευόμενος πλησίον, ὅπου ἡ Θέτις ἐκάθισεν ἐπὶ θρόνου λαμπροῦ, καὶ ἐνέφυ αὐτῇ τῇ χειρὶ, καὶ λόγον εἶπε, καὶ ἐξ ὀνόματος ἐκάλει· Τί δήποτε, ὦ Θέτι μακρόπεπλε, ἀφίκου εἰς τὸ ἡμέτερον δῶμα, αἰδοῦς τε ἀξία καὶ προσφιλής; πρότερόν γε μὴν οὔτι συνεχῶς παρεγίνου. λέγε ὅ, τι διανοῇ, ποιῆσαι (τελειῶσαι) δέ με ἡ ψυχὴ προτρέπεται, εἰ δύναμαι τελειῶσαι, καὶ εἰ ὑπ' ἄλλου ποτὲ ἐτελέσθη. Πρὸς τοῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ἡ Θέτις δάκρυα καταχέουσα· Ὦ Ἥφαιστε, ἆρά γέ τις τῶν ὅσαι θεαί εἰσιν ἐν τῷ οὐρανῷ τοσαύτας θλίψεις χαλεπὰς ὑπέμεινεν ἐν τῇ ἑαυτῆς διανοίᾳ, ὅσας ἐμοὶ ἐκ πασῶν Ζεὺς ὁ υἱὸς τοῦ Κρόνου λύπας καὶ οδύνας ἔδωκεν; ἐκ τῶν ἄλλων μὲν θαλασσίων ἐμὲ ὑπέταξεν ἀνδρὶ Πηλεῖ τῷ υἱῷ τοῦ Αἰακοῦ, καὶ ὑπέμεινα συνουσίαν ἀνδρὸς κατὰ πολὺ πάνυ μὴ βουλομένη· οὗτος μὲν δὴ γήρᾳ χαλεπῷ κεῖται ἐν τῷ οἴκῳ βεβλαμμένος. ἄλλα δὲ νυνί μοι δει-

Υἱὸν ἐπεί μοι δῶκε γενέσθαι τε, τραφέμεν τε,
Ἔξοχον ἡρώων, ὁ δ' ἀνέδραμεν ἔρνεϊ ἶσος·
Τὸν μὲν ἐγὼ θρέψασα, φυτὸν ὣς γουνῷ ἀλωῆς,
Νηυσὶν ἐπὶ προέηκα κορωνίσιν Ἴλιον εἴσω,
Τρωσὶ μαχησόμενον· τὸν δ' οὐχ ὑποδέξομαι αὖτις
Οἴκαδε νοστήσαντα, δόμον Πηλήϊον εἴσω,
Ὄφρα δέ μοι ζώει καὶ ὁρᾷ φάος ἠελίοιο,
Ἄχνυται. οὐδέ τί οἱ δύναμαι χραισμῆσαι ἰοῦσα.
Κούρην, ἣν ἄρα οἱ γέρας ἔξελον υἷες Ἀχαιῶν,
Τὴν ἂψ ἐκ χειρῶν ἕλετο κρείων Ἀγαμέμνων.
Ἤτοι τῆς ἀχέων, φρένας ἔφθιεν· αὐτὰρ Ἀχαιοὺς
Τρῶες ἐπὶ πρύμνῃσιν ἐείλεον, οὐδὲ θύραζε
Εἴων ἐξιέναι· τὸν δ' ἐλλίσσοντο γέροντες
Ἀργείων, καὶ πολλὰ περικλυτὰ δῶρ' ὀνόμαζον.
Ἔνθ' αὐτὸς μὲν ἔπειτ' ἠναίνατο λοιγὸν ἀμῦναι·
Αὐτὰρ ὁ Πάτροκλον περὶ μὲν τὰ ἃ τεύχεα ἕσσε,
Πέμπε δέ μιν πόλεμόνδε, πολὺν δ' ἅμα λαὸν ὄπασσε.
Πᾶν δ' ἦμαρ μάρναντο περὶ Σκαιῇσι πύλῃσι·
Καί νύ κεν αὐτῆμαρ πόλιν ἔπραθον, εἰ μὴ Ἀπόλλων,
Πολλὰ κακὰ ῥέξαντα, Μενοιτίου ἄλκιμον υἱὸν,
Ἔκταν' ἐνὶ προμάχοισι, καὶ Ἕκτορι κῦδος ἔδωκε.
Τοὔνεκα νῦν τὰ σὰ γούναθ' ἱκάνομαι, αἴκ' ἐθέλῃσθα
Υἱεῖ ἐμ' ὠκυμόρῳ δόμεν ἀσπίδα καὶ τρυφάλειαν,
Καὶ καλὰς κνημῖδας, ἐπισφυρίοις ἀραρυίας,
Καὶ θώρηχ'· ὃ γὰρ ἦν οἱ, ἀπώλεσε πιστὸς ἑταῖρος,
Τρωσὶ δαμείς· ὁ δὲ κεῖται ἐπὶ χθονὶ θυμὸν ἀχεύων.
Τὴν δ' ἠμείβετ' ἔπειτα περικλυτὸς Ἀμφιγυήεις·
Θάρσει, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων.

νὰ δηλονότι, ἐπειδή μοι ἔδωκε γεννηθῆναι υἱὸν καὶ ἀνατραφῆναι ἄριστον πάντων τῶν ἡρώων, οὗτος δὲ ηὐξήθη ὅμοιος φυτῷ εὐθαλεῖ. τοῦτον μὲν ἐγὼ ἀναθρέψασα καθάπερ φυτὸν ἐν τῷ γονίμῳ τοῦ συμφύτου χωρίου, ἐπέπεμψα διὰ τῶν καμπυλοπρύμνων νεῶν εἰς τὸ Ἴλιον πολεμήσοντα τοῖς Τρωσὶ, τοῦτον δὲ πάλιν οὐκ ἀποδέξομαι εἰς τὸν οἶκον ὑποστρέψαντα εἰς τὴν τοῦ Πηλέως οἰκίαν. ἐν ὅσῳ δέ μοι ζῇ καὶ ὁρᾷ τὸ φῶς τοῦ ἡλίου λυπεῖται, οὐδέ τι δύναμαι βοηθῆσαι αὐτῷ παραγενομένη· τὴν νέαν μὲν, ἣν δὴ ἐκλεξάμενοι οἱ υἱοὶ τῶν Ἑλλήνων ἔδωκαν αὐτῷ δῶρον τιμῶντες, ταύτην πάλιν ἐκ τῶν χειρῶν αὐτοῦ ἀφείλετο ὁ βασιλεὺς Ἀγαμέμνων. ταύτης μὲν οὖν ἕνεκα λυπούμενος ἔφθειρε τὴν διάνοιαν, τοὺς Ἕλληνας δὲ οἱ Τρῶες παρὰ ταῖς πρύμναις συνέστρεφον, οὐδὲ ἔξω ἠφίουν ἐξέρχεσθαι, τοῦτον δὲ παρεκάλουν οἱ τίμιοι τῶν Ἑλλήνων, καὶ πολλὰς ὑπερειδόξους χάριτας ἀπηριθμοῦντο. τότε δ' αὐτὸς μὲν οὖν ἀπηναίνετο καὶ ἀνένευεν ἀποσοβῆσαι τὸν ὄλεθρον, τὸν Πάτροκλον δ' αὐτὸς ἐνέδυσε μὲν τὰ ἑαυτοῦ ὅπλα, ἐπέπεμψε δὲ αὐτὸν εἰς τὸν πόλεμον, ἅμα δὲ πολὺν στρατὸν αὐτῷ ἔδωκε. πᾶσαν δὲ τὴν ἡμέραν ἐμάχοντο περὶ τὰς Σκαιὰς πύλας. καὶ δὴ ἂν αὐτῇ τῇ ἡμέρᾳ τὴν πόλιν ἐξεπόρθησαν, εἰ μὴ Ἀπόλλων πολλὰ δεινὰ ποιήσαντα τὸν ἰσχυρὸν υἱὸν τοῦ Μενοιτίου ἀπέκτεινεν ἐν τοῖς πρωταγωνισταῖς, καὶ δόξαν τῷ Ἕκτορι ἐδωρήσατο. τούτου δὴ ἕνεκα νῦν εἰς τὰ σὰ γόνατα ἀφικόμην, ἐὰν βούλῃ τῷ ἐμῷ ταχυθανάτῳ υἱῷ δοῦναι ἀσπίδα, καὶ περικεφαλαίαν, καὶ καλὰς κνημῖδας προσηρμοσμένας καλύμμασι τῶν σφυρῶν, καὶ θώρακα· ὃς γὰρ ἦν αὐτῷ ἀπέβαλεν ὁ πιστὸς φίλος ἀναιρεθεὶς ὑπὸ τῶν Τρώων, οὗτος δὲ ἐπὶ τῆς γῆς ἀλγῶν τὴν ψυχήν. Πρὸς ταύτην δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ ὑπερένδοξος Ἥφαιστος ὁ χωλός· Θάῤῥει, μή σοι ταῦτα

Αἲ γάρ μιν θανάτοιο δυσηχέος ὧδε δυναίμην
Νόσφιν ἀποκρύψαι, ὅτε μιν μόρος αἰνὸς ἱκάνοι·
Ὥς οἱ τεύχεα καλὰ παρέσσεται, οἷά τις αὖτε
Ἀνθρώπων πολέων θαυμάσσεται, ὅς κεν ἴδηται.

Ὣς εἰπὼν, τὰς μὲν λίπεν αὐτοῦ, βῆ δ' ἐπὶ φύσας·
Τὰς δ' ἐς πῦρ ἔτρεψε, κέλευσέ τε ἐργάζεσθαι·
Φῦσαι δ' ἐν χοάνοισιν ἐείκοσι πᾶσαι ἐφύσων,
Παντοίην εὔπρηστον ἀϋτμὴν ἐξανιεῖσαι,
Ἄλλοτε μὲν σπεύδοντι παρέμμεναι, ἄλλοτε δ' αὖτε,
Ὅππως Ἥφαιστός τ' ἐθέλοι καὶ ἔργον ἄνοιτο.
Χαλκὸν δ' ἐν πυρὶ βάλλεν ἀτειρέα, κασσίτερόν τε,
Καὶ χρυσὸν τιμῆντα, καὶ ἄργυρον· αὐτὰρ ἔπειτα
Θῆκεν ἐν ἀκμοθέτῳ μέγαν ἄκμονα· γέντο δὲ χειρὶ
Ῥαιστῆρα κρατερὸν, ἑτέρηφι δὲ γέντο πυράγρην.

Ποίει δὲ πρώτιστα σάκος μέγα τε, στιβαρόν τε,
Πάντοσε δαιδάλλων, περὶ δ' ἄντυγα βάλλε φαεινὴν,
Τρίπλακα, μαρμαρέην, ἐκ δ' ἀργύρεον τελαμῶνα·
Πέντε δ' ἄρ' αὐτοῦ ἔσαν σάκεος πτύχες· αὐτὰρ ἐν αὐτῷ
Ποίει δαίδαλα πολλὰ ἰδυίῃσι πραπίδεσσιν.
Ἐν μὲν γαῖαν ἔτευξ', ἐν δ' οὐρανὸν, ἐν δὲ θάλασσαν,
Ἠέλιόν τ' ἀκάμαντα, σελήνην τε πλήθουσαν,
Ἐν δὲ τὰ τείρεα πάντα, τά τ' οὐρανὸς ἐστεφάνωται,
Πληϊάδας θ', Ὑάδας τε, τό τε σθένος Ὠρίωνος,
Ἄρκτον θ', ἣν καὶ ἄμαξαν ἐπίκλησιν καλέουσιν,
Ἥ τ' αὐτοῦ στρέφεται, καί τ' Ὠρίωνα δοκεύει·
Οἴη δ' ἄμμορός ἐστι λοετρῶν Ὠκεανοῖο.

Ἐν δὲ δύω ποίησε πόλεις μερόπων ἀνθρώπων
Καλάς· ἐν τῇ μέν ῥα γάμοι τ' ἔσαν, εἰλαπίναι τε

ἐν τῇ σῇ διανοίᾳ διὰ φροντίδος ἔστωσαν. εἴθε γὰρ αὐτὸν οὕτω δυναίμην τοῦ κακοήχου θανάτου πόῤῥω ἀποκρύψαι, καὶ ἀπαλλάξαι, ἡνίκα αὐτὸν ἡ χαλεπὴ τελευτὴ καταλαμβάνει, ὥσπερ ὅπλα καλὰ αὐτῷ παρέσται, ὁποῖά τις δὴ ἀπὸ τῶν πολλῶν ἀνθρώπων θαυμάσεται, ὃς ἂν θεάσηται. Οὕτως εἰπὼν, ταύτας μὲν κατέλιπεν αὐτόθι, ἐπορεύθη δὲ ἐπὶ τοὺς πνευματικοὺς ἀσκούς. τούτους δὲ ἔτρεψεν εἰς τὸ πῦρ, καὶ προσέταξεν ἐνεργεῖν· οἱ ἀσκοὶ δὲ πάντες ἐφύσων ἐν φυσητῆρσιν εἴκοσι παντοῖον εὐφύσητον πνεῦμα ἐκπέμποντες, ἄλλοτε (ποτὲ) μὲν ἐπειγομένῳ παρεῖναι, ποτὲ δὲ ὥσπερ ἂν ὁ Ἥφαιστος βούλοιτο καὶ τὸ ἔργον τελοῖτο· ἔβαλε δὲ χαλκὸν εἰς τὸ πῦρ, καὶ στερεὸν κασσίτερον (σίδηρον ἀκαταπόνητον καὶ κασσίτερον), καὶ πολύτιμον χρυσὸν, καὶ ἄργυρον, μετὰ ταῦτα δὲ ἔθηκεν ἐν τῷ ἀκμοδόχῳ τόπῳ τὸν μέγαν ἄκμονα, ἔλαβε δὲ τῇ χειρὶ τὴν μεγάλην σφύραν, τῇ ἑτέρᾳ δὲ ἔλαβε τὸν ὀξύλαβον, ἤγουν τὸν χαλκευτικὸν καρκίνον· ἐποίει δὲ πρῶτον μεγάλην τε καὶ στερεὰν ἀσπίδα, πάντα μέρη ποικίλλων, περιέθηκε δὲ ἔξωθεν κύκλον λαμπρὸν, τρίπτυχον, λαμπρὸν, ἐξήρτησε δὲ ἀργυροῦν ἀναφορέα. πέντε δὲ ἐλάσματα ἦσαν τῆς ἀσπίδος αὐτῆς, ἐν αὐτῇ δὲ ἐποίει ποικίλα πολλὰ φρεσὶν ἐπιστήμοσιν, ἐγκατεσκεύασε μὲν τὴν γῆν, καὶ τὸν οὐρανὸν, καὶ τὴν θάλασσαν, καὶ τὸν μὴ κάμνοντα ἥλιον, καὶ τὴν σελήνην πληθύουσαν, καὶ πεπληρωμένην τοῦ ἡλιακοῦ φωτός. ἐν τούτοις δὲ πάντα τὰ ἄστρα, ἅπερ ὁ οὐρανὸς περίκειται, τάς τε Πληιάδας, καὶ τὰς Ὑάδας, καὶ τὴν δύναμιν τοῦ Ὠρίωνος, καὶ τὴν Ἄρκτον, ἣν καὶ ἅμαξαν κατ᾽ ἐπωνυμίαν καλοῦσιν, ἥτις περὶ τὸν αὐτὸν τόπον στρέφεται, καὶ ἐπιτηρεῖ τὸν Ὠρίωνα· μόνη δ᾽ αὕτη ἄμοιρός ἐστιν τῶν ῥείθρων τοῦ Ὠκεανοῦ μὴ δύνουσα. Ἐνεποίησε δὲ δύο πόλεις ἀνθρώπων τῶν μεμερισμένων ἐχόντων τὴν φωνὴν περικαλλεῖς, ὧν ἐν μὲν τῇ ἑτέρᾳ γάμοι ἦσαν καὶ εὐω-

Νύμφας δ' ἐκ θαλάμων, δαΐδων ὑπὸ λαμπομενάων,
Ἠγίνεον ἀνὰ ἄστυ· πολὺς δ' ὑμέναιος ὀρώρει·
Κοῦροι δ' ὀρχηστῆρες ἐδίνεον, ἐν δ' ἄρα τοῖσιν
Αὐλοὶ, φόρμιγγές τε βοὴν ἔχον· αἱ δὲ γυναῖκες
Ἱστάμεναι θαύμαζον ἐπὶ προθύροισιν ἑκάστη.
Λαοὶ δ' εἰν ἀγορῇ ἔσαν ἀθρόοι· ἔνθα δὲ νεῖκος
Ὠρώρει· δύο δ' ἄνδρες ἐνείκεον εἵνεκα ποινῆς
Ἀνδρὸς ἀποφθιμένου· ὁ μὲν εὔχετο πάντ' ἀποδοῦναι,
Δήμῳ πιφαύσκων· ὁ δ' ἀναίνετο μηδὲν ἑλέσθαι·
Ἄμφω δ' ἱέσθην ἐπὶ ἴστορι πεῖραρ ἑλέσθαι·
Λαοὶ δ' ἀμφοτέροισιν ἐπήπυον, ἀμφὶς ἀρωγοί·
Κήρυκες δ' ἄρα λαὸν ἐρήτυον· οἱ δὲ γέροντες
Εἵατ' ἐπὶ ξεστοῖσι λίθοις, ἱερῷ ἐνὶ κύκλῳ·
Σκῆπτρα δὲ κηρύκων ἐν χέρσ' ἔχον ἠεροφώνων·
Τοῖσιν ἔπειτ' ἤϊσσον, ἀμοιβηδὶς δὲ δίκαζον.
Κεῖτο δ' ἄρ' ἐν μέσσοισι δύο χρυσοῖο τάλαντα,
Τῷ δόμεν, ὃς μετὰ τοῖσι δίκην ἰθύντατα εἴπῃ.
Τὴν δ' ἑτέρην πόλιν ἀμφὶ δύο στρατοὶ εἵατο λαῶν,
Τεύχεσι λαμπόμενοι· δίχα δέ σφισιν ἥνδανε βουλὴ,
Ἠὲ διαπραθέειν, ἢ ἄνδιχα πάντα δάσασθαι
Κτῆσιν, ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει.
Οἱ δ' οὔπω πείθοντο, λόχῳ δ' ὑπεθωρήσσοντο.
Τεῖχος μέν ῥ' ἄλοχοί τε φίλαι, καὶ νήπια τέκνα,
Ῥύατ', ἐφεσταότες, μετὰ δ' ἀνέρες, οὓς ἔχε γῆρας·
Οἱ δ' ἴσαν· ἦρχε δ' ἄρα σφιν Ἄρης καὶ Παλλὰς Ἀθήνη,
Ἄμφω χρυσείω, χρύσεια δὲ εἵματα ἕσθην,
Καλὼ καὶ μεγάλω σὺν τεύχεσιν, ὥς τε θεώ περ,
Ἀμφὶς ἀριζήλω· λαοὶ δ' ὑπολίζονες ἦσαν.

χίαι, νύμφας δὲ ἐκ τῶν νυμφικῶν δωμάτων, δάδων ἡμμένων καὶ περιλαμπουσῶν ἦγον κατὰ τὴν πόλιν, πολὺς δὲ ὕμνος ἐπιθαλάμιος διεγήγερτο, νέοι δὲ ὀρχησταὶ περιεστρέφοντο καὶ ὠρχοῦντο, ἐν τούτοις δὲ αὐλοὶ καὶ κιθάραι βοὴν ἐποίουν, αἱ γυναῖκες δὲ ἑστῶσαι πρὸ τῶν θυρῶν ἅπασαι ἐθεώρουν, ὁ δῆμος δὲ ἐν τῇ ἀγορᾷ ἦν συνηθροισμένος, ἐνταῦθα δὲ φιλονεικία διεγήγερτο, δύο δὲ ἄνδρες ἐφιλονείκουν ἕνεκα προστίμου καὶ ὑποφονίου ἀνδρὸς ἀναιρεθέντος, ὁ μὲν ἔφασκε πάντα τὰ ἀρκοῦντα πρὸς τὸ ἀδίκημα ἀποδεδωκέναι τῷ δήμῳ δεικνύων, καὶ ἐμφανίζων, ὁ δὲ ἠρνεῖτο μηδὲν λαβεῖν· ἀμφότεροι δὲ ἐβούλοιτο ἐπὶ μάρτυρι πέρας λαβεῖν καὶ δικάσασθαι. οἱ λαοὶ δὲ ἀμφοτέροις ἐπεβόων (συνηγόρουν) διῃρημένως συνηγοροῦντες (βοηθοῦντες). οἱ κήρυκες δὲ τὸν λαὸν κατεῖχον κωλύοντες, οἱ ἐν τέλει δὲ ἐκάθηντο ἐπὶ λίθοις ἐξεσμένοις ἐν κύκλῳ ἱερῷ, τὰ σκῆπτρα δὲ εἶχον ἐν ταῖς χερσὶν τῶν μεγαλοφώνων κηρύκων. τούτοις οὖν ὑφώρμων καὶ παρεκινοῦντο καθήμενοι, κατὰ ἐναλλαγὴν δὲ ἀπέφαινον ἕκαστος τὴν ἑαυτοῦ γνώμην· ἔκειντο δὲ ἐν τῷ μέσῳ δύο τάλαντα χρυσοῦ, τούτῳ δοῦναι, ὃς ἂν ἐν αὐτοῖς κρίσιν εὐθύτατα ἀποφήνειεν. Τὴν ἑτέραν δὲ πόλιν περιεκάθηντο καὶ ἐπολιόρκουν δύο στρατοὶ λαῶν ὅπλοις περιλαμπόμενοι, διχῶς δὲ αὐτοῖς ἤρεσκε βουλὴ, ἢ ἐκπορθῆσαι, ἢ εἰς δύο μέρη πάντα μερίσαι καὶ διελεῖν τὰ κτήματα ὅσα ἡ πόλις ἡ ἐπέραστος ἔνδον ἐναποκλείει καὶ περιέχει. οὗτοι (οἱ πολῖται) δὲ οὐχ ὑπήκουον, ἐπὶ λόχον δὲ καθωπλίζοντο λάθρα. Τὸ τεῖχος μὲν οὖν αἱ ἀγαπηταὶ γυναῖκες καὶ τὰ μικρὰ τέκνα ἐφύλαττον ἐφεστῶτες, καὶ πρός γε οἱ ἄνδρες οὓς τὸ γῆρας κατεῖχεν· οὗτοι δὲ ἐπορεύοντο, ἡγεῖτο δ' αὐτοῖς ὁ Ἄρης, καὶ ἡ πολεμικὴ Ἀθηνᾶ, ἀμφότεροι χρυσοῖ, χρυσᾶ δὲ ἱμάτια περιεβέβληντο, καλοὶ καὶ μεγάλοι σὺν τοῖς ὅπλοις, καθάπερ θεοὶ ἄγαν περιφανεῖς, οἱ

Οἱ δ' ὅτε δή ῥ' ἵκανον, ὅθι σφίσιν εἶκε λοχῆσαι,
Ἐν ποταμῷ, ὅθι τ' ἀρδμὸς ἔην πάντεσσι βοτοῖσιν,
Ἔνθ' ἄρα τοί γ' ἵζοντ', εἰλυμένοι αἴθοπι χαλκῷ.
Τοῖσι δ' ἔπειτ' ἀπάνευθε δύω σκοποὶ εἵατο λαῶν,
Δέγμενοι, ὁππότε μῆλα ἰδοίατο καὶ ἕλικας βοῦς.
Οἱ δὲ τάχα προγένοντο, δύω δ' ἅμ' ἕποντο νομῆες,
Τερπόμενοι σύριγξι· δόλον δ' οὔ τι προνόησαν.
Οἱ μὲν τὰ προϊδόντες ἐπέδραμον, ὦκα δ' ἔπειτα
Τάμνοντ' ἀμφὶ βοῶν ἀγέλας καὶ πώεα καλὰ
Ἀργεννῶν οἰῶν· κτεῖνον δ' ἐπὶ μηλοβοτῆρας.
Οἱ δ' ὡς οὖν ἐπύθοντο πολὺν κέλαδον παρὰ βουσὶν,
Εἰράων προπάροιθε καθήμενοι, αὐτίκ' ἐφ' ἵππων
Βάντες ἀερσιπόδων μετεκίαθον· αἶψα δ' ἵκοντο.
Στησάμενοι δ' ἐμάχοντο μάχην ποταμοῖο παρ' ὄχθας,
Βάλλον δ' ἀλλήλους χαλκήρεσιν ἐγχείῃσιν·
Ἐν δ' Ἔρις, ἐν δὲ Κυδοιμὸς ὁμίλεον, ἐν δ' ὀλοὴ Κὴρ,
Ἄλλον ζωὸν ἔχουσα νεούτατον, ἄλλον ἄουτον,
Ἄλλον τεθνειῶτα κατὰ μόθον ἕλκε ποδοῖϊν.
Εἷμα δ' ἔχ' ἀμφ' ὤμοισι δαφοίνεον αἵματι φωτῶν·
Ὡμίλευν δ', ὥστε ζωοὶ βροτοὶ, ἠδ' ἐμάχοντο,
Νεκρούς τ' ἀλλήλων ἔρυον κατατεθνειῶτας.
Ἐν δὲ τίθει νειὸν μαλακὴν, πίειραν ἄρουραν,
Εὐρεῖαν, τρίπολον· πολλοὶ δ' ἀροτῆρες ἐν αὐτῇ
Ζεύγεα δινεύοντες ἐλάστρεον ἔνθα καὶ ἔνθα.
Οἱ δ' ὁπότε στρέψαντες ἱκοίατο τέλσον ἀρούρης,
Τοῖσι δ' ἔπειτ' ἐν χερσὶ δέπας μελιηδέος οἴνου
Δόσκεν ἀνὴρ ἐπιών· τοὶ δὲ στρέψασκον ἀν' ὄγμους,
Ἱέμενοι νειοῖο βαθείης τέλσον ἱκέσθαι·

λαοὶ δὲ ἥττους τῷ μεγέθει τοῦ σώματος ἦσαν· οὗτοι δὲ ἡνίκα δὴ ἀφίκοιτο, ὅπου αὐτοῖς προσῆκε καὶ ἐφικτὸν ἦν ἐνεδρεῦσαι παρὰ τῷ ποταμῷ ἔνθα ποτισμὸς ἦν πᾶσι τοῖς θρέμμασιν, ἐκεῖ δὴ οὗτοί γε ἐκάθισαν κεκαλυμμένοι σιδήρῳ λαμπρῷ· τούτοις δὲ μετὰ ταῦτα πόῤῥωθεν ἐκάθισαν δύο κατάσκοποι τῶν λαῶν προσδεχόμενοι ὁπότε τὰ πρόβατα θεάσαιντο καὶ . . . . . ταχέως δὲ οὗτοι προῆλθον, δύο δὲ συνείποντο νομεῖς σύριγξιν ἀγαλλόμενοι, τὴν γὰρ ἐπιβουλὴν οὐδαμῶς προενόησαν. Οὗτοι μὲν οὖν ταῦτα προθεασάμενοι ἐπέδραμον, ταχέως δὲ μετέπειτα περιήλαυνον τὰς ἀγέλας τῶν βοῶν, καὶ τὰ καλὰ ποίμνια τῶν λευκῶν προβάτων, ἀπέκτεινον δὲ τοὺς ποιμένας· οὗτοι δ' οὖν ἐπειδὴ ἤκουσαν πολὺν θόρυβον παρὰ τοῖς βουσὶν ἔμπροσθεν τῶν βουλευτηρίων καθήμενοι, παραχρῆμα ἐπὶ τῶν ἵππων ἀναβάντες τῶν ταχυπόδων ἐπεδίωκον, ταχέως δὲ κατέλαβον· συστάντες δὲ ἐπολέμουν πόλεμον παρὰ τὰς ὄχθας τοῦ ποταμοῦ, ἔβαλλον δὲ καὶ ἔπληττον ἀλλήλους δόρασι σιδήρῳ ἐστομωμένοις, ἐν αὐτοῖς δὲ ἡ ἔρις καὶ ὁ θόρυβος ἀνεστρέφοντο, καὶ ἡ ὀλεθρία μοῖρα, ἄλλον κατέχουσα ζῶντα νεότρωτον, ἄλλον ἄτρωτον, ἄλλον τεθνεῶτα κατὰ τὴν μάχην εἷλκεν ἀπὸ τῶν ποδῶν, ἱμάτιον δὲ εἶχε περὶ τοὺς ὤμους, ἐρυθρὸν αἵματι ἀνδρῶν· ἀνεστρέφοντο δὲ καὶ παρετάσσοντο καὶ ἐπολέμουν, ὥσπερ ἄνδρες ζῶντες, καὶ τοὺς νεκροὺς ἀλλήλων εἵλκυον ἀποθανόντας. Ἐνετίθει δὲ γῆν νεωστὶ ἠροτριασμένην ἁπαλὴν καὶ διακεχυμένην, ἄρουραν εὔχυμον καὶ λιπαρὰν, πλατεῖαν, τριπέατον πολλοὶ δὲ ἀροτῆρες ἐν αὐτῇ τὰ ζεῦγη περιστρέφοντες ἤλαυνον τῇδε κἀκεῖσε. οὗτοι δὲ ὁπηνίκα νεάσαντες ἀφίκοιντο εἰς τὸ πέρας τῆς ἀρούρας, τούτοις μετέπειτα εἰς τὰς χεῖρας ποτήριον ἡδίστου οἴνου ἐδίδου ἀνὴρ ἐπελθών· οὗτοι δὲ ἔσπευδον ἀναστρέφοντες κατὰ τὰς αὔ-

Ἡ δὲ μελαίνετ' ὄπισθεν, ἀρηρομένῃ δὲ ἐῴκει,
Χρυσείη περ ἐοῦσα· τὸ δὴ περὶ θαῦμα τέτυκτο.
Ἐν δ' ἐτίθει τέμενος βασιλήϊον· ἔνθα δ' ἔριθοι
Ἤμων, ὀξείας δρεπάνας ἐν χερσὶν ἔχοντες·
Δράγματα δ' ἄλλα μετ' ὄγμον ἐπήτριμα πίπτον ἔραζε,
Ἄλλα δ' ἀμαλλοδετῆρες ἐν ἐλλεδανοῖσι δέοντο.
Τρεῖς δ' ἄρ' ἀμαλλοδετῆρες ἐφέστασαν· αὐτὰρ ἔπειτα
Παῖδες δραγμεύοντες, ἐν ἀγκαλίδεσσι φέροντες.
Ἀσπερχὲς παρέχον· βασιλεὺς δ' ἐν τοῖσι σιωπῇ
Σκῆπτρον ἔχων ἑστήκει ἐπ' ὄγμου γηθόσυνος κῆρ.
Κήρυκες δ' ἀπάνευθεν ὑπὸ δρυῒ δαῖτα πένοντο·
Βοῦν δ' ἱερεύσαντες μέγαν, ἄμφεπον· αἱ δὲ γυναῖκες
Δεῖπνον ἐρίθοισι, λεύκ' ἄλφιτα πολλὰ πάλυνον.
Ἐν δ' ἐτίθει σταφυλῇσι μέγα βρίθουσαν ἀλωὴν,
Καλὴν, χρυσείην· μέλανες δ' ἀνὰ βότρυες ἦσαν·
Ἑστήκει δὲ κάμαξι διαμπερὲς ἀργυρέῃσιν.
Ἀμφὶ δὲ, κυανέην κάπετον, περὶ δ' ἕρκος ἔλασσε
Κασσιτέρου· μία δ' οἴη ἀταρπιτὸς ἦεν ἐπ' αὐτὴν,
Τῇ νίσσοντο φορῆες, ὅτε τρυγόῳεν ἀλωήν.
Παρθενικαὶ δὲ καὶ ἠΐθεοι, ἀταλὰ φρονέοντες,
Πλεκτοῖς ἐν ταλάροισι φέρον μελιηδέα καρπόν.
Τοῖσιν δ' ἐν μέσσοισι πάϊς φόρμιγγι λιγείῃ
Ἱμερόεν κιθάριζε· Λίνον δ' ὑπὸ καλὸν ἄειδε
Λεπταλέῃ φωνῇ· τοὶ δὲ ῥήσσοντες ὁμαρτῇ
Μολπῇ τ' ἰϋγμῷ τε, ποσὶ σκαίροντες ἕποντο.
Ἐν δ' ἀγέλην ποίησε βοῶν ὀρθοκραιράων·
Αἱ δὲ βόες χρυσοῖο τετεύχατο, κασσιτέρου τε,
Μυκηθμῷ δ' ἀπὸ κόπρου ἐπεσσεύοντο νομόνδε

λακας ἐφιέμενοι τῆς βαθείας νεατοῦ τὸ πέρας καταλαβεῖν· αὕτη δὲ μέλαινα ἀπετελεῖτο ὄπισθεν, ἠροτριασμένη δὲ ἐδόκει καίπερ οὖσα χρυσῆ, ὃ δὴ καὶ θαῦμα περιῆν. Ἐνετίθει δὲ τέμενος βασιλικὸν, ἐν αὐτῷ δὲ ἐργάται ἐθέριζον, δρεπάνας τμητικὰς ἐν ταῖς χερσὶ κατέχοντες, πληρώματα δὲ τῶν χειρῶν ἄλλα μὲν εἰς τὴν αὔλακα συνεχῆ κατέπιπτον ἐπὶ τὴν γῆν, ἄλλα δὲ οἱ δραγματοδεσμευταὶ ἐν δεσμοῖς (σχοίνοις) ἐδέσμευον, τρεῖς δὴ δραγματοδεσμευταὶ ἐφίσταντο, μετὰ ταῦτα δὲ παῖδες τὰ δράγματα συλλέγοντες ἐν ταῖς ἀγκάλαις φέροντες διηνεκῶς παρεῖχον, ὁ κύριος δὲ τοῦ ἔργου ἐν τούτοις μετὰ σιγῆς ῥάβδον κατέχων ἵστατο ἐπὶ τῆς αὔλακος τερπόμενος κατὰ ψυχήν. κήρυκες δὲ πόῤῥωθεν ὑπὸ δρῦν εὐωχίαν παρεσκεύαζον, βοῦν δὲ θύσαντες μέγαν, ἐνήργουν· αἱ γυναῖκες δὲ δεῖπνον τοῖς ἐργάταις πολλοὺς ἄρτους λευκοὺς ὕγραινον καὶ ἀνέδευον. Ἐνετίθει δὲ ἄμπελον μεγάλως πληθύουσαν σταφυλαῖς, περικαλλῆ, χρυσῆν, μέλανες δὲ βότρυες ἐπῆσαν, ἵστατο δὲ στύλοις καὶ χαρακίοις ἀργυροῖς ἐπὶ πᾶν μέρος. περὶ αὐτὴν δὲ κυανῆν τάφρον καὶ περίφραγμα περιέτεινε κασσιτήρου, μία δὲ μόνη ὁδὸς ἦν ἐπ᾽ αὐτὴν, ᾗ ἐπορεύοντο οἱ σταφυλοφόροι, ὁπηνίκα τρυγῷεν τὴν ἄμπελον. παρθένοι δὲ καὶ νέοι τρυφερὰ καὶ πρᾶα φρονοῦντες ἐν καλάθοις πεπλεγμένοις ἔφερον τὸν ἥδιστον καρπὸν, ἐν τῷ μέσῳ δὲ τούτων παῖς κιθάρᾳ ἡδείᾳ καὶ ὀξυφώνῳ (... φθόγγῳ) ἐπεράστως ἐκιθάριζε, τὸ Λίνου δὲ μέλος καλῶς ὑπῇδε λεπτῇ φωνῇ, οὗτοι δὲ ἐφορμῶντες ὁμοῦ ᾠδῇ τε καὶ ποιᾷ φωνῇ τοῖς ποσὶν εὐρύθμως κινούμενοι ἠκολούθουν. Ἐνεποίησε δὲ ἀγέλην βοῶν ὀρθοκεράτων· αἱ βόες δὲ ἦσαν κατεσκευασμέναι ἀπὸ χρυσοῦ καὶ κασσιτέρου σὺν μυκηθμῷ δὲ καὶ βοῇ ἐφ-

Πὰρ ποταμὸν κελάδοντα, παρὰ ῥοδανὸν δονακῆα
Χρύσειοι δὲ νομῆες ἅμ' ἐστιχόωντο βόεσσι
Τέσσαρες, ἐννέα δέ σφι κύνες πόδας ἀργοὶ ἕποντο.
Σμερδαλέω δὲ λέοντε δύ' ἐν πρώτῃσι βόεσσι
Ταῦρον ἐρύγμηλον ἐχέτην· ὁ δὲ, μακρὰ μεμυκὼς
Ἕλκετο· τὸν δὲ κύνες μετεκίαθον, ἠδ' αἰζηοί.
Τὼ μὲν ἀναῤῥήξαντε βοὸς μεγάλοιο βοείην,
Ἔγκατα καὶ μέλαν αἷμα λαφύσσετον· οἱ δὲ νομῆες
Αὔτως ἐνδίεσαν, ταχέας κύνας ὀτρύνοντες.
Οἱ δ' ἤτοι δακέειν μὲν ἀπετρωπῶντο λεόντων,
Ἱστάμενοι δὲ μάλ' ἐγγὺς ὑλάκτεον, ἔκ τ' ἀλέοντο.
Ἐν δὲ νομὸν ποίησε περικλυτὸς Ἀμφιγυήεις
Ἐν καλῇ βήσσῃ μέγαν οἰῶν ἀργεννάων,
Σταθμούς τε, κλισίας τε κατηρεφέας, ἰδὲ σηκούς.
Ἐν δὲ χορὸν ποίκιλλε περικλυτὸς Ἀμφιγυήεις,
Τῷ ἴκελον, οἷόν ποτ' ἐνὶ Κνωσσῷ εὐρείῃ
Δαίδαλος ἤσκησεν καλλιπλοκάμῳ Ἀριάδνῃ·
Ἔνθα μὲν ἠΐθεοι καὶ παρθένοι ἀλφεσίβοιαι
Ὠρχεῦντ', ἀλλήλων ἐπὶ καρπῷ χεῖρας ἔχοντες·
Τῶν δ' αἱ μὲν λεπτὰς ὀθόνας ἔχον, οἱ δὲ χιτῶνας
Εἵατο εὐνήτους, ἦκα στίλβοντας ἐλαίῳ·
Καί ῥ' αἱ μὲν καλὰς στεφάνας ἔχον, οἱ δὲ μαχαίρας
Εἶχον χρυσείας ἐξ ἀργυρέων τελαμώνων.
Οἱ δ' ὅτε μὲν θρέξασκον ἐπισταμένοισι πόδεσσι
Ῥεῖα μάλ', ὡς ὅτε τις τροχὸν ἄρμενον ἐν παλάμῃσιν
Ἑζόμενος κεραμεὺς πειρήσεται, αἴκε θέῃσιν·
Ἄλλοτε δ' αὖ θρέξασκον ἐπὶ στίχας ἀλλήλοισι.
Πολλὸς δ' ἱμερόεντα χορὸν περιΐσταθ' ὅμιλος,

ὡρμων ἀπὸ τοῦ βουστασίου εἰς τὴν νομὴν παρὰ τὸν κελάδοντα ποταμὸν ἐπὶ τὸν εὐκίνητον (ῥᾳδίως ἀναφύοντα) καλαμῶνα· χρυσοῖ δὲ νομεῖς σὺν ταῖς βουσὶν ἐπορεύοντο τέσσαρες, ἐννέα δὲ κύνες ταχεῖς ἠκολούθουν αὐτοῖς· φοβεροὶ δὲ καὶ καταπληκτικοὶ λέοντες δύο ἐν τοῖς πρώτοις βουσὶ ταῦρον μέγα (τὸν τῇ δυνάμει τῶν ἄλλων ἡγούμενον) μυκώμενον (ἐρευγόμενον τὴν τροφὴν) κατεῖχον· οὗτος δὲ μεγάλως μηκώμενος εἵλκετο, ἐπὶ τοῦτον δὲ οἱ κύνες ἔτρεχον καὶ οἱ νέοι· ἀλλ' οὗτοι μὲν διασχίσαντες τὸ τοῦ μεγάλου βοὸς δέρμα, τά τε ἔγκατα καὶ τὸ μέλαν αἷμα ἐσπάρασσον καὶ λάπτοντες μετὰ σκιλμοῦ κατέπινον· οἱ νομεῖς δὲ μάτην ἐπεδίωξαν, τοὺς ταχεῖς κύνας παροξύνοντες, οἳ δὴ δακεῖν μὲν ἀπετρέποντο τῶν λεόντων, ἱστάμενοι δὲ πλησίον πάνυ ὑλάκτουν, καὶ ἐξέκλινον. Ἐνεποίησε δὲ νομὴν ὁ ὑπερένδοξος Ἥφαιστος ὁ χωλὸς ἐν περικαλλεῖ ὑδρηλῷ καὶ κοιλοτέρῳ τόπῳ, μεγάλην προβάτων λευκῶν, καὶ στάσεις θρεμμάτων, καὶ σκηνὰς ποιμένων ταπεινοστέγους, καὶ μάνδρας, καὶ ἐπαύλεις. Ἐνεποίησε δὲ ποικίλως χορὸν ὁ ὑπερένδοξος Ἥφαιστος ὁ χωλὸς ὅμοιον ἐκείνῳ, ὃν ποτε ἐν τῇ πλατείᾳ Κνωσσῷ πόλει τῆς Κρήτης Δαίδαλος ἐπιμελῶς κατεσκεύασε τῇ ὡραιοκόμῳ Ἀριάδνῃ· ἐνταῦθα δὲ νέοι μὲν καὶ παρθένοι ἔντιμοι καὶ ὡραῖαι ὠρχοῦντο, τὰς ἀλλήλων χεῖρας κατέχοντες ἐπὶ τῷ καρπῷ· τούτων δὲ αἱ μὲν λεπτὰ ἱμάτια λινὰ εἶχον, οἱ δὲ χιτῶνας ἦσαν ἐνδεδυμένοι καλῶς νενημένους καὶ εὐκατασκευάστους, ἡσυχῇ ἀποστίλβοντας, καὶ λαμπρυνομένους ἐλαίῳ· καὶ δὴ αἱ μὲν εἶχον στεφάνους περικαλλεῖς, οἱ δὲ μαχαίρας εἶχον χρυσᾶς, ἐξηρτημένας ἀργυροῖς ἀναφορεῦσιν. οὗτοι δὲ ποτὲ μὲν κυκλοτερῶς ἔτρεχον ποσὶν ἐπιστημονικοῖς πάνυ ῥᾳδίως, ὥσπερ ὅτε τις τροχὸν ἁρμόδιον ταῖς παλάμαις καθήμενος κεραμεὺς πειράσεται, ἐὰν τρέχῃ καλῶς. ἄλλοτε δὲ πάλιν ἔτρεχον κατ' ὀρθὸν δι' ἀλλήλων, ἀντιμέτωποι ἀλλήλοις γιγνό-

Τερπόμενοι· δοιὼ δὲ κυβιστητῆρε κατ' αὐτοὺς
Μολπῆς ἐξάρχοντες ἐδίνευον κατὰ μέσσους·
Ἐν δ' ἐτίθει ποταμοῖο μέγα σθένος Ὠκεανοῖο,
Ἄντυγα πὰρ πυμάτην σάκεος πύκα ποιητοῖο.
Αὐτὰρ ἐπειδὴ τεῦξε σάκος μέγα τε στιβαρόν τε,
Τεῦξ' ἄρα οἱ θώρηκα φαεινότερον πυρὸς αὐγῆς·
Τεῦξε δέ οἱ κόρυθα βριαρὴν, κροτάφοις ἀραρυῖαν,
Καλὴν, δαιδαλέην· ἐπὶ δὲ χρύσεον λόφον ἧκε·
Τεῦξε δέ οἱ κνημῖδας ἑανοῦ κασσιτέροιο.
Αὐτὰρ ἐπεὶ πάνθ' ὅπλα κάμε κλυτὸς Ἀμφιγυήεις,
Μητρὸς Ἀχιλλῆος θῆκε προπάροιθεν ἀείρας·
Ἡ δ', ἴρηξ ὣς, ἆλτο κατ' Οὐλύμπου νιφόεντος,
Τεύχεα καλὰ φέρουσα παρ' Ἡφαίστοιο ἄνακτος.

μενοι, πολὺ δὲ πλῆθος περιΐστατο τὸν ἐπέραστον χορὸν ἀγαλλόμενοι, δύο δὲ ὀρχηστ[illegible] ἐν αὐτοῖς ᾠδῆς ἡγούμενοι συνεστρέφοντο καὶ ὠρχοῦντο ἐν τῷ μέσῳ. Ἐνετίθει δὲ τὴν μεγάλην δύναμιν τοῦ Ὠκεανοῦ ποταμοῦ παρὰ τὴν ἐσχάτην περιφέρειαν τῆς ἐπιμελῶς κατεσκευασμένης ἀσπίδος. Ἐπειδὴ δὲ κατεσκεύασε τὴν μεγάλην καὶ στερεὰν ἀσπίδα, κατεσκεύασε δὴ αὐτῷ θώρακα λαμπροτέραν λαμπηδόνος πυρός. κατεσκεύασε δὲ αὐτῷ περικεφαλαίαν στιβαρὴν καλύμμασι τῶν κροτάφων προσηρμοσμένην, περικαλλῆ παμποίκιλον, χρυσοῦν δὲ λόφον ἐπέθηκε· κατεσκεύασε δὲ αὐτῷ κνημίδας κασσιτέρου εὐδιαχύτου. Ἐπειδὴ δὲ πάντα τὰ ὅπλα πονήσας κατεσκεύασεν ὁ ἔνδοξος Ἥφαιστος ὁ χωλὸς, ἄρας ἔθηκεν αὐτὰ ἔμπροσθεν τῆς μητρὸς τοῦ Ἀχιλλέως. αὕτη δὲ καθάπερ ἱέραξ ὥρμησεν ἐκ τοῦ χιονώδους Ὀλύμπου, φέρουσα τὰ καλὰ ὅπλα παρὰ τοῦ βασιλέως Ἡφαίστου.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Τ.

Ἠὼς μὲν κροκόπεπλος ἀπ' Ὠκεανοῖο ῥοάων.
Ὤρνυθ', ἵν' ἀθανάτοισι φόως φέροι, ἠδὲ βροτοῖσιν·
Ἡ δ' ἐς νῆας ἵκανε, θεοῦ πάρα δῶρα φέρουσα·
Εὗρε δὲ Πατρόκλῳ περικείμενον ὃν φίλον υἱὸν,
Κλαίοντα λιγέως· πολέες δ' ἀμφ' αὐτὸν ἑταῖροι
Μύρονθ'· ἡ δ' ἐν τοῖσι παρίστατο δῖα θεάων,
Ἔν τ' ἄρα οἱ φῦ χειρὶ, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τέκνον ἐμὸν, τοῦτον μὲν ἐάσομεν, ἀχνύμενοί περ,
Κεῖσθαι, ἐπειδὴ πρῶτα θεῶν ἰότητι δαμάσθη·
Τύνη δ' Ἡφαίστοιο πάρα κλυτὰ τεύχεα δέξο,
Καλὰ μάλ', οἷ' οὔπω τις ἀνὴρ ὤμοισι φόρησεν.
Ὣς ἄρα φωνήσασα θεὰ κατὰ τεύχε' ἔθηκε
Πρόσθεν Ἀχιλλῆος· τὰ δ' ἀνέβραχε δαίδαλα πάντα.
Μυρμιδόνας δ' ἄρα πάντας ἕλε τρόμος, οὐδέ τις ἔτλη

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩιΔΙΑΣ Τ

ΠΑΡΑΦΡΑΣΙΣ.

Η μὲν ἡμέρα ἡ κροκοειδὲς ἱμάτιον ἔχουσα ἀπὸ τῶν ῥευμάτων τοῦ Ὠκεανοῦ ἀνέστη, ὅπως τοῖς ἀθανάτοις θεοῖς φῶς ἐνέγκαι, καὶ τοῖς θνητοῖς ἀνθρώποις. Αὕτη δὲ ἀφίκετο εἰς τὰς ναῦς τὰ δῶρα φέρουσα παρὰ τοῦ θεοῦ, εὗρε δὲ τὸν ἑαυτῆς ἀγαπητὸν υἱὸν περικείμενον τῷ Πατρόκλῳ, κλαίοντα ὀξέως (ἡδέως)· πολλοὶ δὲ περὶ αὐτὸν φίλοι ὠλοφύροντο· αὕτη δὲ ἐν τούτοις παρέστη ἡ ἐνδοξοτάτη τῶν θεῶν, καὶ ἐνέφυ αὐτῷ τῇ χειρὶ, καὶ λόγον εἶπε, καὶ ἐξ ὀνόματος ἐκάλει· Ὦ τέκνον ἐμὸν, τοῦτον μὲν καταλίπωμεν καίπερ λυπούμενοι κεῖσθαι, ἐπειδὴ τὴν ἀρχὴν ὁρμῇ καὶ βουλῇ τῶν θεῶν ἀνῃρέθη. σὺ δὲ δέξαι παρὰ τοῦ Ἡφαίστου τὰ πολύτιμα καὶ ἔνδοξα ὅπλα πάνυ περικαλλῆ, ὁποῖα οὐδείς πω ἀνὴρ ἐφόρησε περὶ τοὺς ὤμους. Οὕτω δὴ εἰποῦσα ἡ θεὰ κατέθηκε τὰ ὅπλα ἔμπροσθεν τοῦ Ἀχιλλέως· ταῦτα παμποίκιλα πάντα μέγαν ἦχον ἀπετέλεσαν. πάντας δὲ τοὺς Μυρμιδόνας φόβος καὶ τρόμος κατέλαβεν, οὐδὲ ὑπέμεινέ τις ἐναντίον θεάσα-

Ἄντην εἰσιδέειν, ἀλλ' ἔτρεσαν· αὐτὰρ Ἀχιλλεὺς
Ὡς εἶδ', ὥς μιν μᾶλλον ἔδυ χόλος· ἐν δέ οἱ ὄσσε
Δεινὸν ὑπὸ βλεφάρων, ὡσεὶ σέλας, ἐξεφάανθεν·
Τέρπετο δ' ἐν χείρεσσιν ἔχων θεοῦ ἀγλαὰ δῶρα.
Αὐτὰρ ἐπεὶ φρεσὶν ᾗσιν ἐτάρπετο, δαίδαλα λεύσσων,
Αὐτίκα μητέρα ἣν ἔπεα πτερόεντα προσηύδα·
Μῆτερ ἐμή, τὰ μὲν ὅπλα θεὸς πόρεν, οἷ' ἐπιεικὲς
Ἔργ' ἔμεν ἀθανάτων, μηδὲ βροτὸν ἄνδρα τελέσσαι·
Νῦν δ' ἤτοι μὲν ἐγὼ θωρήξομαι· ἀλλὰ μάλ' αἰνῶς
Δείδω, μή μοι τόφρα Μενοιτίου ἄλκιμον υἱὸν
Μυῖαι καδδῦσαι κατὰ χαλκοτύπους ὠτειλὰς,
Εὐλὰς ἐγγείνωνται, ἀεικίσσωσι δὲ νεκρόν·
Ἐκ δ' αἰὼν πέφαται, κατὰ δὲ χρόα πάντα σαπείη.
Τὸν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
Τέκνον, μή τοι ταῦτα μετὰ φρεσὶ σῇσι μελόντων·
Τῷ μὲν ἐγὼ πειρήσω ἀλαλκεῖν ἄγρια φῦλα
Μυίας, αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσι.
Ἤν περ γὰρ κεῖταί γε τελεσφόρον εἰς ἐνιαυτὸν
Αἰεὶ τῷδ' ἔσται χρὼς ἔμπεδος, ἢ καὶ ἀρείων·
Ἀλλὰ σύ γ' εἰς ἀγορὴν καλέσας ἥρωας Ἀχαιοὺς,
Μῆνιν ἀποειπὼν Ἀγαμέμνονι ποιμένι λαῶν,
Αἶψα μάλ' ἐς πόλεμον θωρήσσεο, δύσεο δ' ἀλκήν·
Ὣς ἄρα φωνήσασα, μένος πολυθαρσὲς ἐνῆκε·
Πατρόκλῳ δ' αὖτ' ἀμβροσίην καὶ νέκταρ ἐρυθρὸν
Στάξε κατὰ ῥινῶν, ἵνα οἱ χρὼς ἔμπεδος εἴη.
Ἡ μὲν ἄρ' ὡς ἔρξασ' ἀπέβη Θέτις ἀργυρόπεζα.
Αὐτὰρ ὁ βῆ παρὰ θῖνα θαλάσσης δῖος Ἀχιλλεὺς,
Σμερδαλέα ἰάχων, ὦρσεν δ' ἥρωας Ἀχαιούς·

σθαι, ἀλλὰ τῷ φόβῳ παρετράπησαν· ὁ Ἀχιλλεὺς δὲ ὅτε ἐθεάσατο, τότε αὐτὸν μᾶλλον εἰσῆλθεν ὀργὴ, ἐν αὐτῷ δὲ οἱ ὀφθαλμοὶ φοβερῶς ὑπὸ τὰ βλέφαρα ὥσπερ πῦρ ἐξεφάνησαν, ἠγάλλετο δὲ κρατῶν ἐν ταῖς χερσὶ τὰ λαμπρὰ δῶρα τοῦ θεοῦ. ἐπειδὴ δὲ ἐτέρφθη, καὶ ἐχάρη κατὰ τὴν ἑαυτοῦ διάνοιαν παμποίκιλα βλέπων, παραχρῆμα πρὸς τὴν ἑαυτοῦ μητέρα λόγους ταχεῖς ἔλεγεν· Ὦ μῆτερ ἐμὴ, τὰ μὲν ὅπλα ὁ θεὸς ἐδωρήσατο, οἷα προσῆκόν ἐστιν εἶναι τὰ ἔργα τῶν ἀθανάτων θεῶν, μηδὲ θνητὸν ἄνδρα δύνασθαι ποιῆσαι· νυνὶ δὲ ἐγὼ μὲν καθοπλισθήσομαι, ἀλλὰ πάνυ χαλεπῶς δέδοικα, μή μοι μεταξὺ τούτου τὸν ἰσχυρὸν υἱὸν τοῦ Μενοιτίου αἱ μυῖαι καθυπεισδῦσαι κατὰ τὰ σιδηρόβλητα τραύματα σκώληκας ἐναποτέξωσι, λυμάνωνται δὲ τὸν νεκρόν· ἡ γάρ τοι ζωὴ ἠφανίσθη, κατασαπῇ δὲ καὶ διαλυθῇ καθ' ὅλον τὸ σῶμα. Πρὸς τοῦτον δὲ ἀπεκρίνετο μετὰ ταῦτα ἡ θεὰ ἡ Θέτις ἡ λευκόπους· Ὦ παῖ, μή μοι ταῦτα ἐν τῇ σαυτοῦ διανοίᾳ διὰ φροντίδος ἔστωσαν· τούτῳ μὲν ἐγὼ πειράσομαι ἀποσοβεῖν τὰ ἄγρια γένη, τὰς μυίας, αἳ δὴ τοὺς σιδήρῳ πεφονευμένους ἄνδρας κατεσθίουσιν· ἐὰν γὰρ καὶ εἰς ἐνιαυτὸν τὸν εἰς τέλος φέροντα τὰ φυόμενα κεῖται, ἀεὶ τούτῳ γε μόνιμον καὶ ἀμετάβλητον ἔσται τὸ σῶμα ἢ καὶ κρεῖσσον. ἀλλὰ σύγε εἰς τὴν ἀγορὰν συγκαλέσας τοὺς ἥρωας Ἕλληνας τὴν ὀργὴν καὶ μνησικακίαν ἀποθέμενος τῷ βασιλεῖ τοῦ στρατοῦ Ἀγαμέμνονι, πάνυ ταχέως καθοπλίζου ἐπὶ τὸν πόλεμον, περιβαλοῦ δὲ ἰσχύν. Οὕτω δὴ εἰποῦσα δύναμιν αὐτῷ εὔτολμον ἐνέβαλε, τῷ Πατρόκλῳ δὲ ἀμβροσίαν καὶ νέκταρ πυῤῥὸν ἐστάλαξεν εἰς τοὺς μυκτῆρας, ὅπως αὐτῷ μόνιμον καὶ ἀμετάβλητον εἴη τὸ σῶμα. Αὕτη μὲν οὖν οὕτω ποιήσασα ἐπῆλθεν ἡ λευκόπους Θέτις. Οὗτος δὲ ἐπορεύθη παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης ὁ ἐνδοξότατος Ἀχιλλεὺς καταπληκτικῶς βοῶν, διήγειρε δὲ τοὺς ἥρωας Ἑλλη-

Καί ῥ' οἵπερ τὸ πάρος γε νεῶν ἐν ἀγῶνι μένεσκον,
Οἵ τε κυβερνῆται, καὶ ἔχον οἰήϊα νηῶν,
Καὶ ταμίαι παρὰ νηυσὶν ἔσαν, σίτοιο δοτῆρες·
Καὶ μὴν οἱ τότε γ' εἰς ἀγορὴν ἴσαν, οὕνεκ' Ἀχιλλεὺς
Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς.
Τὼ δὲ δύω σκάζοντε βάτην Ἄρεος θεράποντε,
Τυδείδης τε μενεπτόλεμος, καὶ δῖος Ὀδυσσεὺς,
Ἔγχει ἐρειδομένω· ἔτι γὰρ ἔχον ἕλκεα λυγρά·
Καδδὲ μετὰ πρώτῃ ἀγορῇ ἵζοντο κιόντες.
Αὐτὰρ ὁ δεύτατος ἦλθεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Ἕλκος ἔχων· καὶ γὰρ τὸν ἐνὶ κρατερῇ ὑσμίνῃ
Οὖτα Κόων Ἀντηνορίδης χαλκήρεϊ δουρί.
Αὐτὰρ ἐπειδὴ πάντες ἀολλίσθησαν Ἀχαιοὶ,
Τοῖσι δ' ἀνιστάμενος μετέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρείδη, ἦ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον
Ἔπλετο, σοὶ καὶ ἐμοί; ὅτε νῶϊ περ, ἀχνυμένω κῆρ,
Θυμοβόρῳ ἔριδι μενεήναμεν, εἵνεκα κούρης.
Τὴν ὄφελ' ἐν νήεσσι κατακτάμεν Ἄρτεμις ἰῷ,
Ἤματι τῷ, ὅτ' ἐγὼν ἑλόμην Λυρνησσὸν ὀλέσσας·
Τῷ κ' οὐ τόσσοι Ἀχαιοὶ ὀδὰξ ἕλον ἄσπετον οὖδας,
Δυσμενέων ὑπὸ χερσὶν, ἐμεῦ ἀπομηνίσαντος.
Ἕκτορι μὲν καὶ Τρωσὶ τὸ κέρδιον· αὐτὰρ Ἀχαιοὺς
Δηρὸν ἐμῆς καὶ σῆς ἔριδος μνήσεσθαι ὀΐω.
Ἀλλὰ τὰ μὲν προτετύχθαι ἐάσομεν, ἀχνύμενοί περ,
Θυμὸν ἐνὶ στήθεσσι φίλον δαμάσαντες ἀνάγκῃ.
Νῦν δ' ἤτοι μὲν ἐγὼ παύω χόλον, οὐδέ τί με χρὴ
Ἀσκελέως αἰεὶ μενεαινέμεν· ἀλλ' ἄγε θᾶσσον
Ὄτρυνον πόλεμόνδε καρηκομόωντας Ἀχαιούς,

νας· καὶ δῆτα, οἵτινες πρότερόν γε ἔμενον ἐν τῷ τόπῳ τῶν νεῶν, οἵτε κυβερνῆται, καὶ οἱ κατεῖχον τὰ πηδάλια τῶν νεῶν, καὶ οἳ ἦσαν ταμιοῦχοι παρὰ ταῖς ναυσὶ, δόται τῶν ἄρτων· καὶ οὗτοι δὴ τότε γε ἐπορεύοντο εἰς τὴν ἀγορὰν, διότι ὁ Ἀχιλλεὺς ἐφάνη, ἐπὶ πολὺ δὲ τῆς χαλεπῆς καὶ ὀδυνηρᾶς μάχης ἀπέστη. οὗτοι δὲ δύο χωλεύοντες ἐπορεύθησαν ὑπηρέται τοῦ πολέμου, ὅ τε υἱὸς τοῦ Τυδέως ὁ καρτερικὸς ἐν τῇ μάχῃ, καὶ ὁ ἐνδοξότατος Ὀδυσσεὺς, δόρατι ἐπιστηριζόμενοι, ἔτι γὰρ εἶχον τραύματα χαλεπὰ, ἐν τῷ πρώτῳ δὲ τῆς ἀγορᾶς τόπῳ ἐκάθισαν ἐλθόντες· δεύτερος δὲ ἦλθεν ὁ βασιλεὺς τοῦ λαοῦ Ἀγαμέμνων τραῦμα ἔχων, καὶ γὰρ αὐτὸν ἐν τῇ κραταιᾷ καὶ ἰσχυρᾷ μάχῃ ἔτρωσε Κόων ὁ υἱὸς τοῦ Ἀντήνορος δόρατι σιδήρῳ ἐστομωμένῳ. Ἐπειδὴ δὲ πάντες συνηθροίσθησαν οἱ Ἕλληνες, ἐν τούτοις ἀναστὰς ὁ κατὰ πόδας ταχὺς Ἀχιλλεὺς εἶπεν· Ὦ υἱὲ τοῦ Ἀτρέως, ἆρά γε κατά τι τοῦτο ἀμφοτέροις βέλτιον ἦν καὶ σοὶ καὶ ἐμοί; ἡνίκα ἡμεῖς γε λυπούμενοι κατὰ ψυχὴν ψυχοφθόρῳ φιλονεικίᾳ ὠργίσθημεν ἕνεκα τῆς νέας, ἣν ὤφειλεν ἡ Ἄρτεμις ἀποκτεῖναι οἰστῷ ἐν ταῖς ναυσὶ τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτε ἐγὼ εἷλον Λυρνησσὸν ἐκπορθήσας· ἐκ τούτου ἂν οὐ τοσοῦτοι Ἕλληνες τοῖς ὀδοῦσιν ἐλάβοντο τοῦ μεγίστου ἐδάφους, ἀναιρεθέντες ὑπὸ τῶν χειρῶν τῶν πολεμίων, ὀργισθέντος καὶ μνησικακήσαντος ἐμοῦ, τῷ μὲν Ἕκτορι καὶ τοῖς Τρωσὶ βέλτιον καὶ ἐπικερδέστερον· τοὺς Ἕλληνας δὲ ἐπὶ πολὺν χρόνον οἴομαι μνημονεύσειν τῆς ἐμῆς καὶ σῆς φιλονεικίας καὶ ἔχθρας. ἀλλὰ ταῦτα μὲν προγενόμενα καταλίπωμεν, καίπερ λυπούμενοι, τὴν ἀγαπητὴν ψυχὴν δουλαγωγήσαντες ἐν τοῖς στήθεσιν ὑπ᾽ ἀνάγκης· νυνὶ δὲ ἐγὼ μὲν τὴν ὀργὴν ἀποβάλλομαι, οὐδαμῶς γάρ με δεῖ ἀδιαλείπτως ἀεὶ χωλοῦσθαι καὶ ὀργίζεσθαι. ἀλλ᾽ ἄγε τάχιον παρόξυνον ἐπὶ πόλεμον τοὺς τὰς κεφαλὰς κομῶντας Ἕλληνας,

Ὄφρ' ἔτι καὶ Τρώων πειρήσομαι ἀντίος ἐλθὼν,
Αἴκ' ἐθέλωσ' ἐπὶ νηυσὶν ἰαύειν· ἀλλά τιν' οἴω
Ἀσπασίως αὐτῶν γόνυ κάμψειν, ὅς κε φύγῃσι
Δηΐου ἐκ πολέμοιο ὑπ' ἔγχεος ἡμετέροιο.
Ὣς ἔφαθ'· οἱ δ' ἐχάρησαν ἐϋκνήμιδες Ἀχαιοὶ,
Μῆνιν ἀπειπόντος μεγαθύμου Πηλείωνος.
Τοῖσι δὲ καὶ μετέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Αὐτόθεν ἐξ ἕδρης, οὐδ' ἐν μέσσοισιν ἀναστάς·
Ὦ φίλοι, ἥρωες Δαναοὶ, θεράποντες Ἄρηος,
Ἑσταότος μὲν καλὸν ἀκουέμεν, οὐδὲ ἔοικεν
Ὑββάλλειν· χαλεπὸν γὰρ, ἐπιστάμενόν περ ἐόντα.
Ἀνδρῶν δ' ἐν πολλῷ ὁμάδῳ πῶς κέν τις ἀκούσαι,
Ἢ εἴποι; βλάβεται δὲ, λιγύς περ ἐὼν ἀγορητής·
Πηλείδῃ μὲν ἐγὼν ἐνδείξομαι· αὐτὰρ οἱ ἄλλοι
Σύνθεσθ' Ἀργεῖοι, μῦθον τ' εὖ γνῶτε ἕκαστος,
Πολλάκι δή μοι τοῦτον Ἀχαιοὶ μῦθον ἔειπον,
Καί τέ με νεικείεσκον· ἐγὼ δ' οὐκ αἴτιός εἰμι,
Ἀλλὰ Ζεὺς, καὶ Μοῖρα, καὶ ἠεροφοῖτις Ἐριννὺς,
Οἵ τέ μοι εἰν ἀγορῇ φρεσὶν ἔμβαλον ἄγριον ἄτην,
Ἤματι τῷ, ὅτ' Ἀχιλλῆος γέρας αὐτὸς ἀπηύρων.
Ἀλλὰ τί κεν ῥέξαιμι; θεὸς διὰ πάντα τελευτᾷ.
Πρέσβα Διὸς θυγάτηρ Ἄτη, ἣ πάντας ἀᾶται,
Οὐλομένη, τῆς μέν θ' ἁπαλοὶ πόδες, οὐ γὰρ ἐπ' οὔδει
Πίλναται, ἀλλ' ἄρα ἥγε κατ' ἀνδρῶν κράατα βαίνει,
Βλάπτουσ' ἀνθρώπους· κατὰ δ' οὖν ἕτερόν γε πέδησε.
Καὶ γὰρ δή νύ ποτε Ζῆν' ἄσσατο, τόν περ ἄριστον
Ἀνδρῶν ἠδὲ θεῶν φάσ' ἔμμεναι· ἀλλ' ἄρα καὶ τὸν
Ἥρη, θῆλυς ἐοῦσα, δολοφροσύνῃς ἀπάτησεν,

ὅπως καὶ νῦν ἔτι πειράσωμαι τῶν Τρώων ἐναντίον ἐπελθὼν, ἐὰν ἐθέλωσιν ἐπὶ ταῖς ναυσὶ παραυλίζεσθαι· ἀλλά τινα ὑπολαμβάνω αὐτῶν ἡδέως καὶ ἀσμένως κλίναντα ἀναπαύσειν τὸ γόνυ, ὃς ἂν φύγῃ ἐκ τοῦ ἀφανιστικοῦ πολέμου ὑπὸ τοῦ ἡμετέρου δόρατος. Οὕτως εἶπεν. οὗτοι δὲ περιχαρεῖς ἐγένοντο οἱ εὔοπλοι Ἕλληνες, τὴν μνησικακίαν ἀπειπόντος καὶ ἀποβαλομένου τοῦ μεγαλοψύχου υἱοῦ τοῦ Πηλέως. Ἐν τούτοις δὲ εἶπεν ὁ βασιλεὺς τοῦ στρατοῦ Ἀγαμέμνων αὐτόθεν ἐκ τῆς καθέδρας, οὐκ ἀναστὰς ἐν τῷ μέσῳ· Ὦ προσφιλεῖς ἥρωες Ἕλληνες ὑπηρέται τοῦ Ἄρεος, καλὸν μέν ἐστιν ἀκούειν ἑστῶτος, οὐδὲ δεῖ νυνὶ ἀποκρούειν καὶ διακωλύειν θορύβῳ, δεινὸν γὰρ πρᾶγμά ἐστιν, τὸν ἐπιστάμενόν γε τὰ ὄντα καὶ τὰ ἐνεστῶτα ὡς ἔχουσι, θορυβεῖν ὡς μὴ εἰδότα· ἐν πολλῷ δὲ θορύβῳ ἀνδρῶν πῶς ἄν τις ἀκούσειεν, ἢ λέξειεν, βλάπτεται γὰρ κἂν ἡδὺς καὶ ὀξὺς ᾖ δημηγόρος, ἐὰν μὴ γλωσσοκρατοῖεν οἱ λαοί. Τῷ μὲν υἱῷ τοῦ Πηλέως ἐγὼ ἀπολογήσομαι· οἱ ἄλλοι δὲ τῶν Ἑλλήνων σύνετε, καὶ τὸν λόγον πάντες καλῶς νοήσατε· πολλάκις δή μοι τοῦτον τὸν λόγον εἶπον οἱ Ἕλληνες, ἤγουν ἢ ἄρ τι τόδ' ἀμφοτέροισιν ἄρειον, καί με ἐλοιδόρουν, ἐγὼ δὲ οὐκ εἰμὶ αἴτιος, ἀλλ' ὁ Ζεὺς, καὶ ἡ Μοῖρα, καὶ ἡ διὰ τοῦ σκότους φοιτῶσα (ἡ ἀοράτως ἐπερχομένη) Ἐριννὺς, οἳ δή μοι ἐν τῇ ἐκκλησίᾳ ἐνέβαλον εἰς τὰς φρένας ἀνήμερον καὶ ἀμείλικτον βλάβην τῇ ἡμέρᾳ ἐκείνῃ, ἡνίκα τὸ τῆς ἀρετῆς ἆθλον τοῦ Ἀχιλλέως ἔγωγε ἀφειλόμην. ἀλλὰ τί ἂν πράξαιμι; ὁ θεὸς σύμπαντα τελειοῖ καὶ δι' ὅλου τὸ πάντων ἔχει τέλος· ἡ πρεσβυτάτη (ἡ τιμία) θυγάτηρ τοῦ Διὸς Βλάβη ἐστὶν, ἣ πάντας βλάπτει, ὀλεθρία, καὶ ἐξώλης· ταύτῃ μὲν πόδες εἰσὶν ἁπαλοὶ καὶ ἀραιοὶ, οὐ γὰρ τῷ ἐδάφει προσπελάζει, ἀλλ' αὕτη γε εἰς τὰς τῶν ἀνδρῶν κεφαλὰς ἀναβαίνει λυμαινομένη τοὺς ἀνθρώπους, κατέδησε δ' οὖν τὸν ἕτερον τῶν παροργισάντων· καὶ γὰρ δή ποτε τὸν Δία ἔβλαψεν, ὃν δὴ κράτιστον ἀνθρώπων καὶ θεῶν φασιν εἶναι, ἀλλὰ

Ἤματι τῷ, ὅτ' ἔμελλε βίην Ἡρακληείην
Ἀλκμήνη τέξεσθαι ἐϋστεφάνῳ ἐνὶ Θήβῃ.
Ἤτοι ὅγ' εὐχόμενος μετέφη πάντεσσι θεοῖσι.
Κέκλυτέ μευ, πάντες τε θεοὶ, πᾶσαί τε θέαιναι,
Ὄφρ' εἴπω, τά με θυμὸς ἐνὶ στήθεσσι κελεύει.
Σήμερον ἄνδρα φόωσδε μογοστόκος Εἰλείθυια
Ἐκφανεῖ, ὃς πάντεσσι περικτιόνεσσιν ἀνάξει,
Τῶν ἀνδρῶν γενεῆς, οἵ θ' αἵματος ἐξ ἐμεῦ εἰσι.
Τὸν δὲ δολοφρονέουσα προσηύδα πότνια Ἥρη·
Ψευστήσεις, οὐδ' αὖτε τέλος μύθῳ ἐπιθήσεις·
Εἰ δ' ἄγε, νῦν μοι ὄμοσσον, Ὀλύμπιε, καρτερὸν ὅρκον,
Ἦ μὲν τὸν πάντεσσι περικτιόνεσσιν ἀνάξειν,
Ὅς κεν ἐπ' ἤματι τῷδε πέσῃ μετὰ ποσσὶ γυναικὸς
Τῶν ἀνδρῶν, οἳ σῆς ἐξ αἵματός εἰσι γενέθλης.
Ὣς ἔφατο· Ζεὺς δ' οὔτι δολοφροσύνην ἐνόησεν,
Ἀλλ' ὄμοσεν μέγαν ὅρκον, ἔπειτα δὲ πολλὸν ἀάσθη·
Ἥρη δ' ἀΐξασα λίπεν ῥίον Οὐλύμποιο,
Καρπαλίμως δ' ἵκετ' Ἄργος Ἀχαιϊκὸν, ἔνθ' ἄρα ᾔδη
Ἰφθίμην ἄλοχον Σθενέλου Περσηϊάδαο·
Ἡ δὲ κύει φίλον υἱὸν, ὁ δ' ἕβδομος εἱστήκει μείς·
Ἐκ δ' ἄγαγε πρὸ φόωσδε, καὶ ἠλιτόμηνον ἐόντα·
Ἀλκμήνης δ' ἀπέπαυσε τόκον, σχέθε δ' Εἰλειθυίας·
Αὐτὴ δ' ἀγγελέουσα, Δία Κρονίωνα προσηύδα·
Ζεῦ πάτερ, ἀργικέραυνε, ἔπος τί τοι ἐν φρεσὶ θήσω·
Ἤδη ἀνὴρ γέγον' ἐσθλὸς, ὃς Ἀργείοισιν ἀνάξει,
Εὐρυσθεὺς Σθενέλοιο πάϊς Περσηϊάδαο,
Σὸν γένος· οὔ οἱ ἀεικὲς ἀνασσέμεν Ἀργείοισιν.
Ὣς φάτο· τὸν δ' ἄχος ὀξὺ κατὰ φρένα τύψε βαθεῖαν·

δὴ καὶ αὐτὸν Ἥρα, θῆλυς οὖσα, ἐπιβουλῇ καὶ ἀπάτῃ ἐφενάκισε τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτε ἔμελλε τὴν τοῦ Ἡρακλέους δύναμιν τέξεσθαι ἡ Ἀλκμήνη ἐν ταῖς καλῶς τετειχισμέναις Θήβαις· οὗτος μὲν γὰρ καυχώμενος εἶπεν ἐν ἅπασι τοῖς θεοῖς· Ἀκούσατέ μου, ὦ πάντες θεοὶ καὶ πᾶσαι θεαὶ, ἵν' εἴπω ἅπερ με ἡ ψυχὴ ἐν τῷ στήθει προτρέπεται. σήμερον ἡ λοχεύτρια Εἰλείθυια ἄνδρα εἰς τὸ φῶς προάξει καὶ φανερώσει, ὃς πάντων τῶν περιοίκων βασιλεύσει ἐκ τῆς γενεᾶς τῶν ἀνδρῶν τούτων, οἵτινες ἐκ τοῦ ἐμοῦ αἵματος εἰσίν. Πρὸς τοῦτον δὲ ἐπιβουλεύουσα εἶπεν ἡ σεβαστὴ Ἥρα· Ψεύση τῆς ἐλπίδος, οὐδὲ ἐπιθήσεις τέλος τῷ σῷ λόγῳ· εἰ δὲ μὴ, ἄγε νῦν ὄμοσόν μοι, οὐράνιε, ὅρκον ἰσχυρὸν, ἦ μὴν τοῦτον πάντων τῶν περιοίκων βασιλεύσειν, ὃς ἂν ἐν τῇδε τῇ ἡμέρᾳ τεχθῇ καὶ καταπέσῃ μεταξὺ τῶν τῆς γυναικὸς ποδῶν, ἀπὸ τούτων τῶν ἀνδρῶν οἳ ἐκ τοῦ αἵματος τῆς σῆς παιδοποιίας εἰσίν. Οὕτως εἶπεν, οὐδαμῶς δὲ συνῆκε τὴν ἐπιβουλὴν ὁ Ζεὺς, ἀλλ' ὤμοσεν ὅρκον μέγαν, μετὰ ταῦτα δὲ πάνυ ἐβλάβη. Ἡ Ἥρα δὲ ὁρμήσασα κατέλιπε τὸ ἀκρωτήριον τοῦ Ὀλύμπου, ταχέως δὲ ἀφίκετο εἰς τὸ Ἀχαικὸν Ἄργος, ἐν ᾧ δὴ ἠπίστατο τὴν χρηστὴν γαμετὴν Σθενέλου τοῦ υἱοῦ τοῦ Περσέως. αὕτη δὲ εἶχεν ἐν τῇ γαστρὶ (ἐκυοφόρει) υἱὸν ἀγαπητὸν, μὴν δὲ ἕβδομος ἦν ἐκεῖνος, ἐξήγαγε δὲ αὐτὸν πρὸ καιροῦ εἰς τὸ φῶς καὶ διημαρτηκότα τοῦ τελείου ἀριθμοῦ τῶν ἐννέα μηνῶν, τὸν τῆς Ἀλκμήνης δὲ γόνον διεκώλυσεν, ἐπέσχε δὲ τὰς ὠδῖνας. αὐτὴ δὲ μηνύειν μέλλουσα τὸ γεγονὸς ἔλεγε πρὸς τὸν Δία τὸν υἱὸν τοῦ Κρόνου· Ὦ Ζεῦ πάτερ ταχυκέραυνε (λαμπροκέραυνε). λόγον τινά σοι ἐμβαλῶ εἰς τὰς φρένας· ἤδη ἐτέχθη ἀνὴρ ἀγαθὸς, ὃς τῶν Ἀργείων (Ἑλλήνων) βασιλεύσει, Εὐρυσθεὺς ὁ παῖς τοῦ Σθενέλου τοῦ υἱοῦ τοῦ Περσέως, σὸν γένος, οὐκ ἔστιν αὐτῷ ἀπρεπὲς βασιλεύειν τῶν Ἑλλήνων. Οὕτως εἶπε. τοῦτον δὲ λύπη σφοδρὰ ἔπληξε κατὰ τὴν συνετὴν διάνοιαν, παρα-

Αὐτίκα δ' εἷλ' Ἄτην κεφαλῆς λιπαροπλοκάμοιο,
Χωόμενος φρεσὶν ᾗσι, καὶ ὤμοσε καρτερὸν ὅρκον,
Μήποτ' ἐς Οὔλυμπόν τε καὶ οὐρανὸν ἀστερόεντα
Αὖτις ἐλεύσεσθαι Ἄτην, ἣ πάντας ἀᾶται.
Ὣς εἰπὼν, ἔῤῥιψεν ἀπ' οὐρανοῦ ἀστερόεντος,
Χειρὶ περιστρέψας· τάχα δ' ἵκετο ἔργ' ἀνθρώπων.
Τὴν αἰεὶ στενάχεσχ', ὅθ' ἑὸν φίλον υἱὸν ὁρῷτο,
Ἔργον ἀεικὲς ἔχοντα, ὑπ' Εὐρυσθῆος ἀέθλων.
Ὣς καὶ ἐγὼν, ὅτε δ' αὖτε μέγας κορυθαίολος Ἕκτωρ
Ἀργείους ὀλέεσκεν ἐπὶ πρύμνῃσι νέεσσιν,
Οὐ δυνάμην λελαθέσθ' ἄτης, ᾗ πρῶτον ἀάσθην.
Ἀλλ' ἐπεὶ ἀασάμην, καί μευ φρένας ἐξέλετο Ζεὺς,
Ἂψ ἐθέλω ἀρέσαι, δόμεναί τ' ἀπερείσι' ἄποινα.
Ἀλλ' ὄρσευ πόλεμόνδε, καὶ ἄλλους ὄρνυθι λαούς·
Δῶρα δ' ἐγὼν ὅδε πάντα παρασχεῖν ὅσσα τοι ἐλθὼν
Χθιζὸς ἐνὶ κλισίῃσιν ὑπέσχετο δῖος Ὀδυσσεύς.
Εἰ δ' ἐθέλεις, ἐπίμεινον, ἐπειγόμενός περ Ἄρηος·
Δῶρα δέ τοι θεράποντες, ἐμῆς παρὰ νηὸς ἑλόντες,
Οἴσουσ', ὄφρα ἴδηαι, ὅ τοι μενοεικέα δώσω.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεὺς,
Ἀτρείδη, κύδιστε, ἄναξ ἀνδρῶν, Ἀγάμεμνον,
Δῶρα μὲν αἴκ' ἐθέλῃσθα παρασχέμεν, ὡς ἐπιεικὲς,
Ἦτ' ἐχέμεν, πάρα σοί· νῦν δὲ μνησώμεθα χάρμης
Αἶψα μάλ' οὐ γὰρ χρὴ κλοτοπεύειν ἐνθάδ' ἐόντας,
Οὐδὲ διατρίβειν· ἔτι γὰρ μέγα ἔργον ἄρεκτον·
Ὥς κέ τις αὖτ' Ἀχιλῆα μετὰ πρώτοισιν ἴδηται
Ἔγχεϊ χαλκείῳ Τρώων ὀλέκοντα φάλαγγας·
Ὧς δέ τις ὑμείων μεμνημένος ἀνδρὶ μαχέσθω·

χρῆμα δὲ ἐκράτησε τὴν Ἄτην (Βλάβην) ἀπὸ τῆς κεφαλῆς τῆς καλλικόμου, μάλα ὀργιζόμενος κατὰ τὴν ἑαυτοῦ διάνοιαν, καὶ ὤμοσεν ὅρκον ἰσχυρόν· μηδέποτε εἰς τὸν Ὄλυμπον καὶ τὸν ἔναστρον Οὐρανὸν αὖθις ἀφίξεσθαι τὴν Βλάβην, ἣ πάντας βλάπτει. Οὕτως εἰπὼν ἔῤῥιψεν ἀπὸ τοῦ ἐνάστρου Οὐρανοῦ συστρέψας καὶ περιδινήσας τῇ χειρὶ, ταχέως δὲ ἀφίκετο εἰς τὰ ἔργα καὶ τὰς πράξεις τῶν ἀνθρώπων. ταύτην ἀεὶ ἀνεστέναζεν, ὅτε ἔβλεπε τὸν ἑαυτοῦ ἀγαπητὸν υἱὸν λειτουργίαν ἀπρεπῆ ἔχοντα ὑπὸ τῶν ἄθλων τοῦ Εὐρυσθέως. Οὕτω καὶ ἐγὼ, ἡνίκα δὴ ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν Ἕκτωρ ὁ μέγας ἀπέκτεινε τοὺς Ἕλληνας παρὰ ταῖς πρύμναις τῶν νεῶν, οὐκ ἐδυνάμην ἐπιλαθέσθαι τῆς βλάβης, ἣν τὸ πρῶτον ἐβλάβην. ἀλλ᾽ ἐπειδὴ ἐβλάβην, καί μου τὴν διάνοιαν ἀφείλετο ὁ Ζεὺς, πάλιν ἐθέλω φιλοφρονήσασθαι, καὶ δοῦναι δῶρα πλεῖστα. ἀλλὰ διεγέρθητι εἰς τὸν πόλεμον, καὶ τοὺς ἄλλους λαοὺς διέγειρον· τὰ δῶρα δὲ ἐγὼ αὐτὸς πάντα ἐπιδοῦναι ὁμολογῶ, ὅσα σοι παραγενόμενος νυκτὶ τῆς χθὲς ἡμέρας ἐν ταῖς σκηναῖς ἐπηγγείλατο ὁ ἐνδοξότατος Ὀδυσσεύς· εἰ δὲ βούλει ἀνάμεινον, καίπερ ἐπειγόμενος καὶ σπεύδων ὑπὸ τοῦ πολέμου· τὰ δῶρα γάρ σοι οἱ ὑπηρέται ἀπὸ τῆς ἐμῆς νεὼς λαβόντες κομίσουσιν (ἄξουσιν), ὅπως θεάσῃ, ὅτι σοι φίλα καὶ προσηνῆ δωρήσομαι. Πρὸς τοῦτον δὲ ἀποκρινόμενος εἶπεν ὁ κατὰ πόδας ταχὺς Ἀχιλλεύς· Ὦ υἱὲ τοῦ Ἀτρέως ἐνδοξότατε βασιλεῦ τῶν λαῶν Ἀγάμεμνον, τὰ δῶρα μὲν ἐὰν βούλῃ παρασχεῖν οἷα εἰκὸς, ἢ ἔχειν ἐπὶ τῇ σῇ ἐξουσίᾳ ἐστίν· νυνὶ δὲ μνησθῶμεν τῆς μάχης καὶ τοῦ πολέμου γενώμεθα πάνυ ταχέως, οὐ γὰρ δεῖ ὑποκλέπτειν ἑαυτοὺς ἐκ τῆς μάχης (κλεψιμαχεῖν) ἐνταῦθα ὄντας, οὐδὲ βραδύνειν, ἔτι γάρ ἐστι μέγα ἔργον μήπω γεγονὸς, ἵνα τις πάλιν τὸν Ἀχιλλέα ἐν τοῖς πρωταγωνισταῖς θεάσηται δόρατι σιδηρῷ ἀναιροῦντα καὶ φθείροντα τὰς τάξεις τῶν Τρώων. οὕτω τις ὑμῶν μεμνημέ-

Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Μηδ' οὕτως, ἀγαθός περ ἐὼν, θεοείκελ' Ἀχιλλεῦ,
Νήστιας ὄτρυνε προτὶ Ἴλιον υἷας Ἀχαιῶν
Τρωσὶ μαχεσσομένους· ἐπεὶ οὐκ ὀλίγον χρόνον ἔσται
Φύλοπις, εὖτ' ἂν πρῶτον ὁμιλήσωσι φάλαγγες
Ἀνδρῶν, ἐν δὲ θεὸς πνεύσῃ μένος ἀμφοτέροισιν·
Ἀλλὰ πάσασθαι ἄνωχθι θοῇς ἐπὶ νηυσὶν Ἀχαιοὺς
Σίτου καὶ οἴνοιο· τὸ γὰρ, μένος ἐστὶ καὶ ἀλκή·
Οὐ γὰρ ἀνὴρ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἄκμηνος σίτοιο δυνήσεται ἄντα μάχεσθαι.
Εἴπερ γὰρ θυμῷ γε μενοινάα πολεμίζειν,
Ἀλλά τε λάθρῃ γυῖα βαρύνεται, ἠδὲ κιχάνει
Δίψα τε καὶ λιμὸς, βλάβεται δέ τε γούνατ' ἰόντι.
Ὃς δέ κ' ἀνὴρ οἴνοιο κορεσσάμενος καὶ ἐδωδῆς,
Ἀνδράσι δυσμενέεσσι πανημέριος πολεμίζει,
Θαρσαλέον νύ οἱ ἦτορ ἐνὶ φρεσὶν, οὐδέ τι γυῖα
Πρὶν κάμνει, πρὶν πάντας ἐρωῆσαι πολέμοιο.
Ἀλλ' ἄγε, λαὸν μὲν σκέδασον, καὶ δεῖπνον ἄνωχθι
Ὅπλεσθαι· τὰ δὲ δῶρα ἄναξ ἀνδρῶν Ἀγαμέμνων
Οἰσέτω ἐς μέσσην ἀγορὴν, ἵνα πάντες Ἀχαιοὶ
Ορθαλμοῖσιν ἴδωσι, σὺ δὲ φρεσὶ σῇσιν ἰανθῇς.
Ὀμνυέτω δέ τοι ὅρκον, ἐν Ἀργείοισιν ἀναστὰς,
Μήποτε τῆς εὐνῆς ἐπιβήμεναι, ἠδὲ μιγῆναι,
Καὶ δὲ σοὶ αὐτῷ θυμὸς ἐνὶ φρεσὶν ἵλαος ἔστω·
Αὐτάρ ἔπειτά σε δαιτὶ ἐνὶ κλισίῃς ἀρεσάσθω
Πιείρῃ, ἵνα μή τι δίκης ἐπιδευὲς ἔχῃσθα.
Ἀτρείδη, σὺ δ' ἔπειτα δικαιότερος καὶ ἐπ' ἄλλῳ
Ἔσσεαι· οὐ μὲν γάρ τι νεμεσσητὸν, βασιλῆα

νος ὅτι ἐγὼ μάχομαι, ἀνδρὶ πολεμείτω. Πρὸς τοῦτον δὲ ἀποκρινόμενος εἶπεν ὁ πολύβουλος Ὀδυσσεύς· Μὴ δὴ οὕτω, καίπερ ὢν ἀγαθὸς τοὺς τρόπους, ὦ θεοῖς ὅμοιε τὸ εἶδος Ἀχιλλεῦ, παρόξυνε νήστεις καὶ ἀσίτους τοὺς υἱοὺς τῶν Ἑλλήνων ἐπὶ τὸ Ἴλιον πολεμήσοντας τοῖς Τρωσὶν, ἐπειδὴ οὐκ ἐπ' ὀλίγον χρόνον ἔσται ἡ μάχη, ἐπειδὰν τὴν ἀρχὴν εἰς ταυτὸ συνέλθωσιν αἱ τάξεις τῶν ἀνδρῶν, ὁ θεὸς δὲ ἐμπνεύσῃ καὶ ἐμβάλῃ προθυμίαν ἀμφοτέροις τοῖς στρατεύμασιν· ἀλλὰ κέλευσον γεύσασθαι τοὺς Ἕλληνας παρὰ ταῖς ταχείαις ναυσὶν ἄρτου καὶ οἴνου, τοῦτο γάρ ἐστι προθυμία καὶ ἰσχὺς, οὐ γάρ τις ἀνὴρ ὅλην τὴν ἡμέραν μέχρι ἡλίου δύντος, ἤγουν ἑσπέρας, ἄγευστος ἄρτου δυνήσεται ἐναντίον πολεμεῖν, εἴπερ γὰρ τῇ ψυχῇ προθυμεῖται μάχεσθαι, ἀλλά γε κατὰ μικρὸν λεληθότως τὰ μέλη βαρύνονται, καὶ καταλαμβάνει δίψα τε καὶ πεῖνα, βλάπτονται δὲ καὶ ἀσθενοῦσι τὰ γόνατα πορευομένῳ· ὃς δ' ἂν ἀνὴρ οἴνου ἐμπλησθεὶς καὶ τροφῆς τοῖς πολεμίοις ἀνδράσι δι' ὅλης τῆς ἡμέρας μάχηται, εὔτολμος δὴ αὐτῷ ἡ ψυχὴ ἐν λόγῳ καὶ διανοίᾳ, οὐδέ τι τὰ μέλη πρότερον ἀσθενοῦσι, πρὶν ἢ πάντας παύσασθαι τοῦ πολέμου. Ἀλλ' ἄγε τὸν λαὸν μὲν διάλυσον, καὶ δεῖπνον ἐπίταξον ἑτοιμασθῆναι, τὰ δῶρα δὲ ὁ βασιλεὺς τῶν λαῶν Ἀγαμέμνων κομισάτω εἰς τὸ μέσον τῆς ἀγορᾶς, ὅπως πάντες οἱ Ἕλληνες θεάσωνται τοῖς ὀφθαλμοῖς, σὺ δὲ ἐν τῇ σῇ διανοίᾳ διαχυθῇς καὶ εὐφρανθῇς. ὀμνύτω δέ σοι ὅρκον ἐν μέσῳ τῶν Ἑλλήνων ἀναστὰς, μηδέ ποτε ἐπιβῆναι τῆς κοίτης αὐτῆς, καὶ περᾶναι. καὶ δὴ καὶ σοὶ αὐτῷ ἔστω ἡ ψυχὴ εὐμενὴς ἐν τῇ διανοίᾳ. μετὰ ταῦτα δέ σε φιλοφρονησάτω ἐν ταῖς σκηναῖς ἑστιάσει λιπαρᾷ καὶ δαψιλεῖ, ὅπως μηδὲν τῶν δικαίων ἐνδεὲς καὶ ἐλλιπὲς ἔχῃς. Σὺ δὲ, ὦ υἱὲ τοῦ Ἀτρέως, μετὰ ταῦτα δίκαιος καὶ ἐν ἄλλῳ ἔσῃ, οὐδαμῶς γὰρ μεμπτόν τί ἐστιν, βασιλέα ἄνδρα ἐξιλάσασθαι,

Ἄνδρ' ἀπαρέσσασθαι, ὅτε τις πρότερος χαλεπήνῃ.
  Τὸν δ' αὖτε προσέειπεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Χαίρω σεῦ, Λαερτιάδη, τὸν μῦθον ἀκούσας·
Ἐν μοίρῃ γὰρ πάντα διΐκεο καὶ κατέλεξας·
Ταῦτα δ' ἐγὼν ἐθέλω ὀμόσαι, κέλεται δέ με θυμὸς,
Οὐδ' ἐπιορκήσω πρὸς δαίμονος· αὐτὰρ Ἀχιλλεὺς
Μιμνέτω αὖθι τέως περ, ἐπειγόμενός περ ἄρηος,
Μίμνετε δ' ἄλλοι πάντες ἀολλέες, ὄφρα κε δῶρα
Ἐκ κλισίης ἔλθῃσι, καὶ ὅρκια πιστὰ τάμωμεν.
Σοὶ δ' αὐτῷ τόδ' ἐγὼν ἐπιτέλλομαι, ἠδὲ κελεύω,
Κρινάμενος κούρητας ἀριστῆας Παναχαιῶν,
Δῶρα ἐμῆς παρὰ νηὸς ἐνεικέμεν, ὅσσ' Ἀχιλῆϊ
Χθιζὸν ὑπέστημεν δώσειν, ἀγέμεν τε γυναῖκας·
Ταλθύβιος δέ μοι ὦκα κατὰ στρατὸν εὐρὺν Ἀχαιῶν
Κάπρον ἑτοιμασάτω ταμέειν Διΐ τ', Ἠελίῳ τε.
  Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἀτρείδη, κύδιστε, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Ἄλλοτέ περ καὶ μᾶλλον ὀφέλλετε ταῦτα πένεσθαι,
Ὁππότε τις μετὰ παυσωλὴ πολέμοιο γένηται,
Καὶ μένος οὐ τόσον ᾖσιν ἐνὶ στήθεσσιν ἐμοῖσι·
Νῦν δ' οἱ μὲν κέαται δεδαϊγμένοι, οὓς ἐδάμασσεν
Ἕκτωρ Πριαμίδης, ὅτε οἱ Ζεὺς κῦδος ἔδωκεν·
Ὑμεῖς δ' ἐς βρωτὺν ὀτρύνετον· ἦτ' ἂν ἔγωγε
Νῦν μὲν ἀνώγοιμι πτολεμίζειν υἷας Ἀχαιῶν
Νήστιας, ἀκμήνους· ἅμα δ' ἠελίῳ καταδύντι
Τεύξεσθαι μέγα δόρπον, ἐπὴν τισαίμεθα λώβην·
Πρὶν δ' οὔπως ἂν ἔμοιγε φίλον κατὰ λαιμὸν ἰείη
Οὐ πόσις, οὐδὲ βρῶσις, ἑταίρου τεθνηῶτος,

ὁπηνίκα τις ἂν πρότερον παροργίσῃ. Πρὸς τοῦτον δὲ εἶπεν ὁ βασιλεὺς τῶν λαῶν Ἀγαμέμνων, Τέρπομαι, ὦ υἱὲ τοῦ Λαέρτου, ἀκούσας σου τὸν λόγον· κατὰ τὸ πρέπον γὰρ ἅπαντα διεξῆλθες καὶ ἀκριβῶς εἶπας· ταῦτα δὲ ἐγὼ βούλομαι ὀμόσαι, προτρέπει γάρ με ἡ ψυχὴ, οὐδὲ ἐπίορκον ὀμόσω ἔμπροσθεν τοῦ θεοῦ· Ἀχιλλεὺς δὲ ἐπιμενέτω αὐτόθι πρός γε τὸ παρὸν ἐν ὀλίγῳ, καίπερ σπεύδων ἐπὶ τὸν πόλεμον, ἐπιμένετε δὲ καὶ οἱ ἄλλοι πάντες ἀθρόοι, ἕως ἂν τὰ δῶρα ἐκ τῆς σκηνῆς ἔλθωσι, καὶ τοὺς πιστοὺς ὅρκους ποιήσωμεν· σοὶ δὲ αὐτῷ τοῦτο ἐγὼ ἐντέλλομαι καὶ ἐπιτάττω (ἀξιῶ), ἐπιλεξάμενος νεανίας ἀριστεῖς τῶν πάντων Ἑλλήνων, τὰ δῶρα παρὰ τῆς ἐμῆς νεὼς ἔνεγκαι, ὅσα τῷ Ἀχιλλεῖ τῇ νυκτὶ τῆς χθὲς ἡμέρας ὑπεσχόμεθα δώσειν, ἄγαγε δὲ τὰς γυναῖκας· ὁ Ταλθύβιος δέ μοι ταχέως κατὰ τὸν πλατὺν στρατὸν τῶν Ἑλλήνων κάπρον παρασκευασάτω, θῦσαι τῷ τε Διῒ, καὶ τῷ Ἡλίῳ. Πρὸς τοῦτον δὲ ἀποκρινόμενος εἶπεν ὁ κατὰ πόδας ταχὺς Ἀχιλλεύς· Ὦ υἱὲ τοῦ Ἀτρέως ἐνδοξότατε βασιλεῦ τοῦ λαοῦ Ἀγάμεμνον, ἄλλοτέ γε καὶ μᾶλλον ὀφείλετε ταῦτα ἐνεργεῖν τε καὶ τελεσιουργεῖν, ὁπόταν τις μετὰ ταῦτα ἀνάπαυσις τοῦ πολέμου γένηται, καὶ οὐ τοσαύτη προθυμία ὑπάρχῃ ἐν τῷ ἐμῷ στήθει. νυνὶ δὲ οὗτοι μὲν κεῖνται κατακεκομμένοι, οὓς ἀπέκτεινεν Ἕκτωρ ὁ υἱὸς τοῦ Πριάμου, ἡνίκα ὁ Ζεὺς δόξαν αὐτῷ ἐδωρήσατο. ὑμεῖς δὲ πρὸς βρῶσιν προτρέπετε· ὄντως ἂν ἔγωγε νυνὶ μὲν ἐπιτάττοιμι μάχεσθαι τοὺς υἱοὺς τῶν Ἑλλήνων νήστεις πεινῶντας (ἀγεύστους), ἅμα δὲ ἡλίῳ δύντι ποιῆσαι δεῖπνον μέγα, ἐπειδὰν τὴν ὑπὲρ τῶν ἀποθανόντων ὕβριν καὶ βλάβην ἐκδικήσωμεν· πρὸ τοῦ δὲ, οὐδαμῶς ἂν ἔμοιγε εἰς τὸν ἀγαπητὸν λαιμὸν εἰσέλθοι οὐ πόσις, οὐδὲ βρῶσις ἀποθανόντος τοῦ φίλου,

Ὅς μοι ἐνὶ κλισίῃ δεδαϊγμένος ὀξέϊ χαλκῷ
Κεῖται, ἀνὰ πρόθυρον τετραμμένος· ἀμφὶ δ' ἑταῖροι
Μύρονται· τό μοι οὔτι μετὰ φρεσὶ ταῦτα μέμηλεν,
Ἀλλὰ φόνος τε, καὶ αἷμα, καὶ ἀργαλέος στόνος ἀνδρῶν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πολύμητις Ὀδυσσεύς·
Ὦ Ἀχιλεῦ, Πηλέως υἱὲ, μέγα φέρτατ' Ἀχαιῶν,
Κρείσσων εἷς ἐμέθεν καὶ φέρτερος οὐκ ὀλίγον περ
Ἔγχει, ἐγὼ δέ κε σεῖο νοήματί κεν προβαλοίμην
Πολλόν· ἐπεὶ πρότερος γενόμην, καὶ πλείονα οἶδα·
Τῷ τοι ἐπιτλήτω κραδίη μύθοισιν ἐμοῖσιν.
Αἶψά κε φυλόπιδος πέλεται κόρος ἀνθρώποισιν,
Ἧς γε πλείστην μὲν καλάμην χθονὶ χαλκὸς ἔχευεν·
Ἄμητος δ' ὀλίγιστος, ἐπὴν κλίνῃσι τάλαντα
Ζεὺς, ὅς τ' ἀνθρώπων ταμίης πολέμοιο τέτυκται·
Γαστέρι δ' οὔπως ἐστὶ νέκυν πενθῆσαι Ἀχαιούς.
Λίην γὰρ πολλοὶ καὶ ἐπήτριμοι ἤματα πάντα
Πίπτουσιν· πότε κέν τις ἀναπνεύσειε πόνοιο;
Ἀλλὰ χρὴ τὸν μὲν καταθάπτειν, ὅς κε θάνῃσι,
Νηλέα θυμὸν ἔχοντας, ἐπ' ἤματι δακρύσαντας·
Ὅσσοι δ' ἂν πολέμοιο περὶ στυγεροῖο λίπωνται,
Μεμνῆσθαι πόσιος καὶ ἐδητύος, ὄφρ' ἔτι μᾶλλον
Ἀνδράσι δυσμενέεσσι μαχώμεθα νωλεμὲς αἰεὶ,
Ἑσσάμενοι χροῒ χαλκὸν ἀτειρέα· μηδέ τις ἄλλην
Λαῶν ὀτρυντὺν ποτιδέγμενος ἰσχαναάσθω.
Ἥδε γὰρ ὀτρυντὺς κακὸν ἔσσεται, ὅς κε λίπηται
Νηυσὶν ἔπ' Ἀργείων· ἀλλ' ἀθρόοι ὁρμηθέντες
Τρωσὶν ἐφ' ἱπποδάμοισιν ἐγείρομεν ὀξὺν ἄρηα.
Ἦ, καὶ Νέστορος υἷας ὀπάσσατο κυδαλίμοιο,

ὅστις μοι ἐν τῇ σκηνῇ κατακεκομμένος σιδήρῳ ὀξεῖ κεῖται, κατὰ τὸ πρόθυρον κεκλιμένος, περὶ αὐτὸν δὲ οἱ φίλοι ὀλοφύρονται, διὰ τοῦτό μοι οὐδαμῶς ταῦτα ἐν τῇ διανοίᾳ διὰ φροντίδος εἰσὶν, ἀλλ' ἀνδροφονία, καὶ αἷμα, καὶ χαλεπὸς ἀναστεναγμὸς τῶν ἀνδρῶν. Πρὸς τοῦτον δὲ ἀποκρινόμενος εἶπεν ὁ πολύβουλος Ὀδυσσεύς· Ὦ Ἀχιλλεῦ υἱὲ τοῦ Πηλέως πάνυ κράτιστε τῶν Ἑλλήνων, κρείσσων ὑπάρχεις ἐμοῦ καὶ βελτίων πολλῷ τῷ δόρατι, νοήματι δὲ καὶ βουλῇ ἐγὼ περιγενοίμην ἄν σου πολλῷ, ἐπειδὴ πρότερον ἐτέχθην, καὶ πλείω ἐπίσαμαι, δι' ὃ σοι ἡ καρδία ὑπομεινάτω καὶ πεισθήτω τοῖς ἐμοῖς λόγοις. ταχέως ἐγγίνεται τοῖς ἀνθρώποις πλησμονὴ, καὶ κόρος τῆς μάχης, ἧς γε πλείστην μὲν καλάμην (ἤγουν πολλοὺς ἄνδρας) κατὰ γῆς ὁ σίδηρος ἔχεεν. ὁ θεριζόμενος δὲ καρπὸς (ἤγουν οἱ ζῶντες) πάνυ ὀλίγος ἐστὶν, ἐπειδὰν κλίνῃ ἄλλως καὶ τρέψῃ τὰς πλάστιγγας ὁ Ζεὺς, ὅστις τῶν ἀνθρώπων φύλαξ καὶ δοτὴρ τοῦ πολέμου ὑπάρχει· τῇ γαστρὶ δὲ οὐκ ἔστι δυνατὸν πενθῆσαι τοὺς Ἕλληνας τὸν νεκρὸν, πάνυ γὰρ πολλοὶ καὶ ἀλλεπάλληλοι κατὰ πάσας τὰς ἡμέρας ἀποθνήσκουσι· πότε τις ἂν ἐπικουφισθείη τοῦ πόνου καὶ τῆς ταλαιπωρίας; ἀλλὰ δεῖ τοῦτον μὲν κατακαίειν ὃς ἂν ἀποθάνῃ, ἀνηλῆ καὶ ἀπαθῆ ψυχὴν ἔχοντας, ἡμέρᾳ μιᾷ δακρύσαντας, ὅσοι δ' ἂν ἐκ τοῦ μισητοῦ πολέμου περιλείπωνται μνημονεύειν πόσεως καὶ τροφῆς (βρώσεως), ὅπως ἔτι μᾶλλον τοῖς πολεμίοις ἀνδράσι πολεμῶμεν ἀδιαλείπτως τὸν πάντα χρόνον, ἐνδυσάμενοι περὶ τὸ σῶμα τὸν ἀκαταπόνητον σίδηρον, μηδὲ ἄλλην τις τῶν λαῶν προτροπὴν καὶ παρόρμησιν προσδεχόμενος διακωλυέτω, καὶ ἀναμενέτω. αὕτη γὰρ ἡ προτροπὴ ἐπὶ κακῷ καὶ βλάβει ἔσται ἐκείνῳ, ὃς ἂν ἐναπολειφθῇ παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων, ἀλλ' ὁμοθυμαδὸν σύμπαντες ὁρμήσαντες ἐπὶ τοὺς ἱππικοὺς Τρῶας συστήσωμεν, καὶ συναυξήσωμεν πόλεμον σφοδρόν. Εἶπε, καὶ τοὺς υἱοὺς τοῦ ἐνδόξου Νέστορος

Φυλείδην τε Μέγητα, Θόαντά τε, Μηρίονην τε,
Καὶ Κρειοντιάδην Λυκομήδεα, καὶ Μελάνιππον·
Βὰν δ' ἴμεν ἐς κλισίην Ἀγαμέμνονος Ἀτρείδαο.
Αὐτίκ' ἔπειθ' ἅμα μῦθος ἔην, τετέλεστο δὲ ἔργον·
Ἑπτὰ μὲν ἐκ κλισίης τρίποδας φέρον, οὕς οἱ ὑπέστη,
Αἴθωνας δὲ λέβητας ἐείκοσι, δώδεκα δ' ἵππους·
Ἐκ δ' ἄγον αἶψα γυναῖκας, ἀμύμονα ἔργ' εἰδυίας,
Ἑπτ', ἀτὰρ ὀγδοάτην, Βρισηΐδα καλλιπάρῃον·
Χρυσοῦ δὲ στήσας Ὀδυσεὺς δέκα πάντα τάλαντα,
Ἦρχ', ἅμα δ' ἄλλοι δῶρα φέρον κούρητες Ἀχαιῶν·
Καὶ τὰ μὲν ἐν μέσσῃ ἀγορῇ θέσαν· ἂν δ' Ἀγαμέμνων
Ἵστατο· Ταλθύβιος δὲ, θεῷ ἐναλίγκιος αὐδὴν,
Κάπρον ἔχων ἐν χειρὶ, παρίστατο ποιμένι λαῶν.
Ἀτρείδης δὲ ἐρυσσάμενος χείρεσσι μάχαιραν,
Ἥ οἱ πὰρ ξίφεος μέγα κουλεὸν αἰὲν ἄωρτο,
Κάπρου ἀπὸ τρίχας ἀρξάμενος, Διῒ χεῖρας ἀναχὼν,
Εὔχετο· τοὶ δ' ἄρα πάντες ἐπ' αὐτόφιν εἵατο σιγῇ
Ἀργεῖοι κατὰ μοῖραν ἀκούοντες βασιλῆος.
Εὐξάμενος δ' ἄρα εἶπεν, ἰδὼν εἰς οὐρανὸν εὐρύν·
Ἴστω νῦν Ζεὺς πρῶτα, θεῶν ὕπατος καὶ ἄριστος,
Γῆ τε, καὶ Ἠέλιος, καὶ Ἐριννύες, αἵ θ' ὑπὸ γαῖαν
Ἀνθρώπους τίνυνται, ὅστις κ' ἐπίορκον ὀμόσσῃ·
Μὴ μὲν ἐγὼ κούρῃ Βρισηΐδι χεῖρ' ἐπενεῖκαι,
Οὔτ' εὐνῆς πρόφασιν κεχρημένος, οὔτε τοῦ ἄλλου·
Ἀλλ' ἔμεν' ἀπροτίμαστος ἐνὶ κλισίῃσιν ἐμῇσιν·
Εἰ δέ τι τῶνδ' ἐπίορκον, ἐμοὶ θεοὶ ἄλγεα δοῖεν
Πολλὰ μάλ', ὅσσα διδοῦσιν, ὅστις σφ' ἀλίτηται ὀμόσσας.
Ἦ, καὶ ἀπὸ στόμαχον κάπρου τάμε νηλέϊ χαλκῷ·

προσελάβετο καὶ ὀπαδοὺς ἔσχε, καὶ Μέγητα τὸν υἱὸν τοῦ Φυλέως, καὶ τὸν Θόαντα, καὶ τὸν Μηριόνην, καὶ Λυκομήδη τὸν υἱὸν τοῦ Κρείοντος, καὶ τὸν Μελάνιππον. ὥρμησαν δὲ πορεύεσθαι εἰς τὴν σκηνὴν Ἀγαμέμνονος τοῦ υἱοῦ τοῦ Ἀτρέως. μετὰ ταῦτα δὲ παραχρῆμα ὁμοῦ λόγος τε ἦν καὶ τὸ ἔργον ἐτελέσθη. ἑπτὰ μὲν λέβητας ἐκ τῆς σκηνῆς ἤνεγκαν, οὓς ὑπέσχετο, πυριβάτας δὲ λέβητας εἴκοσι, ἵππους δὲ δώδεκα· ἐξῆγον δὲ ταχέως γυναῖκας ἀμώμητα ἔργα ἐπισαμένας ἑπτὰ, ὀγδόην δὲ τὴν ὡραίαν θυγατέρα τοῦ Βρισέως· χρυσοῦ δὲ δέκα πάντα τάλαντα ζυγοςατήσας ὁ Ὀδυσσεὺς ἡγεῖτο, ὁμοῦ δὲ οἱ ἄλλοι νεανίαι τῶν Ἑλλήνων ἔφερον τὰ δῶρα, καὶ ταῦτα μὲν ἐν τῷ μέσῳ τῆς ἀγορᾶς κατέθηκαν· Ἀγαμέμνων δὲ ἀνέςη, Ταλθύβιος δὲ ὁ κατὰ τὴν φωνὴν ὅμοιος θεῷ κάπρον κατέχων ἐν τῇ χειρὶ παρέςη τῷ βασιλεῖ τοῦ ςρατοῦ. Ὁ υἱὸς δὲ τοῦ Ἀτρέως ἑλκύσας ταῖς χερσὶ τὴν μάχαιραν, ἥτις αὐτῷ παρὰ τὴν μεγάλην θήκην τοῦ ξίφους ἀεὶ παρῃωρεῖτο, τὰς τρίχας τοῦ κάπρου διανείμας, ἄρας τὰς χεῖρας τῷ Διὶ ηὔχετο· οὗτοι δ' ἄρα πάντες . . . . οἱ Ἕλληνες κατὰ τὸ πρέπον ἀκούοντες τοῦ βασιλέως. εὐξάμενος δὲ εἶπεν ἀναβλέψας εἰς τὸν πλατὺν καὶ μέγαν οὐρανόν· Μαρτυρείτω νῦν πρῶτον ὁ Ζεὺς ὁ ἐξοχώτατος τῶν θεῶν καὶ κράτιστος, καὶ ἡ Γῆ, καὶ ὁ Ἥλιος, καὶ αἱ Ἐριννύες, αἵτινες ὑπὸ τὴν γῆν τιμωροῦνται, καὶ κολάζουσι τοὺς ἀνθρώπους, ὃς ἂν ἐπιορκέσῃ· οὐκέτι ἐγὼ τῇ νέᾳ θυγατρὶ τοῦ Βρισέως χεῖρα ἐπιθῆναι βουλήσομαι, οὔτε συνουσίας αἰτίᾳ καὶ ἀφορμῇ χρώμενος, οὔτε τινὸς ἄλλου, ἀλλ' εἶναι ἄθικτον συνουσίας καὶ μίξεως ἐν ταῖς ἐμαῖς σκηναῖς· εἰ δέ τι τούτων οὐκ ἔςιν εὔορκον, εἴθε δοῖεν ἐμοὶ οἱ θεοὶ λύπας καὶ ὀδύνας πάνυ πολλὰς, ὅσας διδόασιν ἐκείνῳ, ὃς ἂν αὐτοῖς ἁμάρτῃ καὶ παραβῇ ὀμόσας. Εἶπε, καὶ τὸ τῆς γαςρὸς ςόμα, ἤγουν τὸν φάρυγγα τοῦ κάπρου ἀπέκοψε σιδήρῳ ἀνηλεεῖ. Τοῦτον μὲν οὖν Ταλθύβιος

Τὸν μὲν Ταλθύβιος πολιῆς ἁλὸς ἐς μέγα λαῖτμα
Ῥίψ᾽ ἐπιδινήσας, βόσιν ἰχθύσιν· αὐτὰρ Ἀχιλλεὺς
Ἀνστὰς Ἀργείοισι φιλοπτολέμοισι μετηύδα·
Ζεῦ πάτερ, ἦ μεγάλας ἄτας ἄνδρεσσι διδοῖσθα·
Οὐκ ἂν δήποτε θυμὸν ἐνὶ στήτεσσιν ἐμοῖσιν
Ἀτρείδης ὤρινε διαμπερὲς, οὐδέ κε κούρην
Ἦγεν, ἐμεῦ ἀέκοντος· ἀμήχανος ἀλλά ποθι Ζεὺς
Ἤθελ᾽ Ἀχαιοῖσιν θάνατον πολέεσσι γενέσθαι.
Νῦν δ᾽ ἔρχεσθ᾽ ἐπὶ δεῖπνον, ἵνα ξυνάγωμεν ἄρηα.
Ὣς ἄρ᾽ ἐφώνησεν· λῦσεν δ᾽ ἀγορὴν αἰψηρήν.
Οἱ μὲν ἄρ᾽ ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος·
Δῶρα δὲ Μυρμιδόνες μεγαλήτορες ἀμφεπένοντο,
Βὰν δ᾽ ἐπὶ νῆα φέροντες Ἀχιλλῆος θείοιο·
Καὶ τὰ μὲν ἐν κλισίῃσι θέσαν, κάθισαν δὲ γυναῖκες·
Ἵππους δ᾽ εἰς ἀγέλην ἔλασαν θεράποντες ἀγαυοί.
Βρισηῒς δ᾽ ἄρ᾽ ἔπειτ᾽, ἰκέλη χρυσῇ Ἀφροδίτῃ,
Ὡς ἴδε Πάτροκλον δεδαϊγμένον ὀξέϊ χαλκῷ,
Ἀμφ᾽ αὐτῷ χυμένη, λίγ᾽ ἐκώκυε, χερσὶ δ᾽ ἄμυσσε
Στήθεά τ᾽, ἠδ᾽ ἁπαλὴν δειρὴν, ἰδὲ καλὰ πρόσωπα·
Εἶπε δ᾽ ἄρα κλαίουσα γυνὴ εἰκυῖα θεῇσι·
Πάτροκλε, μοὶ δειλῇ πλεῖστον κεχαρισμένε θυμῷ,
Ζωὸν μέν σε ἔλειπον ἐγὼ, κλισίηθεν ἰοῦσα,
Νῦν δέ σε τεθνειῶτα κιχάνομαι, ὄρχαμε λαῶν,
Ἂψ ἀνιοῦσ᾽· ὥς μοι δέχεται κακὸν ἐκ κακοῦ αἰεί·
Ἄνδρα μὲν, ᾧ ἔδοσάν με πατὴρ καὶ πότνια μήτηρ,
Εἶδον πρὸ πτόλιος δεδαϊγμένον ὀξέϊ χαλκῷ,
Τρεῖς τε κασιγνήτους, τούς μοι μία γείνατο μήτηρ,
Κηδείους, οἳ πάντες ὀλέθριον ἦμαρ ἐπέσπον·

εἰς τὸ μέγα κῦμα τῆς λευκῆς θαλάσσης ἔῤῥιψε συστρέψας, βρῶσιν τοῖς ἰχθύσιν· ὁ Ἀχιλλεὺς δὲ ἀναστὰς ἐν τοῖς πολεμικοῖς Ἕλλησιν ἔλεγεν· Ὦ Ζεῦ πάτερ, ὄντως που μεγάλας βλάβας τοῖς ἀνθρώποις ἐπάγεις, οὐκ ἄν ποτε τὸν θυμὸν ἐν τοῖς ἐμοῖς στήθεσιν ἠρέθισε παντελῶς ὁ υἱὸς τοῦ Ἀτρέως, οὐδ' ἂν τὴν νέαν ἀφείλετο ἄκοντος ἐμοῦ, ἀλλ' ἴσως (που) Ζεὺς πρὸς ὃν οὐκ ἔστι μηχανήσασθαι ἐβούλετο θάνατον γενέσθαι Ἕλλησι πολλοῖς. νυνὶ δὲ πορεύεσθε ἐπὶ δεῖπνον, ὅπως συστήσωμεν πόλεμον σφοδρόν. Οὕτω δὴ εἶπε, διέλυσε δὲ τὴν ἐκκλησίαν ταχέως. Οὗτοι μὲν οὖν διεμερίσθησαν ἕκαστος ἐπὶ τὴν ἑαυτοῦ ναῦν, τὰ δῶρα δὲ οἱ μεγαλόψυχοι Μυρμιδόνες ἀνελάμβανον, ἐπορεύθησαν δὲ φέροντες αὐτὰ ἐπὶ τὴν ναῦν τοῦ θείου Ἀχιλλέως, καὶ ταῦτα μὲν ἀπέθεντο ἐν ταῖς σκηναῖς, ἐκάθισαν δὲ αἱ γυναῖκες, τοὺς ἵππους δὲ εἰς τὴν ἀγέλην ἀνῆκαν οἱ λαμπροὶ θεράποντες. Μετὰ ταῦτα δὲ ἡ θυγάτηρ τοῦ Βρισέως ὁμοία Ἀφροδίτῃ τῇ χρυσῇ ἐπειδὴ ἐθεάσατο τὸν Πάτροκλον κατακεκομμένον σιδήρῳ τμητικῷ, περικεχυμένη αὐτῷ, ὀξέως ἐθρήνει, ἐσπάραττε δὲ ταῖς χερσὶ καὶ ἔδρυπτε τά τε στήθη, καὶ τὸν ἀπαλὸν τράχηλον, καὶ τὸ περικαλλὲς πρόσωπον, εἶπε δὲ κλαίουσα ἡ ταῖς θεαῖς ὁμοία γυνή· Ὦ Πάτροκλε, τὰ μάλιστα ἐμοὶ τῇ ἀθλίᾳ πεφιλημένε κατὰ ψυχὴν, ζῶντα μέν σε κατέλιπον ἐγὼ ἐκ τῆς σκηνῆς ἀπιοῦσα, νῦν δέ σε τεθνεῶτα εὑρίσκω, ἡγεμὼν τοῦ στρατοῦ, ἐπανελθοῦσα· ὄντως ἀεὶ δεινὸν ἐκ δεινοῦ με διαδέχεται (μοι ἐπέρχεται)· τὸν ἄνδρα μὲν, ᾧτινι παρέδωκάν με ὁ πατὴρ καὶ ἡ σεβαστὴ μήτηρ, ἐπεῖδον πρὸ (ἔμπροσθεν) τῆς πόλεως κατακεκομμένον σιδήρῳ τμητικῷ, καὶ τοὺς τρεῖς ἀδελφοὺς, οὓς ἡ αὐτή μοι μήτηρ ἔτεκε, προσφιλεῖς καὶ πεφροντισμένους μου οἳ ἅμα πάντες ἀφανιστικὴν ἡμέραν ἀνθείλοντο· οὐ

Οὐδὲ μὲν οὐδέ μ' ἔασκες, ὅτ' ἄνδρ' ἐμὸν ὠκὺς Ἀχιλλεὺς
Ἔκτεινεν, πέρσεν δὲ πόλιν θείοιο Μύνητος,
Κλαίειν, ἀλλά μ' ἔφασκες Ἀχιλλῆος θείοιο
Κουριδίην ἄλοχον θήσειν, ἄξειν τ' ἐνὶ νηυσὶν
Ἐς Φθίην, δαίσειν δὲ γάμον μετὰ Μιρμιδόνεσσι·
Τῷ σ' ἄμοτον κλαίω τεθνηότα, μείλιχον αἰεί.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες·
Πάτροκλον πρόφασιν, σφῶν δ' αὐτῶν κήδε' ἑκάστη.
Αὐτὸν δ' ἀμφὶ γέροντες Ἀχαιῶν ἠγερέθοντο,
Λισσόμενοι δειπνῆσαι· ὁ δ' ἠρνεῖτο στεναχίζων·
Λίσσομαι, εἴ τις ἔμοιγε φίλων ἐπιπείθεθ' ἑταίρων,
Μή με πρὶν σίτοιο κελεύετε, μηδὲ ποτῆτος
Ἄσασθαι φίλον ἦτορ, ἐπεί μ' ἄχος αἰνὸν ἱκάνει·
Δύντα δ' ἐς ἠέλιον μενέω, καὶ τλήσομαι ἔμπης.
Ὣς εἰπὼν, ἄλλους μὲν ἀπεσκέδασεν βασιλῆας·
Δύω δ' Ἀτρείδα μενέτην, καὶ δῖος Ὀδυσσεύς,
Νέστωρ, Ἰδομενεύς τε, γέρων θ' ἱππηλάτα Φοῖνιξ,
Τέρποντες πυκινῶς ἀκαχήμενον· οὐδέ τι θυμῷ
Τέρπετο, πρὶν πολέμου στόμα δύμεναι αἱματόεντος.
Μνησάμενος δ' ἀδινῶς ἀνενείκατο, φώνησέν τε·
Ἦ ῥά νύ μοι ποτὲ καὶ σὺ, δυσάμμορε, φίλταθ' ἑταίρων,
Αὐτὸς ἐνὶ κλισίῃσι λαρὸν παρὰ δεῖπνον ἔθηκας
Αἶψα καὶ ὀτραλέως, ὁπότε σπερχοίατ' Ἀχαιοὶ
Τρωσὶν ἐφ' ἱπποδάμοισι φέρειν πολύδακρυν ἄρηα·
Νῦν δὲ σὺ μὲν κεῖσαι δεδαϊγμένος· αὐτὰρ ἐμὸν κῆρ
Ἄκμηνον πόσιος καὶ ἐδητύος, ἔνδον ἐόντων,
Σῇ ποθῇ· οὐ μὲν γάρ τι κακώτερον ἄλλο πάθοιμι·
Οὐδ' εἴ κεν τοῦ πατρὸς ἀποφθιμένοιο πυθοίμην,

μὴν εἴας με οὐδ' ὅταν τὸν ἐμὸν ἄνδρα ὁ ταχύπους Ἀχιλλεὺς ἀπέκτεινεν, ἐξεπόρθησε δὲ τὴν πόλιν τοῦ θείου Μύνητος, κλαίειν καὶ θρηνεῖν, ἀλλά με ἔλεγες τοῦ θείου Ἀχιλλέως ὥσπερ ἐκ παρθενίας γαμετὴν ποιήσειν, καὶ ἀπάξειν ἐν ταῖς ναυσὶν εἰς τὴν Φθίην, ἑστιάσεσι δὲ ποιήσειν τοὺς γάμους ἐν τοῖς Μυρμιδόσι. διὰ τοῦτό σε ἀπαύστως δακρύω καὶ θρηνῶ ἀποθανόντα, πρᾶον καὶ προσηνῆ ὄντα διαπαντός. Οὕτως εἶπε δακρύουσα, ἐπεστέναζον δὲ αἱ γυναῖκες προφάσει μὲν καὶ ἀφορμῇ διὰ τὸν Πάτροκλον, τῇ ἀληθείᾳ δὲ πᾶσαι διὰ τὰς ἑαυτῶν συμφορὰς καὶ λύπας. Περὶ αὐτὸν δὲ οἱ ἐν τέλει τῶν Ἑλλήνων συνηθροίσθησαν, παρακαλοῦντες φαγεῖν· οὗτος δὲ ἀνένευε στενάζων καὶ λέγων. Παρακαλῶ, εἴ τις τῶν ἀγαπητῶν φίλων πείθεταί μοι, μὴ πρότερόν με προτρέπετε βρώσεως, μηδὲ πόσεως ἐμπλῆσαι τὴν ἀγαπητὴν ψυχὴν, ἐπειδή με λύπη χαλεπὴ κατέχει· μέχρι γὰρ ἡλίου δύντος καὶ ἑσπέρας ἐπιμενῶ καὶ καρτερήσω πάντως. Οὕτως εἰπὼν τοὺς ἄλλους μὲν βασιλεῖς διέλυσεν· οἱ δύο δὲ υἱοὶ τοῦ Ἀτρέως παρέμενον, καὶ ὁ ἐνδοξότατος Ὀδυσσεὺς, καὶ ὁ Νέστωρ, καὶ ὁ Ἰδομενεὺς, καὶ ὁ γέρων ἱππικὸς Φοῖνιξ, παραμυθούμενοι συνετῶς καὶ σοφῶς αὐτὸν λυπούμενον· οὐδαμῶς δὲ κατὰ ψυχὴν ἐκουφίζετο τῆς λύπης, πρὶν ἢ εἰσελθεῖν εἰς τὸ στόμα τοῦ αἱμάτων γέμοντος πολέμου. ἀναμνησθεὶς δὲ ἐλεεινῶς καὶ οἰκτρῶς ἀνεστέναξε, καὶ πολὺ ἀγαγὼν πνεῦμα ἐφώνησεν. Ὄντως δή μοί ποτε καὶ σὺ κακόμοιρε καὶ δυστυχέστατε φίλτατε φίλων, αὐτὸς ἐν ταῖς σκηναῖς ἡδὺ καὶ προσηνὲς δεῖπνον παρέθηκας ταχέως καὶ διεγερτικῶς, ἡνίκα ἔσπευδον οἱ Ἕλληνες ἐπὶ τοὺς ἱππικοὺς Τρῶας ἐπαγαγεῖν τὸν πολλῶν δακρύων αἴτιον πόλεμον. νυνὶ δὲ σὺ μὲν κεῖσαι κεκομμένος, ἡ ἐμὴ δὲ ψυχὴ ἄγευστος πόσεως καὶ βρώσεως, παρόντων, διὰ τὸν σὸν πόθον καὶ τὴν στέρησιν, οὐδὲν γὰρ ἄλλο δεινότερον πάθοιμι ἂν, οὐδ' ἐὰν τὸν πατέρα ἀποθα-

Ὃς που νῦν Φθίηφι τέρεν κατὰ δάκρυον εἴβει,
Χήτεϊ τοιοῦδ᾽ υἷος· ὁ δ᾽ ἀλλοδαπῷ ἐνὶ δήμῳ
Εἵνεκα ῥιγεδανῆς Ἑλένης Τρωσὶν πολεμίζω·
Ἠὲ τὸν, ὃς Σκύρῳ μοι ἔνι τρέφεται φίλος υἱὸς,
Εἴ που ἔτι ζώει γε Νεοπτόλεμος θεοειδής.
Πρὶν μὲν γάρ μοι θυμὸς ἐνὶ στήθεσσιν ἐώλπει,
Οἶον ἐμὲ φθίσεσθαι ἀπ᾽ Ἄργεος ἱπποβότοιο,
Αὐτοῦ ἐνὶ Τροίῃ, σὲ δέ τε Φθίηνδε νέεσθαι,
Ὡς ἄν μοι τὸν παῖδα θοῇ σὺν νηῒ μελαίνῃ
Σκυρόθεν ἐξαγάγοις, καί οἱ δείξειας ἕκαστα,
Κτῆσιν ἐμὴν, δμῶάς τε, καὶ ὑψερεφὲς μέγα δῶμα.
Ἤδη γὰρ Πηλῆά γ᾽ ὀΐομαι ἢ κατὰ πάμπαν
Τεθνάμεν, ἤ που τυτθὸν ἔτι ζώοντ᾽ ἀκαχῆσθαι,
Γήραΐ τε στυγερῷ, καὶ ἐμὴν ποτιδέγμενον αἰεὶ
Λυγρὴν ἀγγελίην, ὅτ᾽ ἀποφθιμένοιο πύθοιτο.
Ὡς ἔφατο κλαίων· ἐπὶ δὲ στενάχοντο γέροντες,
Μνησάμενοι τὰ ἕκαστος ἐνὶ μεγάροισιν ἔλειπε
Μυρομένους δ᾽ ἄρα τούς γε ἰδὼν ἐλέησε Κρονίων,
Αἶψα δ᾽ Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
Τέκνον ἐμὸν, δὴ πάμπαν ἀποίχεαι ἀνδρὸς ἑῆος·
Ἦ νύτοι οὐκέτι πάγχυ μετὰ φρεσὶ μέμβλετ᾽ Ἀχιλλεύς;
Κεῖνος, ὅγε προπάροιθε νεῶν ὀρθοκραιράων,
Ἧσται ὀδυρόμενος ἕταρον φίλον· οἱ δὲ δὴ ἄλλοι
Οἴχονται μετὰ δεῖπνον, ὁ δ᾽ ἄκμηνος καὶ ἄπαστος.
Ἀλλ᾽ ἴθι, οἱ νέκταρ τε καὶ ἀμβροσίην ἐρατεινὴν
Στάξον ἐνὶ στήθεσσ᾽, ἵνα μή μιν λιμὸς ἵκηται.
Ὡς εἰπὼν, ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην.
Ἡ δ᾽, ἅρπῃ εἰκυῖα τανυπτέρυγι, λιγυφώνῳ,

γόντα ἀκούσω, ὃς δήπου νυνὶ ἐν τῇ Φθίᾳ θαλερὸν δάκρυον καταχέει στερήσει καὶ ἐνδείᾳ τοῦ τοιούτου υἱοῦ. οὗτος (αὐτὸς) δὲ ἐν ἀλλοφύλῳ δήμῳ ἕνεκα τῆς λυπηρᾶς καὶ μισητῆς Ἑλένης μάχομαι τοῖς Τρωσίν· ἢ τοῦτον, ὅς μοι ἐν τῇ Σκύρῳ ἀνατρέφεται ἀγαπητὸς υἱὸς, εἴπου ἔτι ζῇ ὁ θεῖον εἶδος ἔχων Νεοπτόλεμος· πρότερον μὲν γάρ μοι ἡ ψυχὴ ἐν τῷ στήθει προσεδόκα μόνον ἐμὲ ἀποθανεῖσθαι ἀπὸ τοῦ ἱπποτρόφου Ἄργους αὐτόθι ἐν τῇ Τροίᾳ, σὲ δὲ εἰς τὴν Φθίαν πορευθῆναι, ὅπως ἂν μοι τὸν υἱὸν σὺν ταχείᾳ μελαίνῃ νηῒ ἐκ τῆς Σκύρου ἀγάγοις, καὶ ἐπιδείξειας αὐτῷ ἅπαντα τὰ ἐμὰ κτήματα, καὶ τὰς δούλας, καὶ τὸν μέγαν καὶ ὑψηλὸν οἶκον· ἤδη γὰρ τὸν Πηλέα οἴομαι, ἢ παντελῶς ἀποθανεῖν, ἢ ἔτι βραχεῖ βιωσίμῳ ζῶντα λυπεῖσθαι καὶ ἀλγεῖν γήρᾳ τε μισητῷ, καὶ τὴν ἐμὴν ἀεὶ προσδεχόμενον χαλεπὴν ἀγγελίαν, πότε ἀποθανόντα ἀκούσει. Οὕτως εἶπε δακρύων, ἐπεστέναζον δὲ οἱ ἐν τέλει, ἀναμνησθέντες ἅπερ ἕκαστος ἐν τῷ οἴκῳ κατέλιπεν. ὀλοφυρομένους δὲ τούτους θεασάμενος ᾤκτειρεν ὁ υἱὸς τοῦ Κρόνου, ταχέως δὲ πρὸς τὴν Ἀθηνᾶν λόγους ταχεῖς ἔλεγεν· Ὦ τέκνον ἐμὸν, παντελῶς ἤδη κεχώρισαι ἀνδρὸς ἀγαθοῦ. ὄντως που οὐκέτι πάνυ σοι ἐν τῇ διανοίᾳ διὰ φροντίδος ἐστὶν ὁ Ἀχιλλεὺς ἐκεῖνος, ὅς γε ἔμπροσθεν τῶν ὀρθοπρύμνων νεῶν κάθηται ὀλοφυρόμενος καὶ θρηνῶν τὸν ἀγαπητὸν φίλον· οἱ ἄλλοι δὲ ἐπορεύθησαν ἐπὶ δεῖπνον, οὗτος δὲ νῆστις καὶ ἄγευστος ἐστίν. ἀλλ' ἄπιθι καὶ νέκταρ καὶ ἀμβροσίαν ἐπέραστον ἔνσταξον εἰς τὸ στῆθος, ὅπως μὴ λιμὸς αὐτὸν καταλάβῃ. Οὕτως εἰπὼν διήγειρε τὴν καὶ πρότερον προθυμουμένην Ἀθηνᾶν. Αὕτη δὲ ὁμοία ἰκτίνῳ ἐκτεταμένα πτερὰ ἔχοντι, ὀξυφώνῳ, ἐκ τοῦ οὐρανοῦ καθήλατο διὰ τοῦ αἰθέρος. οἱ Ἕλληνες δὲ παραχρῆμα καθωπλίζοντο ἐν τῷ ϛρατοπέδῳ· αὕτη δὲ τῷ

Οὐρανοῦ ἐκκατεπᾶλτο δι' αἰθέρος· αὐτὰρ Ἀχαιοὶ
Αὐτίκα θωρήσσοντο κατὰ στρατόν· ἡ δ' Ἀχιλῆϊ
Νέκταρ ἐνὶ στήθεσσι καὶ ἀμβροσίην ἐρατεινὴν
Στάξ', ἵνα μή μιν λιμὸς ἀτερπὴς γούναθ' ἵκηται.
Αὐτὴ δὲ πρὸς πατρὸς ἐρισθενέος πυκινὸν δῶ
Ὤιχετο· τοὶ δ' ἀπάνευθε νεῶν ἐχέοντο θοάων.
Ὡς δ' ὅτε ταρφειαὶ νιφάδες Διὸς ἐκποτέονται,
Ψυχραὶ ὑπαὶ ῥιπῆς αἰθρηγενέος Βορέαο·
Ὣς τότε ταρφειαὶ κόρυθες, λαμπρὸν γανόωσαι,
Νηῶν ἐκφορέοντο, καὶ ἀσπίδες ὀμφαλόεσσαι,
Θώρηκές τε κραταιγύαλοι· καὶ μείλινα δοῦρα·
Αἴγλη δ' οὐρανὸν ἷκε, γέλασσε δὲ πᾶσα περὶ χθὼν
Χαλκοῦ ὑπὸ στεροπῆς· ὑπὸ δὲ κτύπος ὤρνυτο ποσσὶν
Ἀνδρῶν· ἐν δὲ μέσοισι κορύσσετο δῖος Ἀχιλλεύς·
Τοῦ καὶ ὀδόντων μὲν καναχὴ πέλε, τὼ δέ οἱ ὄσσε
Λαμπέσθην, ὡσεί τε πυρὸς σέλας· ἐν δέ οἱ ἦτορ
Δῦν' ἄχος ἄτλητον· ὁ δ' ἄρα Τρωσὶν μενεαίνων
Δύσετο δῶρα θεοῦ, τά οἱ Ἥφαιστος κάμε τεύχων.
Κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκε
Καλὰς, ἀργυρέοισιν ἐπισφυρίοις ἀραρυίας·
Δεύτερον αὖ, θώρηκα περὶ στήθεσσιν ἔδυνεν·
Ἀμφὶ δ' ἄρ' ὤμοισιν βάλετο ξίφος ἀργυρόηλον,
Χάλκεον· αὐτὰρ ἔπειτα σάκος μέγα τε, στιβαρόν τε,
Εἵλετο, τοῦ δ' ἀπάνευθε σέλας γένετ', ἠΰτε μήνης.
Ὡς δ' ὅταν ἐκ πόντοιο σέλας ναύτῃσι φανήη
Καιομένοιο πυρὸς, τὸ δὲ καίεται ὑψόθ' ὄρεσφι,
Σταθμῷ ἐν οἰοπόλῳ· τοὺς δ' οὐκ ἐθέλοντας ἄελλαι
Πόντον ἐπ' ἰχθυόεντα φίλων ἀπάνευθε φέρουσιν·

Ἀχιλλεῖ νέκταρ καὶ ἀμβροσίαν ἐπέρασον εἰς τὰ ςήθη ἐνέςαξεν, ὅπως μὴ λιμὸς λυπηρὸς καταλάβῃ τὰ γόνατα αὐτοῦ· αὐτὴ δὲ πρὸς τὸ τοῦ μεγαλοδυνάμου πατρὸς πυκνὸν καὶ ςιβαρὸν δῶμα ἐπανῆκεν· οὗτοι δὲ ἀπὸ τῶν νεῶν τῶν ταχειῶν ἔτρεχον. ὥσπερ δὲ ὅτε πυκναὶ καὶ συνεχεῖς νιφάδες ἐκ τοῦ Διὸς καταπέτονται καὶ φέρονται ψυχραὶ ὑπὸ τῆς ὁρμῆς τοῦ αἰθρίας αἰτίου καὶ γεννητικοῦ Βορέου· οὕτως τότε συνεχεῖς αἱ περικεφαλαῖαι διαυγῶς λελαμπρυσμέναι, καὶ περιλάμπουσαι ἐκ τῶν νεῶν ἐφέροντο, καὶ αἱ ὀμφαλοὺς ἔχουσαι ἀσπίδες, καὶ οἱ θώρακες οἱ ἰσχυρὰ γύαλα, ἤγουν κοιλώματα ἔχοντες, καὶ τὰ ἐκ μελίας δένδρου δόρατα· ἡ αὐγὴ δὲ καὶ ἡ λαμπηδὼν εἰς τὸν οὐρανὸν ἀφίκνεῖ(κε)το, περιεγέλασε δὲ καὶ περιήςραψε πᾶσα ἡ γῆ ὑπὸ τῆς ἀςραπῆς καὶ περιςίλψεως τοῦ σιδήρου, κτύπος δὲ ἠγείρετο ὑπὸ τῶν ποδῶν τῶν ἀνδρῶν, ἐν τῷ μέσῳ δὲ αὐτων καθωπλίζετο ὁ ἐνδοξότατος Ἀχιλλεύς· τούτου καὶ τῶν ὀδόντων μὲν ψόφος καὶ ἦχος μέγας ἀπετελεῖτο, οἱ ὀφθαλμοὶ δὲ αὐτοῦ περιέλαμπον, ὥσπερ πυρὸς λαμπηδών· εἰς τὴν ψυχὴν δὲ αὐτοῦ εἰσῆλθε λύπη ἀφόρητος· οὗτος δὲ τοῖς Τρωσὶν ὀργιζόμενος καὶ παροξυνόμενος, ἐιεδύσατο τὰ δῶρα τοῦ θεοῦ, ἅπερ ὁ Ἥφαιστος καμὼν καὶ πονήσας κατεσκεύασε Τὰς κνημίδας μὲν οὖν πρῶτον περιέθηκε ταῖς κνήμαις τὰς καλὰς, ἀργυροῖς καλύμμασι τῶν σφυρῶν προσηρμοσμένας· δεύτερον δὲ τὸν θώρακα τοῖς στήθεσι περιεβάλετο, τοῖς ὤμοις δὲ περιήρτησε τὸ ἀργυροῖς ἥλοις πεπαρμένον ξίφος τὸ σιδηροῦν, μετὰ ταῦτα δὲ τὴν μεγάλην τε καὶ στερεὰν ἀσπίδα ἔλαβε, τούτου δὲ πόῤῥωθεν αὐγὴ ἐγίνετο, καθάπερ σελήνης. Ὥσπερ δὲ ὅταν ἐκ τοῦ πόντου λαμπηδὼν τοῖς ναύταις ἐπιφανείη πυρὸς καιομένου, τοῦτο δὲ καίεται ἐφ᾿ ὕψους ἐν τοῖς ὄρεσιν, ἐν ἐπαύλει, καθ᾿ ἣν μόνος τις διατρίβει, τούτους δὲ μὴ βουλομένους οἱ ἄνεμοι κατὰ (ἐπὶ) τὸν τοὺς ἰχθύας ἔχοντα πόντον πόῤῥωθεν τῶν οἰκείων καὶ φίλων φέρουσιν. οὕτως ἀπὸ τῆς ἀσπίδος τοῦ

Ὡς ἀπ' Ἀχιλλῆος σάκεος σέλας αἰθέρ' ἵκανε
Καλοῦ, δαιδαλέου· περὶ δὲ τρυφάλειαν ἀείρας
Κρατὶ θέτο βριαρήν· ἡ δ', ἀστὴρ ὥς, ἀπέλαμπεν
Ἵππουρις τρυφάλεια· περισσείοντο δ' ἔθειραι
Χρύσειαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
Πειρήθη δὲ οἵ αὐτοῦ ἐν ἔντεσι δῖος Ἀχιλλεὺς,
Εἴ οἱ ἐφαρμόσσειε, καὶ ἐντρέχοι ἀγλαὰ γυῖα·
Τῷ δ' εὖτε πτερὰ γίνετ', ἄειρε δὲ ποιμένα λαῶν·
Ἐκ δ' ἄρα σύριγγος πατρώϊον ἐσπάσατ' ἔγχος,
Βριθὺ, μέγα, στιβαρόν· τὸ μὲν οὐ δύνατ' ἄλλος Ἀχαιῶν
Πάλλειν, ἀλλά μιν οἶος ἐπίστατο πῆλαι Ἀχιλλεὺς,
Πηλιάδα μελίην, τὴν πατρὶ φίλῳ τάμε Χείρων
Πηλίου ἐκ κορυφῆς, φόνον ἔμμεναι ἡρώεσσιν.
Ἵππους δ' Αὐτομέδων τε καὶ Ἄλκιμος ἀμφιέποντες
Ζεύγνυον, ἀμφὶ δὲ καλὰ λέπαδν' ἔσαν· ἐν δὲ χαλινοὺς
Γαμφηλῇσ' ἔβαλον, κατὰ δ' ἡνία τεῖναν ὀπίσσω
Κολλητὸν ποτὶ δίφρον· ὁ δὲ μάστιγα φαεινὴν
Χειρὶ λαβὼν ἀραρυῖαν, ἐφ' ἵπποιϊν ἀνόρουσεν
Αὐτομέδων· ὄπιθεν δὲ κορυσσάμενος βῆ Ἀχιλλεὺς,
Τεύχεσι παμφαίνων, ὥστ' ἠλέκτωρ ὑπερίων.
Σμερδαλέον δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο·
Ξάνθε τε, καὶ Βαλίε, τηλεκλυτὰ τέκνα Ποδάργης,
Ἄλλως δὴ φράζεσθε σαωσέμεν ἡνιοχῆας
Ἂψ Δαναῶν ἐς ὅμιλον, ἐπεί χ' ἑῶμεν πολέμοιο·
Μηδ', ὡς Πάτροκλον, λίπετ αὐτόθι τεθνειῶτα.
Τὸν δ' ἄρ' ὑπὸ ζυγόφιν προσέφη πόδας αἰόλος ἵππος
Ξάνθος, ἄφαρ δ' ἤμυσε καρήατι, πᾶσα δὲ χαίτη,
Ζεύγλης ἐξεριποῦσα παρὰ ζυγὸν, οὖδας ἵκανεν·

Ἀχιλλέως λαμπηδὼν εἰς τὸν αἰθέρα ἀφικνεῖτο, τῆς παμποικίλου περικαλλοῦς. ἄρας δὲ τὴν περικεφαλαίαν περιέθετο τῇ κεφαλῇ τὴν ϛιβαρὴν καὶ στερεάν· αὕτη δὲ ὥσπερ ἀϛὴρ ἔλαμπεν ἡ ἱππείας τρίχας ἔχουσα περικεφαλαία· περιεκινοῦντο δὲ αἱ κόμαι αἱ χρυσαῖ, ἃς ὁ Ἥφαιϛος ἔβαλε περὶ τὸν λόφον πυκνάς· πεῖραν δὲ εἰλήφει ἑαυτοῦ ἐν τοῖς ὅπλοις ὁ ἐνδοξότατος Ἀχιλλεὺς, εἰ ἐφαρμόζοιεν αὐτῷ τὰ ὅπλα, καὶ τὰ λαμπρὰ μέλη ἐναλλεσθαι αὐτοῖς δύναιτο, καὶ μὴ ἐμποδίζοιτο. τούτῳ δ' εὖ μάλα πτερὰ ταῦτα ἐγίνετο, ἐκούφιζε δὲ καὶ μετεώριζε τὸν βασιλέα τοῦ ϛρατοῦ· ἐξέβαλε δὲ ἐκ τῆς δορατοθήκης τὸ πατρικὸν δόρυ τὸ βαρὺ, καὶ ἐπώδυνον, τὸ μέγα καὶ στερεὸν, τοῦτο οὐκ ἐδύνατο ἄλλος τις τῶν Ἑλλήνων κινεῖν, ἀλλὰ μόνος ἐπίστατο ὁ Ἀχιλλεὺς κινεῖν αὐτὸν τὴν ἐκ τοῦ Πηλίου ὄρους μελίαν, ἣν τῷ ἀγαπητῷ πατρὶ ἔκοψεν ὁ Χείρων ἐκ τῆς κορυφῆς τοῦ Πηλίου, θάνατον εἶναι τοῖς ἥρωσι· τοὺς ἵππους δὲ ὅ τε Αὐτομέδων καὶ ὁ Ἄλκιμος εὐτρεπίζοντες ἦγον ὑπὸ τὸν ζυγὸν, περιέβαλον δὲ τοὺς καλοὺς ἐπιτραχηλίους ἱμάντας, ἐνέβαλον δὲ τοὺς χαλινοὺς ταῖς σιαγόσιν, ἐξέτειναν δὲ τοὺς ῥυτῆρας εἰς τοὐπίσω πρὸς τὸ ἡνωμένον καὶ συμβεβλημένον ὄχημα· οὗτος δὲ μάστιγα λαμπρὰν εἰληφὼς τῇ χειρὶ ἐφαρμόζουσαν ἀνεπήδησεν ἐπὶ τῶν ἵππων ὁ Αὐτομέδων, ὄπισθεν δὲ καθοπλισθεὶς ἔϛη ὁ Ἀχιλλεὺς τοῖς ὅπλοις περιλάμπων, καθάπερ ὁ ὑπεράνω ἡμῶν περιφερόμενος ἥλιος, καταπληκτικῶς δὲ παρεκελεύσατο τοῖς ἵπποις τοῦ ἑαυτοῦ πατρός· Ὦ Ξάνθε καὶ Βαλίε, ὑπερένδοξα τέκνα τῆς Ποδάργης, κατ' ἄλλον δὴ τρόπον σκοπεῖτε σώσειν τοὺς ἡνιόχους ὀπίσω εἰς τὸ πλῆθος τῶν Ἑλλήνων, ἐπειδὰν ἀναμιχθῶμεν τοῖς πολεμίοις (ἀναχωρήσωμεν τοῦ πολέμου), μηδὲ ὥσπερ τὸν Πάτροκλον καταλίπετε αὐτόθι νεκρόν. Πρὸς τοῦτον δὲ εἶπε κάτωθεν ὑπὸ τὸν ζυγὸν, ὁ κατὰ πόδας ταχὺς ἵππος Ξάνθος, ταχέως δὲ παρέκλινε τὴν κεφαλὴν, πᾶς (παντὸς) δὲ ὁ αὐχὴν (τοῦ αὐχένος) τοῦ ἐπιτραχηλίου

Αὐδήεντα δ' ἔθηκε θεὰ λευκώλενος Ἥρη·
Καὶ λίην σ' ἔτι νῦν γε σαώσομεν, ὄβριμ' Ἀχιλλεῦ·
Ἀλλά τοι ἐγγύθεν ἦμαρ ὀλέθριον, οὐδέ τοι ἡμεῖς
Αἴτιοι, ἀλλὰ θεός τε μέγας καὶ μοῖρα κραταιή·
Οὐδὲ γὰρ ἡμετέρῃ βραδυτῆτί τε νωχελίῃ τε,
Τρῶες ἀπ' ὤμοιϊν Πατρόκλου τεύχε' ἕλοντο·
Ἀλλὰ θεῶν ὤριστος, τὸν ἠΰκομος τέκε Λητὼ,
Ἔκταν' ἐνὶ προμάχοισι, καὶ Ἕκτορι κῦδος ἔδωκε.
Νῶϊ δὲ καί κεν ἅμα πνοιῇ Ζεφύροιο θέοιμεν,
Ἥνπερ ἐλαφροτάτην φάσ' ἔμμεναι· ἀλλά σοι αὐτῷ
Μόρσιμόν ἐστι, θεῷ τε καὶ ἀνέρι ἶφι δαμῆναι.
Ὣς ἄρα φωνήσαντος Ἐριννύες ἔσχεθον αὐδήν.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ξάνθε, τί μοι θάνατον μαντεύεαι; οὐδέ τί σε χρή.
Εὖ νύ τοι οἶδα καὶ αὐτὸς, ὅ μοι μόρος ἐνθάδ' ὀλέσθαι
Νόσφι φίλου πατρὸς καὶ μητέρος· ἀλλὰ καὶ ἔμπης
Οὐ λήξω, πρὶν Τρῶας ἄδην ἐλάσαι πολέμοιο.
Ἦ ῥα, καὶ ἐν πρώτοις ἰάχων ἔχε μώνυχας ἵππους.

Τέλος τοῦ Τρίτου Τόμου.

ἀκροζύγου ἐκπεσὼν(όντος) κατηνέχθη ἐπὶ τὸ ἔδαφος τὸ ζυγὸν (πᾶσα δὲ ἡ ζεύγλη ἐκπεσοῦσα τῆς χαίτης κατηνέχθη ἐπὶ τὸ ἔδαφος)· φωνήεντα δὲ καὶ λογικοῦ ζώου φωνὴν ἔχοντα αὐτὸν ἐποίησεν ἡ θεὰ ἡ λευκόπηχυς Ἥρα· Καὶ πάνυ σε νυνί γε ἔτι σώσωμεν, ἰσχυρὲ Ἀχιλλεῦ, ἀλλά σοι ἐγγύς ἐστιν ἡ ἀφανιστικὴ ἡμέρα, οὐδέ σοι ἡμεῖς πρόξενοι ταύτης, ἀλλὰ θεὸς μέγας, καὶ ἡ ἰσχυρὰ Μοῖρα· οὐδὲ γὰρ ἡμετέρᾳ ἀργίᾳ καὶ ἀκινησίᾳ ἀφείλοντο τὰ ὅπλα οἱ Τρῶες ἀπὸ τῶν ὤμων τοῦ Πατρόκλου, ἀλλὰ ὁ κράτιστος τῶν θεῶν, ὃν ἡ καλλίθριξ ἔτεκε Λητὼ, ἀπέκτεινεν ἐν τοῖς πρωταγωνισταῖς, καὶ δόξαν τῷ Ἕκτορι ἐδωρήσατο. ἡμεῖς δὲ ὁμοίως καὶ τῇ πνοῇ τοῦ Ζεφύρου τρέχοιμεν ἂν, ἥν φασι κουφοτάτην εἶναι, ἀλλά σοὶ αὐτῷ εἱμαρμένον καὶ πεπρωμένον ἐστὶν ὑπὸ θεοῦ καὶ ἀνδρὸς ἰσχυρῶς δαμασθῆναι καὶ ἀναιρεθῆναι. Οὕτω δὴ εἰπόντος ἐπέσχον αἱ Ἐριννύες τὴν φωνήν. Πρὸς τοῦτον δὲ μεγάλως στενάξας εἶπεν ὁ κατὰ πόδας ταχὺς Ἀχιλλεύς· Ὦ Ξάνθε τί μοι τὸν θάνατον μαντεύῃ καὶ προλέγεις; οὐδαμῶς γάρ σε δεῖ· καλῶς δὴ καὶ αὐτὸς ἐπίσταμαι ὅτι μοι εἱμαρμένον ἐστὶν ἐνταῦθα ἀποθανεῖν πόῤῥω τοῦ ἀγαπητοῦ πατρὸς καὶ τῆς μητρός· ἀλλ' ὅμως οὐ παύσομαι, πρὶν τοὺς Τρῶας διαθεῖναι διακόρως τοῦ πολέμου. Εἶπε δὴ, καὶ ἐν τοῖς πρώτοις βοῶν ἤλαυνε τοὺς μοιώνυχας ἵππους.

Τέλος τοῦ Τρίτου Τόμου.

στιχ.	Ἀναπλήρωσις τοῦ κειμένȣ ἐκ τῶν δύο Ἀντιγρ. 3. καὶ 10. τοῦ Plut. 32.	Ἀναπλήρωσις τῆς παραφράσεως ἐκ τῆς τοῦ Ψελλοῦ.
	N	N
241	Δύσετο τεύχεα καλὰ περὶ χροῒ, γέντο δὲ δοῦρε.	ἐνεδύσατο τὰ καλὰ ὅπλα περὶ τὸ σῶμα, ἔλαβε δὲ δόρατα.
315	- - - - - - - - - -	εἰς κόρον ἔλωσι, καὶ προθυμίαν ἔχοντες (ἴσως ἔχοντα) τοῦ πολέμου
689	- - - - - - - - - -	Οἱ τῶν Ἀθηναίων προκαταριθμημένοι· ἐν αὐτοῖς δὲ
693	- - - - - - - - - -	ὁ Μέδων, καὶ ὁ τοῖς ποσὶν ἐπαρκῶν Μενεπτόλεμος, καὶ
	Ξ	Ξ
70	Νωνύμȣς ἀπολέσθαι ἀπ' Ἄργεος ἐνθάδ' Ἀχαιοὺς (1)	
	O	O
533	- - - - - - - - - -	πολεμίων ἀνδρῶν ἀποτροπήν·
	Π	Π
161	- - - - - - - - - -	ἀναῤῥοφήσαντες ταῖς γλώσσαις ταῖς λεπταῖς τὸ μέλαν ὕδωρ
404	- - - - - - - - - -	διεπέρασε δὲ διὰ τῶν ὀδόντων αὐτοῦ
554	Αἴαντε πρώτω προσ-	πρὸς τοὺς Αἴαντας πρώ-

(1) Οὗτος ὁ στίχος εἰσήχθη μὲν, πλὴν οὐδὲ ἐν τῷ παλαιῷ ἀντιγράφῳ οὐδὲ ἐν τῇ παραφράσει τοῦ Ψελλοῦ εὑρίσκεται.

	ἔφη μεμαῶτε ϗ αὐτώ.	τον προσεῖπε προθυμουμένους καὶ αὐτούς.
	Ρ	Ρ
	- - - - - - - - - - - -	- - - - - - - - - - - -
	Σ	Σ
524	- - - - - - - - - - -	καὶ τὰς ἑλικοειδῆ κέρατα ἐχούσας βοῦς
	Τ	Τ
255	- - - - - - - - - - -	ηὔχετο· οὗτοι δὲ ὁμοῦ πάντες ὑπὸ τῷ αὐτῷ ἐκάθηντο σιγῇ.

Τὸ κείμενον τῦ Ἀντιγράφυ	Τὸ κείμενον τοῦ Heyne
N	N
ϛιχ.	
79 καὶ αὐτὸς	καὶ οἷος
107 νῦν δ᾽ ἔκαθεν	νῦν δὲ ἑκὰς
127 οὐδέ κεν	οὔτ᾽ ἄν κεν
153 ἀλλ᾽ οἴω χάσ...	ἀλλ᾽, οἴω χάσ...
179 κορυφῆς	κορυφῇ
191 χροὸς	χρὼς
195 Στιχίος	Στίχιος
260 δ᾽ αἴκ᾽	γ᾽, αἴκ᾽
358 τοὶ	τὼ
362 ἐπάλμενος	μετάλμενος
368 ὑπέσχετο	ὑπό τ᾽ ἔσχετο
447 αὔτως,	οὕτως;
449 ἴδης	ἴδῃ
465 πάρος περ	πάρος γε
481 ἀμύνατε	ἀμύνετε
485 ὁμιλικίῃ γεγεν...	ὁμιλικίῃ γε γεν...
--- ἐνὶ	ἐπὶ
535 ...γεν πολέμ...	...γε πτολέμ...
561 δουρὶ	χαλκῷ
563 μεγήρας	μεγήρας
569 γίνετ᾽ ἄρης	γίγνετ᾽ Ἄρης
575 ὅσσ᾽ ἐκάλ...	ὅσσε κάλ...
589 θρώσκουσι	θρώσκωσι
602 μοῖρα	Μοῖρα
606 παραὶ	παρὰ
608 ἔσχετο	ἔσχεθε
615 ὑπαὶ	ὑπὸ
652 κατὰ	διὰ
659 ἐγίνετο	ἐγίγνετο
663 Πολυΐδου	Πολυείδου

ϛιχ·		
666	Πολυΐδος	πολύειδος
670	παθοι	πάθη
687	οὐδ' ἐδύν...	οὐδὲ δύν...
693	Μενεπτόλεμος ποδάρκης	μενεπτόλεμος Ποδάρκης
707	τέμνει	τέμει
721	οὐδέ τι	οὐδ' ἔτι
728	περιΐδμεναι	πέρι ἴδμεναι
749	λείπει	αὐτίκα δ' ἐξ ὀχέων σὺν τεύχεσιν ἆλτο χαμάζε...
809	οὕτως	αὕτως
834	οὐδ' ἔλαθ...	οὐδὲ λαθ...

Ξ		Ξ
101	ἀλλὰ ἀποπταν...	ἀλλ'. ἀποπαπταν...
110	μαντεύσομεν	ματεύσομεν
112	νεώτερός	νεώτατός
141	δερκομένου	δερκομένῳ
145	κονίσσουσι	κονίσουσι
202	οἵ μ' ἐν	οἵ με
208	παραιπεπίθουσα	παραιπεπιθοῦσα
235	εἰδέω	ἰδέω
249	ἄλλο τεῇ	ἄλλοτε ῇ
269	λείπει	Πασιθέην, ἧς αἰὲν ἐέλδεαι ἤματα πάντα
285	ὕπ' ἐσείετο	ὕπο σείετο
293	ἔρως	ἔρος
302	οἵ μ' ἐν ... εὔτρεφον	αἵ με ... εὖ τρέφον
308	σευ	σεῦ
375	ἔχει	ἔχῃ
381	δόσκον	δόσκεν
406	δή οἱ	ῥά οἱ
426	ἀκήδησ'	ἀκήδησεν

ϛιχ.		
434	καδδὲ	κὰδ δὲ
437	καδδέ οἱ	τῷ δέ οἱ
452	ἐπεύξατο	ἐπηύξατο
463	Ἀρχίλοχος	Ἀρχέλοχος
484	ἐνὶ μεγάροις Ἄρεως	ἐνὶ μεγάροισιν ἀρῆς
505	ὑπὸ τρόμος ἔλλαβε γυῖα	ὑπὸ χλωρὸν δέος εἷλε
516	καλλαπάρην	κατὰ λαπάρην
518	ὅσσ᾽ ἐκάλ...	ὅσσε κάλ...
521	ὦρση	ὦρσεν

	O	O
24	θυμὸς ἀνίει ἀζαγὴς ὀδύνη	θυμὸν ἀνίει ἀζαχὴς ὀδύνη
29	ἐγὼν	ἐγώ
32	ὄφρ᾽ εἰδῇς	ὄφρα ἴδῃς
45	κἀκείνῳ	καὶ κείνῳ
46	ἡγεμονεύοις	ἡγεμονεύεις
54	κάλεσσον	κάλεσον
72	παύσω	παύω
80	ὅτ᾽ ἀναΐξῃ	ὅταν ἀΐξῃ
101	ἡ δ᾽ ἐγέλα	ἡ δὲ γέλα
121	ἔνθα κέ τις	ἔνθα κ᾽ ἔτι
126	ἐκ	ἀπὸ
144	μετάγγελος	μέτ᾽ ἄγγελος
176	σ᾽ ἐκέλευσεν	σε κέλευσεν
179	κἀκεῖνος	καὶ κεῖνος
187	τέκε Ῥεία	τέκετο Ῥέα
224	γάρ κε	γάρ τε
225	οἵπερ νέρτεροι	οἵπερ ἐνέρτεροι
240	ἐσαγείρατο	ἐσαγείρετο
280	παραὶ	παρὰ
301	Αἴαντα	Αἴαντε

στιχ.		
323	ὡς	ὥστ'
324	κλονέουσι	κλονέωσι
352	κατ' ὠμαδὸν	κατωμαδὸν
408	οὔτε ποτὲ	οὐδέποτε
416	οὐδ' ἐδύναντο	οὐδὲ δύναντο
423	νεὼς	νεὸς
444	βέλη	βέλεα
454	ἐναντίον	ἐναντίος
476	ἀσπουδεί	ἀσπουδί
571	βάλησθα	βάλοισθα
626	ἀήτης	ἀήτη
639	ἄνακτος	ἀέθλων
652	μάλ' ἐδειδ...	μάλα δείδ...
656	προτέρων	προτέων
673	πὰρ	παρὰ
680	συναγείρεται	συναείρεται
681	διώκειν	διήται
686	βιβὼν	βιβὰς
724	τότ' ἔβλαπ...	τότε βλάπ...
745	ὀξέϊ χαλκῷ	ἔγχεϊ δουρὶ.

	Π	Π
25	μὲν ὁ Τ...	μὲν Τ....
31	τίς σευ	τί σευ
54	προβεβήκει	προβεβήκῃ
95	τροπᾶσθαι	τροπάασθαι
96	θείυς	θείης
99	ἐκ δῦμεν	ἐκδύμεν'
100	λύοιμεν	λύωμεν
106	καπφάλαρ'	καὶ φάλαρ'
117	κολὸν	κόλον
120	κείρει	κεῖρε
127	ἐρωὴν	ἰωὴν

ςιχ·		
139	δοῦρα	δοῦρε
199	ἐϋκρίνας	εὖ κρίνας
207	θάμ' ἐβάζετε	θαμὰ βάζετε
221	ἀπὸ	ἄπο
223	ἐϋπλήσ...	εὖ πλήσ...
288	Ἀξίου	Ἀξιοῦ
294	δ' ἐφόβηθεν	δὲ φόβη....
299	ἔφανον	ἔφανεν
315	μυῶν	μυιῶν
316	ὅσσ' ἐκάλ...	ὅσσε κάλ...
324	μυώνων	μυιώνων
365	τείνει	τείνῃ
379	ἀνεκυμ...	ἀνακύμ...
380	ἀνὰ	ἄρα
381	λείπει	ἄμβροτοι, οὓς Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
385	δή ῥ'	δή τ'
397	ἀπετίννυτο	ἀπετίνυτο
405	εἶλκε	ἕλκει
410	Ερύαλον	Ἐρύλαον
415	Πύρην	Πύριν
428	μάχονται	μάχωνται
444	ζωὸν	ζῶν
462	Θρασύδημον	θρασύμηλον
495	ἀμφιμάχεσθαι	ἀμφὶ μάχεσθαι
503	εἶλκε	ἕλκε
521	ᾧ παιδὶ	οὗ παιδὸς
571	εὐναιομένῳ	εὖ ναιομένῳ
575	εὔπωλον	εὔπωλον
582	ὅς τ' ἐφόβ...	ὅς τε φόβ...
613	λείπει	Αἰχμὴ δ' Αἰνείαο κραδαινομένη κατὰ γαίης Ὤιχετ', ἐπεὶ ῥ' ἅλιον στιβαρῆς ἀπὸ χειρὸς ὄρουσεν.

ς ι χ.		
615	σ' ἔβαλ...	σε βάλον
630	ὀρώρει	ὄρωρεν
633	εὐποικτάων	ἐΰ ποικτάων
653	ἐνῆκεν	ἐνῶρσεν
656	ἀλλ' ἐφόβηθεν	ἀλλὰ φόβηθεν
658	ἅμ'	ἔπ'
665	μελέων	βελέων
685	ἀνδρὸς	ἀνδρῶν
694	φύγαδ' ἐμν...	φύγαδε μν...
701	χείρεσιν	χερεσσ'
776	μετενείσσετο	μετενίσσετο
788	πλῆξεν δὲ	πλῆξέν τε
807	ποτε	τότε
837	ἀνὰ	ἐπὶ
842	μ' ἐδάμ...	με δάμ...
845	ἂν	κ'

	P	P
30	στήης ἀλλά σ' ἐγὼ	στήης ἀλλά σ' ἔγωγε
42	οὔτ' ἀλκῆς, οὔτε	ἠδ' ἀλκῆς, ἠδὲ
44	χαλκὸν	χαλκὸς
139	είστήκει	ἑστήκει
134	συναντήσονται	συναντήσωνται
148	μέθ'	ἐπ'
171	πέπον	πόποι
176	ἠέπερ ἀνδρὸς	αἰγιόχοιο
207	ἐκνοστήσαντι	ἐκ νοστήσαντι
214	μεγαθύμου Πηλείονος	μεγαθύμῳ πηλείωνι
230	ἐρύσει, εἴξει	ἐρύσῃ, εἴξῃ
231	τῶν	τῷ
243	καλύπτει· Ἕκτωρ ἡμῖν	καλύπτει ἕκτωρ· ἡμῖν
270	ἤχθαιρε	ἔχθαιρε
306	Σχέδιον	Σχεδίον

στίχ.

330	ὑπερδέα	ὑπερδεᾶ
363	γ' ἐμάχοντο	γε μάχοντο
387	μαρναμένοισιν	μαρναμένοιϊν
395	ἤλπετο	ἔλπετο.
404	τὸ αὐτὸ	
405	ἐνιχριφθέντα	ἐνιχριμφθέντα
413	ἐγχρίπτοντο	ἐγχρίμπτοντο
436	ἔχοντες	ἔχοντε
437	ἐνισκήψαντε	ἐνισκήμψαντε.
438	μυρομένοισιν	μυρομένοιϊν.
440	ἀμφοτέροισι	ἀμφοτέρωσε
451	γούνασσι	γούνεσσι
463	ὅτ' ἔσσευ...	ὅτε σευ...
481	βοηθόον	βοῆ θοὸν
489	νῶϊν	νῶϊ
494	Χρόμιος	Χρομίος
501	ἵππους	ἵππω
509	ὅσσοι	οἵ περ
534	Χρόμιος	Χρομίος
541	ἂν	ἀνὰ
551	ἑαυτὴν	ἑ αὐτὴν
558	ἑλκύσωσιν	ἑλκήσωσιν
569	γούνασσιν	γούνεσσιν.
585	λείπει	Τῷ μιν ἐεισάμενος προσέφη ἑκάεργος Ἀπόλλων
601	ἦρξε	ἦρχε
628	μέν γε	μέν κε
681	αἶψ' ἐνόησε	αἶψα νόησε
713	φύγοιμεν	φύγωμεν
723	αἴροντας	ἄραντας
732	τρέπετο	τράπετο

	Σ	Σ
στιχ.		
7	ἐπικλονέονται	ἔπι κλονέονται
20	ἀμφιμάχονται	ἀμφὶ μάχονται
47	δὲ ἦν	δ' ἔην
48	Ἀμάθυια	ἀμάθεια
52	εὖ	ἐῢ
86	ὡς	αἴθ'
88	μύριον	μυρίον
90	ἄνωγε	ἀνώγει
194	Τρώεσσιν	πρώτοισιν
201	λείπει	τειρόμενοι. ὀλίγη δέ τ' ἀνάπνευσις πολέμοιο·
208	κρίνονται	κρίνωνται
226	δ' ἔδαιε	δὲ δαῖε
228	δ' ἐκυκ...	δὲ κυκ...
235	φερέτρῳ	φέρτρῳ
277	ἀμπύργους	ἀν πύργους
369	μετὰ πρεπέ'	μεταπρεπέ'
379	ταῦτ' ἐπονεῖτο	ταῦτα πονεῖτο
384	Θέτι τανύπεπλε	Θέτις τανύπεπλος
389	ἦεν	ἦιε
404	Θέτι τανύπεπλε	Θέτις τανύπεπλος
425	ἀνώγει	ἄνωγε
467	τὰς μὲν	τὴν μὲν
550	βασιλήϊον	βαθυλήϊον
570	ὁμαρτῇ	ἁμαρτῇ
580	τὸν	τοὺς

	Τ	Τ
19	φρεσὶν ᾗσιν ἐτέρπετο	φρεσὶν ᾗσι τετάρπετο
32	κεῖται	κῆται
40	Ἡ μὲν ἄρ' ὡς ἔρξασ' ἀπέβη Θέτις ἀργυρόπεζα.	λείπει.

στίχ.		
93	τῆς	τῇ
136	ὀλέεσκεν	ὤλεσκεν
178	λείπει	ἦ· θέμις ἐστὶν, ἄναξ, ἤτ' ἀνδρῶν, ἤτε γυναικῶν
188	...κήσω πρὸς δαίμονος	. . κήσω, πρὸς δαίμονος
194	δῶρα ἐμῆς... ἐνεικέμεν	δῶρα δ' ἐμῆς . . . ἐνεγκέμεν
273	ἀμήχανος ἀλλὰ	ἀμήχανος· ἀλλά.
362	περὶ	πέρι.
383	Χρύσειαι	χρύσεαι
401	... ἡνιοχῆας	... ἡνιοχῆα

Τὰ σφάλματα τοῦ κειμένου.

ςοιχ.	ςιχ.		Γράφε.
Ν	179	κλισίησφι.	κλισίηφι
Ξ	54	παρατεκτήν...	παρατεκτὴν...
	112	νεώτατος	νεώτερος
Ο	301	Αἴαντε	Αἴαντα
	314	θρώσκον	θρῶσκον
	366	ἐνῶρτας,	ἐνῶρτας.
	398	ἔπος ηὔδα	προσηύδα
Π	16	ἀκαχήμεθα	ἀκαχοίμεθα
	199	εὐκρίνας	εὔκρίνας
	415	Πύρην	Πυριν
	434	φρεσίν, ὁρμ	φρεσὶν ὁρμ...
	444	φίλος	φίλον
	585	Ἰθαιμένεος	ἰθαιμενέος
	639	κατὰ πέλλας	καταπέλλας
	687	ὅτε .... νησι ... χεσθαι (1)	ὁτὲ ... νει ... χέσασθαι
	742	ὡς	ὃς
Ρ	98	ἐθέλει	ἐθέλῃ
	181	μέγα	μάλα
	185	ἐςέ	ἔςε
	375	ἐφεςάοτες	ἐφεςαότες
	390	δ῀η	δώῃ
Σ	449	ηναίνατο	ἠναίνετο
	475	κρατερὸν	κρατερὴν
	595	εἵατο	εἵατ'
Τ	819	ἦσιν	ᾗσιν
	17	... φαάθεν	... φάανθεν
	71	ἀντίος	ἀντίον
	154	ὧς δὲ	ὧδε
	169	πολεμίζει	πολεμίζῃ
	216	Πηλέως	Πηλέος
	337	πύθοιτο	πύθηται

(1) Ἁμάρτημα τοῦ ἐπὶ τῶν τύπων· ἐπειδὴ ἐν τῷ ἀντιγράφῳ τὸ μὲν κείμενον ἔχει ὡς διορθοῦται· τὸ δὲ, ὅτε, εἰ καὶ ἐνταῦθα ἀπαράφραστον, ἄλλοθι ὅμως (Ρ. 178) παραφράζεται, ἐνίοτε.

Τῶν σφαλμάτων τῆς Παραφράσεως διόρθωσις.

σελ.	στίχ.		Γράφε.
5	26	ὀχὴυατος.	ὀχήματος
25	1	ταχεως	ταχέως
27	13	του των	τουτων δὲ
- -	24	καλκοῦ	χαλκοῦ
33	11	ἄδου	ᾅδου
51	33	Ἐπειο.	ἐπειοὶ
55	20	ἄλλῳ	ἄλλῳ
57	12	χιονι	χιόνι
71	27	ὑγιᾷ	ὑγιᾶ
79	14	ὅτι.	ὅ, τι
85	13	ωνόμασε.	ὠνόμασε
91	7	Ἕλλητι, βοήθησον	Ἕλλησι βοήθησον
- -	17	κομίσηται,	κομίσηται;
99	25	οἴκῳ	οἰκῳ
113	18	νεμέσασθε	μοι νεμεσᾶσθε
135	4	νεων οὐδέπότε	νεῶν οὐδὲ ποτε
137	11	καὶ τὸ οπ...	τὸ ὀπ....
145	11	ἀδελφίδου	ἀδελφιδοῦ
177	1	ἡρμόσθησαν... ἐπ... (ἐπὴρ..)	ἡρμόσθησαν..(ἐπὴρ..) ἐπ..
185	13	ὑπερθερ	ὑπεθερ....
	22	μόνον	μόνον δὲ
189	7	βαρύνηται	βαρύνεται
191	12	Πύρην.	Πύριν.
193	20	θάνατον .. ὕπνον	Θάνατον .. Ὕπνον
211	1	καὶ ὅταν ... ξυνῃ	ἐνίοτε δὲ .... ξύνει
217	13	ἑννέα	ἐννέα
231	3	τῴ.	τῷ
249	18	κατ .. θέντες ... θέντες	κατ .. θέντας .. θέντας
261	4	αὐτοῖς	ἴσως αὐταῖς
289	3	λάβης	βλάβης
295	30	οἱ	οἷ
305	19	μεγαλοκόλποι	μεγαλοκόλποι.

ΟΜΗΡΟΥ

ΙΛΙΑΣ ΚΑΙ ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ

ΜΕΤΑ

ΠΑΡΑΦΡΑΣΕΩΣ ΠΑΛΑΙΑΣ.

ΟΜΗΡΟΥ ΙΛΙΑΣ

ΜΕΤΑ ΠΑΛΑΙΑΣ ΠΑΡΑΦΡΑΣΕΩΣ

ΕΞ ΙΔΙΟΧΕΙΡΟΥ

ΤΟΥ

ΘΕΟΔΩΡΟΥ ΓΑΖΗ

ΝΥΝ ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΙΣΗΣ

Ἧι προστίθεται καὶ Βατραχομυομαχία σὺν τῇ ἰδίᾳ παραφράσει ἐκδιδομένη τὸ δεύτερον.

ΠΑΡΑ

ΝΙΚΟΛΑΟΥ ΘΗΣΕΩΣ

ΤΟΥ ΕΚ ΤΗΣ ΚΥΠΡΟΥ.

Τόμος Δ.

ΕΝ ΦΛΩΡΕΝΤΙΑ,
ἐκ τῆς Τυπογραφίας Νικολάου Κάρλη
ͅαωιβ.

ΟΜΗΡΟΥ

ΙΛΙΑΣ ΚΑΙ ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ

ΜΕΤΑ

ΠΑΡΑΦΡΑΣΕΩΣ ΠΑΛΑΙΑΣ.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩιΔΙΑ Υ.

Ὣς οἱ μὲν παρὰ νηυσὶ κορωνίσι θωρήσσοντο
Ἀμφὶ σὲ, Πηλέος υἱὲ, μάχης ἀκόρητον Ἀχαιοί·
Τρῶες δ' αὖθ' ἑτέρωθεν ἐπὶ θρωσμῷ πεδίοιο.
Ζεὺς δὲ Θέμιστα κέλευσε θεοὺς ἀγορήνδε καλέσσαι
Κρατὸς ἀπ' Οὐλύμποιο πολυπτύχου· ἡ δ' ἄρα πάντη
Φοιτήσασα κέλευσε Διὸς πρὸς δῶμα νέεσθαι.
Οὔτε τις οὖν ποταμῶν ἀπέην, νόσφ' Ὠκεανοῖο,
Οὔτ' ἄρα Νυμφάων, ταί τ' ἄλσεα καλὰ νέμονται,
Καὶ πηγὰς ποταμῶν, καὶ πίσεα ποιήεντα.
Ἐλθόντες δ' ἐς δῶμα Διὸς νεφεληγερέταο,
Ξεστῇς αἰθούσῃσιν ἐφίζανον, ἃς Διὶ πατρὶ
Ἥφαιστος ποίησεν ἰδυίῃσι πραπίδεσσιν.
Ὣς οἱ μὲν Διὸς ἔνδον ἀγηγέρατ'· οὐδ' Ἐνοσίχθων
Νηκούστησε θεᾶς, ἀλλ' ἐξ ἁλὸς ἦλθε μετ' αὐτούς.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑΣ Υ

ΠΑΡΑΦΡΑΣΙΣ.

Ούτως ούτοι μὲν παρὰ ταῖς ναυσὶ ταῖς καμπυλοπρύμναις καθωπλίζοντο περὶ σὲ, ὦ υἱὲ τοῦ Πηλέως, τὸν πολέμου ἄπληστον, οἱ Ἕλληνες· οἱ Τρῶες δὲ ἀφ' ἑτέρου μέρους ἐπὶ τῷ ὑψηλῷ τόπῳ τῆς πεδιάδος, ἤγουν ἐπὶ τῇ Καλλικολώνῃ. ὁ Ζεὺς δὲ τὴν Θέμιστα ἐκέλευσε συγκαλέσαι εἰς ἐκκλησίαν τοὺς θεοὺς ἀπὸ τῆς κορυφῆς τοῦ πολλὰς ἀνακλίσεις ἔχοντος Ὀλύμπου. αὕτη δὲ πάντοσε πορευθεῖσα, ἐκέλευσε πορεύεσθαι εἰς τὸ οἴκημα τοῦ Διός· οὔτε τις οὖν τῶν ποταμῶν ἀπῆν ἔξω (ἄνευ) τοῦ Ὠκεανοῦ, οὔτε τις τῶν Νυμφῶν, αἵτινες τὰ περικαλλῆ ἄλση κατοικοῦσι, καὶ τὰς πηγὰς τῶν ποταμῶν, καὶ τὰ ἕλη τὰ βοτανώδη. Ἀφικόμενοι δὲ εἰς τὸ οἴκημα τοῦ Διὸς τοῦ τὰς νεφέλας ἀθροίζοντος, ἐκάθισαν ἐπὶ τοῖς ἐξεσμένως κατεσκευασμένοις προσῴοις, καὶ ὑφ' ἡλίου καταλαμπομένοις, ἅπερ ὁ Ἥφαιστος τῷ Διῒ τῷ πατρὶ ἐποίησεν ἐπισαμέναις φρεσίν. Οὕτως οὗτοι μὲν ἐν τῷ οἴκῳ τοῦ Διὸς συνηθροίσθησαν. οὐδὲ Ποσειδῶν ὁ σείων τὴν γῆν ἠπείθησε τῇ θεᾷ, ἀλλὰ ἐκ τῆς θαλάσσης ἦλθε πρὸς αὐτοὺς,

Ἷζε δ' ἄρ' ἐν μέσσοισι, Διὸς δ' ἐξείρετο βουλήν.
Τίπτ' αὖ, ἀργικέραυνε, θεοὺς ἀγορήνδ' ἐκάλεσσας;
Ἦ τι περὶ Τρώων καὶ Ἀχαιῶν μερμηρίζεις;
Τῶν γὰρ νῦν ἄγχιστα μάχη πόλεμός τε δέδηε.
Τὸν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἔγνως, Ἐννοσίγαιε, ἐμὴν ἐν στήθεσι βουλὴν·
Ὧν ἕνεκα ξυνάγειρα, μέλουσί μοι, ὀλλύμενοί περ.
Ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω πτυχὶ Οὐλύμποιο
Ἥμενος, ἔνθ' ὁρόων φρένα τέρψομαι· οἱ δὲ δὴ ἄλλοι
Ἔρχεσθ', ὄφρ' ἂν ἵκησθε μετὰ Τρῶας καὶ Ἀχαιούς.
Ἀμφοτέροισι δ' ἀρήγεθ', ὅπη νόος ἐστὶν ἑκάστου.
Εἰ γὰρ Ἀχιλλεὺς οἶος ἐπὶ Τρώεσσι μαχεῖται,
Οὐδὲ μίνυνθ' ἕξουσι ποδώκεα Πηλείωνα,
Καὶ δέ τέ μιν καὶ πρόσθεν ὑποτρομέεσκον ὁρῶντες·
Νῦν δ', ὅτε δὴ καὶ θυμὸν ἑταίρου χώεται αἰνῶς,
Δείδω, μὴ καὶ τεῖχος ὑπὲρ μόρον ἐξαλαπάξῃ.
Ὣς ἔφατο Κρονίδης, πόλεμον δ' ἀλίαστον ἔγειρε.
Βὰν δ' ἴμεναι πόλεμόνδε θεοὶ, δίχα θυμὸν ἔχοντες·
Ἥρη μὲν μετ' ἀγῶνα νεῶν καὶ Παλλὰς Ἀθήνη,
Ἠδὲ Ποσειδάων γαιήοχος, ἠδ' ἐριούνης
Ἑρμείας, ὃς ἐπὶ φρεσὶ πευκαλίμῃσι κέκαστο·
Ἥφαιστος δ' ἅμα τοῖσι κίε, σθένεϊ βλεμεαίνων,
Χωλεύων, ὑπὸ δὲ κνῆμαι ῥώοντο ἀραιαί.
Ἐς δὲ Τρῶας Ἄρης κορυθαίολος· αὐτὰρ ἅμ' αὐτῷ
Φοῖβος ἀκερσεκόμης, ἠδ' Ἄρτεμις ἰοχέαιρα,
Λητώ τε, Ξάνθος τε, φιλομμειδής τ' Ἀφροδίτη.
Εἵως μέν ῥ' ἀπάνευθε θεοὶ θνητῶν ἔσαν ἀνδρῶν,
Τέως Ἀχαιοὶ μὲν μέγ' ἐκύδανον, οὕνεκ' Ἀχιλλεὺς

ἐκάθισε δὲ ἐν τῷ μέσῳ αὐτῶν, ἠρώτησε δὲ τὴν βουλὴν τοῦ Διός· Τίποτε δή, ὦ λαμπροκέραυνε, συνεκάλεσας εἰς ἐκκλησίαν τοὺς θεούς; ἢ φροντίζεις καὶ μεριμνᾷς τι περὶ τῶν Τρώων καὶ τῶν Ἑλλήνων; τούτων γὰρ νῦν ἐγγύτατα μάχη, καὶ πόλεμος διακέκαυται καὶ διεγήγερται. Πρὸς τοῦτον δὲ ἀποκρινόμενος εἶπεν ὁ τὰς νεφέλας ἀθροίζων Ζεύς. Κατενόησας Πόσειδον, κινητὰ τῆς γῆς, τὴν ἐν τοῖς ἐμοῖς στήθεσι βουλήν· οὗτοι ὧν χάριν συνήθροισα ὑμᾶς, διὰ φροντίδος εἰσὶν ἐμοὶ ἀναιρούμενοι. ἀλλ' ἐγὼ μὲν ἐνταυθοῖ παραμενῶ ἐν τῇ ἀποκλίσει τοῦ Ὀλύμπου καθήμενος, ἐντεῦθεν ὁρῶν κατὰ διάνοιαν χαρήσομαι· οἱ ἄλλοι δὲ πάντες πορεύεσθε, ἕως ἂν ἀφίκησθε πρὸς τοὺς Τρῶας καὶ τοὺς Ἕλληνας, ἀμφοτέροις δὲ βοηθεῖτε ὅπου βούλησις καὶ εὔνοια ἑκάστου ὑπάρχει· ἐὰν γὰρ Ἀχιλλεὺς μόνος ἐπὶ τοὺς Τρῶας πολεμήσῃ, οὐδ' ἐπ' ὀλίγον ἀνθέξουσι τῷ ταχύποδι υἱῷ τοῦ Πηλέως· καὶ δὴ καὶ πρότερον αὐτὸν ὁρῶντες ὑπέτρεμον καὶ ἐπτοοῦντο· νυνὶ δὲ ὁπηνίκα δὴ καὶ ἡ (κατὰ) ψυχὴ(ν) αὐτοῦ σφόδρα ὀργίζεται ἕνεκα τοῦ φίλου, χαλεπῶς δέδοικα, μὴ καὶ τὸ τεῖχος ὑπερμόρως καὶ παρὰ τὸ εἱμαρμένον καθέλῃ, καὶ τὴν πόλιν ἐκπορθήσῃ. Οὕτως εἶπεν ὁ υἱὸς τοῦ Κρόνου· πόλεμον δὲ ἄφυκτον συνέστησε, καὶ συνήγειρεν. ὥρμησαν δὲ πορεύεσθαι εἰς τὸν πόλεμον οἱ θεοί, διῃρημένως ἔχοντες τὴν ψυχὴν καὶ μὴ ὁμονοοῦντες. Ἡ μὲν Ἥρα ἐπὶ τὸ ἄθροισμα τῶν νεῶν καὶ ἡ πολεμικὴ Ἀθηνᾶ, καὶ ὁ Ποσειδῶν ὁ συνέχων τὴν γῆν, καὶ ὁ πολυωφελὴς (ἐρευνητικὸς) Ἑρμῆς, ὃς διανοίᾳ συνετῇ ἐκεκόσμητο· ἅμα δὲ τούτοις καὶ ὁ Ἥφαιστος ἐπορεύετο δυνάμει ἐνθουσιῶν, σκάζων, αἱ ἀσθενεῖς δὲ κνῆμαι αὐτοῦ ἐῤῥωμένως ἐπειρῶντο βαδίζειν. Πρὸς τοὺς Τρῶας δὲ Ἄρης ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν, σὺν αὐτῷ δὲ καὶ Ἀπόλλων ὁ μὴ κειρόμενος τὴν κόμην, καὶ ἡ Λητώ, καὶ ὁ Ξάνθος, καὶ ἡ φιλόγελως Ἀφροδίτη. Ἕως μὲν οὖν οἱ θεοὶ πόῤῥω ἦσαν τῶν θνητῶν ἀνδρῶν, τοτηνικαῦτα οἱ μὲν Ἕλληνες μεγάλως ἐδοξάζοντο, διότι ὁ Α-

Ἐξεφάνη, δηρὸν δὲ μάχης ἐπέπαυτ' ἀλεγεινῆς·
Τρῶας δὲ τρόμος αἰνὸς ὑπήλυθε γυῖα ἕκαστον,
Δειδιότας, ὅθ' ὁρῶντο ποδώκεα Πηλείωνα
Τεύχεσι λαμπόμενον, βροτολοιγῷ ἶσον Ἄρηϊ.
Αὐτὰρ ἐπεὶ μεθ' ὅμιλον Ὀλύμπιοι ἤλυθον ἀνδρῶν,
Ὦρτο δ' Ἔρις κρατερὴ, λαοσσόος· αὖε δ' Ἀθήνη,
Στᾶσ' ὁτὲ μὲν παρὰ τάφρον ὀρυκτὴν, τείχεος ἐκτὸς,
Ἄλλοτ' ἐπ' ἀκτάων ἐριδούπων μακρὸν ἄϋτει·
Αὖε δ' Ἄρης ἑτέρωθεν, ἐρεμνῇ λαίλαπι ἶσος,
Ὀξὺ κατ' ἀκροτάτης πόλεως Τρώεσσι κελεύων,
Ἄλλοτε πὰρ Σιμόεντι θέων ἐπὶ Καλλικολώνῃ.
Ὣς τοὺς ἀμφοτέρους μάκαρες θεοὶ ὀτρύνοντες,
Σύμβαλον, ἐν δ' αὐτοῖς ἔριδα ῥήγνυντο βαρεῖαν·
Δεινὸν δ' ἐβρόντησε πατὴρ ἀνδρῶν τε θεῶν τε
Ὑψόθεν· αὐτὰρ ἔνερθε Ποσειδάων ἐτίναξε
Γαῖαν ἀπειρεσίην, ὀρέων τ' αἰπεινὰ κάρηνα.
Πάντες δ' ἐσσείοντο πόδες πολυπιδάκου Ἴδης,
Καὶ κορυφαὶ, Τρώων τε πόλις, καὶ νῆες Ἀχαιῶν.
Ἔδδεισεν δ' ὑπένερθεν ἄναξ ἐνέρων, Ἀϊδωνεὺς,
Δείσας δ' ἐκ θρόνου ἆλτο, καὶ ἴαχε· μή οἱ ὕπερθε
Γαῖαν ἀναῤῥήξειε Ποσειδάων ἐνοσίχθων,
Οἰκία δὲ θνητοῖσι καὶ ἀθανάτοισι φανείη
Σμερδαλέ', εὐρώεντα, τά τε στυγέουσι θεοί περ.
Τόσσος ἄρα κτύπος ὦρτο θεῶν ἔριδι ξυνιόντων.
Ἤτοι μὲν γὰρ ἔναντα Ποσειδάωνος ἄνακτος
Ἵστατ' Ἀπόλλων Φοῖβος, ἔχων ἰὰ πτερόεντα·
Ἄντα δ' Ἐνυαλίοιο θεὰ γλαυκῶπις Ἀθήνη·
Ἥρῃ δ' ἀντέστη χρυσηλάκατος, κελαδεινὴ,

χιλλεὺς ἐπεφάνη, ἐπὶ πολὺ δὲ ἔληξε τοῦ χαλεποῦ καὶ ὀδυνηροῦ πολέμου· τοὺς Τρῶας δὲ τρόμος χαλεπὸς ἐπῆλθε πάντας κατὰ τὰ μέλη φοβουμένους, ὅτε ἑώρων τὸν ταχύποδα υἱὸν τοῦ Πηλέως τοῖς ὅπλοις περιλαμπόμενον, ὅμοιον τῷ ἀνθρωποκτόνῳ Ἄρει· ἐπειδὴ δὲ εἰς τὸ πλῆθος τῶν ἀνδρῶν ἦλθον οἱ οὐράνιοι, διηγέρθη ἡ κραταιὰ, καὶ ἰσχυρὰ Ἔρις ἡ τοὺς λαοὺς παρορμῶσα, ἐφώνει δὲ ἡ Ἀθηνᾶ, ποτὲ μὲν ἑστῶσα παρὰ τὴν ὀρωρυγμένην τάφρον, ἔξω τοῦ τείχους, ποτὲ δὲ ἐπὶ τῶν ἐπηρμένων παραθαλασσίων τόπων μεγάλως ἐβόα· ἐφώνει δὲ ὁ Ἄρης ἀφ' ἑτέρου μέρους ὅμοιος σκοτεινῇ καταιγίδι, καὶ τῇ σὺν ὑετῷ συστροφῇ ἀνέμου, ὀξέως καὶ ἐξακούστως ἀπὸ τῆς ἀκροπόλεως παρακελευόμενος τοῖς Τρωσὶ, ποτὲ δὲ παρὰ τὸν Σιμοῦντα ποταμὸν, τρέχων ἐπὶ τὸν ὑψηλὸν τόπον τοῦ πεδίου, ἣν Καλλικολώνην ὀνομάζουσιν. Οὕτω τούτους ἀμφοτέρους οἱ μακάριοι θεοὶ παροξύνοντες συνέβαλον, ἐν αὐτοῖς δὲ ἔριδα χαλεπὴν συνετέλουν· φοβερῶς δὲ ἐβρόντησεν ὁ πατὴρ τῶν ἀνθρώπων καὶ τῶν θεῶν ἄνωθεν ἐκ τοῦ ὕψους· κάτωθεν δὲ ὁ Ποσειδῶν ἔσεισε τὴν ἀπέραντον γῆν, καὶ τῶν ὀρέων τὰς ὑψηλὰς κορυφάς. πᾶσαι δὲ αἱ προβάσεις καὶ αἱ ὑπώρειαι τῆς πολλὰς πηγὰς ἐχούσης Ἴδης ἐκινοῦντο, καὶ αἱ ἀκρώρειαι, καὶ ἡ πόλις τῶν Τρώων, καὶ αἱ νῆες τῶν Ἑλλήνων· ἐφοβήθη δὲ ὑποκάτωθεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἅιδης, φοβηθεὶς δὲ ἐκ τοῦ θρόνου ἀνεπήδησε καὶ ἐβόησε, μὴ ἄνωθεν αὐτῷ τὴν γῆν ἀνάστατον ποιήσειε Ποσειδῶν ὁ τὴν γῆν σείων, τὰ οἰκήματα δὲ τοῖς τε θνητοῖς ἀνθρώποις, καὶ τοῖς ἀθανάτοις θεοῖς φανερὰ γένοιντο, τὰ φοβερὰ καὶ σκοτεινὰ, ἅπερ δεδοίκασι καὶ οἱ θεοί· τοσοῦτος δὴ κτύπος διηγέρθη τῶν θεῶν συνερχομένων ἐριστικῶς καὶ φιλονείκως. Ἐναντίον μὲν γὰρ Ποσειδῶνος τοῦ βασιλέως ἔστη Ἀπόλλων ὁ καθαρὸς κατέχων τοὺς ἐπτερωμένους οἰστούς· ἐναντίον δὲ τοῦ Ἄρεος ἡ θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ· τῇ Ἥρᾳ δὲ ἀντέστη ἡ καλλίτοξος ἠχητικὴ καὶ πολύηχος

Ἄρτεμις ἰοχέαιρα, κασιγνήτη Ἑκάτοιο·
Λητοῖ δ' ἀντέστη σῶκος, ἐριούνιος Ἑρμῆς·
Ἄντα δ' ἄρ' Ἡφαίστοιο μέγας ποταμὸς βαθυδίνης,
Ὃν Ξάνθον καλέουσι θεοὶ, ἄνδρες δὲ Σκάμανδρον.
Ὣς οἱ μὲν θεοὶ ἄντα θεῶν ἴσαν· αὐτὰρ Ἀχιλλεὺς
Ἕκτορος ἄντα μάλιστα λιλαίετο δῦναι ὅμιλον
Πριαμίδεω· τοῦ γάρ ῥα μάλιστά γε θυμὸς ἀνώγει
Αἵματος ἆσαι Ἄρηα, ταλαύρινον πολεμιστήν.
Αἰνείαν δ' ἰθὺς λαοσσόος ὦρσεν Ἀπόλλων
Ἀντία Πηλείωνος, ἐνῆκε δέ οἱ μένος ἠΰ.
Υἱέϊ δὲ Πριάμοιο Λυκάονι εἴσατο φωνὴν,
Τῷ μιν ἐεισάμενος προσέφη Διὸς υἱὸς Ἀπόλλων·
Αἰνεία, Τρώων βουληφόρε, ποῦ τοι ἀπειλαὶ
Ἃς Τρώων βασιλεῦσιν ὑπέσχεο οἰνοποτάζων,
Πηλείδεω Ἀχιλῆος ἐναντίβιον πολεμίζειν;
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμειβόμενος προσέειπε·
Πριαμίδη, τί με ταῦτα καὶ οὐκ ἐθέλοντα κελεύεις,
Ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι;
Οὐ μὲν γὰρ νῦν πρῶτα ποδώκεος ἄντ' Ἀχιλῆος
Στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε δουρὶ φόβησεν,
Ἐξ Ἴδης, ὅτε βουσὶν ἐπήλυθεν ἡμετέρῃσιν·
Πέρσε δὲ Λυρνησσὸν καὶ Πήδασον· αὐτὰρ ἐμὲ Ζεὺς
Εἰρύσαθ', ὅς μοι ἐπῶρσε μένος λαιψηρά τε γοῦνα.
Ἦ κ' ἐδάμην ὑπὸ χερσὶν Ἀχιλλῆος καὶ Ἀθήνης,
Ἥ οἱ πρόσθεν ἰοῦσα τίθει φάος, ἠδ' ἐκέλευεν
Ἔγχεϊ χαλκείῳ Λέλεγας καὶ Τρῶας ἐναίρειν.
Τῷ οὐκ ἔστ' Ἀχιλῆος ἐναντίον ἄνδρα μάχεσθαι·
Αἰεὶ γὰρ πάρα εἷς γε θεῶν, ὃς λοιγὸν ἀμύνει.

Ἄρτεμις ἡ χαίρουσα τοῖς οἰστοῖς ἡ ἀδελφὴ τοῦ Ἀπόλλωνος· τῇ Λητοῖ δὲ ἀντέστη ὁ σωςίοικος καὶ πολυωφελὴς Ἑρμῆς. ἐναντίον δὲ τοῦ Ἡφαίστου ἔστη ὁ μέγας βαθύῤῥους ποταμὸς, ὃν οἱ θεοὶ ὀνομάζουσι Ξάνθον, οἱ ἄνδρες δὲ Σκάμανδρον. Οὕτω μὲν οἱ θεοὶ ἐναντίον τῶν θεῶν ἔστησαν. Ὁ Ἀχιλλεὺς δὲ ἐναντίον τοῦ Ἕκτορος μάλιστα ἐπεθύμει εἰσελθεῖν εἰς τὸ πλῆθος τοῦ υἱοῦ τοῦ Πριάμου, τούτου γὰρ δὴ μάλιστα ἡ ψυχὴ προέτρεπε τοῦ αἵματος κορέσαι τὸν ὑπομονητικὸν καὶ τολμηρὸν μαχητὴν Ἄρην. Τὸν Αἰνείαν δὲ διήγειρεν Ἀπόλλων ὁ τοὺς λαοὺς παρορμῶν εὐθὺ κατεναντίον τοῦ υἱοῦ τοῦ Πηλέως, ἐνέβαλε δὲ αὐτῷ προθυμίαν χρηστήν· ὡμοιώθη δὲ κατὰ τὴν φωνὴν τῷ Λυκάονι τῷ υἱῷ τοῦ Πριάμου· τούτῳ ὁμοιωθεὶς εἶπε πρὸς αὐτὸν Ἀπόλλων ὁ υἱὸς τοῦ Διός· Ὦ Αἰνεία βουλευτὰ καὶ γνωμοδότα τῶν Τρώων, ποῦ σοι αἱ καυχήσεις καὶ διϊσχυρίσεις, ἃς τοῖς βασιλεῦσι (τοῖς ἄρχουσι) τῶν Τρώων ἐπηγγείλω πίνων καὶ εὐωχούμενος, ἐναντίον Ἀχιλλέως τοῦ υἱοῦ τοῦ Πηλέως μάχεσθαι βιαίως; Πρὸς τοῦτον δὲ ἀποκρινόμενος ὁ Αἰνείας εἶπεν· Ὦ υἱὲ τοῦ Πριάμου, τί δή με ταῦτα καὶ μὴ βουλόμενον προτρέπεις πολεμεῖν ἐναντίον τοῦ μεγαλοψύχου υἱοῦ τοῦ Πηλέως; οὐ γὰρ νῦν πρῶτον ἐναντίον τοῦ ταχύποδος Ἀχιλλέως στήσομαι, ἀλλ' ἤδη με καὶ ἄλλοτε εἰς φυγὴν ἔτρεψε τῷ δόρατι ἐκ τῆς Ἴδης, ἡνίκα ἐπῆλθεν ταῖς ἡμετέραις βουσὶν, ἐξεπόρθησε δὲ τὸν Λυρνησσὸν, καὶ τὸν Πήδασον, ἐμὲ δὲ ὁ Ζεὺς ἔσωσεν, ὅς μοι παρώξυνε τὴν προθυμίαν, καὶ τὰ ταχέα γόνατα. ὄντως ἀνηρέθην ἂν ὑπὸ τῶν χειρῶν τοῦ Ἀχιλλέως καὶ τῆς Ἀθηνᾶς, ἥτις αὐτοῦ ἔμπροσθεν πορευομένη ἐποίει φῶς καὶ σωτηρίαν, καὶ ἐπέταξε δόρατι σιδηρῷ τοὺς Λέλεγας καὶ τοὺς Τρῶας ἀποκτείνειν. διὰ τοῦτο οὐκ ἔστι δυνατὸν ἄνδρα τινὰ πολεμεῖν ἐναντίον τοῦ Ἀχιλλέως· ἀεὶ γὰρ πάρεστιν εἷς τῶν θεῶν, ὃς τὸν ὄλεθρον ἀποσοβεῖ· καὶ δὴ καὶ ἄλλως

Καὶ δ' ἄλλως τοῦ γ' ἰθὺ βέλος πέτετ', οὐδ' ἀπολήγει,
Πρὶν χροὸς ἀνδρομέοιο διελθέμεν· εἰ δὲ θεός περ
Ἶσον τείνειεν πολέμου τέλος, οὔ με μάλα ῥεῖα
Νικήσει, οὐδ' εἰ παγχάλκεος εὔχεται εἶναι.
Τὸν δ' αὖτε προσέειπεν ἄναξ, Διὸς υἱὸς, Ἀπόλλων·
Ἥρως, ἀλλά γε καὶ σὺ θεοῖς αἰειγενέτῃσιν
Εὔχεο· καὶ δέ σε φασὶ Διὸς κούρης Ἀφροδίτης
Ἐκγεγάμεν, κεῖνος δὲ χερείονος ἐκ θεοῦ ἐστίν.
Ἡ μὲν γὰρ Διός ἐσθ', ἡ δ' ἐξ ἁλίοιο γέροντος.
Ἀλλ' ἰθὺς φέρε χαλκὸν ἀτειρέα, μηδέ σε πάμπαν
Λευγαλέοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ.
Ὣς εἰπὼν, ἔμπνευσε μένος μέγα ποιμένι λαῶν·
Βῆ δὲ διὰ προμάχων, κεκορυθμένος αἴθοπι χαλκῷ·
Οὐδ' ἔλαθ' Ἀγχίσαο πάϊς λευκώλενον Ἥρην,
Ἀντία Πηλείωνος ἰὼν ἀνὰ οὐλαμὸν ἀνδρῶν·
Ἡ δ' ἄμυδις καλέσασα θεοὺς μετὰ μῦθον ἔειπε·
Φράζεσθον δὴ σφῶϊ, Ποσείδαον, καὶ Ἀθήνη,
Ἐν φρεσὶν ὑμετέρῃσιν, ὅπως ἔσται τάδε ἔργα.
Αἰνείας ὅδ' ἔβη, κεκορυθμένος αἴθοπι χαλκῷ,
Ἀντία Πηλείωνος· ἀνῆκε δὲ Φοῖβος Ἀπόλλων.
Ἀλλ' ἄγεθ', ἡμεῖς πέρ μιν ἀποτρωπῶμεν ὀπίσσω
Αὐτόθεν· ἤ τις ἔπειτα καὶ ἡμείων Ἀχιλῆϊ
Παρσταίη, δοίη δὲ κράτος μέγα, μηδέ τι θυμῷ
Δευέσθω· ἵνα εἰδῇ, ὅ μιν φιλέουσιν ἄριστοι
Ἀθανάτων· οἱ δ' αὖτ' ἀνεμώλιοι, οἳ τὸ πάρος περ
Τρωσὶν ἀμύνουσιν πόλεμον καὶ δηϊοτῆτα.
Πάντες δ' Οὐλύμποιο κατήλθομεν ἀντιόωντες
Τῆσδε μάχης, ἵνα μή τι μετὰ Τρώεσσι πάθῃσι

τούτου τε τὸ δόρυ εὐθὺ φέρεται, οὐδὲ ἀποπαύεται, πρὶν ἢ διὰ σώματος ἀνδρικοῦ διελθεῖν· εἰ δέ γε θεὸς ὁμοίως στήσειε τὰ τοῦ πολέμου, μηδενὶ βοηθείας προσούσης· οὐ πάνυ ῥαδίως με τροπώσεται, οὐδ' εἰ καυχᾶται εἶναι ὅλος σιδηροῦς. Πρὸς τοῦτον δὲ εἶπεν Ἀπόλλων ὁ βασιλεὺς ὁ υἱὸς τοῦ Διός· Ὦ ἥρως, ἀλλ' ἄγε καὶ σὺ τοῖς ἀεὶ οὖσι θεοῖς εὔχου· καὶ δὴ καὶ σὲ λέγουσιν ἐκ τῆς Ἀφροδίτης τῆς θυγατρὸς τοῦ Διὸς τεχθῆναι· ἐκεῖνος δὲ ἐκ θεοῦ ἥττονος ὑπάρχει· ἡ μὲν γάρ ἐστιν ἐκ τοῦ Διὸς, ἡ δὲ ἐκ τοῦ θαλασσίου γέροντος· ἀλλ' ἄφες κατ' εὐθεῖαν τὸν ἀκαταπόνητον σίδηρον, μηδὲ παντελῶς σε ῥήμασι δεινοῖς ἀποκρουέτω, καὶ τῇ ἀπὸ τοῦ Ἄρεος βλάβῃ. Οὕτως εἰπὼν ἐνέβαλε προθυμίαν μεγάλην τῷ βασιλεῖ τῶν λαῶν. ἐπορεύθη δὲ διὰ τῶν πρωταγωνιστῶν καθωπλισμένος σιδήρῳ λαμπρῷ· οὐδὲ ἔλαθεν ὁ υἱὸς τοῦ Ἀγχίσου τὴν λευκόπηχυν Ἥραν, ἐναντίον τοῦ υἱοῦ τοῦ Πηλέως ἐπερχόμενος κατὰ τὴν τάξιν τῶν ἀνδρῶν. αὕτη δὲ ὁμοῦ συγκαλέσασα τοὺς θεοὺς εἶπεν ἐν αὐτοῖς λόγον. Σκοπεῖτε νῦν ὑμεῖς, ὦ Πόσειδον, καὶ Ἀθηνᾶ, ἐν τῇ ὑμετέρᾳ διανοίᾳ πῶς γενήσονται ταῦτα τὰ ἔργα. ὁ Αἰνείας οὗτος ἐπορεύθη καθωπλισμένος σιδήρῳ λαμπρῷ ἐναντίον τοῦ υἱοῦ τοῦ Πηλέως, ἀνέπεισε δὲ καὶ παρώρμησεν αὐτὸν Ἀπόλλων ὁ καθαρός· ἀλλ' ἄγετε ἡμεῖς γε ἀποτρέψωμεν αὐτὸν εἰς τοὐπίσω ἐκεῖθεν, ἤ τις δὴ καὶ ἡμῶν τῷ Ἀχιλλεῖ παραγένοιτο, παράσχοι δὲ νίκην μεγάλην, μηδαμῶς δέ τινος κατὰ ψυχὴν προσδείσθω, ὅπως γνῷ ὅτι φιλοῦσιν αὐτὸν οἱ κράτιστοι τῶν θεῶν· οὗτοι δὲ ἄκαιροι καὶ μάταιοί εἰσιν, οἳ πρότερόν γε τοῖς Τρωσὶν ἀποσοβοῦσι τὸν πόλεμον καὶ τὴν μάχην· πάντες δὲ ἐκ τοῦ Ὀλύμπου κατήλθομεν μεθέξοντες τοῦδε τοῦ πολέμου, ὅπως μηδὲν ἐν τοῖς Τρωσὶ πάθῃ τήμερον· μετὰ ταῦτα

Σήμερον· ὕστερον αὖτε τὰ πείσεται ἅσσα οἱ αἶσα
Γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκε μήτηρ·
Εἰ δ' Ἀχιλεὺς οὐ ταῦτα θεῶν ἐκπεύσεται ὀμφῆς,
Δείσετ' ἔπειθ', ὅτε κέν τις ἐναντίβιον θεὸς ἔλθῃ
Ἐν πολέμῳ· χαλεποὶ δὲ θεοὶ φαίνεσθαι ἐναργεῖς·
Τὴν δ' ἠμείβετ' ἔπειτα Ποσειδάων ἐνοσίχθων·
Ἥρη, μὴ χαλέπαινε παρὲκ νόον· οὐδέ τί σε χρή.
Οὐκ ἂν ἔγωγ' ἐθέλοιμι θεοὺς ἔριδι ξυνελάσαι
Ἡμέας τοὺς ἄλλους, ἐπειὴ πολὺ φέρτεροι ἧμεν·
Ἀλλ' ἡμεῖς μὲν ἔπειτα καθεζώμεσθα κιόντες
Ἐκ πάτου ἐς σκοπιὴν, πόλεμος δ' ἄνδρεσσι μελήσει.
Εἰ δέ κ' Ἄρης ἄρχῃσι μάχης, ἢ Φοῖβος Ἀπόλλων
Ἢ Ἀχιλῆ' ἴσχωσι, καὶ οὐκ εἰῶσι μάχεσθαι,
Αὐτίκ' ἔπειτα, καὶ ἄμμι παρ' αὐτόφι νεῖκος ὀρεῖται
Φυλόπιδος· μάλα δ' ὦκα διακρινθέντας ὀΐω
Ἂψ ἴμεν Οὔλυμπόνδε, θεῶν μεθ' ὁμήγυριν ἄλλων,
Ἡμετέρης ὑπὸ χερσὶν ἀνάγκῃ ἶφι δαμέντας.
Ὣς ἄρα φωνήσας ἡγήσατο Κυανοχαίτης
Τεῖχος ἐς ἀμφίχυτον Ἡρακλῆος θείοιο,
Ὑψηλὸν, τό ῥά οἱ Τρῶες καὶ Παλλὰς Ἀθήνη
Ποίεον, ὄφρα τὸ κῆτος ὑπεκπροφυγὼν ἀλέαιτο,
Ὁππότε μιν σεύαιτο ἀπ' ἠϊόνος πεδίονδε.
Ἔνθα Ποσειδάων κατ' ἄρ' ἕζετο, καὶ θεοὶ ἄλλοι,
Ἀμφὶ δ' ἄρ' ἄῤῥηκτον νεφέλην ὤμοισιν ἕσαντο·
Οἱ δ' ἑτέρωσε κάθιζον ἐπ' ὀφρύσι Καλλικολώνης,
Ἀμφὶ σὲ, ἤϊε Φοῖβε, καὶ Ἄρηα πτολίπορθον.
Ὣς οἱ μέν ῥ' ἑκάτερθε καθείατο μητιόωντες
Βουλάς· ἀρχέμεναι δὲ δυσηλεγέος πολέμοιο

δὲ πείσεται, ἅπερ αὐτῷ ἡ μοῖρα τικτομένῳ ἐπέκλωσε τῷ λίνῳ, ἡνίκα αὐτὸν ἔτεκεν ἡ μήτηρ. εἰ δὲ ὁ Ἀχιλλεὺς ταῦτα οὐκ ἀκούσεται ἐκ τῆς φωνῆς τῶν θεῶν, φοβηθήσεται δήπου, ὅταν τις θεὸς κατὰ βιαίαν ἐναντίωσιν ἐπέλθῃ κατὰ τὴν μάχην· χαλεπῶς δὲ καὶ δυσκόλως ἔχει ὁρᾶσθαι τοὺς θεοὺς φανερῶς. Πρὸς ταύτην δὲ ἀπεκρίνετο μετὰ ταῦτα Ποσειδῶν ὁ σείων τὴν γῆν· Ὦ Ἥρα, μὴ ὀργίζου παραλόγως, οὐδαμῶς γάρ σε δεῖ· οὐκ ἔγωγε βουλοίμην ἂν τοὺς θεοὺς συνωθῆσαι καὶ συνάψαι ἐριστικῶς καὶ φιλονείκως ἡμᾶς γε τοὺς ἄλλους, ἐπειδὴ πολλῷ κρείττους ἐσμέν· ἀλλ' ἡμεῖς μὲν καθίσωμεν πορευθέντες ἐκ τῆς ὁδοῦ εἰς τὴν περιοπὴν, ἡ μάχη δὲ τοῖς ἀνδράσιν ἔσται διὰ φροντίδος· ἐὰν δὲ ὁ Ἄρης ἄρχηται πολέμου, ἢ Ἀπόλλων ὁ καθαρὸς, ἢ τῷ Ἀχιλλεῖ ἐμποδὼν γίνωνται, καὶ οὐκ ἐῶσι πολεμεῖν, εὐθέως δὴ καὶ ἡμῖν παρ' αὐτῷ φιλονεικία καὶ μάχη διαναστήσεται πολέμου, πάνυ δὲ ταχέως διαχωρισθέντας οἴομαι ὀπίσω πορευθῆναι εἰς τὸν Ὄλυμπον, εἰς τὸν σύλλογον τῶν ἄλλων θεῶν ὑπὸ τῶν ἡμετέρων χειρῶν, ἐν ἐπικρατείᾳ ἰσχυρῶς καταπονηθέντας. Οὕτω δὴ εἰπὼν προεπορεύθη ὁ Ποσειδῶν εἰς τὸ περικεχυμένον τεῖχος τοῦ θείου Ἡρακλέους, τὸ ὑψηλὸν, ὃ δὴ αὐτῷ οἱ Τρῶες, καὶ ἡ πολεμικὴ Ἀθηνᾶ κατεσκεύαζον, ὅπως τὸ κῆτος ἐκκλίνας διαφύγοι καὶ σωθείη, ὅταν αὐτὸν ἀπὸ τοῦ αἰγιαλοῦ ἐπιδιώκοι εἰς τὸ πεδίον. ἐκεῖ ὁ Ποσειδῶν ἐκάθισε, καὶ οἱ ἄλλοι θεοὶ, νεφελὴν δὲ ἰσχυρὰν καὶ ἄθραυστον τοῖς ὤμοις περιεβάλοντο. οὗτοι δὲ κατὰ τὸ ἕτερον μέρος ἐκάθισαν ἐν τοῖς ἐπηρμένοις μέρεσιν τῆς Καλλικολώνης, περὶ σὲ, ὦ Ἄπολλον τοξότα, καὶ τὸν τὰς πόλεις ἐκπορθοῦντα Ἄρην. Οὕτως οὗτοι μὲν οὖν ἑκατέρωθεν ἐκάθηντο βουλευόμενοι βουλὰς, ἄρχειν δὲ τοῦ χαλεποῦ καὶ ὀδυνηροῦ πολέμου ἀνεβάλλοντο ἀμφότεροι·

Ὤκνεον ἀμφότεροι, Ζεὺς δ', ἥμενος ὕψι, κέλευε.
Τῶν δ' ἅπαν ἐπλήσθη πεδίον, καὶ ἐλάμπετο χαλκῷ
Ἀνδρῶν ἠδ' ἵππων· κάρκαιρε δὲ γαῖα πόδεσσιν
Ὀρνυμένων ἄμυδις· δύο δ' ἀνέρες ἔξοχ' ἄριστοι
Ἐς μέσον ἀμφοτέρων συνίτην, μεμαῶτε μάχεσθαι,
Αἰνείας τ' Ἀγχισιάδης, καὶ δῖος Ἀχιλλεύς.
Αἰνείας δὲ πρῶτος ἀπειλήσας ἐπεβήκει,
Νευστάζων κόρυθι βριαρῇ· ἀτὰρ ἀσπίδα θοῦριν
Πρόσθεν ἔχε στέρνοιο, τίνασσε δὲ χάλκεον ἔγχος,
Πηλείδης δ' ἑτέρωθεν ἐναντίον ὦρτο, λέων ὣς
Σίντης, ὅν τε καὶ ἄνδρες ἀποκτάμεναι μεμάασιν,
Ἀγρόμενοι, πᾶς δῆμος· ὁ δὲ, πρῶτον μὲν ἀτίζων
Ἔρχεται, ἀλλ' ὅτε κέν τις ἀρηϊθόων αἰζηῶν
Δουρὶ βάλῃ, ἐάλη τε χανὼν, περί τ' ἀφρὸς ὀδόντας
Γίγνεται, ἐν δέ τέ οἱ κραδίῃ στένει ἄλκιμον ἦτορ,
Οὐρῇ δὲ πλευράς τε καὶ ἰσχία ἀμφοτέρωθεν
Μαστίεται, ἓε δ' αὐτὸν ἐποτρύνει μαχέσασθαι·
Γλαυκιόων δ' ἰθὺς φέρεται μένει, ἤν τινα πέφνῃ
Ἀνδρῶν, ἢ αὐτὸς φθίεται πρώτῳ ἐν ὁμίλῳ·
Ὣς Ἀχιλῆ' ὤτρυνε μένος καὶ θυμὸς ἀγήνωρ
Ἀντίον ἐλθέμεναι μεγαλήτορος Αἰνείαο
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Αἰνεία, τί σὺ, τόσσον ὁμίλου πολλὸν ἐπελθὼν,
Ἔστης; ἦ σέ γε θυμὸς ἐμοὶ μαχέσασθαι ἀνώγει,
Ἐλπόμενον Τρώεσσιν ἀνάξειν ἱπποδάμοισιν
Τιμῆς τῆς Πριάμου; ἀτὰρ εἴκεν ἔμ' ἐξεναρίξῃς,
Οὔτοι τοὔνεκά γε Πρίαμος γέρας ἐν χερὶ θήσει·

, ... τούτων δὲ πᾶσα ἡ πεδιὰς ἐπληρώθη καὶ περιελάμπετο σιδήρῳ τῶν ἀνδρῶν καὶ τῶν ἵππων, ἐκινεῖτο δὲ ἡ γῆ τοῖς ποσὶ διεγειρομένων καὶ ἐφορμώντων ὁμοῦ· δύο δὲ ἄνδρες ἐξόχως κράτιστοι εἰς τὸ μέσον ἀμφοτέρων συνῆλθον προθυμούμενοι πολεμεῖν, ὅ τε Αἰνείας ὁ υἱὸς τοῦ Ἀγχίσου, καὶ ὁ ἐνδοξότατος Ἀχιλλεύς. ὁ Αἰνείας οὖν πρῶτος καυχησάμενος καὶ διατεινάμενος ὥρμησεν, ἐπινεύων τῇ βαρείᾳ περικεφαλαίᾳ, τὴν ἀσπίδα δὲ τὴν μεγάλην (πολεμικὴν) κατεῖχεν ἔμπροσθεν τοῦ στέρνου, ἔσειε δὲ τὸ σιδηροῦν δόρυ. ὁ υἱὸς δὲ τοῦ Πηλέως ἀπὸ τοῦ ἑτέρου μέρους ἐξεναντίας ἐφώρμησεν ὥσπερ λέων βλαβερὸς, ὃν οἱ μὲν ἄνδρες ἀποκτεῖναι προθυμοῦνται συναθροιζόμενοι ἅπας ὁ δῆμος· οὗτος δὲ πρῶτον ἀτιμάζων καὶ περιφρονῶν ἐπέρχεται· ἀλλ' ὅταν τις τῶν ἐν πολέμῳ εὐκινήτων νέων τρώσῃ τῷ δόρατι, συνεστράφη τε κεχηνὼς, καὶ περὶ τοὺς ὀδόντας ἀφρὸς γίνεται, ἐν τῇ καρδίᾳ δὲ αὐτοῦ στενάζει ἡ ἰσχυρὰ ψυχὴ, τῇ οὐρᾷ δὲ κατὰ τὰς πλευρὰς, καὶ τὰ κοῖλα τῶν γλουτῶν ἀφ' ἑκατέρου μέρους μαστίζεται, αὐτὸς δὲ ἑαυτὸν διερεθίζει πρὸς μάχην, πυρῶδες δὲ καὶ φοβερὸν βλέπων εὐθὺ ὁρμᾷ, καὶ παραμένει ὅπως τινὰ ἀποκτείνῃ ἄνδρα, ἢ αὐτὸς ἀναιρεθῇ ἐν τῇ πρώτῃ συστροφῇ τῆς μάχης. οὕτως τῷ Ἀχιλλεῖ παρωξύνετο ἡ ἰσχὺς καὶ ἡ ἀνδρεία ψυχὴ ἐπελθεῖν ἐναντίον τοῦ μεγαλοψύχου Αἰνείου. οὗτοι δὲ ἡνίκα δὴ πλησίον ἐγένοντο ἐπ' ἀλλήλους ἐρχόμενοι, πρὸς τοῦτον πρότερον εἶπεν ὁ ταχύπους ἐνδοξότατος Ἀχιλλεύς. Ὦ Αἰνεία, τί δὴ σύ γε τοσοῦτον πολὺ ἐφορμήσας διὰ τῆς συστροφῆς τοῦ πλήθους ἔστης; ἢ σέ γε προτρέπει ἡ ψυχὴ πολεμῆσαι ἐμοὶ, ἐλπίζοντα βασιλεύσειν τῶν ἱππικῶν Τρώων μετὰ τιμῆς τοῦ Πριάμου (ἀντὶ τῆς βασιλείας τοῦ Πριάμου); ἐὰν δὲ ἐμὲ ἀποκτείνῃς, οὔ σοι τούτου ἕνεκα ὁ Πρίαμος ἐμβαλεῖ εἰς τὰς χεῖρας τὴν τιμὴν, καὶ τὸ ἆθλον τοῦτο. εἰσὶ γὰρ αὐτῷ παῖδες, οὗτος δὲ

Εἰσὶν γάρ οἱ παῖδες· ὁ δὲ ἔμπεδος, οὐδ' ἀεσσίφρων.
Ἦ νύ τί τοι Τρῶες τέμενος τάμον, ἔξοχον ἄλλων,
Καλὸν φυταλιῆς καὶ ἀρούρης, ὄφρα νέμηαι,
Αἴκεν ἐμὲ κτείνης; χαλεπῶς δέ σ' ἔολπα τὸ ῥέξειν.
Ἤδη μὲν σέ γε, φημὶ, καὶ ἄλλοτε δουρὶ φοβῆσαι.
Ἦ οὐ μέμνῃ, ὅτε πέρ σε, βοῶν ἄπο μοῦνον ἐόντα,
Σεῦα κατ' Ἰδαίων ὀρέων ταχέεσσι πόδεσσι
Καρπαλίμως; τότε δ' οὔτι μετατροπαλίζεο φεύγων·
Ἔνθεν δ' ἐς Λυρνησσὸν ὑπέκφυγες· αὐτὰρ ἐγὼ τὴν
Πέρσα, μεθορμηθεὶς σὺν Ἀθήνῃ καὶ Διῒ πατρί·
Ληϊάδας δὲ γυναῖκας, ἐλεύθερον ἦμαρ ἀπούρας,
Ἦγον· ἀτάρ σε Ζεὺς ἐῤῥύσατο καὶ θεοὶ ἄλλοι.
Ἀλλ' οὐ νῦν σ' ἐρύεσθαι ὀΐομαι, ὡς ἐνὶ θυμῷ
Βάλλεαι· ἀλλά σ' ἔγωγ' ἀναχωρήσαντα κελεύω
Ἐς πληθὺν ἰέναι, μηδ' ἀντίος ἵστασ' ἐμεῖο,
Πρίν τι κακὸν παθέειν· ῥεχθὲν δέ τε νήπιος ἔγνω.
Τὸν δ' αὖτ' Αἰνείας ἀπαμείβετο, φώνησέν τε·
Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε, νηπύτιον ὥς,
Ἔλπεο δειδίξεσθαι· ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς,
Ἠμὲν κερτομίας, ἠδ' αἴσυλα μυθήσασθαι·
Ἴδμεν δ' ἀλλήλων γενεὴν, ἴδμεν δὲ τοκῆας,
Πρόκλυτ' ἀκούοντες ἔπεα θνητῶν ἀνθρώπων·
Ὄψει δ' οὔτ' ἄρ πω σὺ ἐμοὺς ἴδες, οὔτ' ἄρ' ἐγὼ σούς.
Φασί σε μὲν Πηλῆος ἀμύμονος ἔκγονον εἶναι,
Μητρὸς δ' ἐκ Θέτιδος, καλλιπλοκάμου ἁλοσύδνης·
Αὐτὰρ ἐγὼν υἱὸς μεγαλήτορος Ἀγχίσαο
Εὔχομαι ἐκγεγάμεν, μήτηρ δέ μοι ἔστ' Ἀφροδίτη.
Τῶν δὴ νῦν ἕτεροί γε φίλον παῖδα κλαύσονται

εὐσταθὴς καὶ νουνεχὴς, οὐδέ τις κοῦφος καὶ ἀσύνετός ἐστιν· ἢ δή σοι οἱ Τρῶες ἀγρόν τινα ἀπένειμαν διαφερόντως τῶν ἄλλων περικαλλῆ, φυτοπέδου, καὶ σιτοπέδου, ἵν' αὐτὸν καρποῖ, ἐὰν ἀποκτείνῃς ἐμέ; δυσκόλως δέ σε τοῦτο πράξειν ἐλπίζω· ἤδη γάρ σέ γε οἶμαι καὶ ἄλλοτε τρέψαι εἰς φυγὴν τῷ δόρατι. ἢ οὐ μνημονεύεις ἡνίκα σε ἀπὸ τῶν βοῶν μονον ὄντα ἐδίωξα ἐκ τῶν τῆς Ἴδης ὀρέων ταχέσι ποσὶ, πάνυ εὐκινήτως, τότε δὲ οὐδαμῶς μετεστρέφου φεύγων. ἐκεῖθεν δὲ εἰς τὸν Λυρνησσὸν κατέφυγες, ἐγὼ δὲ τὴν πόλιν αὐτὴν ἐξεπόρθησα ἐφορμήσας σὺν τῇ Ἀθηνᾷ, καὶ τῷ Διῒ τῷ πατρί· αἰχμαλώτους δὲ τὰς γυναῖκας, τὴν ἐλευθέραν ζωὴν ἀφελόμενος, ἀπῆγον, σὲ δὲ ὁ Ζεὺς ἠλευθέρωσε καὶ ἔσωσε, καὶ οἱ ἄλλοι θεοί· ἀλλ' οὐ νῦν σε σώσειν ὑπολαμβάνω, ὥσπερ εἰς λογισμὸν σὺ ἐμβάλλεις καὶ διαλογίζῃ· ἀλλ' ἔγωγε ἀναχωρήσαντά σε κελεύω πορεύεσθαι εἰς τὸ πλῆθος, μηδὲ ἵστασο ἐναντίον ἐμοῦ, πρὸ τοῦ παθεῖν τι δεινὸν, πραχθὲν δὲ καὶ γενόμενον τὸ κακὸν καὶ ὁ μωρὸς κατενόησε. Πρὸς τοῦτον δὲ ἀπεκρίνατο ὁ Αἰνείας, καὶ εἶπεν· Ὦ υἱὲ τοῦ Πηλέως, μηδαμῶς με ῥήμασιν ὥσπερ νήπιον καὶ ἄφρονα ἔλπιζε ἐκφοβήσειν, ἐπειδὴ φανερῶς ἐπίσταμαι καὶ ἐγὼ καὶ λοιδορίας, καὶ τὰς παρὰ τὸ καθῆκον ἀπειλὰς εἰπεῖν· οἴδαμεν δὲ τὸ γένος ἑκατέρου ἡμῶν, οἴδαμεν δὲ τοὺς γονέας, προηκουσμένους καὶ προεγνωσμένους λόγους ἀκούοντες τῶν φθαρτῶν ἀνθρώπων· τοῖς ὀφθαλμοῖς δὲ οὔτε σὺ τοὺς ἐμοὺς ἐθεάσω, οὔτ' ἐγὼ τοὺς σούς· λέγουσι σὲ μὲν τοῦ ἀμωμήτου Πηλέως υἱὸν εἶναι, καὶ ἐκ μητρὸς Θέτιδος τῆς καλλικόμου θαλασσίας· ἐγὼ δὲ υἱὸς τοῦ μεγαλοψύχου Ἀγχίσου διϊσχυρίζομαι εἶναι (γεννηθῆναι), μήτηρ δέ μοι ἐστὶν ἡ Ἀφροδίτη. τούτων οὖν νῦν οἱ ἕτεροι τὸν ἀγαπητὸν υἱὸν θρηνήσουσι σήμερον· οὐ

Σήμερον· οὐ γάρ φημ' ἐπέεσσί γε νηπυτίοισιν
Ὧδε διακρινθέντε, μάχης ἐξαπονέεσθαι·
Εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, ὄφρ' εὖ εἰδῇς
Ἡμετέρην γενεὴν, πολλοὶ δέ μιν ἄνδρες ἴσασι,
Δάρδανον αὖ πρῶτον τέκετο νεφεληγερέτα Ζεύς·
Κτίσσε δὲ Δαρδανίην, ἐπεὶ οὔπω Ἴλιος ἱρὴ
Ἐν πεδίῳ πεπόλιστο, πόλις μερόπων ἀνθρώπων·
Ἀλλ' ἔθ' ὑπωρείας ᾤκεον πολυπιδάκου Ἴδης.
Δάρδανος αὖ τέκεθ' υἱὸν Ἐριχθόνιον βασιλῆα,
Ὃς δὴ ἀφνειότατος γένετο θνητῶν ἀνθρώπων·
Τοῦ τρὶς χίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο
Θήλειαι, πώλοισιν ἀγαλλόμεναι ἀταλῇσι·
Τάων καὶ Βορέης ἠράσσατο βοσκομενάων,
Ἵππῳ δ' εἰσάμενος παρελέξατο κυανοχαίτῃ·
Αἱ δ' ὑποκυσσάμεναι ἔτεκον δυοκαίδεκα πώλους·
Αἱ δ' ὅτε μὲν σκιρτῷεν ἐπὶ ζείδωρον ἄρουραν,
Ἄκρον ἐπ' ἀνθερίκων καρπὸν θέον, οὐδὲ κατέκλων·
Ἀλλ' ὅτε δὴ σκιρτῷεν ἐπ' εὐρέα νῶτα θαλάσσης,
Ἄκρον ἐπὶ ῥηγμῖνος ἁλὸς πολιοῖο θέεσκον.
Τρῶα δ' Ἐριχθόνιος τέκετο Τρώεσσιν ἄνακτα·
Τρωὸς δ' αὖ τρεῖς παῖδες ἀμύμονες ἐξεγένοντο,
Ἶλός τ', Ἀσσάρακός τε καὶ ἀντίθεος Γανυμήδης,
Ὃς δὴ κάλλιστος γένετο θνητῶν ἀνθρώπων·
Τὸν καὶ ἀνηρείψαντο θεοὶ Διῒ οἰνοχοεύειν,
Κάλλεος εἵνεκα οἷο, ἵν' ἀθανάτοισι μετείη.
Ἶλος δ' αὖ τέκεθ' υἱὸν ἀμύμονα Λαομέδοντα.
Λαομέδων δ' ἄρα Τιθωνὸν τέκετο, Πρίαμόν τε,
Λάμπον τε, Κλυτίον θ', Ἱκετάονά τ', ὄζον Ἄρηος·

γὰρ οἴομαι ῥήμασι μωροῖς καὶ ματαίοις οὕτως (ἐνθάδε) διαχωρισθέντες ἀναχωρῆσαι τῆς μάχης· εἰ δὲ βούλει καὶ ταῦτα μαθεῖν, ὅπως καλῶς γνῷς τὸ ἡμέτερον γένος, πολλοὶ δὲ ἄνδρες αὐτὸ οἴδασι. Δάρδανον δὴ τὰ πρῶτα ἐγέννησεν ὁ τὰς νεφέλας ἀθροίζων Ζεὺς, ἔκτισε δὲ τὴν Δαρδανίαν, ἐπειδὴ οὔπω ἡ ἱερὰ Ἴλιος ἐν τῇ πεδιάδι ᾠκοδόμητο καὶ ᾤκιστο, πόλις τῶν μεμερισμένην ἐχόντων τὴν φωνὴν ἀνθρώπων, ἀλλ' ἔτι τὰς προβάσεις, καὶ τὰς πέζας κατῴκουν τῆς πολλὰς πηγὰς ἐχούσης Ἴδης. ὁ Δάρδανος δὲ ἐγέννησεν υἱὸν τὸν βασιλέα Ἐριχθόνιον, ὃς δὴ πλουσιώτατος ἐγένετο πάντων τῶν φθαρτῶν ἀνθρώπων· τούτου ἵπποι τρισχίλιαι κατὰ τὸ ἕλος ἐβόσκοντο, φορβάδες, πώλοις τερπόμεναι νεογενέσιν (νεογναῖς). τούτων καὶ ὁ Βορέας ἠράσθη βοσκομένων· ἵππῳ δὲ ὁμοιωθεὶς μελανότριχι ἐμίγη αὐταῖς, αὗται δὲ ἐγκυμονήσασαι ἔτεκον δώδεκα πώλους· αὗται δὲ ἡνίκα μὲν ἐσκίρτων κατὰ τὴν γῆν τὴν τὰ πρὸς τὸ ζῆν δωρουμένην, κατὰ τὸ ἄκρον τοῦ καρποῦ τῶν ἀσταχύων διέτρεχον (ἐν τοῖς στάχυσι λεπτῶν ἀνθέρων), οὐδέ τι κατέθραυον· ἀλλ' ὅτε δὴ ἐσκίρτων κατὰ τὰ πλατέα νῶτα καὶ τὴν μεγάλην ἐπιφάνειαν τῆς θαλάσσης ἄνω κατὰ τὴν ἐπιφάνειαν τῆς λευκῆς θαλάσσης διέτρεχον. Ἐριχθόνιος δὲ ἐγέννησε τοῖς Τρωσὶ βασιλέα τὸν Τρῶα, ἐκ τοῦ Τρωὸς δὲ τοῦ ἀμωμήτου τρεῖς υἱοὶ ἐγεννήθησαν, ὅ τε Ἶλος, καὶ ὁ Ἀσσάρακος, καὶ ὁ ἰσόθεος Γανυμήδης, ὃς δὴ ἐγένετο ὡραιότατος πάντων τῶν θνητῶν ἀνθρώπων· τοῦτον καὶ ἀνήρπασαν οἱ θεοὶ οἰνοχοεῖν τῷ Διῒ, ἵνα ἐν τοῖς ἀθανάτοις εἴη ἕνεκα τοῦ ἑαυτοῦ κάλλους. ὁ Ἶλος δὲ ἐγέννησεν υἱὸν τὸν ἀμώμητον Λαομέδοντα· ὁ Λαομέδων δὲ ἐγέννησε τὸν Τιθωνὸν, καὶ τὸν Πρίαμον, καὶ τὸν Λάμπον, καὶ τὸν Κλυτίον, καὶ τὸν τοῦ Ἄρεος κλάδον Ἱκετάονα. Ἀσσάρακος δὲ τὸν Κάπυν, οὗτος

Ἀσσάρακος δὲ Κάπυν· ὁ δ' ἄρ' Ἀγχίσην τέκε παῖδα.
Αὐτὰρ ἔμ' Ἀγχίσης, Πρίαμος δ' ἔτεχ' Ἕκτορα δῖον.
Ταύτης τοι γενεῆς τε καὶ αἵματος εὔχομαι εἶναι·
Ζεὺς δ' ἀρετὴν ἄνδρεσσιν ὀφέλλει τε, μινύθει τε,
Ὅππως κεν ἐθέλῃσιν· ὁ γὰρ κάρτιστος ἁπάντων.
Ἀλλ' ἄγε μηκέτι ταῦτα λεγώμεθα, νηπύτιοι ὥς,
Ἑσταότ' ἐν μέσσῃ ὑσμίνῃ δηϊοτῆτος.
Ἔστι γὰρ ἀμφοτέροισιν ὀνείδεα μυθήσασθαι
Πολλὰ μάλ'· οὐδ' ἂν νηῦς ἑκατόζυγος ἄχθος ἄροιτο.
Στρεπτὴ δὲ γλῶσσ' ἐστὶ βροτῶν, πολέες δ' ἔνι μῦθοι,
Παντοῖοι· ἐπέων δὲ πολὺς νομὸς ἔνθα καὶ ἔνθα.
Ὁπποῖόν κ' εἴπησθα ἔπος, τοῖόν κ' ἐπακούσαις,
Ἀλλὰ τίη ἔριδας καὶ νείκεα νῶϊν ἀνάγκη
Νεικεῖν ἀλλήλοισιν ἐναντίον, ὥστε γυναῖκας,
Αἵτε χολωσάμεναι ἔριδος πέρι θυμοβόροιο
Νεικεῦσ', ἀλλήλῃσι μέσην ἐς ἀγυιὰν ἰοῦσαι,
Πόλλ' ἐτεά τε καὶ οὐκί· χόλος δέ τε καὶ τὰ κελεύει.
Ἀλκῆς δ' οὔ μ' ἐπέεσσιν ἀποτρέψεις μεμαῶτα,
Πρὶν χαλκῷ μαχέσασθαι ἐναντίον· ἀλλ' ἄγε, θᾶσσον
Γευσόμεθ' ἀλλήλων χαλκήρεσιν ἐγχείῃσιν.
Ἦ ῥα, καὶ ἐν δεινῷ σάκει ἤλασε χάλκεον ἔγχος,
Σμερδαλέῳ, μέγα δ' ἀμφὶ σάκος μύκε δουρὸς ἀκωκῇ·
Πηλείδης δὲ σάκος μὲν ἀπὸ ἕο χειρὶ παχείῃ
Ἔσχετο ταρβήσας· φάτο γὰρ δολιχόσκιον ἔγχος
Ῥεῖα δ' ἐλεύσεσθαι μεγαλήτορος Αἰνείαο·
Νήπιος, οὐδ' ἐνόησε κατὰ φρένα καὶ κατὰ θυμὸν,
Ὡς οὐ ῥηΐδι' ἐστὶ θεῶν ἐρικυδέα δῶρα
Ἀνδράσι γε θνητοῖσι δαμήμεναι, οὐδ' ὑποείκειν·

δὲ ἐγέννησεν υἱὸν τὸν Ἀγχίσην, ἐμὲ δὲ ὁ Ἀγχίσης, ὁ Πρίαμος δὲ ἐγέννησε τὸν ἐνδοξότατον Ἕκτορα. τούτου δὴ τοῦ γένους καὶ τοῦ αἵματος διϊσχυρίζομαι ὑπάρχειν. ὁ Ζεὺς δὲ τοῖς ἀνδράσι καὶ αὔξει καὶ ἐλαττοῖ τὴν ἀρετὴν, ὅπως ἂν βούληται, οὗτος γὰρ ἐστιν ἰσχυρότατος πάντων. ἀλλ' ἄγε μηκέτι ταῦτα διαλεγώμεθα, καθάπερ νήπιοι καὶ ἄφρονες, ἑστῶτες ἐν τῷ μέσῳ τῆς μάχης τοῦ πολέμου, ἔστι γὰρ ἀμφοτέροις ὀνείδη καὶ λοιδορίας εἰπεῖν πάνυ πολλὰ, οὐδ' ἂν ναῦς πολυκαθέδρος τὸ βάρος ἀνέλοιτο καὶ βαστάξειεν, εὐμετάθετος δὲ καὶ εὐκίνητός ἐστιν ἡ γλῶσσα τῶν ἀνθρώπων, πολλοὶ δὲ ἔνεισι λόγοι παντοδαποὶ, ῥημάτων δὲ πολλὴ περιαγωγὴ καὶ διανομὴ τῇδε κἀκεῖσε· οἷον ἂν λόγον εἴπῃς, τοιοῦτον ἂν ἀντακούσαις. ἀλλὰ τί δὴ ἔριδας καὶ φιλονεικίας ἡμῖν ἀνάγκη φιλονεικεῖν καὶ ἐρίζειν ἐναντίον ἀλλήλοις, ὥσπερ γυναῖκες, αἵτινες περὶ ἔριδος ψυχοφθόρου εἰς χόλον ἀχθεῖσαι, φιλονεικοῦσιν ἀλλήλαις εἰς τὸ μέσον τῆς ὁδοῦ παρελθοῦσαι, πολλὰ ἀληθῆ τε καὶ μὴ, ἡ ὀργὴ δὲ (γὰρ) καὶ ταῦτα λέγειν προτρέπει. τῆς εὐτόλμου δὲ ἰσχύος οὐδέποτέ με λόγοις ἀποτρέψεις, καὶ ἀποστήσεις προθυμούμενον, πρὶν ἢ πολεμῆσαι κατεναντίον σιδήρῳ· ἀλλ' ἄγε τάχιον ἁψώμεθα ἀλλήλων τοῖς σιδήρῳ ἐστομωμένοις δόρασιν. Εἶπε δὴ καὶ ἐν τῇ φοβερᾷ ἀσπίδι ἔπηξε τὸ ἰσχυρὸν δόρυ τῇ καταπληκτικῇ, μεγάλως δὲ περιήχησεν ἡ ἀσπὶς τῇ ἐπιδορατίδι τοῦ ἀκοντίου. Ὁ υἱὸς δὲ τοῦ Πηλέως τὴν μὲν ἀσπίδα ἄποθεν ἑαυτοῦ τῇ παχείᾳ χειρὶ κατέσχε φοβηθεὶς, ᾠήθη γὰρ τὸ μακρὸν δόρυ ῥᾳδίως περάσειν τοῦ μεγαλοψύχου Αἰνείου ὁ εὐήθης, οὐδὲ ἐνόησε κατὰ λόγον τε καὶ κατὰ διάνοιαν, ὅτι οὐκ εἰσὶ ῥᾴδια τὰ ὑπερένδοξα δῶρα τῶν θεῶν καταπονηθῆναι ὑπὸ φθαρτῶν ἀνδρῶν, οὐδὲ ὑπείκειν καὶ ἐνδιδόναι καὶ παραλύεσθαι. οὐ γὰρ τότε τὸ ἰσχυρὸν δόρυ τοῦ

Οὐδὲ τότ' Αἰνείαο δαΐφρονος ὄβριμον ἔγχος
Ῥῆξε σάκος· χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
Ἀλλὰ δύω μὲν ἔλασσε διὰ πτύχας, αἱ δ' ἄρ' ἔτι τρεῖς
Ἦσαν· ἐπεὶ πέντε πτύχας ἤλασε Κυλλοποδίων,
Τὰς δύο χαλκείας, δύο δ' ἔνδοθι κασσιτέροιο,
Τὴν δὲ μίαν, χρυσῆν· τῇ ῥ' ἔσχετο μείλινον ἔγχος.
Δεύτερος αὖτ' Ἀχιλεὺς προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλεν Αἰνείαο κατ' ἀσπίδα πάντοσε ἴσην,
Ἄντυγ' ὑπὸ πρώτην, ᾗ λεπτότατος θέε χαλκός·
Λεπτοτάτη δ' ἐπέην ῥινὸς βοός· ἡ δὲ διὰ πρὸ
Πηλιὰς ἤϊξεν μελίη, λάκε δ' ἀσπὶς ὑπ' αὐτῆς,
Αἰνείας δ' ἐάλη, καὶ ἀπὸ ἕθεν ἀσπίδ' ἀνέσχε
Δείσας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
Ἔστη ἱεμένη, διὰ δ' ἀμφοτέρους ἕλε κύκλους
Ἀσπίδος ἀμφιβρότης· ὁ δ' ἀλευάμενος δόρυ μακρὸν,
Ἔστη, καδδ' ἄχος οἱ χύτο μυρίον ὀφθαλμοῖσι,
Ταρβήσας, ὅ οἱ ἄγχι πάγη βέλος· αὐτὰρ Ἀχιλλεὺς
Ἐμμεμαὼς ἐπόρουσεν, ἐρυσσάμενος ξίφος ὀξὺ,
Σμερδαλέα ἰάχων· ὁ δὲ χερμάδιον λάβε χειρὶ
Αἰνείας, μέγα ἔργον, ὃ οὐ δύο γ' ἄνδρε φέροιεν,
Οἷοι νῦν βροτοί εἰσ'· ὁ δέ μιν ῥέα πάλλε καὶ οἶος.
Ἔνθα κεν Αἰνείας μὲν ἐπεσσύμενον βάλε πέτρῳ,
Ἢ κόρυθ', ἠὲ σάκος, τό οἱ ἤρκεσε λυγρὸν ὄλεθρον·
Τὸν δέ κε Πηλείδης σχεδὸν ἄορι θυμὸν ἀπηύρα,
Εἰ μὴ ἄρ' ὀξὺ νόησε Ποσειδάων ἐνοσίχθων·
Αὐτίκα δ' ἀθανάτοισι θεοῖς μετὰ μῦθον ἔειπεν·
Ὢ πόποι, ἦ μοι ἄχος μεγαλήτορος Αἰνείαο,
Ὃς τάχα Πηλείωνι δαμεὶς ἄϊδόσδε κάτεισι,

συνετοῦ Αἰνείου διέῤῥηξε καὶ διέκοψε πᾶσαν τὴν ἀσπίδα· ὁ χρυσὸς γὰρ διεκώλυσε, καὶ ἐπέσχε τὰ δῶρα τοῦ θεοῦ· ἀλλὰ τὰς δύο μὲν ἐπιδιπλώσεις διῆλθε καὶ διέκοψεν, ἔτι δ' αἱ τρεῖς ὑπῆρχον, ἐπειδὴ πέντε διπλώσεις ἐφήπλωσεν Ἥφαιστος ὁ χωλὸς, τὰς δύο χαλκᾶς, καὶ τὰς ἔνδοθεν δύο κασσιτερίνας, τὴν ἐν τῷ μέσῳ δὲ μίαν, χρυσῆν, ἐν ταύτῃ δὲ ἐνεσχέθη τὸ ἐκ μελίας δόρυ, καὶ τῆς εἰς τὸ πρόσω ὁρμῆς διεκωλύθη· Δεύτερος δὲ ὁ Ἀχιλλεὺς ἀφῆκε τὸ μακρὸν δόρυ, καὶ ἔβαλε κατὰ τὴν τοῦ Αἰνείου ἀσπίδα τὴν πάντοθεν ἴσην καὶ κυκλοτερῆ, ὑπὸ τὴν πρώτην περιφέρειαν, ἔνθα λεπτότατος ὁ χαλκὸς διέτρεχε, καὶ περιέκειτο, λεπτότατον δὲ τὸ δέρμα τοῦ βοὸς ἐπῆν, αὕτη δὲ εἰς τὸ πρόσω διῆλθεν ἡ ἐκ τοῦ Πηλίου ὄρους μελία, διεκόπη δὲ ἡ ἀσπὶς ὑπ' αὐτῆς. ὁ Αἰνείας δὲ συνειλήθη, καὶ ἀπὸ ἑαυτοῦ ἀνέσχε τὴν ἀσπίδα φωβηθεὶς, τὸ δόρυ δὲ ὑπεράνωθεν τοῦ νώτου εἰς τὴν γῆν ἐνεπάγη ἐφορμῶν, διεῖλε δὲ καὶ διέκοψεν ἀμφοτέρους τοὺς κύκλους τὸν βύρσινον, καὶ τὸν χαλκοῦν τῆς ἀσπίδος τῆς περιεχούσης τὸ σῶμα, οὗτος ἐκκλίνας καὶ φυλαξάμενος τὸ μέγα δόρυ ἔστη, λύπη δὲ μεγίστη περιεχύθη τοῖς ὀφθαλμοῖς αὐτοῦ, φοβηθεὶς, ὅτι ἐγγὺς αὐτοῦ ἐνεπάγη τὸ δόρυ· ὁ Ἀχιλλεὺς δὲ μάλα προθυμούμενος ἐφώρμησε σπασάμενος τὸ ὀξὺ καὶ τμητικὸν ξίφος καταπληκτικῶς βοῶν, οὗτος δὲ λίθον χειροπληθῆ ἔλαβε τῇ χειρὶ ὁ Αἰνείας μέγα ἄχθος (σῶμα), ὅπερ οὐκ ἂν φέροιεν ἄνδρες δύο οἷοι νῦν ἄνθρωποί εἰσιν· οὗτος δὲ ῥαδίως αὐτὸ ἐκίνει καὶ μόνος. τότ' ἂν Αἰνείας μὲν ἐφορμῶντα ἔπληξε τῷ λίθῳ ἢ κατὰ τὸ κράνος, ἢ κατὰ τὴν ἀσπίδα, ἥτις ἀπεσόβησεν ἂν αὐτῷ τὸν χαλεπὸν θάνατον, τοῦτον δὲ ὁ υἱὸς τοῦ Πηλέως ἐκ τοῦ σύνεγγυς ξίφει τὴν ψυχὴν ἀφείλετο ἂν, εἰ μὴ ταχέως δὴ ἐθεάσατο Ποσειδῶν ὁ σείων τὴν γῆν, παραχρῆμα δὲ ἐν τοῖς ἀθανάτοις θεοῖς λόγον εἶπε· Φεῦ φεῦ, ὄντως μοι λύπη ἐστὶν ἕνεκα τοῦ μεγαλοψύχου Αἰνείου, ὃς ταχέως ἀναιρεθεὶς ὑπὸ τοῦ υἱοῦ Πηλέως εἰς ᾅδου κατελεύ-

Πειθόμενος μύθοισιν Ἀπόλλωνος ἑκάτοιο·
Νήπιος· οὐδέ τί οἱ χραισμήσει λυγρὸν ὄλεθρον.
Ἀλλὰ τίη νῦν οὗτος ἀναίτιος ἄλγεα πάσχει,
Μὰψ ἕνεκ' ἀλλοτρίων ἀχέων, κεχαρισμένα δ' αἰεὶ
Δῶρα θεοῖσι δίδωσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσιν;
Ἀλλ' ἄγεθ', ἡμεῖς πέρ μιν ὑπ' ἐκ θανάτου ἀγάγωμεν,
Μήπως καὶ Κρονίδης κεχολώσεται, αἴκεν Ἀχιλλεὺς
Τόνδε κατακτείνῃ· μόριμον δέ οἱ ἔστ' ἀλέασθαι,
Ὄφρα μὴ ἄσπερμος γενεὴ καὶ ἄφαντος ὄληται
Δαρδάνου, ὃν Κρονίδης περὶ πάντων φίλατο παίδων,
Οἳ ἔθεν ἐξεγένοντο, γυναικῶν τε θνητάων.
Ἤδη γὰρ Πριάμου γενεὴν ἤχθηρε Κρονίων·
Νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει,
Καὶ παῖδες παίδων, τοί κεν μετόπισθε γένωνται.
Τὸν δ' ἠμείβετ' ἔπειτα βοῶπις πότνια Ἥρη·
Ἐννοσίγαι', αὐτὸς σὺ μετὰ φρεσὶ σῇσι νόησον
Αἰνείαν, ἤ κέν μιν ἐρύσσεαι, ἤ κεν ἐάσῃς·
Ἤτοι μὲν γὰρ νῶϊ πολεῖς ὠμόσσαμεν ὅρκους
Πᾶσι μετ' ἀθανάτοισιν, ἐγὼ καὶ Παλλὰς Ἀθήνη,
Μήποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
Μηδ' ὁπότ' ἂν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
Δαιομένη, δαίωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν.
Αὐτὰρ ἐπεὶ τόγ' ἄκουσε Ποσειδάων ἐνοσίχθων,
Βῆ ῥ' ἴμεν ἄν τε μάχην καὶ ἀνὰ κλόνον ἐγχειάων,
Ἷξε δ', ὅθ' Αἰνείας, ἠδ' ὁ κλυτὸς ἦεν Ἀχιλλεύς.
Αὐτίκα τῷ μὲν ἔπειτα κατ' ὀφθαλμῶν χέεν ἀχλύν,
Πηλείδῃ Ἀχιλῆϊ. ὁ δὲ μελίην εὔχαλκον
Ἀσπίδος ἐξέρυσεν μεγαλήτορος Αἰνείαο·

σεται πεισθεὶς τοῖς λόγοις τοῦ μακροβόλου Ἀπόλλωνος, ὁ εὐήθης· οὐ γάρ τι αὐτῷ ἀποσοβήσει τὸν χαλεπὸν θάνατον. ἀλλὰ τί δὴ οὗτος νῦν ἀθῷος λύπας καὶ ὀδύνας πάσχει ματαίως ἕνεκα θλίψεων ἀλλοτρίων, χαρίεντα δὲ ἀεὶ δῶρα τοῖς θεοῖς ἀναφέρει, οἳ τὸν πλατὺν καὶ μέγαν οὐρανὸν κατοικοῦσιν; ἀλλ' ἄγετε ἡμεῖς γε αὐτὸν ἀπὸ τοῦ θανάτου ῥυσώμεθα, μήπως καὶ ὁ υἱὸς τοῦ Κρόνου ὀργισθῇ, ἐὰν ὁ Ἀχιλλεὺς αὐτὸν ἀποκτείνῃ, εἱμαρμένον γάρ ἐστιν αὐτῷ ἐκφυγεῖν, ὅπως μὴ ἄγονος καὶ ἀφανὴς διαφθαρείη ἡ γενεὰ τοῦ Δαρδάνου, ὃν ὁ υἱὸς τοῦ Κρόνου μᾶλλον τῶν ἄλλων ἁπάντων υἱῶν ἐφίλησεν, οἳ ἐξ ἑαυτοῦ ἐγεννήθησαν, καὶ γυναικῶν φθαρτῶν· ἤδη γὰρ τὴν γενεὰν τοῦ Πριάμου ἐμίσησεν ὁ υἱὸς τοῦ Κρόνου. νῦν δὲ δὴ ἡ τοῦ Αἰνείου ἰσχὺς βασιλεύσει τῶν Τρῴων, καὶ οἱ υἱοὶ τῶν υἱῶν, οἳ ἂν καὶ γεννηθῶσι μετὰ ταῦτα. Πρὸς τοῦτον δὲ ἀπεκρίνετο μετὰ ταῦτα ἡ εὐόφθαλμος σεβαστὴ Ἥρα· Ὦ κινητὰ γῆς, σὺ αὐτὸς ἐν τῇ σῇ διανοίᾳ νόησον, ὅπως ἢ σώσῃς τὸν Αἰνείαν, ἢ καταλίπῃς· ἡμεῖς μὲν γὰρ πολλοὺς ὅρκους ὠμόσαμεν ἐν πᾶσι τοῖς ἀθανάτοις θεοῖς, ἐγὼ καὶ ἡ πολεμικὴ Ἀθηνᾶ, μηδέποτε τοῖς Τρωσὶν ἀποσοβήσειν τὴν κακὴν ἡμέραν βοηθοῦσαι αὐτοῖς, μηδὲ ὅταν ἡ Τροία κατακαίηται πᾶσα, πυρὶ καυστικῷ καὶ ἀναλωτικῷ καιομένη, καίωσι δὲ αὐτὴν οἱ πολεμικοὶ υἱοὶ τῶν Ἑλλήνων. Ἐπειδὴ δὲ τοῦτο ἤκουσε Ποσειδῶν ὁ σείων τὴν γῆν, ὥρμησε πορεύεσθαι εἰς τὸν πόλεμον, καὶ εἰς τὴν ταραχὴν τῶν δοράτων· ἀφίκετο δὲ ὅπου ὁ Αἰνείας καὶ ὁ ἔνδοξος ἦν Ἀχιλλεὺς, καὶ παραχρῆμα τούτῳ μὲν κατέχεεν ἐπὶ τοὺς ὀφθαλμοὺς ὁμίχλην τῷ Ἀχιλλεῖ τῷ υἱῷ τοῦ Πηλέως· αὐτὸς δὲ τὴν καλὸν σίδηρον ἔχουσαν μελίαν ἐξείλκυσεν ἐκ τῆς ἀσπίδος τοῦ μεγαλοψύχου Αἰνείου· καὶ ταύτην μὲν ἔθηκεν ἔμπρο-

Καὶ τὴν μὲν προπάροιθε ποδῶν Ἀχιλῆος ἔθηκεν,
Αἰνείαν δ' ἔσσευεν ἀπὸ χθονὸς ὑψόσ' ἀείρας·
Πολλὰς δὲ στίχας ἡρώων, πολλὰς δὲ καὶ ἵππων
Αἰνείας ὑπερᾶλτο, θεοῦ ἀπὸ χειρὸς ὀρούσας·
Ἷξε δ' ἐπ' ἐσχατιὴν πολυάϊκος πολέμοιο·
Ἔνθα δὲ Καύκωνες πόλεμον μέτα θωρήσσοντο·
Τῷ δὲ μάλ' ἐγγύθεν ἦλθε Ποσειδάων ἐνοσίχθων,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Αἰνεία, τίς σ' ὧδε θεῶν ἀτέοντα κελεύει
Ἀντία Πηλείωνος ὑπερθύμοιο μάχεσθαι,
Ὃς σεῦ ἅμα κρείσσων, καὶ φίλτερος ἀθανάτοισιν,
Ἀλλ' ἀναχωρῆσαι, ὅτε κεν συμβλήσεαι αὐτῷ,
Μὴ καὶ ὑπὲρ μοῖραν δόμον ἄϊδος εἰσαφίκηαι·
Αὐτὰρ ἐπεί κ' Ἀχιλεὺς θάνατον καὶ πότμον ἐπίσπῃ,
Θαρσήσας δὴ ἔπειτα, μετὰ πρώτοισι μάχεσθαι·
Οὐ μὲν γάρ τίς σ' ἄλλος Ἀχαιῶν ἐξεναρίξει.
Ὣς εἰπὼν, λίπεν αὐτόθ', ἐπεὶ διεπέφραδε πάντα·
Αἶψα δ' ἔπειτ' Ἀχιλῆος ἀπ' ὀφθαλμῶν σκέδασ' ἀχλὺν
Θεσπεσίην· ὁ δ' ἔπειτα μέγ' ἔξιδεν ὀφθαλμοῖσιν·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
Ἔγχος μὲν τόδε κεῖται ἐπὶ χθονὸς, οὐδέ τι φῶτα
Λεύσσω, τῷ ἐφέηκα, κατακτάμεναι μενεαίνων·
Ἦ ῥα καὶ Αἰνείας φίλος ἀθανάτοισι θεοῖσιν
Ἦεν· ἀτάρ μιν ἔφην μὰψ αὔτως εὐχετάασθαι.
Ἐῤῥέτω· οὔ οἱ θυμὸς ἐμεῦ ἔτι πειρηθῆναι
Ἔσσεται, ὃς καὶ νῦν φύγεν ἄσμενος ἐκ θανάτοιο.
Ἀλλ' ἄγε δὴ, Δαναοῖσι φιλοπτολέμοισι κελεύσας,

σθεν τῶν ποδῶν τοῦ Ἀχιλλέως· τὸν Αἰνείαν δὲ ἔφερεν ἀπὸ τῆς γῆς εἰς ὕψος ἄρας καὶ κουφίσας. πολλὰς δὲ τάξεις ἡρώων, πολλὰς δὲ καὶ ἵππων ὁ Αἰνείας ὑπερεπήδησε καὶ ὑπερέβη ἀπὸ τῆς χειρὸς τοῦ θεοῦ ὁρμήσας· ἀφίκετο δὲ εἰς τὸ ἔσχατον μέρος τοῦ πολυορμήτου πολέμου, ἔνθα δὴ οἱ Καύκωνες εἰς τὸν πόλεμον καθωπλίζοντο. τούτῳ δὲ παρεγένετο πάνυ ἐγγὺς Ποσειδῶν ὁ σείων τὴν γῆν, καὶ φωνήσας, λόγους ταχεῖς ἔλεγε πρὸς αὐτόν· Ὦ Αἰνεία, τίς δή σε τῶν θεῶν οὕτως ἀφραίνοντα (ἀφροντιστοῦντα) προτρέπει ἐναντίον τοῦ μεγαλοψύχου υἱοῦ τοῦ Πηλέως πολεμεῖν, ὅστις ἅμα κρείττων (ἰσχυρότερος) σοῦ καὶ φίλτερος τοῖς ἀθανάτοις θεοῖς ὑπάρχει· ἀλλ᾽ ἀναχώρησον, ὅταν αὐτῷ ἀπροσράτως συμβάλης, μήπως καὶ παρὰ τὸ εἱμαρμένον ἀπέλθῃς εἰς τὸν οἶκον τοῦ Ἅιδου. ἐπειδὰν δὲ ὁ Ἀχιλλεὺς τὸν θάνατον καὶ τὸν μόρον ἐπιδέξηται, θαρρήσας δὴ μετὰ ταῦτα ἐν τοῖς πρωταγωνισταῖς μάχου, οὐδεὶς γάρ σε ἄλλος τῶν Ἑλλήνων ἀποκτενεῖ. Οὕτως εἰπὼν κατέλιπεν αὐτὸν αὐτόθι, ἐπειδὴ πάντα ἐδήλωσε. ταχέως δὲ μετέπειτα ἀπὸ τῶν ὀφθαλμῶν τοῦ Ἀχιλλέως διέλυσε καὶ ἠφάνισε τὴν ὁμίχλην τὴν θαυμαστήν, οὗτος δὲ μετὰ ταῦτα μεγάλως κατεῖδε τοῖς ὀφθαλμοῖς, στενάξας δ᾽ ἄρα εἶπε πρὸς τὴν ἑαυτοῦ μεγαλόφρονα ψυχήν· Φεῦ φεῦ ὄντως μέγα θαῦμα τοῦτο θεῶμαι τοῖς ὀφθαλμοῖς, τὸ μὲν δόρυ τοῦτο κεῖται ἐπὶ τῆς γῆς, οὐδαμῶς δὲ τὸν ἄνδρα ὁρῶ, ᾧτινι ἐφῆκα, ἀποκτεῖναι προθυμούμενος. ὄντως δὴ καὶ ὁ Αἰνείας φίλος τοῖς ἀθανάτοις θεοῖς ἦν, ἐγὼ δὲ αὐτὸν ᾠήθην μάτην οὕτως καυχᾶσθαι· ἀπίτω μετὰ φθορᾶς, οὐκ αὐτῷ προθυμία τοῦ λοιποῦ πειραθῆναι ἐμοῦ ἔσται, ὅστις καὶ νῦν ἀσμένως καὶ ἡδέως ἔφυγεν ἐκ τοῦ θανάτου. ἀλλ᾽ ἄγε δὴ τοῖς πολεμικοῖς Ἕλλησι παρακελευσάμενος τῶν ἄλλων Τρώων πειράσωμαι ἐξ-

Τῶν ἄλλων Τρώων πειρήσομαι ἀντίος ἐλθών.
Ἦ, καὶ ἐπὶ στίχας ἆλτο κέλευε δὲ φωτὶ ἑκάστῳ·
Μηκέτι νῦν Τρώων ἑκὰς ἕστατε, δῖοι Ἀχαιοὶ,
Ἀλλ' ἄγ', ἀνὴρ ἄντ' ἀνδρὸς ἴτω, μεμάτω δὲ μάχεσθαι,
Ἀργαλέον δέ μοι ἐστὶ, καὶ ἰφθίμῳ περ ἐόντι,
Τοσσούσδ' ἀνθρώπους ἐφέπειν, καὶ πᾶσι μάχεσθαι·
Οὐδέ κ' Ἄρης, ὅσπερ θεὸς ἄμβροτος, οὐδέ κ' Ἀθήνη,
Τοσσῆσδ' ὑσμίνης ἐφέποι στόμα, καὶ πονέοιτο·
Ἀλλ ὅσσον μὲν ἐγὼ δύναμαι χερσίν τε, ποσίν τε,
Καὶ σθένει, οὔ μ' ἔτι φημὶ μεθησέμεν οὐδ' ἠβαιόν·
Ἀλλὰ μάλα στιχὸς εἶμι διαμπερὲς, οὐδέ τιν' οἴω
Τρώων χαιρήσειν, ὅστις σχεδὸν ἔγχεος ἔλθῃ.
Ὣς φάτ' ἐποτρύνων· Τρώεσσι δὲ φαίδιμος Ἕκτωρ
Κέκλεθ' ὁμοκλήσας, φάτο δ' ἴμεναι ἄντ' Ἀχιλῆος·
Τρῶες ὑπέρθυμοι, μὴ δείδιτε Πηλείωνα.
Καί κεν ἐγὼν ἐπέεσσι καὶ ἀθανάτοισι μαχοίμην,
Ἔγχεϊ δ' ἀργαλέον, ἐπεὶ πολὺ φέρτεροί εἰσιν·
Οὐδ' Ἀχιλεὺς πάντεσσι τέλος μύθοις ἐπιθήσει,
Ἀλλὰ τὸ μὲν τελέει, τὸ δὲ καὶ μεσσηγὺ κολούει.
Τῷ δ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικεν,
Εἰ πυρὶ χεῖρας ἔοικε, μένος δ' αἴθωνι σιδήρῳ.
Ὣς φάτ' ἐποτρύνων· οἱ δ' ἀντίοι ἔγχε' ἄειραν
Τρῶες· τῶν δ' ἄμυδις μίχθη μένος, ὦρτο δ' ἀϋτή·
Καὶ τότ' ἄρ' Ἕκτορα εἶπε παραστὰς Φοῖβος Ἀπόλλων·
Ἕκτορ, μηκέτι πάμπαν Ἀχιλλῆϊ προμάχιζε,
Ἀλλὰ κατὰ πληθύν τε καὶ ἐκ φλοίσβοιο δέδεξο,
Μήπως σ' ἠὲ βάλῃ, ἠὲ σχεδὸν ἄορι τύψῃ.
Ὣς ἔφαθ'· Ἕκτωρ δ' αὖτις ἐδύσατο οὐλαμὸν ἀνδρῶν,

εναντίας ἐπελθών. Εἶπε, καὶ ἐπὶ τὰς τάξεις ἐπήδησε, παρεκελεύετο δὲ ἑκάστῳ ἀνδρί· Μηκέτι νῦν πόῤῥω τῶν Τρώων ἵστασθε, ὦ ἔνδοξοι Ἕλληνες, ἀλλ' ἄγε ἀνὴρ κατ' ἀνδρὸς επελθέτω, προθυμείσθω δὲ πολεμεῖν· χαλεπὸν δέ μοί ἐστι καίπερ ἰσχυρῷ ὄντι τοσούτους ανθρώπους διώκειν, καὶ πᾶσι πολεμεῖν, ουδ ἂν Ἄρης, ὅστις ἐστὶ θεὸς ἄφθαρτος, οὐδ' ἂν ἡ Ἀθηνα κατεπείγοι ϛόμα τοσαύτης μάχης, καὶ μάχοιτο. ἀλλ' ὅσον μὲν εγὼ δύναμαι καὶ χερσὶ καὶ ποσὶ, καὶ δυνάμει, οὐκ οἴομαι τοῦ λοιποῦ ἀμελήσειν, ουδ' ἐπ' ὀλίγον, αλλὰ πάνυ διὰ τῆς τάξεως ὁρμήσω διόλου, οὐδέ τινα οἴομαι τῶν Τρώων εὐφρανθήσεσθαι, ὅστις ἂν ἐγγὺς τοῦ δόρατος παραγένοιτο. Οὕτως εἶπε παρορμῶν· τοῖς Τρωσὶ δὲ ὁ λαμπρὸς Ἕκτωρ παρεκελεύετο απειλήσας (βοήσας), εἶπε δὲ χωρεῖν ἐναντίον τοῦ Ἀχιλλεως· Ὦ Τρῶες μεγαλόψυχοι καὶ γενναῖοι, μὴ φοβεισθε τὸν υἱὸν τοῦ Πηλέως· καὶ ἐγὼ λόγοις καὶ τοῖς ἀθανάτοις θεοῖς πολεμοίην ἂν, τῷ δόρατι δὲ χαλεπόν εστιν, επειδὴ πολλῷ ἰσχυρότεροι ὑπάρχουσιν, οὐδὲ ὁ Ἀχιλλεὺς ἅπασι τοῖς λόγοις ἐπιθήσει τέλος, ἀλλα τὸ μὲν τελεσει, τὸ δὲ καὶ μεταξὺ κολύσει. τούτῳ δ' ἐγὼ κατεναντίον ἐπελεύσομαι, καὶ ει τῷ πυρὶ κατὰ δύναμιν ὁμοιός ἐστι, καὶ ει τῷ πυρὶ κατὰ δύναμιν ὅμοιος, κατὰ τὴν προθυμίαν δὲ τῷ λαμπρῷ σιδήρῳ. Οὕτως εἶπε παρορμῶν· οὗτοι δὲ κατεναντίον τὰ δόρατα ἦραν οἱ Τρῶες, τούτων δὲ ὁμοῦ συνέμιξεν η ἰσχύς τε καὶ εὐτολμία, διηγέρθη δὲ βοή· καὶ τότε δὴ παραγενόμενος Ἀπόλλων ὁ καθαρὸς, εἶπε πρὸς τὸν Ἕκτορα· Ὦ Ἕκτορ μηκέτι (μηδαμῶς) πάνυ τῷ Αχιλλεῖ προμάχει καὶ πρὸ τῶν ἄλλων πολέμει, ἀλλὰ κατὰ τὸ πλῆθος, καὶ σὺν τοῖς ἄλλοις, καὶ ἔξω τοῦ κλονου καὶ τῆς συϛροφῆς αὐτὸν ἐκδέχου, μήπως σὲ ἢ πόῤῥωθεν τρώσῃ τῷ δόρατι, ἢ ἐκ τοῦ σύνεγγυς πλήξῃ τῷ ξίφει· Οὕτως εἶπεν. ὁ Ἕκτωρ δὲ αὖθις εισῆλθεν εἰς τὴν τάξιν τῶν ανδρῶν φοβηθεὶς, ἡνί-

Ταρβήσας, ὅτ᾽ ἄκουσε θεοῦ ὄπα φωνήσαντος.
Ἐν δ᾽ Ἀχιλεὺς Τρώεσσι θόρε, φρεσὶν εἱμένος ἀλκὴν,
Σμερδαλέα ἰάχων· πρῶτον δ᾽ ἕλεν Ἰφιτίωνα
Ἐσθλὸν, Ὀτρυντεΐδην, πολέων ἡγήτορα λαῶν,
Ὃν νύμφη τέκε Νηῒς Ὀτρυντῆϊ πτολιπόρθῳ,
Τμώλῳ ὑπὸ νιφόεντι, Ὕλης ἐν πίονι δήμῳ·
Τὸν ῥ᾽ ἰθὺς μεμαῶτα βάλ᾽ ἔγχεϊ δῖος Ἀχιλλεὺς,
Μέσσην κακκεφαλήν· ἡ δ᾽ ἄνδιχα πᾶσα κεάσθη·
Δούπησε δὲ πεσών· ὁ δ᾽ ἐπεύξατο δῖος Ἀχιλλεύς·
Κεῖσαι, Ὀτρυντεΐδη, πάντων ἐκπαγλότατ᾽ ἀνδρῶν,
Ἐνθάδε τοι θάνατος· γενεὴ δέ τοι ἔστ᾽ ἐπὶ λίμνῃ
Γυγαίῃ, ὅθι τοι τέμενος πατρώϊόν ἐστιν,
Ὕλλῳ ἐπ᾽ ἰχθυόεντι, καὶ Ἕρμῳ δινήεντι.
Ὣς ἔφατ᾽ εὐχόμενος· τὸν δὲ σκότος ὄσσε κάλυψε·
Τὸν μὲν Ἀχαιῶν ἵπποι ἐπισσώτροις δατέοντο
Πρώτῃ ἐν ὑσμίνῃ· ὁ δ᾽ ἐπ᾽ αὐτῷ Δημολέοντα,
Ἐσθλὸν ἀλεξητῆρα μάχης, Ἀντήνορος υἱὸν,
Νύξε κατὰ κρόταφον, κυνέης διὰ χαλκοπαρήου·
Οὐδ᾽ ἄρα χαλκείη κόρυς ἔσχεθεν, ἀλλὰ δι᾽ αὐτῆς
Αἰχμὴ ἱεμένη ῥῆξ᾽ ὀστέον, ἐγκέφαλος δὲ
Ἔνδον ἅπας πεπάλακτο· δάμασσε δέ μιν μεμαῶτα.
Ἱπποδάμαντα δ᾽ ἔπειτα καθ᾽ ἵππων ἀΐξαντα,
Πρόσθεν ἕθεν φεύγοντα, μετάφρενον οὔτασε δουρί·
Αὐτὰρ ὁ θυμὸν ἄϊσθε, καὶ ἤρυγεν, ὡς ὅτε ταῦρος
Ἤρυγεν ἑλκόμενος Ἑλικώνιον ἀμφὶ ἄνακτα,
Κούρων ἑλκόντων· γάνυται δέ τε τοῖς Ἐνοσίχθων·
Ὣς ἄρα τόν γ᾽ ἐρυγόντα λίπ᾽ ὀστέα θυμὸς ἀγήνωρ.
Αὐτὰρ ὁ βῆ σὺν δουρὶ μετ᾽ ἀντίθεον Πολύδωρον

κα ἤκουσε τὴν φωνὴν τοῦ θεοῦ φθεγξαμένου. ὁ Ἀχιλλεὺς δὲ τοῖς Τρωσὶν ἐφώρμησε κατὰ διάνοιαν ἐνδεδυμένος ἰσχὺν καταπληκτικῶς βοῶν, πρώτως δὲ ἀνεῖλεν Ἰφιτίωνα, τὸν ἀνδρεῖον υἱὸν Ὀτρυντέως, πολλῶν λαῶν ἡγεμόνα, ὃν ἔτεκεν ἡ Ναῒς ἡ νύμφη τῷ Ὀτρυντεῖ τῷ τὰς πόλεις πορθοῦντι, ὑπὸ τῷ χιονοβλήτῳ Τμώλῳ ὄρει τῆς Λυδίας, ἐν τῷ λιπαρῷ καὶ πλουσίῳ δήμῳ τῆς Ὕλης. τοῦτον εὐθὺ προθύμως ὁρμῶντα ἔβαλε δόρατι ὁ ἐνδοξότατος Ἀχιλλεὺς κατὰ τὸ μέσον τῆς κεφαλῆς αὕτη δὲ εἰς δύο πᾶσα ἐσχίσθη, ἐψόφησε δὲ καταπεσών· οὗτος δὲ ἐπεκαυχήσατο ὁ ἐνδοξότατος Ἀχιλλεύς· Τέθνηκας, ὦ υἱὲ τοῦ Ὀτρυντιέως φοβερώτατε πάντων τῶν ἀνδρῶν, ἐνταῦθα σοὶ μὲν ὁ θάνατος, τὸ γένος δέ σοί ἐςι παρὰ τῇ λίμνῃ τῇ Γυγαίᾳ, ὅπȣ σοι ἀγρὸς πατρικός ἐστι παρὰ τῷ ποταμῷ Ὕλῳ τὸ πλῆθος ἰχθύων ἔχοντι, καὶ τῷ Ἕρμῳ τῷ συστροφὰς ῥευμάτων ποιȣντι. Οὕτως εἶπεν ἐπικαυχώμενος, τοῦτον δὲ σκότος κατ' ὀφθαλμοὺς ἐκάλυψε· τοῦτον μὲν οὖν οἱ τῶν Ἑλλήνων ἵπποι τοῖς τροχοῖς διέκοπτον ἐν τῇ πρωτῃ μάχῃ· οὗτος δὲ ἐπ' αὐτῷ Δημολέοντα ἀγαθὸν βοηθὸν τȣ πολέμου, υἱὸν τοῦ Ἀντήνορος, ἔτρωσε κατὰ τὸν μήνιγκα, διὰ τοῦ κράνους τοῦ καλύμματος σιδηροῦ τῶν παρειῶν ἔχοντος, οὐδ' ἄρα τὸ σιδηροῦν κρανος ἐπέσχεν, ἀλλὰ δι' αὐτοῦ ἡ ἐπιδορατὶς ἐφορμῶσα συνέτριψε τὸ ὀστοῦν, ὁ ἐγκέφαλος δὲ ἅπας ἐντὸς ἐμολύνθη τῷ αἵματι, ἀπέκτεινε δὲ αὐτὸν προθυμούμενον. Τὸν Ἱπποδάμαντα δὲ μετὰ ταῦτα ἐκ τῶν ἵππων ὁρμήσαντα, ἔμπροσθεν ἑαυτοῦ φεύγοντα ἔτρωσε τῷ δόρατι κατὰ τὸ μετάφρενον, οὗτος δὲ τὴν ψυχὴν ἠφίει καὶ ἐξέπνει, καὶ ἐμυκᾶτο ὥσπερ ὅτε ταῦρος ἐμυκᾶτο ἑλκόμενος περὶ τὸν Ἑλικώνιον βασιλέα, ἤγουν τὸν Ποσειδῶνα τὸν ἐν Ἑλικῶνι τῷ ὄρει, ἢ ἐν Ἑλίκῃ τιμώμενον τῇ νήσῳ, τῶν νέων ἑλκόντων, τέρπεται δὲ τούτοις ὁ σείων τὴν γῆν. οὕτω δὴ τοῦτον μυκώμενον κατέλιπε κατὰ τὰ ὀςᾶ ἡ ἀνδρεία ψυχή. οὗτος δὲ ὥρμησε σὺν

Πριαμίδην· τὸν δ' οὔτι πατὴρ εἴασκε μάχεσθαι,
Οὕνεκά οἱ μετὰ παισὶ νεώτατος ἔσκε γόνοιο,
Καί οἱ φίλτατος ἔσκε, πόδεσσι δὲ πάντας ἐνίκα.
Δὴ τότε νηπιέῃσι ποδῶν ἀρετὴν ἀναφαίνων,
Θῦνε διὰ προμάχων, εἵως φίλον ὤλεσε θυμόν.
Τὸν βάλε μέσσον ἄκοντι ποδάρκης δῖος Ἀχιλλεὺς,
Νῶτα παραΐσσοντος, ὅθι ζωστῆρος ὀχῆες
Χρύσειοι σύνεχον, καὶ διπλόος ἤντετο θώρηξ·
Ἀντικρὺ δὲ διέσχε παρ' ὀμφαλὸν ἔγχεος αἰχμή·
Γνὺξ δ' ἔριπ' οἰμώξας· νεφέλη δέ μιν ἀμφεκάλυψε
Κυανέη, προτί οἱ δ' ἔλαβ' ἔντερα χερσὶ λιασθείς.
Ἕκτωρ δ', ὡς ἐνόησε κασίγνητον Πολύδωρον,
Ἔντερα χερσὶν ἔχοντα, λιαζόμενον προτὶ γαίῃ,
Κάρ' ῥά οἱ ὀφθαλμῶν κέχυτ' ἀχλὺς, οὐδ' ἄρ' ἔτ' ἔτλη
Δηρὸν ἑκὰς στρωφᾶσθ', ἀλλ' ἀντίος ἦλθ' Ἀχιλῆϊ,
Ὀξὺ δόρυ κραδάων, φλογὶ εἴκελος· αὐτὰρ Ἀχιλλεὺς
Ὡς εἶδ', ὡς ἀνέπαλτο, καὶ εὐχόμενος ἔπος ηὔδα·
Ἐγγὺς ἀνὴρ, ὃς ἐμόν γε μάλιστ' ἐσεμάσσατο θυμὸν,
Ὅς μοι ἑταῖρον ἔπεφνε τετιμένον· οὐδ' ἄρ' ἔτι δὴν
Ἀλλήλους πτώσσοιμεν ἀνὰ πτολέμοιο γεφύρας·
Ἦ, καὶ ὑπόδρα ἰδὼν προσεφώνεεν Ἕκτορα δῖον.
Ἆσσον ἴθ', ὥς κεν θᾶσσον ὀλέθρου πείραθ' ἵκηαι.
Τὸν δ' οὐ ταρβήσας προσέφη κορυθαίολος Ἕκτωρ.
Πηλείδη, μὴ δή μ' ἐπέεσσί γε, νηπύτιον ὣς,
Ἔλπεο δειδίξεσθαι· ἐπεὶ σάφα οἶδα καὶ αὐτὸς
Ἠμὲν κερτομίας, ἠδ' αἴσυλα μυθήσασθαι·
Οἶδα δ', ὅτι σὺ μὲν ἐσθλὸς, ἐγὼ δὲ σέθεν πολὺ χείρων.
Ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται,

τῷ δόρατι ἐπὶ τὸν ἰσόθεον. Πολύδωρον τὸν υἱὸν τοῦ Πριάμου, τοῦτον δὲ οὐδαμῶς ἀφίη ὁ πατὴρ πολεμεῖν, διότι ἐν τοῖς υἱοῖς νεώτατος ἦν αὐτῷ τῇ γενέσει, καὶ φίλτατος αὐτῷ ἦν, τοῖς ποσὶ δὲ ἅπαντας ἐνίκα. τότε τοίνυν μωρίᾳ καὶ ἀνοησίᾳ τὴν τῶν ποδῶν ἀρετὴν ἐπιδεικνύμενος, ἔτρεχε διὰ τῶν προταγωνιστῶν, ἕως ἀπώλεσε τὴν ἀγαπητὴν ψυχήν· τοῦτον ἔτρωσε κατὰ τὸ μέσον δόρατι ὁ ταχύπους ἐνδοξότατος Ἀχιλλεὺς τὰ νῶτα παρακλίνοντα, ὅπου οἱ τῆς θωρακιτιδος ζώνης ὀχεῖς (συνεκτικοὶ ἱμάντες, κρίκοι) οἱ χρυσοῖ συνεῖχον, καὶ ὁ θώραξ συνήρχετο, καὶ συνεκάλυπτε διπλοῦς· ἀπαντικρὺ δὲ παρὰ τὸν ὀμφαλὸν διῆλθεν ἡ ἐπιδορατὶς τοῦ ἀκοντίου, ἔπεσε δὲ ἐπὶ τὰ γόνατα μεγάλως στενάξας, νεφέλη δὲ αὐτὸν περιεκάλυψε μέλαινα, πρὸς ἑαυτὸν δὲ ἀποκλιθεὶς ἔλαβε τὰ ἔντερα ταῖς χερσίν. Ὁ Ἕκτωρ δὲ ἐπειδὴ ἐθεάσατο τὸν ἀδελφὸν Πολύδωρον τὰ ἔντερα κρατοῦντα ταῖς χερσὶν, ἐξηπλωμένον (ἀσπαίροντα) ἐπὶ τῆς γῆς, κατὰ τῶν ὀφθαλμῶν αὐτοῦ ἐπεχύθη ὁμίχλη, οὐδὲ ὑπέμεινεν ἐπὶ πόλυ πόῤῥω που ἀναστρέφεσθαι, ἀλλὰ κατεναντίον ἦλθε τοῦ Ἀχιλλέως, τὸ τμητικὸν δόρυ σείων, ὅμοιος φλογί· ὁ Ἀχιλλεὺς δὲ ὅτε ἐθεάσατο, εὐθέως ἀνεπήδησε, καὶ καυχώμενος λόγον ἔλεγε. Πλησίον ἐστὶν ὁ ἀνὴρ ὅς μάλιστα τὴν (ἧς) ἐμὴν (ἧς) γε ψυχὴν (ἧς) ἐκηλίδωσεν (ἐλύπησεν, καθήψατο), ὅς μοι τὸν ἀγαπητὸν καὶ τετιμημένον φίλον ἀπέκτεινεν· οὐδὲ τοῦ λοιποῦ ἐπὶ πολὺ φοβηθείημεν ἂν ἀλλήλους κατὰ τὰς διαστάσεις τοῦ πολέμου (τὰ διαστήματα τὰ μεταξὺ τῶν στάσεων). Εἶπε· καὶ δεινῶς ὑποβλεψάμενος ἔλεγε πρὸς τὸν ἐνδοξότατον Ἕκτορα· Πλησίον ἐλθὲ, ὅπως ἂν τάχιον καταλάβῃς τὰ πέρατα τοῦ θανάτου. Πρὸς τοῦτον δὲ οὐ φοβηθεὶς εἶπεν ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν Ἕκτωρ· Ὦ υἱὲ τοῦ Πηλέως, μή με δὴ ῥήμασιν ὥσπερ νήπιον καὶ ἄφρονα ἔλπιζε ἐκφοβήσειν, ἐπειδὴ φανερῶς ἐπίσταμαι καὶ ἐγὼ καὶ λοιδωρίας, καὶ τὰς παρὰ τὸ πρέπον ἀπειλὰς εἰπεῖν· ἐπίσταμαι δὲ ὅτι σὺ μὲν ἀνδρεῖος

Αἴκε σε, χειρότερός περ ἐὼν, ἀπὸ θυμὸν ἕλωμαι,
Δουρὶ βαλών· ἐπειὴ καὶ ἐμὸν βέλος ὀξὺ πάροιθεν.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δόρυ, καὶ τό γ' Ἀθήνη
Πνοιῇ Ἀχιλλῆος πάλιν ἔτραπε κυδαλίμοιο,
Ἦκα μάλα ψύξασα· τὸ δ' ἂψ ἵκεθ' Ἕκτορα δῖον,
Αὐτοῦ δὲ προπάροιθε ποδῶν πέσεν· αὐτὰρ Ἀχιλλεὺς
Ἐμμεμαὼς ἐπόρουσε, κατακτάμεναι μενεαίνων,
Σμερδαλέα ἰάχων· τὸν δ' ἐξήρπαξεν Ἀπόλλων
Ῥεῖα μάλ', ὥστε θεὸς, ἐκάλυψε δ' ἄρ' ἠέρι πολλῇ.
Τρὶς μὲν ἔπειτ' ἐπόρουσε ποδάρκης δῖος Ἀχιλλεὺς
Ἔγχεϊ χαλκείῳ, τρὶς δ' ἠέρα τύψε βαθεῖαν·
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπέσσυτο δαίμονι ἶσος,
Δεινὰ δ' ὁμοκλήσας ἔπεα πτερόεντα προσηύδα·
Ἐξ αὖ νῦν ἔφυγες θάνατον, κύον· ἦ τέ τοι ἄγχι
Ἦλθε κακόν· νῦν αὖτέ σ' ἐρύσσατο Φοῖβος Ἀπόλλων,
Ὧι μέλλεις εὔχεσθαι, ἰὼν ἐς δοῦπον ἀκόντων·
Ἦ θήν σ' ἐξανύω γε καὶ ὕστερον ἀντιβολήσας,
Εἴπου τις καὶ ἔμοιγε θεῶν ἐπιτάῤῥοθός ἐστι·
Νῦν αὖ τοὺς ἄλλους ἐπιείσομαι, ὅν κε κιχείω·
Ὣς εἰπὼν, Δρύοπ' οὖτα κατ' αὐχένα μέσσον ἄκοντι·
Ἤριπε δὲ προπάροιθε ποδῶν· ὁ δὲ τὸν μὲν ἔασσε,
Δημοῦχον δὲ Φιλητορίδην ἠΰν τε μέγαν τε
Καγγόνυ δουρὶ βαλὼν ἠρύκακε· τὸν μὲν ἔπειτα
Οὐτάζων ξίφεϊ μεγάλῳ, ἐξαίνυτο θυμόν.
Αὐτὰρ ὁ Λαόγονον καὶ Δάρδανον, υἷε Βίαντος,
Ἄμφω ἐφορμηθεὶς ἐξ ἵππων ὦσε χαμᾶζε,
Τὸν μὲν δουρὶ βαλὼν, τὸν δὲ σχεδὸν ἄορι τύψας.
Τρῶα δ' Ἀλαστορίδην· ὁ μὲν ἀντίος ἤλυθε, γούνων,

εἶ, ἐγὼ δὲ πολλῷ ἥττων σοῦ· ἀλλὰ ταῦτα μὲν ἐν τοῖς γόνασι (τῇ δυνάμει) τῶν θεῶν κεῖνται, ἐάν σε καίπερ ἥττων ὑπάρχων, ὅμως ἀφέλωμαι τὴν ψυχὴν τρώσας τῷ δόρατι· ἐπειδὴ καὶ τὸ ἐμὸν βέλος ὀξὺ καὶ τμητικόν ἐστιν ἔμπροσθεν. Εἶπε δὴ, καὶ ἀνασείσας ἀφῆκε τὸ δόρυ, καὶ τοῦτό γε ἡ Ἀθηνᾶ πνοῇ καὶ ὁρμῇ ἀέρος, ἐπὶ τὸ ἕτερον μέρος τοῦ ἐνδόξου Ἀχιλλέως ἔτρεψεν, ὅ ἐστι τὸ ἐναντίον, ἡσύχως ἠρέμα κοῦφον ποιήσασα (ἐξανεμίσασα)· τοῦτο δὲ εἰς τοὐπίσω ἠνέχθη πρὸς τὸν ἐνδοξότατον Ἕκτορα, ἔπεσε δὲ ἔμπροσθεν τῶν ποδῶν αὐτοῦ· Ἀχιλλεὺς δὲ ἐῤῥωμένος καὶ προθυμούμενος ἐφώρμησεν ἀποκτεῖναι ἐφιέμενος, καταπληκτικῶς βοῶν· τοῦτον δὲ ἀφείλετο ὁ Ἀπόλλων πάνυ ῥαδίως καθάπερ θεὸς, συνεκάλυψε δὲ ἀέρι πολλῷ, καὶ ὁμίχλῃ ὥστε μὴ ὁρᾶσθαι. Τρὶς μὲν οὖν ἐφώρμησεν ὁ ταχύπους ἐνδοξότατος Ἀχιλλεὺς σὺν τῷ σιδηρῷ δόρατι, τρὶς δὲ ἔτυψε τὸν βαθὺν ἀέρα. ἀλλ᾽ ὁπηνίκα δὴ τὸ τέταρτον ἐφώρμησεν ὅμοιος θεῷ, φοβερῶς βοήσας, λόγους ταχεῖς ἔλεγεν· Ἐξέφυγες νῦν πάλιν τὸν θάνατον, ὦ κύον, ὄντως που ἐγγὺς παρεγένετό σοι τὸ δεινὸν, νῦν δέ σε ἔσωσεν ὁ λαμπρὸς Ἀπόλλων, ᾧτινι ἔοικας εὔχεσθαι ἐρχόμενος εἰς τὸν κτύπον τῶν δοράτων, ἤγουν εἰς τὸν πόλεμον. ὄντως που κατεργάσομαί σε, καὶ μετὰ ταῦτα συναντήσας, εἴ τις που τῶν θεῶν κἀμοί ἐστι βοηθός· νῦν δὲ τοὺς ἄλλους ἐπιδιώξομαι, ὃν ἂν καταλάβω. Οὕτως εἰπὼν τὸν Δρύοπα ἔτρωσε κατὰ τὸ μέσον τοῦ αὐχένος δόρατι, κατέπεσε δὲ ἔμπροσθεν τῶν ποδῶν. οὗτος δὲ τοῦτον μὲν κατέλιπε, Δημοῦχον δὲ τὸν υἱὸν τοῦ Φιλήτορος τὸν εὐμεγέθη τε καὶ γενναῖον τρώσας τῷ δόρατι κατὰ τὸ γόνυ διεκώλυσε καὶ κατέσχε· Τοῦτον μὲν οὖν πλήττων ξίφει μεγάλῳ ἀφῃρεῖτο τὴν ψυχήν· οὗτος δὲ Λαόγονον καὶ Δάρδανον τοὺς υἱοὺς τοῦ Βίαντος ἀμφοτέρους ἐφορμήσας, ἐκ τῶν ἵππων ὠθήσας ἔῤῥιψεν ἐπὶ τὴν γῆν, τὸν μὲν τρώσας τῷ δόρατι, τὸν δὲ πλήξας ἐκ τοῦ σύνεγγυς τῷ ξίφει. τὸν Τρῶα δὲ τὸν υἱὸν τοῦ Ἀλάστορος, ὁ μὲν

Εἴπως εὖ πεφίδοιτο, λαβὼν, καὶ ζωὸν ἀφείη,
Μηδὲ κατακτείνειεν ὁμιλικίην ἐλεήσας·
Νήπιος, οὐδὲ τὸ ᾔδη, ὃ οὐ πείσεσθαι ἔμελλεν.
Οὐ γάρ τι γλυκύθυμος ἀνὴρ ἦν, οὐδ' ἀγανόφρων,
Ἀλλὰ μάλ' ἐμμεμαώς· ὁ μὲν ἥπτετο χείρεσι γούνων,
Ἱέμενος λίσσεσθ', ὁ δὲ φασγάνῳ οὖτα καθ' ἧπαρ·
Ἐκ δέ οἱ ἧπαρ ὄλισθεν, ἀτὰρ μέλαν αἷμα κατ' αὐτοῦ
Κόλπον ἐνέπλησεν, τὸν δὲ σκότος ὄσσε κάλυψε,
Θυμοῦ δευόμενον· ὁ δὲ Μούλιον οὖτα παραστὰς
Δουρὶ κατ' οὖς· εἶθαρ δὲ δι' οὔατος ἦλθ' ἑτέροιο
Αἰχμὴ χαλκείη· ὁ δ' Ἀγήνορος υἱὸν Ἔχεκλον
Μέσσην κακκεφαλὴν ξίφει ἤλασε κωπήεντι.
Πᾶν δ' ὑπεθερμάνθη ξίφος αἵματι· τὸν δὲ κατ' ὄσσε
Ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή.
Δευκαλίωνα δ' ἔπειθ', ἵνα τε ξυνέχουσι τένοντες
Ἀγκῶνος, τῇ τόν γε φίλης διὰ χειρὸς ἔπειρεν
Αἰχμὴ χαλκείη· ὁ δέ μιν μένε χεῖρα βαρυνθεὶς,
Πρόσθ' ὁρόων θάνατον· ὁ δὲ φασγάνῳ αὐχένα θείνας,
Τῆλ' αὐτῇ πήληκι κάρη βάλε, μυελὸς αὖτε
Σφονδυλίων ἔκπαλθ'· ὁ δ' ἐπὶ χθονὶ κεῖτο τανυσθείς·
Αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετ' ἀμύμονα Πείρεω υἱὸν,
Ῥίγμον, ὃς ἐκ Θρήκης ἐριβώλακος εἰληλούθει·
Τὸν βάλε μέσσον ἄκοντι, πάγη δ' ἐν πνεύμονι χαλκός·
Ἤριπε δ' ἐξ ὀχέων· ὁ δ' Ἀρηΐθοον θεράποντα,
Ἂψ ἵππους στρέψαντα, μετάφρενον ὀξέϊ δουρὶ
Νύξ', ἀπὸ δ' ἅρματος ὦσε· κυκήθησαν δέ οἱ ἵπποι.
Ὡς δ' ἀναμαιμάει βαθέ' ἄγκεα θεσπιδαὲς πῦρ
Οὔρεος ἀζαλέοιο, βαθεῖα δὲ καίεται ὕλη,

ἐναντίον παρεγένετο, τῶν γονάτων, εἴπως αὐτοῦ φείσαιτο, εἰληφὼς, καὶ ζῶντα ἐάσειε, μηδὲ ἀποκτείνειεν τὴν ὁμοίαν ἡλικίαν οἰκτείρας. ὁ μωρὸς καὶ ἀνόητος, οὐδὲ τοῦτο ἠπίςατο, ὅτι οὐκ ἤμελλε πείθεσθαι, οὐ γὰρ τι ἦν ἀνὴρ προσηνής τε (ἀνειμένος τῇ ψυχῇ) καὶ εὔκολος, οὐδὲ πρᾶος, ἀλλὰ πάνυ ἐνθουσιῶν (ἰταμὸς)· ὁ μὲν γὰρ ἥπτετο ταῖς χερσὶ τῶν γονάτων, ἐφιέμενος ἱκετεῦσαι, οὗτος δὲ τῷ ξίφει ἔπληξε κατὰ τὸ ἧπαρ, ἐξέπεσε δὲ τὸ ἧπαρ αὐτοῦ, αἷμα δὲ μέλαν τὸν ἑαυτοῦ κόλπον κατενέπλησε, τοῦτον δὲ σκότος κατ' ὀφθαλμοὺς περιεκάλυψε ψυχῆς ςερισκόμενον· οὗτος δὲ τὸν Μόλιον ἔτρωσε παραγενόμενος δόρατι κατὰ τὸ οὖς, εὐθέως δὲ διὰ τοῦ ὠτὸς διῆλθε τοῦ ἑτέρου ἡ σιδηρὰ ἐπιδορατίς. αὐτὸς δὲ Ἔχεκλον τὸν υἱὸν τοῦ Ἀγήνορος ἔπληξε τῷ ξίφει...... κατὰ τὸ μέσον τῆς κεφαλῆς, πᾶν δὲ τὸ ξίφος λιαρὸν γέγονε τῷ αἵματι, τοῦτον δὲ κατ' ὀφθαλμοὺς ἔλαβεν ὁ μέλας θάνατος, καὶ ἡ ἰσχυρὰ μοῖρα. τὸν Δευκαλίωνα δὲ μετὰ ταῦτα, ὅπου συνδοῦσιν αἱ ἀπονευρώσεις τῶν μυῶν τοῦ ἀγκῶνος, ἐνταῦθα αὐτὸν διὰ τῆς ἀγαπητῆς χειρὸς διωβέλισεν ἡ σιδηρὰ ἐπιδορατὶς, οὗτος δὲ παρέμενεν αὐτὸν βεβαρυμένος τὴν χεῖρα, ἔμπροσθεν ὁρῶν τὸν θάνατον· ὁ δὲ ξίφει τὸν τράχηλον πλήξας, πόῤῥω σὺν τῇ περικεφαλαίᾳ τὴν κεφαλὴν ἔῤῥιψεν, ὁ μυελὸς δὲ τῶν σφονδύλων ἐνέπεσεν, οὗτος δὲ κατὰ γῆς ἔκειτο ἐκτεταμένος. Αὐτὸς δὲ ὥρμησε πορεύεσθαι ἐπὶ τὸν ἀμώμητον υἱὸν τοῦ Πείρου τὸν Ῥίγμον, ὅστις ἐκ τῆς Θράκης τῆς εὐγείου ἀφίκετο, τοῦτον ἔτρωσε κατὰ τὸ μέσον τῷ δόρατι, ἐνεπάγη δὲ εἰς τὸν πνεύμονα ὁ σίδηρος, κατέπεσε δὲ ἐκ τοῦ ὀχήματος. οὗτος δὲ Ἀρηΐθοον τὸν θεράποντα στρέψαντα εἰς τοὐπίσω τοὺς ἵππους κατὰ τὸ μετάφρενον δόρατι ὀξεῖ ἔτρωσε, κατέῤῥιψε δὲ ἀπὸ τοῦ δίφρου, ἐταράχθησαν δὲ οἱ ἵπποι. ὥσπερ δὲ ἐνθουσιᾷ τὸ θεσπεσίως καιόμενον πῦρ κατὰ τὰ βαθέα κοῖλα τοῦ καταξήρου ὄρους, τὰ μεγάλα δὲ καὶ πυκνὰ δένδρα καίονται, καὶ πάντοσε ταράσσων ὁ ἄνε-

Πάντῃ τε κλονέων ἄνεμος φλόγα εἰλυφάζει·
Ὣς ὅγε πάντῃ θῦνε σὺν ἔγχεϊ, δαίμονι ἶσος,
Κτεινομένους ἐφέπων, ῥέε δ᾽ αἵματι γαῖα μέλαινα.
Ὡς δ᾽ ὅτε τις ζεύξῃ βόας ἄρσενας εὐρυμετώπους,
Τριβέμεναι κρῖ λευκὸν ἐϋτροχάλῳ ἐν ἀλωῇ,
Ῥίμφα τε λέπτ᾽ ἐγένοντο βοῶν ὑπὸ πόσσ᾽ ἐριμύκων·
Ὣς ὑπ᾽ Ἀχιλλῆος μεγαθύμου μώνυχες ἵπποι
Στεῖβον ὁμοῦ νέκυάς τε καὶ ἀσπίδας· αἵματι δ᾽ ἄξων
Νέρθεν ἅπας πεπάλακτο, καὶ ἄντυγες αἳ περὶ δίφρον,
Ἃς ἄρ᾽ ἀφ᾽ ἱππείων ὁπλέων ῥαθάμιγγες ἔβαλλον,
Αἵτ᾽ ἀπ᾽ ἐπισσώτρων· ὁ δὲ ἵετο κῦδος ἀρέσθαι
Πηλείδης, λύθρῳ δὲ παλάσσετο χεῖρας ἀάπτους.

μος τὴν φλόγα ἐλαύνει. οὕτως αὐτὸς πάντοσε ὥρμα ἐνθουσιωδῶς σὺν τῷ δόρατι, ὅμοιος θεῷ, τοὺς ἀναιρουμένους ἐπιδιώκων, περιεῤῥεῖτο δὲ αἵματι ἡ μέλαινα γῆ. ὥσπερ δὲ ὅταν τις συνδιάσῃ βοῦς ἄῤῥενας πλατέα τὰ μέτωπα ἔχοντας τρίβειν κριθὴν λευκὴν ἐν τῇ εὐκύκλῳ ἅλῳ, ῥᾳδίως (ταχέως) λεπτὰ ἐγένοντο ὑπὸ τῶν ποδῶν τῶν μεγαλοφώνων βοῶν. οὕτως ὑπὸ τοῦ μεγαλοψύχου Ἀχιλλέως οἱ μονώνυχες ἵπποι ἐπάτουν ὁμοῦ τούς τε νεκροὺς καὶ τὰς ἀσπίδας, αἵματι δὲ τὸ διὰ τῶν τροχῶν διῆκον ξύλον κάτωθεν ἅπαν ἐμολύνθη, καὶ αἱ περὶ τὸν δίφρον περιφέρειαι, ἃς δὴ αἱ ἐκ τῶν ὀνύχων τῶν ἵππων σταγόνες ἔῤῥαινον, καὶ αἱ ἀπὸ τῶν ἐπικειμένων τοῖς τροχοῖς σιδήρων· οὗτος δὲ ἐφίετο δόξαν λαβεῖν ὁ υἱὸς τοῦ Πηλέως, αἵματι δὲ ἐψυγμένῳ ἐμολύνετο τὰς φοβερὰς καὶ ἀπροσπελάστους χεῖρας.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑ Φ.

Ἀλλ' ὅτε δὴ πόρον ἷξον εὐῤῥεῖος ποταμοῖο
Ξάνθου δινήεντος, ὃν ἀθάνατος τέκετο Ζεύς,
Ἔνθα διατμήξας, τοὺς μὲν πεδίονδ' ἐδίωκε
Πρὸς πόλιν, ᾗπερ οἱ ἄλλοι ἀτυζόμενοι φοβέοντο,
Ἤματι τῷ προτέρῳ, ὅτ' ἐμαίνετο φαίδιμος Ἕκτωρ·
Τῇ ῥ' οἵ γε προχέοντο πεφυζότες· ἠέρα δ' Ἥρη
Πίτνα πρόσθε βαθεῖαν, ἐρυκέμεν· ἡμίσεες δὲ
Ἐς ποταμὸν εἰλεῦντο βαθύῤῥοον, ἀργυροδίνην·
Ἐν δ' ἔπεσον μεγάλῳ πατάγῳ· βράχε δ' αἰπὰ ῥέεθρα,
Ὄχθαι δ' ἀμφὶ περὶ μεγάλ' ἴαχον· οἱ δ' ἀλαλητῷ
Ἔννεον ἔνθα καὶ ἔνθα, ἑλισσόμενοι κατὰ δίνας.
Ὡς δ' ὅθ' ὑπαὶ ῥιπῆς πυρὸς ἀκρίδες ἠερέθονται
Φευγέμεναι ποταμόνδε, τὸ δὲ φλέγει ἀκάματον πῦρ
Ὄρμενον ἐξαίφνης, ταὶ δὲ πτώσσουσι καθ' ὕδωρ·

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩιΔΙΑΣ Φ

ΠΑΡΑΦΡΑΣΙΣ.

Αλλ' ὁπηνίκα δὴ ἀφίκοντο εἰς τὸν πόρον τοῦ καλῶς ῥέοντος ποταμοῦ Ξάνθου τοῦ περιφερῆ ῥεύματα ἔχοντος, ὃν ἐγέννησεν ὁ ἀθάνατος Ζεὺς, ἐνταῦθα διελὼν τοὺς μὲν εἰς τὸ πεδίον ἐδίωκε πρὸς τὴν πόλιν, ὅπου (ἔνθα) οἱ ἄλλοι ταραττόμενοι ἔφευγον τῇ προτέρᾳ ἡμέρᾳ, ἡνίκα ἐνθουσιωδῶς ἐμάχετο ὁ λαμπρὸς Ἕκτωρ· ἐνταῦθα (ἐκεῖσε) δὴ οὗτοί γε δειλιῶντες ἀλλεπαλλήλοι ἔφευγον, ἀέρα δὲ ἡ Ἥρα ἐξέτεινεν καὶ κατέχεεν ἔμπροσθεν βαθὺν, ὥστε διακωλύειν καὶ κατέχειν αὐτούς· οἱ ἡμίσεις δὲ εἰς τὸν βαθέα ῥεύματα ἔχοντα ποταμὸν συνωθοῦντο τὸν λευκὰς συστροφὰς ποιοῦντα, ἐνέπεσον δὲ εἰς αὐτὸν σὺν μεγάλῳ ψόφῳ, ἤχουν δὲ τὰ μεγάλα ῥεύματα, τὰ πέριξ δὲ κρημνώδη τοῦ ποταμοῦ μεγάλως περιεψόφουν, οὗτοι δὲ σὺν θορύβῳ ὥρμων τῇδε κἀκεῖσε συστρεφόμενοι κατὰ τὰ ῥεύματα. ὥσπερ δὲ ὅτε ὑπὸ πυρὸς ὁρμῆς αἱ ἀκρίδες ἐρεθίζονται φεύγειν εἰς τὸν ποταμὸν, τοῦτο δὲ καίει τὸ ἀκαταπόνητον πῦρ, ἐγειρόμενον αἰφνιδίως, αἱ δὲ φοβούμεναι φεύγουσιν εἰς τὸ ὕδωρ· οὕτως ὑπὸ τοῦ Ἀχιλ-

Ὣς ὑπ' Ἀχιλλῆος Ξάνθου βαθυδινήεντος
Πλῆτο ῥόος κελάδων ἐπιμὶξ ἵππων τε καὶ ἀνδρῶν.
Αὐτὰρ ὁ Διογενὴς δόρυ μὲν λίπεν αὐτοῦ ἐπ' ὄχθῃ,
Κεκλιμένον μυρίκῃσιν· ὁ δ' ἔσθορε, δαίμονι ἶσος,
Φάσγανον οἶον ἔχων, κακὰ δὲ φρεσὶ μήδετο ἔργα·
Τύπτε δ' ἐπιστροφάδην· τῶν δὲ στόνος ὤρνυτ' ἀεικὴς
Ἄορι θεινομένων, ἐρυθαίνετο δ' αἵματι ὕδωρ.
Ὡς δ' ὑπὸ δελφῖνος μεγακήτεος ἰχθύες ἄλλοι
Φεύγοντες, πιμπλᾶσι μυχοὺς λιμένος εὐόρμου,
Δειδιότες· μάλα γάρ τε κατεσθίει, ὅν κε λάβῃσιν·
Ὣς Τρῶες ποταμοῖο κατὰ δεινοῖο ῥέεθρα
Πτῶσσον ὑπὸ κρημνούς· ὁ δ' ἐπεὶ κάμε χεῖρας ἐναίρων,
Ζωοὺς ἐκ ποταμοῖο δυώδεκα λέξατο κούρους,
Ποινὴν Πατρόκλοιο Μενοιτιάδαο θανόντος·
Τοὺς ἐξῆγε θύραζε τεθηπότας, ἠΰτε νεβρούς·
Δῆσε δ' ὀπίσσω χεῖρας ἐϋτμήτοισιν ἱμᾶσι,
Τοὺς αὐτοὶ φορέεσκον ἐπὶ στρεπτοῖσι χιτῶσι·
Δῶκε δ' ἑταίροισιν, κατάγειν κοίλας ἐπὶ νῆας·
Αὐτὰρ ὁ ἂψ ἐπόρουσε, κατακτάμεναι μενεαίνων,
Ἔνθ' υἱεῖ Πριάμοιο συνήντετο Δαρδανίδαο,
Ἐκ ποταμοῦ φεύγοντι, Λυκάονι· τόν ῥά ποτ' αὐτὸς
Ἦγε, λαβὼν ἐκ πατρὸς ἀλωῆς οὐκ ἐθέλοντα,
Ἐννύχιος προμολών· ὁ δ' ἐρινεὸν ὀξέϊ χαλκῷ
Τάμνε νέους ὄρπηκας, ἵν' ἅρματος ἄντυγες εἶεν·
Τῷ δ' ἄρ' ἀνώϊστον κακὸν ἤλυθε δῖος Ἀχιλλεύς·
Καὶ τότε μέν μιν Λῆμνον ἐϋκτιμένην ἐπέρασσε,
Νηυσὶν ἄγων· ἀτὰρ υἱὸς Ἰήσονος ὦνον ἔδωκε.
Κεῖθεν δὲ ξεῖνός μιν ἐλύσατο, πολλὰ δ' ἔδωκεν,

λέως ὁ τοῦ Ξάνθου τοῦ βαθέα ῥεύματα ἔχοντος ῥοῦς ἐπληρώθη ὁ πολύηχος, ἀναμὶξ ἀνδρῶν τε καὶ ἵππων. οὗτος δὲ ὁ ἐκ τοῦ Διὸς καταγόμενος τὸ μὲν δόρυ κατέλιπεν αὐτόθι παρὰ τὸ χεῖλος τοῦ ποταμοῦ, ἀνακεκλιμένον καὶ προσερηρεισμένον ταῖς μυρίναις, αὐτὸς δὲ εἰσεπήδησεν ὅμοιος θεῷ τὸ ξίφος μόνον κατέχων, δεινὰ δὲ ἔργα κατὰ διάνοιαν ἐβουλεύετο, ἔπληττε δὲ συνεστραμμένως μηδένα τόπον παραλιμπάνων, τούτων δὲ δεινὸς καὶ χαλεπὸς στεναγμὸς ἠγείρετο τυπτομένων καὶ ἀναιρουμένων τῷ ξίφει, ἐρυθρὸν δὲ ἀπετελεῖτο τὸ ὕδωρ ὑπὸ τοῦ αἵματος. ὥσπερ δὲ ὑπὸ δελφῖνος μεγάλου οἱ ἄλλοι ἰχθύες φεύγοντες πληροῦσι τὰς καταδύσεις τοῦ ἐπικαίρου λιμένος φοβούμενοι, πάνυ γὰρ κατατρώγει ὃν ἂν λάβῃ. οὕτως οἱ Τρῶες κατὰ τὰ ῥεύματα τοῦ φοβεροῦ (μεγάλου θαυμαστοῦ) ποταμοῦ περίφοβοι ἐγίνοντο ὑπὸ τὰς ἐπικρεμαμένας ὄχθας τοῖς ὕδασιν· οὗτος δὲ ἐπειδὴ ἠδυνάτησε τὰς χεῖρας ἀποκτείνων, δώδεκα νέους ζῶντας ἐκ τοῦ ποταμοῦ ἐπελέξατο τιμωρίαν καὶ ἀντέκτισιν Πατρόκλου τοῦ υἱοῦ τοῦ Μενοιτίου ἀποθανόντος· τούτους ἐξήγαγεν ἔξω ἐπτοημένους καθάπερ γεννήματα ἐλάφων, ἔδησε δὲ εἰς τοὐπίσω τὰς χεῖρας λωροῖς καλῶς κεκομμένοις, οὓς αὐτοί γε ἔφερον ἐν τοῖς ἀλυσιδώτοις χιτῶσιν, ἔδωκε δὲ τοῖς φίλοις κατάγειν ἐπὶ τὰς βαθείας ναῦς· οὗτος δὲ αὖθις ἐφώρμησεν ἀποκτεῖναι προθυμούμενος· τηνικαῦτα συνήντησε τῷ υἱῷ τοῦ Πριάμου τοῦ ἐκ τοῦ Δαρδάνου καταγομένου φεύγοντι ἐκ τοῦ ποταμοῦ, τῷ Λυκάονι, ὃν δήποτε αὐτὸς λαβὼν ἦγεν ἐκ τῆς δενδροφόρου γῆς τοῦ πατρὸς, μὴ βουλόμενον, νύκτωρ ἐπελθὼν, οὗτος δὲ σιδήρῳ ὀξεῖ συκῆς ἀγρίας κλάδους νέους ἔκοπτεν, ἵνα ὦσι περιφέρειαι τοῦ ἅρματος· τούτῳ δ᾽ ἄρα ἀνεπιλόγιστον δεινὸν ἐπῆλθεν ὁ ἐνδοξότατος Ἀχιλλεὺς, καὶ τότε μὲν αὐτὸν ἐπέρασεν εἰς τὴν καλῶς οἰκουμένην Λῆμνον, ἄγων ἐν ταῖς ναυσὶν· ὁ υἱὸς δὲ τοῦ Ἰάσονος τιμὴν καὶ λύτρον αὐτοῦ ἔδωκεν, ἐκεῖθεν δὲ ὁ ξένος αὐτὸν ἠλευθέρωσε, πολλὰ δὲ ἔδωκεν

Ἴμβριος Ἠετίων, πέμψεν δ' ἐς δῖαν Ἀρίσβην·
Ἔνθεν ὑπεκπροφυγὼν, πατρώϊον ἵκετο δῶμα.
Ἕνδεκα δ' ἤματα θυμὸν ἐτέρπετο οἷσι φίλοισιν,
Ἐλθὼν ἐκ Λήμνοιο· δυωδεκάτῃ δέ μιν αὖτις
Χερσὶν Ἀχιλλῆος θεὸς ἔμβαλεν, ὅς μιν ἔμελλε
Πέμψειν εἰς Ἀΐδαο, καὶ οὐκ ἐθέλοντα νέεσθαι.
Τὸν δ' ὡς οὖν ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς
Γυμνὸν ἄτερ κόρυθός τε καὶ ἀσπίδος, οὐδ' ἔχεν ἔγχος,
Ἀλλὰ τὰ μὲν ῥ' ἀπὸ πάντα χαμαὶ βάλε· τεῖρε γὰρ ἱδρὼς
Φεύγοντ' ἐκ ποταμοῦ, κάματος δ' ὑπὸ γούνατ' ἐδάμνα·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὢ πόποι, ἦ μέγα θαῦμα τόδ' ὀφθαλμοῖσιν ὁρῶμαι·
Ἦ μάλα δὴ Τρῶες μεγαλήτορες, οὕσπερ ἔπεφνον,
Αὖτις ἀναστήσονται ὑπὸ ζόφου ἠερόεντος·
Οἷον δὴ καὶ ὅδ' ἦλθε, φυγὼν ὑπὸ νηλεὲς ἦμαρ,
Λῆμνον ἐς ἠγαθέην πεπερημένος· οὐδέ μιν ἔσχε
Πόντος ἁλὸς πολιῆς, ὃ πολεῖς ἀέκοντας ἐρύκει.
Ἀλλ' ἄγε δὴ καὶ δουρὸς ἀκωκῆς ἡμετέροιο
Γεύσεται, ὄφρα ἴδωμαι ἐνὶ φρεσὶν, ἠδὲ δαείω,
Ἦ ἄρ' ὁμῶς καὶ κεῖθεν ἐλεύσεται, ἦ μιν ἐρύξει
Γῆ φυσίζοος, ἥτε κατὰ κρατερόν περ ἐρύκει.
Ὣς ὥρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθε τεθηπὼς,
Γούνων ἅψασθαι μεμαώς· περὶ δ' ἤθελε θυμῷ
Ἐκφυγέειν θάνατόν τε κακὸν καὶ κῆρα μέλαιναν·
Ἤτοι ὁ μὲν δόρυ μακρὸν ἀνέσχετο δῖος Ἀχιλλεύς,
Οὐτάμεναι μεμαώς· ὁ δ' ὑπέδραμε καὶ λάβε γούνων
Κύψας· ἐγχείη δ' ἄρ' ὑπὲρ νώτου ἐνὶ γαίῃ
Ἔστη, ἱεμένη χροὸς ἄμμεναι ἀνδρομέοιο.

ὁ ἐκ τῆς Ἴμβρου Ἠετίων, ἔπεμψε δὲ εἰς τὴν ἐνδοξοτάτην Ἀρίσβην· ἐκεῖθεν ἐκφυγὼν ἀφίκετο εἰς τὸν πατρικὸν οἶκον, ἕνδεκα δὲ ἡμέρας εὐφραίνετο κατὰ ψυχὴν, τοῖς ἑαυτοῦ φίλοις καὶ οἰκείοις, παραγενόμενος ἐκ τῆς Λήμνου, τῇ δωδεκάτῃ δὲ αὐτὸν πάλιν ὁ θεὸς ἐνέβαλεν εἰς τὰς χεῖρας τοῦ Ἀχιλλέως, ὅστις αὐτὸν ἔμελλε πέμψειν εἰς Ἅιδου καὶ μὴ βουλόμενον πορεύεσθαι. τοῦτον δ᾽ οὖν ὡς ἐθεάσατο ὁ ταχύπους ἐνδοξότατος Ἀχιλλεὺς ἄοπλον ἄνευ κράνους τε καὶ ἀσπίδος, οὐδ᾽ εἶχε δόρυ, ἀλλὰ ταῦτα μὲν ἅπαντα ἀπεβάλετο κατὰ γῆς, κατεπόνει γὰρ αὐτὸν ὁ ἱδρὼς φεύγοντα ἐκ τοῦ ποταμοῦ, ὁ κόπος δὲ τὰ γόνατα ἐδάμαζεν, ἀγανακτήσας δὲ εἶπε πρὸς τὴν ἑαυτοῦ μεγαλόφρονα ψυχήν· Φεῦ φεῦ, ὄντως μέγα θαῦμα τοῦτο θεῶμαι τοῖς ὀφθαλμοῖς, ὄντως δὴ πάνυ οἱ μεγαλόψυχοι Τρῶες, οὓς γε ἀπέκτεινα, αὖθις ἐγερθήσονται ἐκ τοῦ σκοτεινοῦ ζόφου τοῦ ᾅδου, καθάπερ δὴ καὶ οὗτος ἀφίκετο ἐκφυγὼν τὴν ἀνηλεῆ καὶ χαλεπὴν ἡμέραν ἀπαχθεὶς εἰς τὴν Λῆμνον τὴν ἄγαν θείαν, οὐδὲ διεκώλυσε καὶ κατέσχεν αὐτὰν ὁ πόντος τῆς λευκῆς θαλάσσης, ὃς πολλοὺς ἄκοντας κατέχει. ἀλλὰ δὴ καὶ τῆς τοῦ ἡμετέρου δόρατος ὀξύτητος γεύσεται, ὅπως θεάσωμαι κατὰ διάνοιαν καὶ μάθω, ἢ δὴ ὁμοίως κἀκεῖθεν ἀφίξεται, ἢ κωλύσει καὶ καθέξει αὐτὸν ἡ τὰ πρὸς ζωὴν φύουσα γῆ, ἥγε καὶ τὸν κραταιόν τε καὶ ἰσχυρὸν κωλύει τε καὶ κατέχει. Οὕτω διελογίζετο μένων· οὗτος δὲ ἐγγὺς παρεγένετο αὐτοῦ ἐκπεπληγμένος ἅψασθαι τῶν γονάτων αὐτοῦ προθυμούμενος, πάνυ δὲ ἐβούλετο κατὰ ψυχὴν ἐκφυγεῖν τόν τε χαλεπὸν θάνατον, καὶ τὴν σκοτεινὴν μοῖραν. ὁ μὲν οὖν τὸ μακρὸν δόρυ ἀνέσχεν ὁ ἐνδοξότατος Ἀχιλλεὺς τρῶσαι προθυμούμενος, οὗτος δὲ ὑπέδραμε καὶ ἐλάβετο τῶν γονάτων κλιθεὶς, τὸ δόρυ δὲ ὑπεράνω τῶν νώτων ἐνεχθὲν εἰς τὴν γῆν ἐνεπάγη ἐφιέμενον γεύσασθαι σώματος ἀνδρικοῦ. οὗτος δὲ τῇ ἑτέρᾳ

Αὐτὰρ ὁ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίσσετο γούνων,
Τῇ δ' ἑτέρῃ ἔχεν ἔγχος ἀκαχμένον, οὐδὲ μεθίει·
Καί μιν λισσόμενος ἔπεα πτερόεντα προσηύδα·
Γουνοῦμαί σ', Ἀχιλεῦ· σὺ δὲ μ' αἴδεο, καὶ μ' ἐλέησον·
Ἀντί τοι εἰμ' ἱκέταο, διοτρεφὲς, αἰδοίοιο.
Πὰρ γάρ σοι πρώτῳ πασάμην Δημήτερος ἀκτὴν,
Ἤματι τῷ, ὅτε μ' εἷλες εὐκτιμένῃ ἐν ἀλωῇ,
Καί μ' ἐπέρασσας, ἄνευθεν ἄγων πατρός τε φίλων τε,
Λῆμνον ἐς ἠγαθέην· ἑκατόμβοιον δέ τοι ἦλφον·
Νῦν δὲ λύμην τρὶς τόσσα πορών· ἠὼς δέ μοι ἐστὶν
Ἥδε δυωδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα,
Πολλὰ παθών· νῦν αὖ με τεῆς ἐν χερσὶν ἔθηκε
Μοῖρ' ὀλοή· μέλλω που ἀπέχθεσθαι Διῒ πατρὶ,
Ὅς με σοὶ αὖτις ἔδωκε· μινυνθάδιον δέ με μήτηρ
Γείνατο Λαοθόη, θυγάτηρ Ἄλταο γέροντος,
Ἄλτεω, ὃς Λελέγεσσι φιλοπτολέμοισιν ἀνάσσει,
Πήδασον αἰπήεσσαν ἔχων, ὑπὸ Σατνιόεντι·
Τοῦ δ' ἔχε θυγατέρα Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας·
Τῆσδε δύω γενόμεσθα, σὺ δ' ἄμφω δειροτομήσεις·
Ἤτοι τὸν πρώτοισι μετὰ πρυλέεσσι δάμασσας,
Ἀντίθεον Πολύδωρον, ἐπεὶ βάλες ὀξέϊ δουρί·
Νῦν δὲ δὴ ἐνθάδε μοι κακὸν ἔσσεται· οὐ γὰρ ὀΐω
Σὰς χεῖρας φεύξεσθαι, ἐπεί ῥ' ἐπέλασσέ γε δαίμων.
Ἄλλο δέ τοι ἐρέω, σὺ δ' ἐνὶ φρεσὶ βάλλεο σῇσι·
Μή με κτεῖν', ἐπεὶ οὐχ ὁμογάστριος Ἕκτορός εἰμι,
Ὅς τοι ἑταῖρον ἔπεφνεν ἐνηέα τε, κρατερόν τε.
Ὣς ἄρα μιν Πριάμοιο προσηύδα φαίδιμος υἱὸς,
Λισσόμενος ἐπέεσσιν· ἀμείλικτον δ' ὄπ' ἄκουσε·

χειρὶ . . . .
κατεῖχε τὸ ἠκονημένον δόρυ, οὐδὲ ἀφίη, καὶ ἱκετεύων αὐτὸν λόγους ταχεῖς ἔλεγε· Δέομαί σου, ὦ Ἀχιλλεῦ, σὺ δέ με αἰδοῦ, καί με οἴκτειρον, ἴσος ἱκέτῃ αἰδοῦς ἀξίῳ ὑπάρχω σοι, ὦ ἐνδοξότατα τεθραμμένε, παρὰ σοὶ γὰρ πρώτῳ ἔφαγον τὸν τῆς Δήμητρος ἄρτον τῇ ἡμέρᾳ ἐκείνῃ, ἡνίκα με ἔλαβες ἐν τῇ καλῶς οἰκουμένῃ δενδροφόρῳ γῇ, καί με ἐπέρασας ἀπάγων πόῤῥω τοῦ τε πατρὸς καὶ τῶν συγγενῶν καὶ φίλων, εἰς τὴν Λῆμνον τὴν ἄγαν θείαν, ἑκατὸν δέ σοι νομίσματα εὗρον, νῦν δ' ἂν λυθείην τρὶς τοσαῦτα διδούς· ἡμέρα δέ μοι ὑπάρχει ἤδε δωδεκάτη, ἀφ' οὗ εἰς τὸ Ἴλιον ἀφικόμην πολλὰ δεινὰ πεπονθὼς, νῦν δέ με ἐν ταῖς σαῖς χερσὶν ἔθηκεν ἡ ὀλεθρία μοῖρα, ἔοικα δήπου μισητὸς εἶναι τῷ Διῒ τῷ πατρὶ, ὅστις με πάλιν σοι παρέδωκεν, ὀλιγοχρόνιον δέ με ἡ μήτηρ ἔτεκεν Λαοθόη ἡ θυγάτηρ τοῦ γέροντος Ἄλτου, τοῦ Ἄλτου, ὃς τῶν φιλοπολέμων Λελέγων βασιλεύει, τὴν ὑψηλὴν Πήδασον οἰκῶν παρὰ τὸν Σατνιοέντα ποταμόν. τούτου δὴ τὴν θυγατέρα ἔσχεν ὁ Πρίαμος, πολλὰς δὲ καὶ ἄλλας, ἐκ ταύτης δὲ δύο ἐγενόμεθα, σὺ δ' ἀμφοτέρους ἀπαυχενίσεις καὶ ἀποκτενεῖς· τὸν μὲν γὰρ ἐν τοῖς πρώτοις πεζοῖς ἀνεῖλες τὸν ἰσόθεον Πολύδωρον, ἐπειδὴ ἔτρωσας δόρατι ὀξεῖ· νυνὶ δὲ ἐνταῦθα ἐμοὶ τὸ δεινὸν ἔσται, οὐ γὰρ ὑπολαμβάνω δυνήσεσθαι φυγεῖν τὰς σὰς χεῖρας, ἐπειδὴ προσεπήγαγεν ὁ θεός. ἄλλο δέ σοι λέξω, σὺ δὲ ἔμβαλε αὐτὸ ἐν τῇ σῇ διανοίᾳ. μή με ἀποκτείνῃς, ἐπειδὴ οὐκ εἰμὶ ὁμομήτριος τοῦ Ἕκτορος, ὅστις σοι τὸν φίλον ἀπέκτεινε τὸν προσηνῆ τε καὶ ἰσχυρόν. Οὕτω δὴ ἔλεγε πρὸς αὐτὸν ὁ λαμπρὸς υἱὸς τοῦ Πριάμου ἱκετεύων λόγοις· σκληρὰν δὲ καὶ ἀπηνῆ φωνὴν ἀντήκουσεν· Ὦ μωρὲ καὶ ἀνόητε, μή μοι λύτρα σήμαινε,

Νήπιε, μή μοι ἄποινα πιφαύσκεο, μηδ' ἀγόρευε·
Πρὶν μὲν γὰρ Πάτροκλον ἐπισπεῖν αἴσιμον ἦμαρ,
Τόφρα τί μοι πεφιδέσθαι ἐνὶ φρεσὶ φίλτερον ἦεν
Τρώων, καὶ πολλοὺς ζωοὺς ἕλον, ἠδ' ἐπέρασσα·
Νῦν δ' οὐκ ἔσθ', ὅστις θάνατον φύγῃ, ὅν κε θεός γε
Ἰλίου προπάροιθεν ἐμῇς ἐν χερσὶ βάλῃσι
Συμπάντων Τρώων, περὶ δ' αὖ Πριάμοιό γε παίδων.
Ἀλλά, φίλος, θάνε καὶ σύ· τίη ὀλοφύρεαι αὔτως;
Κάτθανε καὶ Πάτροκλος, ὅπερ σέο πολλὸν ἀμείνων·
Οὐχ ὁράᾳς, οἷος κἀγὼ, καλός τε, μέγας τε,
Πατρὸς δ' εἴμ' ἀγαθοῖο, θεὰ δέ με γείνατο μήτηρ·
Ἀλλ' ἔπι τοι καὶ ἐμοὶ θάνατος καὶ μοῖρα κραταιή
Ἔσσεται, ἢ ἠὼς, ἢ δείλη, ἢ μέσον ἦμαρ·
Ὁππότε τις καὶ ἐμεῖο Ἄρῃ ἐκ θυμὸν ἕληται,
Ἢ ὅγε δουρὶ βαλὼν, ἢ ἀπὸ νευρῆφιν ὀϊστῷ.
Ὣς φάτο· τοῦ δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ·
Ἔγχος μέν ῥ' ἀφέηκεν, ὁ δ' ἕζετο χεῖρε πετάσσας
Ἀμφοτέρας. Ἀχιλεὺς δὲ ἐρυσσάμενος ξίφος ὀξὺ
Τύψε κατὰ κληῖδα παρ' αὐχένα· πᾶν δέ οἱ εἴσω
Δῦ ξίφος ἄμφηκες· ὁ δ' ἄρα πρηνὴς ἐπὶ γαίῃ
Κεῖτο ταθείς· ἐκ δ' αἷμα μέλαν ῥέε, δεῦε δὲ γαῖαν.
Τὸν δ' Ἀχιλεὺς ποταμόνδε, λαβὼν ποδὸς, ἧκε φέρεσθαι,
Καί οἱ ἐπευχόμενος ἔπεα πτερόεντ' ἀγόρευεν·
Ἐνταυθοῖ νῦν κεῖσο μετ' ἰχθύσιν, οἵ σ' ὠτειλῆς
Αἷμ' ἀπολιχμήσονται ἀκηδέες· οὐδέ σε μήτηρ
Ἐνθεμένη λεχέεσσι γοήσεται· ἀλλὰ Σκάμανδρος
Οἴσει δινήεις εἴσω ἁλὸς εὐρέα κόλπον.
Θρώσκων τις κατὰ κῦμα μέλαιναν φρῖχ' ὑπαΐξει

μηδὲ λέγε, πρὶν μὲν γὰρ τὸν Πάτροκλον καταλαβεῖν (πληρῶσαι) τὴν εἱμαρμένην ἡμέραν, τότε μοι φιλικώτερόν τι ἦν ἐν τῇ διανοίᾳ φείδεσθαι τῶν Τρώων, καὶ πολλοὺς ζῶντας ἔλαβον καὶ ἐπέρασα. νυνὶ δὲ οὐκ ἔστιν ὃς ἂν τὸν θάνατον ἐκφύγοι, ὃν ἂν ὁ θεὸς ἔμπροσθεν τοῦ Ἰλίου ἐμβάλῃ εἰς τὰς ἐμὰς χεῖρας ἀπὸ πάντων τῶν Τρώων, μάλιστα δὲ ἀπὸ τῶν υἱῶν τοῦ Πριάμου. Ἀλλ', ὦ φίλε, ἀπόθανε καὶ σύ· τί δὴ οὕτως ὀδύρῃ; ἀπέθανε καὶ ὁ Πάτροκλος, ὅς γε σοῦ κρείσσων κατὰ πολύ· οὐχ ὁρᾷς οἷος καὶ ἐγὼ εὐειδής τε καὶ εὐμεγέθης, πατρὸς δὲ εἰμὶ ἀγαθοῦ, μήτηρ δέ με θεὰ ἔτεκεν· ἀλλ' ἔπεστι (ἐπὶ σοὶ) κἀμοὶ θάνατος καὶ μοῖρα ἰσχυρὰ ἔσται ἢ πρωῒ, ἢ δείλῃ ὀψίᾳ, ἢ μέσον ἡμέρας, ἡνίκα τις καὶ ἐμοῦ τὴν ψυχὴν ἀφέληται βλάβῃ, ἢ δόρατι τρώσας οὗτος, ἢ βέλει ἀπὸ νευρᾶς. Οὕτως εἶπε. τούτου δὲ αὐτόθι διελύθησαν τὰ γόνατα, καὶ ἡ ἀγαπητὴ ψυχή· Τὸ δόρυ μὲν οὖν ἀφῆκεν, αὐτὸς δὲ ἐκάθισε τὰ χεῖρας ἄρας ἀμφοτέρας· ὁ Ἀχιλλεὺς δὲ σπασάμενος τὸ ὀξὺ ξίφος, ἔπληξε κατὰ τὴν κατακλεῖδα παρὰ τὸν τράχηλον, πᾶν δὲ αὐτοῦ ἐντὸς εἰσῆλθε τὸ δίστομον ξίφος· οὗτος δὲ κατὰ πρόσωπον ἐπὶ τῇ γῇ πεσὼν ἔκειτο ἐκτεταμένος, ἐξεχεῖτο δὲ τὸ μέλαν αἷμα, διέβρεχε δὲ τὴν γῆν, τοῦτον δὲ ὁ Ἀχιλλεὺς ἔρριψεν ἀπὸ τοῦ ποδὸς εἰς τὸν ποταμὸν ὥστε φέρεσθαι, καὶ καυχόμενος ἐπ' αὐτῷ λόγους ταχεῖς ἔλεγε· Κεῖσο νῦν ἐνταῦθα ἐν τοῖς ἰχθύσιν, οἵ σου τὸ τῆς πληγῆς αἷμα ἀπολείξουσι μηδενὸς κηδόμενοι, οὐδέ σε ἡ μήτηρ θεμένη ἐν τῇ στρωμνῇ κλαύσεται, ἀλλὰ ὁ Σκάμανδρος ὁ συστροφὰς ῥευμάτων ποιῶν ἀποίσει εἰς τὸν πλατὺν κόλπον τῆς θαλάσσης, καί τις ἐφαλλόμενος ὑπὸ τὴν θάλασσαν (κολυμβῶν ὑπὸ τὸ κῦμα), ὑφορμήσει ἐπὶ τὴν μέλαιναν φρίκα, ἤτοι τὸ ἐπανεστηκὸς τῆς θαλάσσης, ἐπιπολῆς, ἰχθὺς, ὃς ἂν φάγῃ τὸ τοῦ

Ἰχθὺς, ὅς κε φάγῃσι Λυκάονος ἀργέτα δημόν.
Φθείρεσθ', εἰσόκεν ἄστυ κιχείομεν Ἰλίου ἱρῆς.
Ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δ' ὄπιθεν κεραΐζων·
Οὐδ' ὑμῖν ποταμός περ ἐΰῤῥοος ἀργυροδίνης
Ἀρκέσει, ᾧ δὴ δηθὰ πολεῖς ἱερεύετε ταύρους,
Ζωοὺς δ' ἐν δίνῃσι καθίετε μώνυχας ἵππους.
Ἀλλὰ καὶ ὣς ὀλέεσθε κακὸν μόρον, εἰσόκε πάντες
Τίσετε Πατρόκλοιο φόνον, καὶ λοιγὸν Ἀχαιῶν,
Οὓς ἐπὶ νηυσὶ θοῇσιν ἐπέφνετε, νόσφιν ἐμεῖο.
Ὣς ἄρ' ἔφη· Ποταμὸς δὲ χολώσατο κηρόθι μᾶλλον·
Ὥρμηνεν δ' ἀνὰ θυμὸν, ὅπως παύσειε πόνοιο
Δῖον Ἀχιλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
Τόφρα δὲ Πηλέος υἱὸς, ἔχων δολιχόσκιον ἔγχος,
Ἀστεροπαίῳ ἐπᾶλτο, κατακτάμεναι μενεαίνων,
Υἱέϊ Πηλεγόνος· τὸν δ' Ἀξῖος εὐρυρέεθρος
Γείνατο, καὶ Περίβοια, Ἀκεσσαμενοῖο θυγατρῶν
Πρεσβυτάτη· τῇ γάρ ῥα μίγη Ποταμὸς βαθυδίνης.
Τῷ ῥ' Ἀχιλεὺς ἐπόρουσεν· δ' ἀντίος ἐκ ποταμοῖο
Ἔστη, ἔχων δύο δοῦρε· μένος δέ οἱ ἐν φρεσὶ θῆκε
Ξάνθος, ἐπεὶ κεχόλωτο δαϊκταμένων αἰζηῶν,
Τοὺς Ἀχιλεὺς ἐδάϊζε κατὰ ῥόον, οὐδ' ἐλέαιρεν,
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Τίς, πόθεν εἷς ἀνδρῶν, ὅ μευ ἔτλης ἀντίος ἐλθεῖν;
Δυστήνων δέ τε παῖδες ἐμῷ μένει ἀντιόωσι.
Τὸν δ' αὖ Πηλεγόνος προσεφώνεε φαίδιμος υἱός·
Πηλείδη μεγάθυμε, τίη γενεὴν ἐρεείνεις;
Εἴμ' ἐκ Παιονίης ἐριβώλου, τηλόθ' ἐούσης,

Λυκάονος λευκὸν λίπος. Φθείρεσθε καὶ ἀφανίζεσθε, ἕως ἂν τὴν πόλιν καταλάβωμεν τῆς ἱερᾶς Ἰλίου, ὑμεῖς μὲν φεύγοντες, ἐγὼ δὲ ὄπισθεν διχοτομῶν καὶ ἀποκτείνων· οὐδὲ ὑμῖν ποταμός γε ὁ καλλίῤῥους καὶ διειδὴς βοηθήσει, ᾧτινι δὴ συνεχῶς πολλοὺς ταύρους θύετε, ζῶντας δὲ ἵππους μονώνυχας βαπτίζετε ἐν τοῖς ῥεύμασιν, ἀλλὰ καὶ οὕτως ἀπολεῖσθε θανάτῳ κακῷ, ἕως ἅπαντες ἀποδῶτε τὸν τοῦ Πατρόκλου φόνον, καὶ τὸν ὄλεθρον τῶν Ἑλλήνων, οὓς παρὰ ταῖς ταχείαις ναυσὶν ἀπεκτείνατε χωρὶς ἐμοῦ· Οὕτω δὴ εἶπεν. ὁ ποταμὸς δὲ ὠργίσθη κατὰ ψυχὴν μᾶλλον, διελλογίσατο δὲ κατὰ ψυχὴν, ὅπως ἀποστήσειε τοῦ φόνου τὸν ἐνδοξότατον Ἀχιλλέα, τοῖς Τρωσὶ δὲ ἀποσοβήσειε τὸν ὄλεθρον· τότε δὲ ὁ τοῦ Πηλέως υἱὸς τὸ μακρὸν δόρυ κατέχων ἐπεπήδησε τῷ Ἀστεροπαίῳ, προθυμούμενος ἀποκτεῖναι, τῷ υἱῷ τοῦ Πηλεγόνος· τοῦτον δὲ Ἀξιος ὁ πλατέα ῥεύματα ἔχων ποταμὸς ἐγέννησε καὶ ἡ Περίβοια ἡ τῶν τοῦ Ἀκεσσαμενοῦ θυγατρῶν πρεσβυτέρα, ταύτῃ γὰρ ἐμίγη ὁ βαθύῤῥους ποταμός. τούτῳ δὴ ὁ Ἀχιλλεὺς ἐφώρμησεν, οὗτος δὲ ἐναντίον ἐκ τοῦ ποταμοῦ ἀντέστη κατέχων δόρατα δύο, εὐθαρσίαν δὲ αὐτῷ κατὰ διάνοιαν ἔθηκεν ὁ Ξάνθος, ἐπειδὴ ὠργίσθη ἕνεκα τῶν ἀναιρεθέντων νέων, οὓς ὁ Ἀχιλλεὺς ἀνῄρει κατὰ τὸ ῥεῦμα, οὐδὲ ἠλέει. οὗτοι δὲ ὅτε δὴ ἦσαν ἐγγὺς ἐπ' ἀλλήλους ὁρμῶντες, πρὸς τοῦτον πρότερον εἶπεν ὁ ταχύπους ἐνδοξότατος Ἀχιλλεύς· Τίς ἀνὴρ εἶ, καὶ πόθεν, ὃς ὑπέμεινας ἐπελθεῖν ἐναντίον ἐμοῦ; ἀθλίων δὲ υἱοὶ τῇ ἐμῇ εὐτολμίᾳ ἀπαντῶσιν. Πρὸς τοῦτον δὲ ἔλεγεν ὁ τοῦ Πηλεγόνος λαμπρὸς υἱός· Ὦ μεγαλόψυχε υἱὲ τοῦ Πηλέως, τί δὴ ἐρωτᾷς τὸ γένος; ἐκ τῆς Παιονίας εἰμὶ τῆς εὐγείου τῆς πόῤῥω οὔσης, ἄγων ἄνδρας Παίονας μακροῖς δόρασιν χρωμέ-

Παίονας ἄνδρας ἄγων δολιχεγχέας· ἥδε δέ μοι νῦν
Ἠὼς ἐνδεκάτη, ὅτ' ἐς Ἴλιον εἰλήλουθα·
Αὐτὰρ ἐμὴ γενεὴ ἐξ Ἀξίου εὐρὺ ῥέοντος,
Ἀξίου, ὃς κάλλιστον ὕδωρ ἐπὶ γαῖαν ἵησι,
Ὃς τέκε Πηλεγόνα κλυτὸν ἔγχεϊ· τόνδε μέ φασὶ
Γείνασθαι· νῦν αὖτε μαχώμεθα, φαίδιμ' Ἀχιλλεῦ.
Ὣς φάτ' ἀπειλήσας· ὁ δ' ἀνέσχετο δῖος Ἀχιλλεὺς
Πηλιάδα μελίην· ὁ δ' ἁμαρτῇ δούρασιν ἀμφὶς
Ἥρως Ἀστεροπαῖος, ἐπεὶ περιδέξιος ἦε·
Καί ῥ' ἑτέρῳ μὲν δουρὶ σάκος βάλεν, οὐδὲ διὰ πρὸ
Ῥῆξε σάκος χρυσὸς γὰρ ἐρύκακε, δῶρα θεοῖο·
Τῷ δ' ἑτέρῳ μιν πῆχυν ἐπιγράβδην βάλε χειρὸς
Δεξιτερῆς, σύτο δ' αἷμα κελαινεφές· ἡ δ' ὑπὲρ αὐτοῦ
Γαίῃ ἐνεστήρικτο, λιλαιομένη χροὸς ἆσαι.
Δεύτερος αὖτ' Ἀχιλεὺς μελίην ἰθυπτίωνα
Ἀστεροπαίῳ ἐφῆκε, κατακτάμεναι μενεαίνων·
Καὶ τοῦ μὲν ῥ' ἀφάμαρτεν· ὁ δ' ὑψηλὴν βάλεν ὄχθην,
Μεσσοπαλὲς δ' ἄρ' ἔθηκε κατ' ὄχθης μείλινον ἔγχος.
Πηλείδης δ' ἄορ ὀξὺ ἐρυσσάμενος παρὰ μηροῦ,
Ἆλτ' ἐπί οἱ μεμαώς· ὁ δ' ἄρα μελίην Ἀχιλῆος
Οὐ δύνατ' ἐκ κρημνοῖο ἐρύσσαι χειρὶ παχείῃ·
Τρὶς μέν μιν πελέμιξεν, ἐρύσσασθαι μενεαίνων,
Τρὶς δὲ μεθῆκε βίης· τὸ δὲ τέτρατον, ἤθελε θυμῷ
Ἆξαι ἐπιγνάμψας δόρυ μείλινον Αἰακίδαο,
Ἀλλὰ πρὶν Ἀχιλεὺς σχεδὸν ἄορι θυμὸν ἀπηύρα·
Γαστέρα γάρ μιν τύψε παρ' ὀμφαλόν· ἐκ δ' ἄρα πᾶσαι
Χύντο χαμαὶ χολάδες· τὸν δὲ σκότος ὄσσε κάλυψεν
Ἀσθμαίνοντ'· Ἀχιλεὺς δ' ἄρ ἐνὶ στήθεσσιν ὀρούσας,

νους· ἡ παροῦσα δέ μοι νῦν ἡμέρα ἑνδεκάτη ἀφ' οὗ εἰς τὸ Ἴλιον ἀφικόμην· ἡ ἐμὴ δὲ γένεσις ἐκ τοῦ Ἀξίου τοῦ εὐρέως ῥέοντος ποταμοῦ ἐστιν· Ἀξίου, ὃς κάλλιστον ὕδωρ ἐπὶ τὴν γῆν προχεῖ, ὃς ἐγέννησε Πηλεγόνα τὸν ἔνδοξον τῷ δόρατι, τοῦτον δέ με φασὶ γεννῆσαι· νῦν δὲ πολεμῶμεν, ὦ λαμπρότατε Ἀχιλλεῦ. Οὕτως εἶπεν ἀλαζονευσάμενος· Ἀχιλλεὺς δὲ ὁ ἐνδοξότατος ἀνέσχε τὴν ἐκ τοῦ Πηλΐου ὄρους μελίαν· ὁδὲ ὁμοῦ τοῖς δόρασιν ἀμφοτέρωθεν ὁ ἥρως Ἀστεροπαῖος, ἐπειδὴ ἀμφιδέξιος ἦν, καὶ δὴ τῷ ἑτέρῳ μὲν δόρατι ἔτυψε τὴν ἀσπίδα, οὐδὲ εἰς τὸ πρόσω διέῤῥηξε τὴν ἀσπίδα, διεκώλυσε γὰρ καὶ κατέσχεν ὁ χρυσὸς, τὰ δῶρα τοῦ θεοῦ· τῷ ἑτέρῳ δὲ ἔτρωσεν αὐτὸν ἐπιξεστικῶς κατὰ τὸν πῆχυν τῆς χειρὸς τῆς δεξιᾶς, ἐχεῖτο δὲ αἷμα μέλαν, ὑπεράνω δὲ αὐτοῦ ἐνεχθὲν τῇ γῇ προσερήρειστο, ἐπιθυμοῦν ἐμπλησθῆναι σώματος. Δεύτερος δὲ ὁ Ἀχιλλεὺς τὸ κατ' εὐθὺ πετόμενον δόρυ ἐπαφῆκε τῷ Ἀστεροπαίῳ, ἀποκτεῖναι προθυμούμενος, καὶ τούτου μὲν ἀπέτυχεν, αὐτὸς δὲ τὸ εἰς ὕψος διανεστηκὸς κρημνῶδες τοῦ ποταμοῦ ἔτυψε, μέχρι δὲ τοῦ μέσου καταπεπηγὸς ἐποίησε κατὰ τὴν ὄχθην τὸ ἐκ μελίας δόρυ. ὁ υἱὸς δὲ τοῦ Πηλέως τὸ ὀξὺ ξίφος σπασάμενος παρὰ τοῦ μηροῦ ἐπήδησεν ἐπ' αὐτὸν προθυμούμενος· οὗτος δὲ τὸ δόρυ τοῦ Ἀχιλλέως οὐκ ἐδύνατο ἐκ τοῦ κρημνοῦ ἀποσπάσαι τῇ παχείᾳ καὶ ἰσχυρᾷ χειρί. Τρὶς μὲν οὖν αὐτὸ παρέσεισεν ἐξελκῦσαι προθυμούμενος, τρὶς δὲ ἀφῆκεν αὐτὸ τῷ μὴ περιεῖναι μείζονα ἰσχύν. τὸ τέταρτον δὲ ἐβουλήθη κατὰ ψυχὴν συντρίψαι ἐπικάμψας τὸ ἐκ μελίας δόρυ τοῦ ἐγγόνου τοῦ Αἰακοῦ· ἀλλὰ πρότερον ὁ Ἀχιλλεὺς ἐγγύθεν ξίφει ἀφείλετο τὴν ψυχήν· ἔπληξε γὰρ αὐτὸν εἰς τὴν γαστέρα παρὰ τὸν ὀμφαλὸν, πάντα δ' ἄρα ἐξεχύθησαν ἐπὶ τὴν γῆν τὰ ἔντερα, τοῦτον δὲ σκότος ἐκάλυψε κατ' ὀφθαλμοὺς πνευστιῶντα· ὁ Ἀχιλλεὺς δὲ ὁρμήσας ἐκ τοῦ στήθους

Τεύχεά τ' ἐξενάριξε, καὶ εὐχόμενος ἔπος ηὔδα·
Κεῖσ' οὕτω· χαλεπόν τοι ἐρισθενέος Κρονίωνος
Παισὶν ἐριζέμεναι, Ποταμοῖό περ ἐκγεγαῶτι.
Φῆσθα σὺ μὲν Ποταμοῦ γένος ἔμμεναι εὐρὺ ῥέοντος·
Αὐτὰρ ἐγὼ γενεὴν μεγάλου Διὸς εὔχομαι εἶναι·
Τίκτε μ' ἀνὴρ, πολλοῖσιν ἀνάσσων Μυρμιδόνεσσι,
Πηλεὺς Αἰακίδης· ὁ δ' ἄρ Αἰακὸς ἐκ Διὸς ἦεν·
Τῷ κρείσσων μὲν Ζεὺς Ποταμῶν ἁλιμυρηέντων·
Κρείσσων δ' αὖτε Διὸς γενεὴ Ποταμοῖο τέτυκται.
Καὶ γάρ σοι ποταμός γε πάρα μέγας, εἴ δύναταί τι
Χραισμεῖν· ἀλλ' οὐκ ἔστι Διῒ Κρονίωνι μάχεσθαι·
Τῷ οὐδὲ κρείων Ἀχελώϊος ἰσοφαρίζει,
Οὐδὲ βαθυῤῥείταο μέγα σθένος Ὠκεανοῖο,
Ἐξ οὗπερ πάντες ποταμοὶ, καὶ πᾶσα θάλασσα,
Καὶ πᾶσαι κρῆναι, καὶ φρείατα μακρὰ νάουσιν·
Ἀλλὰ καὶ ὃς δείδοικε Διὸς μεγάλοιο κεραυνὸν,
Δεινήν τε βροντὴν, ὅτ' ἀπ' οὐρανόθεν σμαραγήσῃ.
Ἦ ῥα, καὶ ἐκ κρημνοῖο ἐρύσσατο χάλκεον ἔγχος.
Τὸν δὲ κατ' αὐτόθι λεῖπεν, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
Κείμενον ἐν ψαμάθοισι, δίαινε δέ μιν μέλαν ὕδωρ.
Τὸν μὲν ἄρ' ἐγχέλυές τε καὶ ἰχθύες ἀμφεπένοντο,
Δημὸν ἐρεπτόμενοι ἐπινεφρίδιον κείροντες·
Αὐτὰρ ὁ βῆ ῥ' ἰέναι μετὰ Παίονας ἱπποκορυστὰς,
Οἵ ῥ' ἔτι πὰρ ποταμὸν πεφοβήατο δινήεντα,
Ὡς εἶδον τὸν ἄριστον ἐνὶ κρατερῇ ὑσμίνῃ
Χέρσ' ὑπὸ Πηλείδαο καὶ ἄορι ἶφι δαμέντα.
Ἔνθ' ἕλε Θερσίλοχόν τε, Μύδωνά τε, Ἀστύπυλόν τε,
Μνῆσόν τε, Θράσιόν τε, καὶ Αἴνιον, ἠδ' Ὀφελέστην·

τὰ ὅπλα τε ἀφείλετο, καὶ καυχώμενος ἔπος ἔλεγε· Κεῖσο οὕτω, δύσκολόν σοι ἐστὶ τοῖς τοῦ μεγαλοδυνάμου υἱοῦ τοῦ Κρόνου υἱοῖς μάχεσθαι, καίπερ ἐκ τοῦ Ποταμοῦ γεννηθέντι· ἔφης σὺ μὲν ποταμοῦ εἶναι κατὰ τὸ γένος, τοῦ εὐρέως ῥέοντος, ἐγὼ δὲ κατὰ τὴν γενεὰν τοῦ μεγάλου Διὸς εἶναι καυχῶμαι. ἐγέννησέ με ἀνὴρ βασιλεύων τῶν πολλῶν Μυρμιδόνων, Πηλεὺς ὁ τοῦ Αἰακοῦ, οὗτος δὲ ὁ Αἰακὸς ἐκ τοῦ Διὸς ἦν· δι' ὃ κρείσσων μέν ἐστιν ὁ Ζεὺς τῶν ποταμῶν τῶν ἐκβαλλόντων εἰς τὴν θάλασσαν, κρείσσων δὲ ἡ γενεὰ τοῦ Διὸς τῆς τοῦ ποταμοῦ ὑπάρχει, καὶ γάρ σοι ποταμός γε πάρεστι μέγας, εἰ δύναταί τι βοηθεῖν, ἀλλ' οὐκ ἔστι δυνατὸν μάχεσθαι τῷ Διῒ τῷ υἱῷ τοῦ Κρόνου, ᾧτινι οὐδὲ ὁ βασιλεὺς Ἀχελῷος ἐξισοῦται, οὐδὲ ἡ τὰ βαθέα ῥεύματα ἔχοντος Ὠκεανοῦ δύναμις, ἐξ οὗγε πάντες οἱ ποταμοὶ καὶ πᾶσα ἡ θάλασσα, καὶ πᾶσαι αἱ πηγαὶ, καὶ τὰ βαθέα φρέατα βλύζουσι καὶ ῥέουσιν, ἀλλὰ καὶ οὗτος φοβεῖται τὸν κεραυνὸν τοῦ μεγάλου Διὸς, καὶ τὴν φοβερὰν βροντὴν, ὅτε ἀπὸ τȣ̃ ȣ̓ρανȣ̃ ἠχήσει καὶ ψοφήσει. Εἶπε δὴ, καὶ ἐκ τοῦ κρημνȣ̃ εἵλκυσε τὸ σιδηροῦν δόρυ, τοῦτον δὲ αὐτόθι κατέλιπεν, ἐπειδὴ ἀφείλετο τὴν προσφιλῆ ψυχὴν, κείμενον ἐν τῇ ἄμμῳ, διέβρεχε δὲ αὐτὸν τὸ μέλαν ὕδωρ· τοῦτον μὲν οὖν αἱ ἐγχέλυες καὶ οἱ ἰχθύες κατέτρωγον, τὴν τῶν νεφρῶν πιμελὴν ἐσθίοντες καὶ καταβρώχοντες. οὗτος δὲ ὥρμησε πορεύεσθαι ἐπὶ Παίονας τοὺς ἐφίππους ὁπλίτας, οἳ δὴ ἔτι μᾶλλον παρὰ τὸν ποταμὸν ἔφευγον τὸν συστροφὰς ὑδάτων ποιοῦντα, ἐπειδὴ ἐθεάσαντο τὸν κράτιστον ἐν τῇ ἰσχυρᾷ μάχῃ ἀναιρεθέντα ἐπικρατῶς ὑπὸ τῶν χειρῶν, καὶ τοῦ ξίφους τοῦ υἱοῦ τοῦ Πηλέως. τότε ἀπέκτεινε τὸν Θερσίλοχον, καὶ τὸν Μύδωνα, καὶ τὸν Ἀστύπυλον, καὶ τὸν Μνῆσον, καὶ τὸν Θράσιον, καὶ τὸν Αἴνιον, καὶ τὸν Ὀφελέστην. καὶ δὴ ἂν ἔτι πλείονας ἀπέκτεινε

Καί νύ κ' ἔτι πλέονας κτάνε Παίονας ὠκὺς Ἀχιλλεὺς,
Εἰ μὴ χωσάμενος προσέφη Ποταμὸς βαθυδίνης,
Ἀνέρι εἰσάμενος, βαθέης δ' ἐφθέγξατο δίνης·
Ὦ Ἀχιλεῦ, περὶ μὲν κρατέεις, περὶ δ' αἴσυλα ῥέζεις
Ἀνδρῶν· αἰεὶ γάρ τοι ἀμύνουσι θεοὶ αὐτοί.
Εἴ τοι Τρῶας ἔδωκε Κρόνου παῖς πάντας ὀλέσσαι
Ἐξ ἐμέθεν γ' ἐλάσας πεδίον κάτα, μέρμερα ῥέζε·
Πλήθει γὰρ δή μοι νεκύων ἐρατεινὰ ῥέεθρα,
Οὐδέ τι πῇ δύναμαι προχέειν ῥόον εἰς ἅλα δῖαν,
Στεινόμενος νεκύεσσι· σὺ δὲ κτείνεις ἀϊδήλως·
Ἀλλ', ἄγε δὴ καὶ ἔασον· ἄγη μ' ἔχει, ὄρχαμε λαῶν.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἔσται ταῦτα, Σκάμανδρε Διοτρεφὲς, ὡς σὺ κελεύεις·
Τρῶας δ' οὐ πρὶν λήξω ὑπερφιάλους ἐναρίζων,
Πρὶν ἔλσαι κατὰ ἄστυ, καὶ Ἕκτορι πειρηθῆναι
Ἀντιβίην, ἤ κέν με δαμάσσεται, ἤ κεν ἐγὼ τόν.
Ὣς εἰπὼν, Τρώεσσιν ἐπέσσυτο, δαίμονι ἶσος.
Καὶ τότ' Ἀπόλλωνα προσέφη Ποταμὸς βαθυδίνης·
Ὢ πόποι, Ἀργυρότοξε, Διὸς τέκος, οὐ σύ γε βουλὰς
Εἰρύσαο Κρονίωνος, ὅ τοι μάλα πόλλ' ἐπέτελλε
Τρωσὶ παριστάμεναι καὶ ἀμύνειν, εἰσόκεν ἔλθῃ
Δείελος ὀψὲ δύων, σκιάσῃ δ' ἐρίβωλον ἄρουραν.
Ἦ, καὶ Ἀχιλλεὺς μὲν δουρικλυτὸς ἔνθορε μέσσῳ,
Κρημνοῦ ἀπαΐξας· ὁ δ' ἐπέσσυτο, οἴδματι θύων·
Πάντα δ' ὄρινε ῥέεθρα κυκώμενος· ὦσε δὲ νεκροὺς
Πολλοὺς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, οὓς κτάν' Ἀχιλλεύς·
Τοὺς ἔκβαλλε θύραζε, μεμυκὼς ἠΰτε ταῦρος,
Χέρσονδε· ζωοὺς δὲ σάω κατὰ καλὰ ῥέεθρα,

Παίονας ὁ ταχύπους Ἀχιλλεὺς, εἰ μὴ μεγάλως ὀργισθεὶς εἶπε πρὸς αὐτὸν ὁ βαθύῤῥους ποταμὸς, ἀνδρὶ ὁμοιωθεὶς, ἐκ τῆς βαθείας δὲ συστροφῆς τοῦ ὕδατος ἐλάλησεν. Ὦ Ἀχιλλεῦ, πάνυ μὲν νικᾷς, πάνυ δὲ ἄδικα ποιεῖς, ... εἴ σοι ὁ τοῦ Κρόνου υἱὸς ἔδωκε πάντας τοὺς Τρῶας ἀπολέσαι, ἀπ' ἐμοῦ ἐξελάσας κατὰ τὸ πεδίον τὰ δεινὰ πράττε, πεπληρωμένα γάρ εἰσι νεκρῶν τὰ ἐπέραστά μου ῥεύματα, οὐδέτι που δύναμαι προχεῖν τὸν ῥοῦν εἰς τὴν ἐνδοξοτάτην θάλασσαν στενοχωρούμενος τοῖς νεκροῖς, σὺ δὲ ἄρδην ἀποκτείνεις· ἀλλ' ἄγε δὴ καὶ κορέσθητι, μίασμά με κατέχει, ἀρχηγὲ τοῦ λαοῦ. Πρὸς τοῦτον δὲ ἀποκρινόμενος εἶπεν ὁ κατὰ πόδας ταχὺς Ἀχιλλεύς· Ἔσονται ταῦτα Σκάμανδρε ἐκ Διὸς τεθραμμένε, καθάπερ ἐπιτάττεις (λέγεις), τοὺς Τρῶας δὲ τοὺς ὑβριστὰς οὐ πρότερον παύσομαι ἀποκτείνων, πρὶν συνελάσαι αὐτοὺς εἰς τὴν πόλιν, καὶ τῷ Ἕκτορι .... κατὰ βιαίαν ἐναντίωσιν, ὅπως ἢ ἀποκτείνῃ με, ἢ ἐγὼ αὐτόν. Οὕτως εἰπὼν, ἐφώρμησε τοῖς Τρωσὶν ὅμοιος θεῷ. Καὶ τηνικαῦτα δὴ πρὸς τὸν Ἀπόλλωνα εἶπεν ὁ βαθύῤῥους ποταμός· Φεῦ φεῦ, ὦ ἀργυρότοξε, υἱὲ τοῦ Διὸς, οὐ σύ γε τὰς βουλὰς, καὶ ἐπιταγὰς ἐφύλαξας τοῦ υἱοῦ τοῦ Κρόνου, ὅς σοι πάνυ πολλὰ ἐπέταττε παρίστασθαι καὶ βοηθεῖν τοῖς Τρωσὶν, ἕως ἂν παραγένηται ἡ δείλη ἡ ὀψὲ δύνουσα, συσκιάσῃ δὲ τὴν μεγαλέβωλον γῆν. Εἶπε· καὶ Ἀχιλλεὺς μὲν ὁ κατὰ πόλεμον ἔνδοξος κατεπήδησεν εἰς τὸ μέσον, ὁρμήσας ἀπὸ τοῦ κρημνοῦ καὶ τῆς ὄχθης, οὗτος δὲ ἐφώρμησε τῷ κύματι ἐνθουσιῶν, πάντα δὲ διήγειρε τὰ ῥεύματα ταραττόμενος, ἀπεωθήσατο δὲ τοὺς νεκροὺς τοὺς πολλοὺς, οἳ δὴ κατ' αὐτὸν ἦσαν ἱκανῶς, οὓς ἀπέκτεινεν ὁ Ἀχιλλεύς. τούτους ἐξέβαλεν εἰς τὸ ἔξω, βοῶν καθάπερ ταῦρος, ἐπὶ τὴν χέρσον· τοὺς ζῶντας δὲ ἔσωζε κατὰ τὰ περικαλλῆ ῥεύματα,

Κρύπτων ἐν δίνῃσιν βαθείῃσιν μεγάλῃσι.
Δεινὸν δ' ἀμφ' Ἀχιλῆα κυκώμενον ἵστατο κῦμα,
Ὤθει δ' ἐν σακεϊ πίπτων ῥόος, οὐδὲ πόδεσσιν
Εἶχε στηρίξασθαι· ὁ δὲ πτελέην ἕλε χερσὶν
Εὐφυέα, μεγάλην· ἡ δ' ἐκ ῥιζῶν ἐριποῦσα
Κρημνὸν ἅπαντα διῶσεν, ἐπέσχε δὲ καλὰ ῥέεθρα
Ὄζοισι πυκινοῖσι· γεφύρωσεν δέ μιν αὐτὸν,
Εἴσω πᾶσ' ἐριποῦσ'· ὁ δ' ἄρ' ἐκ δίνης ἀνορούσας,
Ἤϊξεν πεδίοιο ποσὶ κραιπνοῖσι πέτεσθαι,
Δείσας· οὐδ' ἔτ' ἔληγε θεὸς μέγας, ὦρτο δ' ἐπ' αὐτῷ
Ἀκροκελαινιόων, ἵνα μιν παύσειε πόνοιο
Δῖον Ἀχιλλῆα, Τρώεσσι δὲ λοιγὸν ἀλάλκοι.
Πηλείδης δ' ἀπόρουσεν, ὅσον τ' ἐπὶ δουρὸς ἐρωὴν,
Αἰετοῦ οἴματ' ἔχων μέλανος τοῦ θηρητῆρος,
Ὅς θ' ἅμα κάρτιστός τε καὶ ὤκιστος πετεηνῶν.
Τῷ εἰκὼς ἤϊξεν· ἐπὶ στήθεσσι δὲ χαλκὸς
Σμερδαλέον κονάβιζεν· ὕπαιθα δὲ τοῖο λιασθεὶς
Φεῦγ', ὁ δ' ὄπισθε ῥέων ἕπετο μεγάλῳ ὀρυμαγδῷ.
Ὡς δ' ὅτ' ἀνὴρ ὀχετηγὸς ἀπὸ κρήνης μελανύδρου
Ἀμφυτὰ καὶ κήπους ὕδατος ῥόον ἡγεμονεύῃ,
Χερσὶ μάκελλαν ἔχων, ἀμάρης ἐξ ἔχματα βάλλων·
Τοῦ μέν τε προρέοντος ὑπὸ ψηφῖδες ἅπασαι
Ὀχλεῦνται, τὸ δέ τ' ὦκα κατειβόμενον κελαρύζει
Χώρῳ ἐνὶ προαλεῖ, φθάνει δέ τε καὶ τὸν ἄγοντα·
Ὣς αἰεὶ Ἀχιλῆα κιχήσατο κῦμα ῥόοιο,
Καὶ λαιψηρὸν ἐόντα· θεοὶ δέ τε φέρτεροι ἀνδρῶν.
Ὁσσάκι δ' ὁρμήσειε ποδάρκης δῖος Ἀχιλλεὺς
Στῆναι ἐναντίβιον, καὶ γνώμεναι, εἴ μιν ἅπαντες

κρύπτων αὐτοὺς ἐν ταῖς βαθείαις καὶ μεγάλαις συστροφαῖς τοῦ ὕδατος, δεινῶς δὲ καὶ φοβερῶς ταραττόμενον τὸ κῦμα ἵστατο περὶ τὸν Ἀχιλλέα, ἀπεωθεῖτο δ' αὐτὸν ὁ ῥοῦς ἐμπίπτων τῇ ἀσπίδι, οὐδὲ τοῖς ποσὶν ἐδύνατο ἑδρασθῆναι· Οὗτος δὲ πτελέαν ἐκράτησε ταῖς χερσὶ μεγάλως ἐμπεφυκυῖαν, αὕτη δὲ πρόῤῥιζος καταπεσοῦσα πᾶσαν τὴν ὄχθην κατέβαλε, διεκώλυσε δὲ τὰ περικαλλῆ ῥεῖθρα κλάδοις πυκνοῖς, ἐγεφύρωσε δὲ καὶ ἔζευξεν αὐτὸν, ἐντὸς πᾶσα καταπεσοῦσα· οὗτος δὲ ἐκ τῆς συστροφῆς τοῦ ὕδατος ἀνορμήσας, ἐπέθετο τρέχειν διὰ τοῦ πεδίου ταχέσι ποσὶ φοβηθεὶς, οὐδὲ ἀπεπαύετο ὁ μέγας θεὸς, ὥρμησε δὲ κατ' αὐτοῦ κατὰ τὴν ἐπιφάνειαν μελαινόμενος, ὅπως αὐτὸν ἀποστήσειε τῆς μάχης τὸν ἐνδοξότατον Ἀχιλλέα, τοῖς Τρωσὶ δὲ ἀποσοβήσειε τὸν ὄλεθρον. Ὁ υἱὸς δὲ τοῦ Πηλέως ἀνεχώρησεν ὅσον ἐπιβολὴν δόρατος, ἀετοῦ ὁρμήματα ποιούμενος μέλανος τοῦ πρὸς θήραν ἐπιτηδείου, ὅστις ὁμοῦ καὶ ἰσχυρότατος καὶ τάχιστός ἐστι πάντων τῶν ὀρνέων. τούτῳ ὅμοιος ὥρμησεν, ἐν τῷ στήθει δὲ τὰ ὅπλα καταπληκτικῶς ἤχησαν· ἐκπλαγίου (εἰς τὸ ἔμπροσθεν) δὲ τούτου ἀποχωρισθεὶς ἔφευγεν, οὗτος δὲ ῥέων ὄπισθεν ἐδίωκε σὺν μεγάλῃ βοῇ. ὥσπερ δὲ ὅταν ἀνὴρ ὑδραγωγὸς ἀπὸ πηγῆς μέλαν ὕδωρ ἐχούσης ἐπὶ τὰ δένδρα καὶ τοὺς κήπους ῥύσιν τῷ ὕδατι προπαρασκευάζῃ, ταῖς χερσὶ σκαλίδα κατέχων, τῆς ὑδροχόης τὰ ἐμπόδια ἐκβάλλων, τούτου δὲ προχεομένου πάντες οἱ μικροὶ λίθοι ὑποκινοῦνται, τοῦτο δὲ ταχέως καταῤῥέον ἠχεῖ ἐν τόπῳ κατάντει, φθάνει δὲ καὶ αὐτὸν τὸν ὁδηγοῦντα. Οὕτως ἀεὶ τὸν Ἀχιλλέα κατελάμβανε τὸ κῦμα τοῦ ῥοῦ, καὶ λίαν ταχὺν ὑπάρχοντα, οἱ γὰρ θεοὶ κρείττονές εἰσι τῶν ἀνδρῶν. ὁσάκις δὲ διενοεῖτο ὁ ταχύπους ἐνδοξότατος Ἀχιλλεὺς στῆναι ἐναντίον, καὶ γνῶναι, εἰ πάντες αὐτὸν οἱ θεοὶ διώ-

Ἀθάνατοι φοβέουσι, τοὶ οὐρανὸν εὐρὺν ἔχουσι,
Τοσσάκι μιν μέγα κῦμα Διϊπετέος ποταμοῖο
Πλάζ᾽ ὤμους καθύπερθεν· ὁ δ᾽ ὑψόσε ποσσὶν ἐπήδα,
Θυμῷ ἀνιάζων· ποταμὸς δ᾽ ὑπὸ γούνατ᾽ ἐδάμνα
Λάβρος, ὕπαιθα ῥέων, κονίην δ᾽ ὑπέρεπτε ποδοῖϊν·
Πηλείδης δ᾽ ᾤμωξεν, ἰδὼν ἐς οὐρανὸν εὐρύν·
Ζεῦ πάτερ, ὡς οὔτις με θεῶν ἐλεεινὸν ὑπέστη
Ἐκ ποταμοῖο σαῶσαι· ἔπειτα δὲ καί τι πάθοιμι.
Ἄλλος δ᾽ οὔτις μοι τόσον αἴτιος οὐρανιώνων,
Ἀλλὰ φίλη μήτηρ, ἥ με ψεύδεσσιν ἔθελγεν,
Ἥ μ᾽ ἔφατο Τρώων ὑπὸ τείχεϊ θωρηκτάων
Λαιψηροῖς ὀλέεσθαι Ἀπόλλωνος βελέεσσιν.
Ὥς μ᾽ ὄφελ᾽ Ἕκτωρ κτεῖναι, ὃς ἐνθάδε τέτραφ᾽ ἄριστος,
Τῷ κ᾽ ἀγαθὸς μὲν ἔπεφν᾽, ἀγαθὸν δέ κεν ἐξενάριξε·
Νῦν δέ με λευγαλέῳ θανάτῳ εἵμαρτο ἁλῶναι,
Ἐρχθέντ᾽ ἐν μεγάλῳ ποταμῷ, ὡς παῖδα συφορβὸν,
Ὅν ῥά τ᾽ ἔναυλος ἀποέρσῃ χειμῶνι περῶντα.
Ὣς φάτο· τῷ δὲ μάλ᾽ ὦκα Ποσειδάων καὶ Ἀθήνη
Στήτην ἐγγὺς ἰόντε, δέμας δ᾽ ἄνδρεσσιν ἐΐκτην·
Χειρὶ δὲ χεῖρα λαβόντες ἐπιστώσαντ᾽ ἐπέεσσι·
Τοῖσι δὲ μύθων ἦρχε Ποσειδάων ἐνοσίχθων·
Πηλείδη, μήτ᾽ ἄρ τι λίην τρέε, μήτε τι τάρβει·
Τοίω γάρ τοι νῶϊ θεῶν ἐπιταρρόθω εἰμὲν,
Ζηνὸς ἐπαινήσαντος· ἐγὼ καὶ Παλλὰς Ἀθήνη·
Ὡς οὔ τοι ποταμῷ γε δαμήμεναι αἴσιμόν ἐστιν·
Ἀλλ᾽ ὅδε μὲν τάχα λωφήσει, σὺ δὲ εἴσεαι αὐτός·
Αὐτάρ τοι πυκινῶς ὑποθησόμεθ᾽, αἴκε πίθηαι,
Μὴ πρὶν παύειν χεῖρας ὁμοιΐου πτολέμοιο,

κουσιν, οἱ τὸν πλατὺν καὶ μέγαν οὐρανὸν κατοικοῦντες, τοσάκις αὐτὸν τὸ μέγα κῦμα τοῦ ἐκ Διὸς γεννηθέντος ποταμοῦ ἐστροφοδίνει, καὶ ἐπέκλυζε κατὰ τοὺς ὤμους ὑπεράνωθεν, οὗτος δὲ εἰς ὕψος ἀνεπήδα τοῖς ποσὶ λυπούμενος ἐν τῇ ψυχῇ, ὁ ποταμὸς δὲ τὰ γόνατα ἐδάμαζε καὶ κατεπόνει σφοδρῶς ὑπὸ (ἔμπροσθεν) πόδα ῥέων, τὴν κόνιν δὲ ὑπέσυρεν τοῖς ποσὶν (ἐκ τῶν ποδῶν)· ὁ υἱὸς δὲ τοῦ Πηλέως λυπούμενος ἐβόησεν ἀναβλέψας εἰς τὸν μέγαν οὐρανὸν λέγων· Ὦ Ζεῦ πάτερ, πάνυ γε οὐδείς με τὸν ἄθλιον θεὸς ὑπέσχετο σῶσαι ἐκ τοῦ ποταμοῦ, μετὰ ταῦτα δὲ καί τι παθεῖν ἐᾶσαι. οὐδεὶς δὲ ἄλλος τῶν οὐρανίων θεῶν τοσοῦτόν μοι αἴτιος· ἀλλὰ ἡ ἀγαπητὴ μήτηρ, ἥτις μὲ ψεύσμασιν ἐξηπάτα, ἥτις με εἶπεν ὑπὸ τὸ τεῖχος τῶν ὁπλιτῶν Τρώων ἀναιρεθήσεσθαι τοῖς ταχέσι βέλεσι τοῦ Ἀπόλλωνος. εἴθε ὤφλεν ὁ Ἕκτωρ ἀποκτεῖναί με, ὅστις ἐνταῦθα ετράφη κράτιστος· οὕτω γὰρ ἂν γενναῖος μὲν ἀπέκτεινε, γενναῖον δὲ ἂν ἀνεῖλε· νυνὶ δὲ θανάτῳ δεινῷ καὶ ὀλεθρίῳ κατεργασθῆναί με πεπρωμένον ἐστὶ κρατηθέντα καὶ συσχεθέντα ἐν τῷ μεγάλῳ ποταμῷ, ὥσπερ παῖδα χοιροβοσκὸν, ὃν δὴ χειμάρρους ἀποπνίξῃ ἐν χειμῶνι διαβαίνοντα. Οὕτως εἶπε· τούτῳ δὲ πάνυ ταχέως ὅ τε ποσειδῶν καὶ ἡ Ἀθηνᾶ ἔστησαν ἐγγὺς παραγενόμενοι, ἀνδράσι δὲ ὡμοιώθησαν κατὰ τὸ σῶμα· τῇ χειρὶ δὲ τὴν χεῖρα κρατήσαντες ἐβεβαίωσαν λόγοις· ἐν τούτοις δὲ λόγων ἤρξατο Ποσειδῶν ὁ σείων τὴν γῆν· Ὦ υἱὲ τοῦ Πηλέως, μήτε τι φοβοῦ μήτε τι ὑποχώρει, τοιοῦτοι γὰρ ἡμεῖς ἀπὸ τῶν θεῶν βοηθοί σοι ὑπάρχομεν τοῦ Διὸς ἐπινεύσαντος, ἐγώ τε καὶ ἡ πολεμικὴ Ἀθηνᾶ· διότι οὐκ ἔστι σοι πεπρωμένον ἀπολέσθαι ὑπὸ ποταμοῦ, ἀλλ' οὗτος μὲν ταχέως λήξει, ... σοὶ δὲ πυκνῶς καὶ συνετῶς παραινέσομεν ἐὰν πείθῃ, μὴ πρότερον ἀποπαύσειν τὰς χεῖρας τοῦ χαλεποῦ πολέμου, πρὶν συνελάσαι εἰς τὰ . . . . . τείχη

Πρὶν κατὰ Ἰλιόφιν κλυτὰ τείχεα λαὸν ἐέλσαι
Τρωϊκὸν, ὅς κε φύγῃσι· σὺ δ' Ἕκτορι θυμὸν ἀπούρας
Ἂψ ἐπὶ νῆας ἴμεν· δίδομεν δέ τοι εὖχος ἀρέσθαι.
Τὼ μὲν ἄρ' ὣς εἰπόντε μετ' ἀθανάτους ἀπεβήτην·
Αὐτὰρ ὁ βῆ, μέγα γάρ ῥα θεῶν ὤτρυνεν ἐφετμὴ,
Ἐς πεδίον· τὸ δὲ πᾶν πλῆθ' ὕδατος ἐκχυμένοιο·
Πολλὰ δὲ τεύχεα καλὰ δαϊκταμένων αἰζηῶν
Πλῶον, καὶ νέκυες· τοῦ δ' ὑψόσε γούνατ' ἐπήδα
Πρὸς ῥόον ἀΐσσοντος ἀν' ἰθύν· οὐδέ μιν ἔσχεν
Εὐρὺ ῥέων ποταμός· μέγα γὰρ σθένος ἔμβαλ' Ἀθήνη·
Οὐδὲ Σκάμανδρος ἔληγε τὸ ὃν μένος, ἀλλ' ἔτι μᾶλλον
Χώετο Πηλείωνι, κόρυσε δὲ κῦμα ῥόοιο,
Ὑψόσ' ἀειρόμενος· Σιμόεντι δὲ κέκλετ' ἀΰσας·
Φίλε κασίγνητε, σθένος ἀνέρος ἀμφότεροί περ
Σχῶμεν, ἐπεὶ τάχα ἄστυ μέγα Πριάμοιο ἄνακτος
Ἐκπέρσει, Τρῶες δὲ κατὰ μόθον οὐ μενέουσιν.
Ἀλλ' ἐπάμυνε τάχιστα, καὶ ἐμπίπληθι ῥέεθρα
Ὕδατος ἐκ πηγέων, πάντας δ' ὀρόθυνον ἐναύλους.
Ἵστη δὲ μέγα κῦμα· πολὺν δ' ὀρυμαγδὸν ὄρινε
Φιτρῶν καὶ λάων, ἵνα παύσομεν ἄγριον ἄνδρα,
Ὃς δὴ νῦν κρατέει, μέμονεν δ' ὅγε ἶσα θεοῖσιν.
Φημὶ γὰρ οὔτε βίην χραισμησέμεν, οὔτε τι εἶδος,
Οὔτε τὰ τεύχεα καλὰ, τά που μάλα νειόθι λίμνης
Κείσεθ' ὑπ' ἰλύος κεκαλυμμένα· καδδέ μιν αὐτὸν
Εἰλύσω ψαμάθοισιν, ἅλις χεράδος περιχεύας
Μυρίον, οὐδέ οἱ ὀστέ' ἐπιστήσονται Ἀχαιοὶ
Ἀλλέξαι· τόσσην οἱ ἄσιν καθύπερθε καλύψω.
Αὐτοῦ οἱ καὶ σῆμα τετεύξεται, οὐδέ τι μιν χρεὼ

τοῦ Ἰλίου τὸν λαὸν τὸν Τρωϊκὸν, ὃς ἂν καὶ ἐκφύγῃ, σὺ δὲ τῷ(οῦ) Ἕκτορι(ος) ἀφελόμενος τὴν ψυχὴν εἰς τοὐπίσω ἐπὶ τὰς ναῦς πορευου, διδόαμεν δέ σοι καύχημα λαβεῖν. Οἱ μὲν οὕτω δὴ εἰπόντες ἀπῆλθον πρὸς τοὺς ἄλλους θεούς. οὗτος δὲ ὥρμησε, μεγάλως γὰρ αὐτὸν παρώξυνεν ἡ τῶν θεῶν ἐντολὴ, εἰς τὸ πεδίον· τουτο δ' ἅπαν πλῆρες ἦν ὕδατος ἐκκεχυμένου, πολλὰ δὲ ὅπλα καλὰ τῶν ἀναιρεθέντων νέων ἔπλεον, καὶ νεκροὶ, τούτου δὲ τὰ γόνατα εἰς ὕψος ἐπήδων πρὸς τὸν ῥοῦν ὁρμῶντος κατὰ τὴν εὐθυφορίαν τοῦ ὕδατος, οὐδ' ἐπέσχε καὶ διεκώλυσεν αὐτὸν ὁ εὐρέως ῥέων ποταμὸς, μεγάλην γὰρ δύναμιν ἐνέβαλεν αὐτῷ ἡ Ἀθηνᾶ. οὐδὲ Σκάμανδρος ἀπεπαύετο τῆς ἑαυτοῦ εὐθαρσίας, ἀλλ' ἔτι μᾶλλον ὠργίζετο τῷ υἱῷ τοῦ Πηλῆως, ὕψωσε (ὥπλισε) δὲ το κῦμα τοῦ ῥοῦ εἰς ὕψος ἐπαιρόμενος, τῷ Σιμόεντι δὲ παρεκελεύσατο φωνήσας· Ὦ ἀγαπητὲ ἀδελφὲ, δύναμιν ἀνδρὸς ἀμφότεροι γοῦν διακωλύσωμεν, ἐπειδὴ ταχέως τὴν μεγάλην πόλιν τοῦ βασιλέως Πριάμου ἐκπορθήσει, οἱ Τρῶες γὰρ κατὰ τὴν μάχην οὐ παραμένουσιν, ἀλλὰ βοήθησον ὅτι ταχος, καὶ πλήρωσον τὰ ῥεῖθρα ὕδατος ἐκ τῶν πηγῶν, πάσας δὲ τὰς στενὰς διώρυχας παρόρμησον, ἀνίστη δὲ μέγα κῦμα, πολλὴν δὲ βοὴν διέγειρον κορμῶν καὶ λίθων, ὅπως ἀποπαύσωμεν τὸν σκληρὸν καὶ ἀπηνῆ ἄνδρα, ὃς δὴ νῦν νικᾷ, ἐνθουσιᾷ δὲ αὐτὸς ὁμοίως τοῖς θεοῖς· οἴομαι γὰρ οὐκέτι τὴν ἰσχὺν αὐτῷ βοηθήσειν οὔτε τι τὸ εἶδος (κάλλος), οὔτε τὰ περικαλλῆ ὅπλα, ἃ δή που ἐν τῷ ἐσχάτῳ τῆς θαλάσσης κείσονται περικεκαλυμμένα ὑπὸ τοῦ πήλου, καὶ τῆς ὑποστάθμης· πρὸς δὲ καὶ αὐτὸν κατακρύψω καὶ συγχώσω διὰ τῆς ἄμμου (ἐν τῇ ἄμμῳ), περιχέας καὶ ἐποσωρεύσας ποταμίου λιθάδος (ποταμίων λίθων) ἱκανὸν πλῆθος, οὐδὲ τὰ ὀστᾶ αὐτοῦ εἴσονται οἱ Ἕλληνες συλλέξαι, τόσον(ην) αὐτῷ συρφετὸν (δεῖσαν) ἄνωθεν περιθήσω, αὐτόθι αὐτῷ καὶ τὸ μνῆμα

Ἔσται τυμβοχοῆς, ὅτε μιν θάπτουσιν Ἀχαιοί.
Ἦ, καὶ ἐπῶρτ' Ἀχιλῆϊ κυκώμενος, ὑψόσε θύων,
Μορμύρων ἀφρῷ τε, καὶ αἵματι, καὶ νεκύεσσι.
Πορφύρεον δ' ἄρα κῦμα Διϊπετέος ποταμοῖο
Ἵστατ' ἀειρόμενον, κατὰ δ' ᾕρεε Πηλείωνα.
Ἥρη δὲ μέγ' ἄϋσε, περιδδείσασ' Ἀχιλῆϊ,
Μή μιν ἀποέρσειε μέγας ποταμὸς βαθυδίνης·
Αὐτίκα δ' Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν.
Ὄρσεο, Κυλλοπόδιον, ἐμὸν τέκος· ἄντα σέθεν γὰρ
Ξάνθον δινήεντα μάχῃ ἠΐσκομεν εἶναι·
Ἀλλ' ἐπάμυνε τάχιστα, πιφαύσκεο δὲ φλόγα πολλήν·
Αὐτὰρ ἐγὼ Ζεφύροιο καὶ ἀργέσταο Νότοιο,
Εἴσομαι ἐξ ἁλόθεν χαλεπὴν ὄρσουσα θύελλαν,
Ἥ κεν ἀπὸ Τρώων κεφαλὰς καὶ τεύχεα κήαι,
Φλέγμα κακὸν φορέουσα· σὺ δὲ Ξάνθοιο παρ' ὄχθας
Δένδρεα καῖ', ἐν δ' αὐτὸν ἵει πυρί· μηδέ σε πάμπαν
Μειλιχίοις ἐπέεσσιν ἀποτρεπέτω καὶ ἀρειῇ·
Μηδὲ πρὶν ἀπόπαυε τεὸν μένος· ἀλλ' ὁπόταν δὴ
Φθέγξομ' ἐγὼν ἰάχουσα, τότε σχεῖν ἀκάματον πῦρ.
Ὣς ἔφαθ'· Ἥφαιστος δὲ τιτύσκετο θεσπιδαὲς πῦρ.
Πρῶτα μὲν ἐν πεδίῳ πῦρ δαίετο, καῖε δὲ νεκροὺς
Πολλούς, οἵ ῥα κατ' αὐτὸν ἅλις ἔσαν, οὓς κτάν' Ἀχιλλεύς.
Πᾶν δ' ἐξηράνθη πεδίον, σχέτο δ' ἀγλαὸν ὕδωρ.
Ὡς δ' ὅτ' ὀπωρινὸς Βορέης νεοαρδέ' ἀλωὴν
Αἶψ' ἂν ξηράνῃ, χαίρει δέ, μιν ὅστις ἐθείρῃ·
Ὣς ἐξηράνθη πεδίον πᾶν, κάδδ' ἄρα νεκροὺς
Κῆεν, ὁ δ' ἐς ποταμὸν τρέψε φλόβα παμφανέωσαν·
Καίοντο πτελέαι τε, καὶ ἰτέαι, ἠδὲ μυρῖκαι,

γενήσεσθαι, οὐδέ τις αὐτῷ χρεία ἔσαι τάφου χωσοῦ, ἡνίκα αὐτὸν θάπτουσιν οἱ Ἕλληνες. Εἶπε· καὶ ἐπανέστη τῷ Ἀχιλλεῖ ταραττόμενος, εἰς ὕψος ἐμμανῶς ὁρμῶν, ἀναβράσσων (θηριούμενος) ἀφρῷ τε καὶ αἵματι, καὶ νεκροῖς· πορφυροῦν δὲ κῦμα τοῦ ἐκ τοῦ Διὸς γεννηθέντος ποταμοῦ ἵστατο ἐπαιρόμενον, καθῄρει δὲ τὸν υἱὸν τοῦ Πηλέως· ἡ Ἥρα δὲ μεγάλως ἐβόησε, περίφοβος γενομένη ἕνεκα τοῦ Ἀχιλλέως, μήπως αὐτὸν ἀποπνίξειεν ὁ μέγας βαθύρρους ποταμός. παραχρῆμα δὲ πρὸς τὸν Ἥφαιστον ἔλεγε τὸν ἑαυτῆς ἀγαπητὸν υἱόν· Διεγέρθητι, ὦ τέκνον ἐμὸν, βεβλαμμένον τοὺς πόδας, σοῦ γὰρ ἐναντίον εἶναι τὸν συστροφὰς ποιοῦντα Ξάνθον ἐν τῇ μάχῃ οἰόμεθα, ἀλλὰ βοήθησον ὅτι τάχος, ἐνδείκνυε δὲ καὶ ἔξυφαπτε πολλὴν φλόγα· ἐγὼ δὲ τὴν τοῦ Ζεφύρου καὶ Νότου τοῦ τὰς νεφέλας λευκαίνοντος δεινὴν καταιγίδα καὶ συστροφὴν πορεύσομαι παρορμήσουσα καὶ διεγείρουσα ἐκ τῆς θαλάσσης, ἥτις ἂν τὰς κεφαλὰς τῶν Τρώων καὶ τὰ ὅπλα κατακαύσειε, φλόγα κακὴν φέρουσα· σὺ δὲ παρὰ τὰς ὄχθας τοῦ Ξάνθου καῖε τὰ δένδρα, καὶ αὐτὸν ἔμβαλλε εἰς τὸ πῦρ, μηδέ τι σε λόγοις προσηνέσιν ἀποπαυέτω, ἢ ἀπειλῇ, μηδὲ πρότερον καταστόρει τὴν σὴν εὐθαρσίαν καὶ ἰσχύν· ἀλλ' ὅταν δὴ ἐγὼ λαλήσω βοῶσα, τότε ἐπίσχες τὸ ἀκατάπαυστον (ἀκαταπόνητον) πῦρ. Οὕτως εἶπεν· ὁ Ἥφαιστος δὲ παρεσκεύαζε τὸ θεσπεσίως καιόμενον πῦρ· πρῶτον μὲν οὖν ἐν τῇ πεδιάδι ἐκαίετο τὸ πῦρ, ἔκαιε δὲ τοὺς νεκροὺς τοὺς πολλοὺς, οἳ δὴ κατ' αὐτὸν ἦσαν ἱκανῶς, οὓς ἀπέκτεινεν ὁ Ἀχιλλεύς· πᾶσα δὲ ἡ πεδιὰς ἐξηράνθη, ἐπεσχέθη δὲ καὶ ἠφανίσθη τὸ λαμπρὸν ὕδωρ· ὥσπερ δὲ ὅταν ὁ κατὰ τὴν ὀπώραν πνέων Βορέας (οἱ ετησίαι) νεωστὶ ἀρδευθέντα κῆπον ταχέως ἀναξηράνῃ, χαίρῃ δὲ ὃς ἂν αὐτοῦ ἐπιμελῆται. οὕτως ἐξηράνθη πᾶσα ἡ πεδιὰς, τοὺς νεκροὺς δ' ἄρα κατέκαυσεν, οὗτος δὲ ἐπὶ τὸν ποταμὸν ἔτρεψε τὴν λαμπροτάτην φλόγα· ἐκαίοντο δὲ αἱ πτελέαι

Καίετο δὲ λωτός τ', ἠδὲ θρύον, ἠδὲ κύπειρον,
Τὰ περὶ καλὰ ῥέεθρα ἅλις ποταμοῖο πεφύκει·
Τείροντ' ἐγχέλυές τε, καὶ ἰχθύες, οἱ κατὰ δίνας,
Οἳ κατὰ καλὰ ῥέεθρα κυβίστων ἔνθα καὶ ἔνθα,
Πνοιῇ τειρόμενοι πολυμήτιος Ἡφαίστοιο.
Καίετο δ' ἶς Ποταμοῖο, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζεν.
Ἥφαιστ', οὔτις σοί γε θεῶν δύνατ' ἰσοφαρίζειν,
Οὐδ' ἂν ἐγὼ σοί γ' ὧδε πυρὶ φλεγέθοντι μαχοίμην
Λῆγ' ἔριδος· Τρῶας δὲ καὶ αὐτίκα δῖος Ἀχιλλεὺς
Ἄστεος ἐξελάσειε· τί μοι ἔριδος καὶ ἀρωγῆς;
Φῆ πυρὶ καιόμενος· ἀνὰ δ' ἔφλυε καλὰ ῥέεθρα.
Ὡς δὲ λέβης ζεῖ ἔνδον, ἐπειγόμενος πυρὶ πολλῷ,
Κνίσσῃ μελδόμενος ἁπαλοτρεφέος σιάλοιο,
Πάντοθεν ἀμβολάδην, ὑπὸ δὲ ξύλα κάγκανα κεῖται·
Ὣς τοῦ καλὰ ῥέεθρα πυρὶ φλέγετο, ζέε δ' ὕδωρ·
Οὐδ' ἔθελε προρέειν, ἀλλ' ἴσχετο· τεῖρε δ' ἀϋτμὴ,
Ἡφαίστοιο βίηφι πολύφρονος· αὐτὰρ ὅγ' Ἥρην,
Πολλὰ λισσόμενος, ἔπεα πτερόεντα προσηύδα·
Ἥρη, τίπτε σὸς υἱὸς ἐμὸν ῥόον ἔχραε κήδειν
Ἐξ ἄλλων; οὐ μέν τοι ἐγὼ τόσον αἴτιός εἰμι,
Ὅσσον οἱ ἄλλοι πάντες, ὅσοι Τρώεσσιν ἀρωγοί.
Ἀλλ' ἤτοι μὲν ἐγὼν ἀποπαύσομαι, εἰ σὺ κελεύεις·
Παυέσθω δὲ καὶ οὗτος· ἐγὼ δ' ἐπὶ καὶ τόδ' ὀμοῦμαι,
Μήποτ' ἐπὶ Τρώεσσιν ἀλεξήσειν κακὸν ἦμαρ,
Μηδ' ὁπόταν Τροίη μαλερῷ πυρὶ πᾶσα δάηται
Δαιομένη, καίωσι δ' ἀρήϊοι υἷες Ἀχαιῶν.
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσε θεὰ λευκώλενος Ἥρη,
Αὐτίκ' ἄρ' Ἥφαιστον προσεφώνεεν ὃν φίλον υἱόν·

καὶ αἱ ἰτέαι, καὶ αἱ μυρίναι, ἐκαίετο δὲ τὸ(ὴ) γλυκύρριζον(ος), καὶ τὸ θρύον, καὶ τὸ κύπειρον, ἃ περὶ τὰ εὐειδῆ ῥεῖθρα τοῦ ποταμοῦ ἱκανῶς . . . . κατεπονοῦντο αἱ ἐγχέλυές τε καὶ οἱ ἰχθύες, οἳ κατὰ τὰς συστροφὰς τοῦ ὕδατος, οἳ κατὰ τὰ περικαλλῆ ῥεῖθρα ἀναπαλλόμενοι κατεδύοντο τῇ δε κἀκεῖσε, καταπονούμενοι ὑπὸ τῆς πνοῆς τοῦ πολυβούλου καὶ πολυμηχάνου Ἡφαίστου, ἐκαίετο δὲ ἡ τοῦ ποταμοῦ δύναμις, καὶ λόγον εἶπε, καὶ ἐξ στόματος ἐκάλει· Ὦ Ἥφαιστε, οὐδεὶς τῶν θεῶν δύναται ἐξισοῦσθαί σοί γε· οὐδ᾽ ἂν ἐγὼ σοί γε οὕτω πυρὶ κατακαίοντι πολεμοίην. παύου τῆς μάχης, τοὺς Τρῶας δὲ καὶ νῦν ἂν ὁ ἐνδοξότατος Ἀχιλλεὺς ἐκ τῆ πόλεως ἀποδιώξειεν· τί μοι ὄφελος τῆς μάχης καὶ τῆς ἐπικουρίας; Εἶπε φλεγόμενος ὑπὸ τοῦ πυρὸς, ἀνέζει δὲ τὰ περικαλλῆ ῥεῖθρα. ὥσπερ δὲ λέβης ζεῖ καὶ παφλάζει ἐντὸς, ἀναγκαζόμεμενος ὑπὸ πολλοῦ πυρὸς, τῷ λίπει λιπαινόμενος τοῦ εὐτραφοῦς χοίρου, πανταχόθεν ἀναβάλλων καὶ ἀναζέων, ξύλα δὲ κατάξηρα ὑπόκεινται· οὕτως αὐτοῦ τὰ περικαλλῆ ῥεῖθρα κατεφλέγοντο πυρὶ, ἔζει δὲ τὸ ὕδωρ, οὐδὲ ἤθελε ῥεῖν, ἀλλὰ κατείχετο, κατεπόνει δὲ αὐτὸ ἡ πυρώδης πνοὴ, τῇ τοῦ πολύνου καὶ πολυμηχάνου Ἡφαίστου ἰσχύϊ· οὕπς δὲ τὴν Ἥραν πολλὰ ἱκετεύων λόγους ταχεῖς ἔλεγεν· Ὦ Ἥρα τί δήποτε ὁ σὸς υἱὸς ἐπέθετο καίειν τὸν ἐμὸν ῥοῦν, ἐκ πάντων τῶν ἄλλων; οὐ γὰρ ἐγὼ σοι τοσοῦτον ὑπάρχω αἴτιος, ὅσον πάντες οἱ ἄλλοι, ὅσοι εἰσὶ τοῖς Τρωσὶ βοηθοί· ἀλλ᾽ ἐγὼ μὲν λήξω, εἰ σὺ ἐπιτάττεις, ληξά(γέ)τω δὲ καὶ οὗτος. ἐγὼ δ᾽ ἐπὶ τούτοις καὶ τοῦτο ὅρκῳ πιστώσομαι, μηδέποτε τοῖς Τρωσὶν ἀποσοβήσειν τὴν χαλεπὴν ἡμέραν, μηδὲ ἣν ἡ Τροία πυρὶ θερμῷ πᾶσα κατακαίηται καιομένη, καίωσι δ᾽ αὐτὴν οἱ πολεμικοὶ υἱοὶ τῶν Ἑλλήνων. Ἐπεὶ δὲ τοῦτο ἤκουσεν ἡ θεὰ ἡ λευκοβραχίων Ἥρα, παραχρῆμα δὴ πρὸς τὸν

Ἥφαιστε, σχέο, τέκνον ἀγακλεές· οὐ γὰρ ἔοικεν
Ἀθάνατον θεὸν ὧδε βροτῶν ἕνεκα στυφελίζειν.
Ὣς ἔφαθ'· Ἥφαιστος δὲ κατέσβεσε θεσπιδαὲς πῦρ·
Ἄψοῤῥον δ' ἄρα κῦμα κατέσσυτο καλὰ ῥέεθρα.
Αὐτὰρ ἐπεὶ Ξάνθοιο δάμη μένος, οἱ μὲν ἔπειτα
Παυσάσθην· Ἥρη γὰρ ἐρύκακε χωομένη περ.
Ἐν δ' ἄλλοισι θεοῖσιν ἔρις πέσε βεβριθυῖα,
Ἀργαλέη, δίχα δέ σφιν ἐνὶ φρεσὶ θυμὸς ἄητο·
Σὺν δ' ἔπεσον μεγάλῳ ὁμάδῳ, βράχε δ' εὐρεῖα χθών·
Ἀμφὶ δὲ σάλπιγξεν μέγας οὐρανός· ἄϊε δὲ Ζεὺς
Ἥμενος Οὐλύμπῳ, ἐγέλασσε δέ οἱ φίλον ἦτορ
Γηθοσύνῃ, ὅθ' ὁρᾶτο θεοὺς ἔριδι ξυνιόντας.
Ἔνθ' οἵ γ' οὔτι δηρὸν ἀφέστασαν· ἦρχε γὰρ Ἄρης
Ῥινοτόρος, καὶ πρῶτος Ἀθηναίῃ ἐπόρουσε,
Χάλκεον ἔγχος ἔχων· καὶ ὀνείδειον φάτο μῦθον·
Τίπτ' αὖ, ὦ κυνόμυια, θεοὺς ἔριδι ξυνελαύνεις,
Θάρσος ἄητον ἔχουσα; μέγας δέ σε θυμὸς ἀνῆκεν,
Ἦ οὐ μέμνῃ, ὅτε Τυδείδην Διομήδε' ἀνῆκας
Οὐτάμεναι; αὐτὴ δὲ πανόψιον ἔγχος ἑλοῦσα,
Ἰθὺς ἐμεῦ ὦσας, διὰ δὲ χρόα καλὸν ἔδαψας·
Τῷ σ' αὖ νῦν ὀΐω ἀποτισέμεν, ὅσσα μ' ἔοργας.
Ὣς εἰπὼν, οὔτησε κατ' αἰγίδα θυσσανόεσσαν,
Σμερδαλέην, ἣν οὐδὲ Διὸς δάμνησι κεραυνός,
Τῇ μιν Ἄρης οὔτησε μιαιφόνος ἔγχεϊ μακρῷ·
Ἡ δ' ἀναχασσαμένη λίθον εἵλετο χειρὶ παχείῃ,
Κείμενον ἐν πεδίῳ, μέλανα, τρηχύν τε, μέγαν τε,
Τόν ῥ' ἄνδρες πρότεροι θέσαν ἔμμεναι οὖρον ἀρούρης·
Τῷ βάλε θοῦρον Ἄρηα κατ' αὐχένα, λῦσε δὲ γυῖα·

Ἥφαιστον ἔλεγε τὸν ἑαυτῆς ἀγαπητὸν υἱόν· Ὦ Ἥφαιστε, παῦσαι, ὦ τέκνον ὑπερένδοξον, οὐ γὰρ προσήκει θεὸν ἀθάνατον οὕτω σκληρῶς τύπτειν καὶ βλάπτειν ἕνεκα ἀνθρώπων. Οὕτως εἶπεν· Ἥφαιστος δὲ κατέσβεσε τὸ θεσπεσίως καιόμενον πῦρ, ὀπισθόρμητον δὲ τὸ κῦμα ἐπαλινόστησεν ἐπὶ τὰ περικαλλῆ ῥεῖθρα. Ἐπειδὴ δὲ ἡ τοῦ Ξάνθου εὐθαρσία καὶ ἰσχὺς ἡττήθη καὶ κατείργασται, οὗτοι μὲν οὖν ἐπαύσαντο, ἡ Ἥρα γὰρ διεκώλυσε καὶ ἐπέσχεν αὐτοὺς καίπερ λίαν ὀργιζομένη· Τοῖς ἄλλοις δὲ θεοῖς ἐνέπεσε φιλονεικία καὶ μάχη βαρεῖα καὶ ἰσχυρὰ, δεινή τε καὶ χαλεπὴ, διῃρημένως δὲ ἐν ταῖς διανοίαις αὐτῶν ἡ ψυχὴ διανίστατο, συνέπεσον δὲ καὶ συνέβαλον σὺν μεγάλῳ θορύβῳ, ἤχησε δὲ ἡ πλατεῖα γῆ, περιήχησε δὲ ὁ μέγας οὐρανὸς, ᾐσθάνετο δὲ ὁ Ζεὺς καθήμενος ἐν τῷ Ὀλύμπῳ, ἐχάρη δὲ καὶ διεχύθη ἡ ἀγαπητὴ αὐτοῦ ψυχὴ εὐφροσύνῃ, ἡνίκα ἑώρα τοὺς θεοὺς φιλονεικίᾳ καὶ μάχῃ συνερχομένους. τότε οὗτοι οὐκέτ' ἐπὶ πολὺ ἀπείχοντο ἀλλήλων, ἤρχετο δὲ Ἄρης ὁ τιτρώσκων καὶ διακόπτων τὰς ἀσπίδας (τὰ τῶν ἀνθρώπων δέρματα), καὶ πρῶτος τῇ Ἀθηνᾷ ἐφώρμησε σιδηροῦν δόρυ κατέχων, καὶ ὀνειδιστικὸν λόγον εἶπε· Τί δήποτε, ὦ ἀναιδεστάτη, συνάγεις φιλονεικίᾳ καὶ μάχῃ τοὺς θεοὺς, εὐθαρσίαν ἔχουσα ἀκαταπόνητον, μεγάλη δέ σε προθυμία ἀνέπεισεν; ἢ οὐ μέμνησαι, ἡνίκα τὸν υἱὸν τοῦ Τυδέως Διομήδην ἀνέπεισας ἀκοντίσαι καὶ τρῶσαι; σὺ δὲ λαβοῦσα τὸ δόρυ ὑπὸ πάντων ὁρώμενον (ὁλόλαμπρον, τὸ τελευταῖον), εὐθὺ ἐμοῦ ἐπήνεγκας, τὸ περικαλλὲς δὲ σῶμα διέκοψας, καὶ ἔτρωσας; διὰ τοῦτό σε νῦν ὑπολαμβάνω ἀποδώσειν, ὅσα με εἴργασαι. Οὕτως εἰπὼν ἔπληξε κατὰ τὴν αἰγίδα τὴν κροσσοὺς ἔχουσαν, τὴν φοβερὰν καὶ καταπληκτικὴν, ἣν ἂν οὐδὲ ὁ κεραυνὸς τοῦ Διὸς κατεργάζηται· ἐνταῦθα ὁ Ἄρης ἔπληξεν ὁ μεμιασμένος τῷ φόνῳ δόρατι μακρῷ· αὕτη δὲ ὑποχωρήσασα λίθον ἔλαβε τῇ παχείᾳ καὶ ἰσχυρᾷ χειρὶ, κείμενον ἐν

Ἑπτὰ δ' ἐπέσχε πέλεθρα πεσὼν, ἐκόνισσε δὲ χαίτας
Τεύχεά τ' ἀμφαράβησε· γέλασσε δὲ Παλλὰς Ἀθήνη,
Καί οἱ ἐπευχομένη ἔπεα πτερόεντα προσηύδα·
Νηπύτι, οὐδέ νύ πώ περ ἐπεφράσω, ὅσσον ἀρείων
Εὔχομ' ἐγὼν ἔμεναι, ὅτι μοι μένος ἰσοφαρίζεις;
Οὕτω κεν τῆς μητρὸς ἐρινύας ἐξαποτίνοις,
Ἥ τοι χωομένη κακὰ μήδεται, οὕνεκ' Ἀχαιοὺς
Κάλλιπες, αὐτὰρ Τρωσὶν ὑπερφιάλοισιν ἀρήγεις.
Ὣς ἄρα φωνήσασα, πάλιν τράπεν ὄσσε φαεινώ·
Τὸν δ' ἄγε χειρὸς ἑλοῦσα φιλομμειδὴς Ἀφροδίτη,
Πυκνὰ μάλα στενάχοντα· μόγις δ' ἐσαγείρατο θυμόν.
Τὴν δ' ὡς οὖν ἐνόησε θεὰ λευκώλενος Ἥρη,
Αὐτίκ' Ἀθηναίην ἔπεα πτερόεντα προσηύδα·
Ὢ πόποι, αἰγιόχοιο Διὸς τέκος, ἀτρυτώνη.
Καὶ δ' αὖθ' ἡ κυνάμυια ἄγει βροτολοιγὸν Ἄρηα
Δηΐου ἐκ πολέμοιο κατὰ κλόνον· ἀλλὰ μέτελθε.
Ὣς φάτ'· Ἀθηναίη δὲ μετέσσυτο, χαῖρε δὲ θυμῷ·
Καί ῥ' ἐπιεισαμένη, πρὸς στήθεα χειρὶ παχείῃ
Ἤλασε, τῆς δ' αὐτοῦ λύτο γούνατα καὶ φίλον ἦτορ.
Τὼ μὲν ἄρ ἄμφω κεῖντο ποτὶ χθονὶ πουλυβοτείρῃ·
Ἡ δ' ἄρ' ἐπευχομένη ἔπεα πτερόεντα προσηύδα·
Τοιοῦτοι νῦν πάντες, ὅσοι Τρώεσσιν ἀρωγοὶ,
Εἶεν, ὅτ' Ἀργείοισι μαχοίατο θωρηκτῇσιν,
Ὧδέ τε θαρσαλέοι καὶ τλήμονες, ὡς Ἀφροδίτη
Ἦλθεν Ἄρει ἐπίκουρος, ἐμῷ μένει ἀντιόωσα·
Τῷ κεν δὴ πάλαι ἄμμες ἐπαυσάμεθα πτολέμοιο,
Ἰλίου ἐκπέρσαντες ἐΰκτίμενον πτολίεθρον.
Αὐτὰρ Ἀπόλλωνα προσέφη κρείων Ἐνοσίχθων·

τῇ πεδιάδι, μέλανα, τραχύν τε καὶ μέγαν, ὃν δὴ ἄνδρες προγενέστεροι ἔθηκαν εἶναι ὅρον τῆς χώρας· τούτῳ ἐπλήξε τὸν ὁρμητίαν καὶ πολεμικὸν Ἄρεα, παρέλυσε δὲ καὶ ἐνέκρωσε τὰ μέλη αὐτῦ· πεσὼν δὲ περιεκάλυψεν ἑπτὰ πλέθρα, ἐκονιόρτωσε δὲ τὴν κόμην, καὶ τὰ ὅπλα ἤχησαν· ἐγέλασε δὲ ἡ πολεμικὴ Ἀθηνᾶ, καὶ καυχωμένη ἐπ' αὐτῷ λόγους ταχεῖς ἔλεγεν· Ὦ μωρὲ καὶ ἀνόητε, οὔπω γε ἐνόησας ὅσον κρείσσων καὶ ἰσχυροτέρα εἶναι καυχῶμαι ἐγὼ, διότι (ἥτινι) μοι κατ' ἰσχὺν ἐξ ἴσου προσφέρῃ· οὕτως ἂν τὰς τῆς μητρὸς κατάρας ἀποδοίης, ἥτις λίαν ὀργιζομένη σοι δεινὰ βουλεύεται, διότι τοὺς Ἕλληνας κατέλιπες, τοῖς Τρωσὶ δὲ τοῖς ὑβρισταῖς καὶ ἀνόμοις ἐπικουρεῖς. Οὕτω δὴ εἰποῦσα ἔτρεψεν εἰς τοὐπίσω τοὺς λαμπροὺς ὀφθαλμοὺς, τοῦτον δὲ ἦγε λαβοῦσα ἀπὸ τῆς χειρὸς ἡ φιλόγελως Ἀφροδίτη, συνεχῶς πάνυ στενάζοντα, μόλις δὲ συνῆξε τὸ ζωτικὸν πνεῦμα· ταύτην δὲ ἐπειδὴ ἐθεάσατο ἡ θεὰ ἡ λευκοβραχίων Ἥρα, παραχρῆμα πρὸς τὴν Ἀθηνᾶν ἔλεγε λόγους ταχεῖς· Φεῦ φεῦ, ὦ τέκνον ἀδάμαστον καὶ ἀκαταπόνητον τοῦ τὴν αἰγίδα φοροῦντος Διὸς, καὶ μέντοι ἡ ἀναιδεστάτη ἄγει τὸν ἀνθρωποκτόνον Ἄρεα ἐκ τοῦ ἀφανιστικοῦ πολέμου καθ' ὃ κλονοῦνται οἱ μαχόμενοι, ἀλλὰ δίωξον. Οὕτως εἶπεν· ἡ Ἀθηνᾶ δὲ ἐφώρμησεν, ἠγάλλετο δὲ ἐν τῇ ψυχῇ, καὶ δήτ' ἐπιδραμοῦσα παρὰ τὸ στῆθος τῇ παχείᾳ καὶ ἰσχυρᾷ χειρὶ ἔπληξε· ταύτης δὲ τὰ γόνατα παρελύθη αὐτόθι, καὶ ἡ ἀγαπητὴ ψυχή. οὗτοι μὲν οὖν ἀμφότεροι κατέκειντο ἐπὶ γῆς τῆς πολλὰ τρεφούσης, αὕτη δὲ ἐπικαυχωμένη λόγους ταχεῖς ἔλεγε· Τοιοῦτοι νυνὶ ἅπαντες ὅσοι τῶν Τρώων εἰσὶ βοηθοὶ εἴησαν, ἐπειδὴ τοῖς Ἕλλησι μάχονται τοῖς ἐνόπλοις καὶ πολεμικοῖς, καὶ οὕτως εὔτολμοι καὶ καρτερικοὶ, ὥσπερ ἡ Ἀφροδίτη παρεγένετο τῷ Ἄρει βοηθὸς τῇ ἐμῇ εὐτόλμῳ ἰσχύϊ ἀπαντῶσα· οὕτω γὰρ παλαι ἂν ἡμεῖς ἐλήξαμεν τῆς μάχης ἐκπορθήσαντες τὴν καλῶς οἰκυμένην πόλιν τῆς Ἰλίυ. Πρὸς τὸν Ἀπόλλω δὲ εἶπεν ὁ βασιλεὺς Ποσειδῶν ὁ σείων τὴν γῆν·

Φοῖβε, τίη δὴ νῶϊ διέσταμεν; οὐδὲ ἔοικεν,
Ἀρξάντων ἑτέρων· τὸ μὲν αἴσχιον, αἴκ᾽ ἀμαχητὶ
Ἴομεν Οὔλυμπόνδε, Διὸς προτὶ χαλκοβατὲς δῶ.
Ἄρχε· σὺ γὰρ γενεῆφι νεώτερος· οὐ γὰρ ἔμοιγε
Καλὸν, ἐπεὶ πρότερος γενόμην, καὶ πλείονα οἶδα·
Νηπύτι᾽· ὡς ἄνοον κραδίην ἔχες, οὐδέ νυ τῶν περ
Μέμνηαι, ὅσα δὴ πάθομεν κακὰ Ἴλιον ἀμφὶ,
Μοῦνοι νῶϊ θεῶν, ὅτ᾽ ἀγήνορι Λαομέδοντι
Πὰρ Διὸς ἐλθόντες θητεύσαμεν εἰς ἐνιαυτὸν,
Μισθῷ ἔπι ῥητῷ, ὁ δὲ σημαίνων ἐπέτελλεν;
Ἤτοι ἐγὼ Τρώεσσι πόλιν περὶ τεῖχος ἔδειμα
Εὐρύ τε καὶ μάλα καλὸν, ἵν᾽ ἄῤῥηκτος πόλις εἴη·
Φοῖβε, σὺ δ᾽ εἰλίποδας ἕλικας βοῦς βουκολέεσκες
Ἴδης ἐν κνημοῖσι πολυπτύχου ὑληέσσης.
Ἀλλ᾽ ὅτε δὴ μισθοῖο τέλος πολυγηθέες Ὧραι
Ἐξέφερον, τότε νῶϊ βιήσατο μισθὸν ἅπαντα
Λαομέδων ἔκπαγλος, ἀπειλήσας δ᾽ ἀπέπεμπε.
Σὺν μὲν ὅγ᾽ ἠπείλησε πόδας καὶ χεῖρας ὕπερθε
Δήσειν, καὶ περάαν νήσων ἔπι τηλεδαπάων·
Στεῦτο δ᾽ ὅγ᾽ ἀμφοτέρων ἀποκόψειν οὔατα χαλκῷ·
Νῶϊ δέ τ᾽ ἄψοῤῥοι κίομεν, κεκοτηότι θυμῷ,
Μισθοῦ χωόμενοι, τὸν ὑποστὰς οὐκ ἐτέλεσσε.
Τοῦ δὴ νῦν λαοῖσι φέρεις χάριν; οὐδὲ μεθ᾽ ἡμέων
Πειρᾷ, ὥς κεν Τρῶες ὑπερφίαλοι ἀπόλωνται
Πρόχνυ κακῶς, σὺν παισὶ καὶ αἰδοίῃς ἀλόχοισι;

Τὸν δ᾽ αὖτε προσέειπεν ἄναξ ἑκάεργος Ἀπόλλων.
Ἐννοσίγαὶ, οὐκ ἄν με σαόφρονα μυθήσαιο
Ἔμμεναι, εἰ δὴ σοί γε βροτῶν ἕνεκα πτολεμίζω,

Ὦ Φοῖβε, τί δὴ ἡμεῖς ἀπεχόμεθα ἀλλήλων; οὐ γὰρ προσήκει, τῶν λοιπῶν ἀρχὴν ποιησαμένων· αἰσχρὸν τοῦτό γε, ἐὰν ἄνευ μάχης ἐπανέλθωμεν εἰς τὸν Ὄλυμπον, παρὰ τὸ τοῦ Διὸς οἴκημα τὸ ἰσχυρῶς βεβηκός· ποίει ἀρχὴν, σὺ γὰρ εἶ ἡλικίᾳ νεώτερος, οὐ γὰρ ἔμοιγε εὐπρεπὲς, ἐπειδὴ πρότερον ἐγεννήθην καὶ πλείω ἐπίσταμαι. Μωρὲ καὶ ἀνόητε· πάνυ ἄνουν καρδίαν ἔχεις, οὐδὲ δὴ τούτων γε μέμνησαι, ὁπόσα δὴ χαλεπὰ πεπόνθαμεν περὶ τὸ Ἴλιον ἡμεῖς μόνοι τῶν θεῶν, ἡνίκα τῷ ὑπερηφάνῳ Λαομέδοντι παρὰ τοῦ Διὸς ἀφικόμενοι ἐδουλεύσαμεν εἰς ἐνιαυτὸν (ἐπὶ ἔτος ἓν) ἐπὶ ὡρισμένῳ μισθῷ, οὗτος δὲ ἄρχων ἐπέταττε. κἀγὼ μὲν τοῖς Τρωσὶ τεῖχος περὶ τὴν πόλιν ἔκτισα πλατύ τε, καὶ πάνυ καλὸν, ὅπως ἡ πόλις ἀνάλωτος εἴη. σὺ δὲ, ὦ Φοῖβε, τὰς κατὰ τὴν πορείαν συστρεφούσας τοὺς πόδας, καὶ τὰ κέρατα ἑλικοειδεῖς, βοῦς ἔβοσκες ἐν τοῖς τραχέσι τόποις τῆς πολλὰ ἀποκλίματα ἐχούσης ὑλώδους καὶ δασείας Ἴδης. ἀλλ' ὁπηνίκα δὴ τὸ τέλος τοῦ μισθοῦ οἱ πολλῆς χαρᾶς αἴτιοι καιροὶ ἐμήνυον καὶ ἐφανέρουν, τηνικαῦτα ἡμᾶς ἐβιάσατο τὸν μισθὸν ἅπαντα ὁ καταπληκτικὸς Λαομέδων, ὀργισθεὶς δὲ ἀπέπεμψε· συνδήσειν μὲν αὐτοὺς διετείνατο τοὺς πόδας καὶ τὰς χεῖρας ἄνωθεν, καὶ περάσειν ἐπὶ νήσους πόῤῥω τῆς Τροίας οὔσας, διεβεβαιοῦτο δ' οὗτός γε ἀποκόψειν σιδήρῳ τὰ ὦτα ἀμφοτέρων· ἡμεῖς δὲ ὀπισθόρμητοι ἐπορευόμεθα ὀργιζόμενοι ἕνεκα τοῦ μισθοῦ, ὃν ὑποσχόμενος οὐκ ἀπέδωκε· τῷ λαῷ δὴ τούτου νῦν χάριν παρέχεις; οὐδὲ μεθ' ἡμῶν μηχανᾷ, ὅπως ἂν οἱ ὑβρισταὶ καὶ ἄνομοι Τρῶες ἀφανισθῶσι, παντάπασι κακῶς μετὰ παίδων καὶ τῶν σεμνῶν καὶ αἰδοῦς ἀξίων γυναικῶν; Πρὸς τοῦτον δὲ εἶπεν ὁ πόῤῥωθεν ἐνεργῶν βασιλεὺς Ἀπόλλων· Ὦ κινητὰ γῆς, οὐκ ἄν με σώφρονα καὶ νουνεχῆ εἴποις εἶναι, εἰ σοί γε μάχομαι ἕνεκα τῶν ἀνθρώπων τῶν ἀθλίων καὶ ἀσθενῶν, οἳ φύλλοις

Δειλῶν, οἳ φύλλοισιν ἐοικότες, ἄλλοτε μέν τε
Ζαφλεγέες τελέθουσιν, ἀρούρης καρπὸν ἔδοντες,
Ἄλλοτε δ' αὖ φθινύθουσιν ἀκήριοι· ἀλλὰ τάχιστα
Παυσώμεσθα μάχης· οἱ δ' αὐτοὶ δηριαάσθων.
Ὣς ἄρα φωνήσας πάλιν ἐτράπετ'· αἴδετο γάρ ῥα
Πατροκασιγνήτοιο μιγήμεναι ἐν παλάμῃσι.
Τὸν δὲ κασιγνήτη μάλα νείκεσε, πότνια θηρῶν
Ἄρτεμις ἀγροτέρη, καὶ ὀνείδειον φάτο μῦθον·
Φεύγεις δή, Ἑκάεργε; Ποσειδάωνι δὲ νίκην
Πᾶσαν ἐπέτρεψας; μέλεον δέ οἱ εὖχος ἔδωκας;
Νηπύτιε· τί νυ τόξον ἔχεις ἀνεμώλιον αὔτως;
Μή σευ νῦν ἔτι πατρὸς ἐνὶ μεγάροισιν ἀκούσω
Εὐχομένου, ὡς τὸ πρὶν ἐν ἀθανάτοισι θεοῖσιν,
Ἄντα Ποσειδάωνος ἐναντίβιον πολεμίζειν.
Ὣς φάτο· τὴν δ' οὔτι προσέφη ἑκάεργος Ἀπόλλων·
Ἀλλὰ χολωσαμένη Διὸς αἰδοίη παράκοιτις,
Πῶς δὲ σὺ νῦν μέμονας, κύον ἀδδεὲς, ἀντί' ἐμεῖο
Στήσεσθαι; χαλεπή τοι ἐγὼ μένος ἀντιφέρεσθαι,
Τοξοφόρῳ περ ἐούσῃ· ἐπεί σε λέοντα γυναιξὶ
Ζεὺς θῆκεν, καὶ ἔδωκε κατακτάμεν, ἥν κ' ἐθέλῃσθα.
Ἤτοι βέλτερόν ἐστι κατ' οὔρεα θῆρας ἐναίρειν,
Ἀγροτέρας τ' ἐλάφους, ἢ κρείσσοσιν ἶφι μάχεσθαι.
Εἰ δ' ἐθέλεις πολέμοιο δαήμεναι· ὄφρ' εὖ εἰδῇς,
Ὅσσον φερτέρη εἴμ', ὅτι μοι μένος ἀντιφερίζεις.
Ἦ ῥα, καὶ ἀμφοτέρας ἐπὶ καρπῷ χεῖρας ἔμαρπτε
Σκαιῇ, δεξιτερῇ δ' ἄρ' ἀπ' ὤμων αἴνυτο τόξα·
Αὐτοῖσιν δ' ἄρ' ἔθεινε παρ' οὔατα μειδιόωσα
Ἐντροπαλιζομένην· ταχέες δ' ἔκπιπτον ὀϊστοί·

ὅμοιοι ὄντες, ἄλλοτε μὲν μεγαλόφρονες καὶ διαφανεῖς εἰσι, τὸν τῆς γῆς καρπὸν ἐσθίοντες, ἄλλοτε δὲ φθείρονται ἄψυχοι· ἀλλ' ὅτι τάχος λήξωμεν τῆς μάχης καὶ τοῦ πολέμου· οὗτοι δ' αὐτοὶ μαχέσθωσαν. Οὕτω δὴ εἰπὼν εἰς τοὐπίσω ἐτράπη, ᾔδεῖτο γάρ τοι μιγῆναι ἐν ταῖς παλάμαις τοῦ πατραδέλφου καὶ θείου. τοῦτον δὲ ἡ ἀδελφὴ ἡ τῶν θηρίων σεβαστὴ καὶ κυρία λίαν ὠνείδισεν, ἡ ἀγροδίαιτος Ἄρτεμις, καὶ λόγον ἐπιπληκτικὸν εἶπε· Φεύγεις δὴ, ὦ Ἄπολλον, Ποσειδῶνι δὲ νίκην τελείαν παρῆκας, ἄμοχθον (ἀτυχὲς) δὲ καὶ ἄλυπον καύχημα αὐτῷ ἐπέδωκας; μωρὲ καὶ ἀνόητε· τί δὴ τὸ τόξον κατέχεις μάταιον οὕτως εἰκῆ; μηκέτι σοῦ νῦν ἀκούσω ἐν τοῖς οἴκοις τοῦ πατρὸς καυχωμένου, ὡς πρότερον, ἐν τοῖς ἀθανάτοις θεοῖς, ἐναντίον τοῦ Ποσειδῶνος κατὰ βιαίαν ἐναντίωσιν μάχεσθαι. Οὕτως εἶπε· πρὸς ταύτην δὲ οὐδὲν εἶπεν ὁ πόῤῥωθεν ἐνεργῶν Ἀπόλλων. Ἀλλ' ὀργισθεῖσα ἡ τοῦ Διὸς σεμνὴ καὶ αἰδοῦς ἀξία γαμετή· Πῶς δὴ σὺ, ὦ κύον θρασεῖα καὶ ἄφοβε, ἐφορμᾷς ἐναντίον ἐμοῦ στήσεσθαι, δεινὴ καὶ βλαβερά σοι ἐγὼ τυγχάνω, ὥστ' ἐξεναντίας τὸ μένος φέρειν, καίπερ οὔσῃ τοξότιδι, ἐπειδή σε ταῖς γυναιξὶν ἐπίφοβον ὥσπερ λέοντα ἐποίησεν ὁ Ζεὺς, καὶ ἐξουσίαν ἔδωκεν ἀποκτεῖναι ἣν ἂν ἐθέλῃς. ὄντως σοι βέλτιόν ἐστιν ἐν τοῖς ὄρεσι θηρία φονεύειν, καὶ ἀγροδίαιτας ἐλάφους, ἢ τοῖς ἐπικρατεστέροις ἰσχυρῶς ποπολεμεῖν. εἰδὲ βούλει πολέμου πειραθῆναι, ὅπως καλῶς μάθῃς, ὁπόσον ἐπικρατεστέρα εἰμί, ᾗτινι (ἐπειδή μοι) κατ' ἰσχὺν ἐκ τοῦ ἴσου προσφέρῃ (ἀνθίστασαι). Εἶπε δὴ, καὶ ἀμφοτέρας τὰς χεῖρας περιέλαβε κατὰ τὸν καρπὸν τῇ ἑαυτῆς ἀριστερᾷ, τῇ δεξιᾷ δὲ ἀφείλετο ἐκ τῶν ὤμων τὸ τόξον, τούτῳ δὲ ἔτυπτε παρὰ τὰ ὦτα μειδιῶσα, ἐκτρέπουσαν τὰς ὄψεις (ἐξ ὑποστροφῆς ἀνθισαμένην) πρὸς τὰς τῆς χειρὸς καταφοράς· οἱ ταχεῖς δὲ ὀϊστοὶ ἐξέπιπτον· δακρύουσα δὲ μετὰ

Δακρυόεσσα δ' ἔπειτα θεὰ φύγεν, ὥστε πέλεια,
Ἥ ῥά θ' ὑπ' ἴρηκος κοίλην εἰσέπτατο πέτρην,
Χηραμόν· οὐδ' ἄρα τῇ γε ἁλώμεναι αἴσιμον ἦεν·
Ὣς ἡ δακρυόεσσα φύγεν, λίπε δ' αὐτόθι τόξα.
Λητὼ δὲ προσέειπε διάκτορος Ἀργειφόντης·
Λητοῖ, ἐγὼ δέ τοι οὔτι μαχήσομαι· ἀργαλέον γὰρ
Πληκτίζεσθ' ἀλόχοισι Διὸς νεφεληγερέταο·
Ἀλλὰ μάλα πρόφρασσα μετ' ἀθανάτοισι θεοῖσιν
Εὔχεσθαι ἐμὲ νικῆσαι κρατερῆφι βίηφιν.
Ὣς ἄρ' ἔφη· Λητὼ δὲ συναίνυτο καμπύλα τόξα,
Πεπτεῶτ' ἄλλυδις ἄλλα μετὰ στροφάλιγγι κονίης·
Ἡ μὲν τόξα λαβοῦσα πάλιν κίε θυγατέρος ἧς·
Ἡ δ' ἄρ' Ὄλυμπον ἵκανε, Διὸς ποτὶ χαλκοβατὲς δῶ,
Δακρυόεσσα δὲ πατρὸς ἐφέζετο γούνασι κούρη,
Ἀμφὶ δ' ἄρ' ἀμβρόσιος ἑανὸς τρέμε· τὴν δὲ προτὶ οἷ
Εἷλε πατὴρ Κρονίδης, καὶ ἀνείρετο, ἡδὺ γελάσσας·
Τίς νύ σε τοιάδ' ἔρεξε, φίλον τέκος, οὐρανιώνων;
Τὸν δ' αὖτε προσέειπεν ἐϋστέφανος Κελαδεινή·
Σή μ' ἄλοχος στυφέλιξε, πάτερ, λευκώλενος Ἥρη,
Ἐξ ἧς ἀθανάτοισιν ἔρις καὶ νεῖκος ἐφῆπται.
Ὣς οἱ μὲν τοιαῦτα πρὸς ἀλλήλους ἀγόρευον.
Αὐτὰρ Ἀπόλλων Φοῖβος ἐδύσετο Ἴλιον ἱρήν·
Μέμβλετο γάρ οἱ τεῖχος ἐϋδμήτοιο πόληος,
Μὴ Δαναοὶ πέρσειαν ὑπὲρ μόρον ἤματι κείνῳ.
Οἱ δ' ἄλλοι πρὸς Ὄλυμπον ἴσαν θεοὶ αἰὲν ἐόντες,
Οἱ μὲν χωόμενοι, οἱ δὲ μέγα κυδιόωντες·
Κὰδ δ' ἵζον παρὰ πατρὶ κελαινεφεῖ· αὐτὰρ Ἀχιλλεὺς
Τρῶας ὁμῶς αὐτούς τ' ὄλεκεν καὶ μώνυχας ἵππους.

ταῦτα ἔφυγεν ἡ θεὰ καθάπερ περιστερὰ, ἣ δὴ ὑπὸ ἱέρακος εἰσέπτη καὶ κατέφυγεν εἰς πέτραν κοίλην διαγωγὰς καὶ διαχωρήσεις ἔχουσαν, οὐδ᾽ ἄρα ταύτῃ γε εἵμαρτο κρατηθῆναι· οὕτω δακρύουσα ἔφυγε, κατέλιπε δὲ τὸ τόξον αὐτόθι. Πρὸς τὴν Λητὼ δὲ εἶπεν ὁ τῶν θεῶν ἄγγελος Ἑρμῆς ὁ καθαρὸς φόνου· Ὦ Λητοῖ, ἐγὼ δέ σοι οὐδαμῶς πολεμήσω, χαλεπὸν γάρ ἐστι μάχεσθαι ταῖς γαμεταῖς τοῦ τὰς νεφέλας ἀθροίζοντος Διός. ἀλλὰ πάνυ προθύμως ἐν τοῖς ἀθανάτοις θεοῖς καυχῶ (εἰ βούλει) νικῆσαι ἐμὲ καρτερᾷ καὶ ἰσχυρᾷ δυνάμει. Οὕτω δὴ εἶπεν. ἡ Λητὼ δὲ συνῆξε τὸ ἐπικαμπὲς τόξον καὶ τὰ βέλη πεσόντα ἄλλοθι ἄλλα ἐν τῇ συστροφῇ τοῦ χώματος. αὕτη μὲν οὖν λαβοῦσα τὸ τόξον τῆς ἑαυτῆς θυγατρὸς εἰς τοὐπίσω ἐπορεύετο· ἡ δὲ παρὰ τὸν Ὄλυμπον ἀφίκετο εἰς τὸ ἰσχυρῶς βεβηκὸς οἴκημα τοῦ Διὸς, δακρύουσα δὲ ἐκάθισε πρὸς τοῖς γόνασι τοῦ πατρὸς ἡ κόρη, περιέτρεμε δὲ ὁ θεῖος αὐτῆς πέπλος· ταύτην δὲ πρὸς ἑαυτὸν ἔλαβεν ὁ πατὴρ ὁ υἱὸς τοῦ Κρόνου, καὶ ἠρώτησεν ἡδέως γελάσας· Τίς δή σε τῶν οὐρανίων θεῶν τοιαῦτα εἰργάσατο, ὦ προσφιλέστατον τέκνον; Πρὸς τοῦτον δὲ εἶπεν ἡ καλλιστέφανος Ἄρτεμις ἡ ἠχιτική· Ἡ σή με γαμετὴ ἐπάταξεν, ὦ πάτερ, ἡ λευκοβραχίων Ἥρα, ἐξ ἧς τοῖς ἀθανάτοις θεοῖς συνδέδεται καὶ ηὔξηται φιλονεικία καὶ μάχη Οὕτως οὗτοι μὲν τοιαῦτα πρὸς ἀλλήλους ἔλεγον. Ἀπόλλων δὲ ὁ λαμπρὸς εἰσῆλθεν εἰς τὴν ἱερὰν Ἴλιον, διὰ φροντίδος γὰρ ἦν αὐτῷ τὸ τεῖχος τῆς καλῶς ᾠκοδομημένης πόλεως, μήποτε οἱ Ἕλληνες ἐκπορθήσειαν παρὰ τὸ εἱμαρμένον τῇ ἡμέρᾳ ἐκείνῃ. Οἱ ἄλλοι δὲ θεοὶ εἰς τὸν Ὄλυμπον ἐπορεύθησαν οἱ ἀεὶ ὄντες, οἱ μὲν λίαν ὀργιζόμενοι, οἱ δὲ μεγάλως ἐπαιρόμενοι καὶ σεμνυνόμενοι, ἐκάθισαν δὲ παρὰ τῷ πατρὶ τῷ τῶν σκοτεινῶν νεφῶν αἰτίῳ. Ἀχιλλεὺς δὲ τοὺς Τρῶας, αὐτούς τε ὁμοίως καὶ τοὺς μονώνυχας ἵππους ἀνῄρει. ὥσπερ δὲ ὅτε καπνὸς ἀνα-

Ὡς δ' ὅτε καπνὸς ἰὼν εἰς οὐρανὸν εὐρὺν ἱκάνει,
Ἄστεος αἰθομένοιο, θεῶν δέ ἑ μῆνις ἀνῆκε,
Πᾶσι δ' ἔθηκε πόνον, πολλοῖσι δὲ κήδε' ἐφῆκεν·
Ὡς Ἀχιλεὺς Τρώεσσι φόνον καὶ κήδε' ἔθηκεν.
Εἱστήκει δ' ὁ γέρων Πρίαμος θείου ἐπὶ πύργου,
Ἐς δ' ἐνόησ' Ἀχιλῆα πελώριον· αὐτὰρ ὑπ' αὐτοῦ
Τρῶες ἄφαρ κλονέοντο πεφυζότες· οὐδέ τις ἀλκὴ
Γίνεθ'· ὁ δ' οἰμώξας ἀπὸ πύργου βαῖνε χαμᾶζε,
Ὀτρυνέων παρὰ τεῖχος ἀγακλειτοὺς πυλαωρούς·
Πεπταμένας ἐν χερσὶ πύλας ἔχετ', εἰσόκε λαοὶ
Ἔλθωσι προτὶ ἄστυ πεφυζότες· ἦ γὰρ Ἀχιλλεὺς
Ἐγγὺς ὅδε κλονέων· νῦν οἴω λοίγι' ἔσεσθαι·
Αὐτὰρ ἐπεί κ' ἐς τεῖχος ἀναπνεύσωσιν ἀλέντες,
Αὖτις ἐπ' ἂψ θέμεναι σανίδας πυκινῶς ἀραρυίας·
Δείδια γάρ, μὴ οὖλος ἀνὴρ ἐς τεῖχος ἅληται.
Ὣς ἔφαθ'· οἱ δ' ἄνεσάν τε πύλας, καὶ ἀπῶσαν ὀχῆας·
Αἱ δὲ πετασθεῖσαι τεῦξαν φάος· αὐτὰρ Ἀπόλλων
Ἀντίος ἐξέθορε, Τρώων ἵνα λοιγὸν ἀλάλκοι.
Οἱ δ' ἰθὺς πόλιος καὶ τείχεος ὑψηλοῖο,
Δίψῃ καρχαλέοι, κεκονιμένοι, ἐκ πεδίοιο
Φεῦγον· ὁ δὲ σφεδανὸν ἔφεπ' ἔγχεϊ· λύσσα δέ οἱ κῆρ
Αἰὲν ἔχε κρατερή, μενέαινε δὲ κῦδος ἀρέσθαι.
Ἔνθα κεν ὑψίπυλον Τροίην ἕλον υἷες Ἀχαιῶν·
Εἰ μὴ Ἀπόλλων Φοῖβος Ἀγήνορα δῖον ἀνῆκε,
Φῶτ', Ἀντήνορος υἱὸν, ἀμύμονά τε, κρατερόν τε.
Ἐν μέν οἱ κραδίῃ θάρσος βάλε, πὰρ δέ οἱ αὐτὸς
Ἔστη, ὅπως Θανάτοιο βαρείας χεῖρας ἀλάλκοι,
Φηγῷ κεκλιμένος· κεκάλυπτο δ' ἄρ' ἠέρι πολλῇ.

φερόμενος καταλαμβάνει εἰς τὸν μέγαν οὐρανὸν, πόλεως καιομένης, ὀργὴ δὲ τῶν θεῶν ἐπήνεγκεν αὐτὸν, πᾶσι δὲ ἐποίησε κακοπάθειαν, πολλοῖς δὲ θλίψεις καὶ ὀδύνας ἐπέθηκεν. Οὕτως ὁ Ἀχιλλεὺς τοῖς Τρωσὶ φόνον καὶ λύπας ἐπήνεγκεν. Ἵστατο δὲ ὁ γέρων Πρίαμος ἐπὶ τοῦ θείου πύργου, ἐθεάσατο δὲ τὸν μέγιστον Ἀχιλλέα, ὑπ' αὐτοῦ δὲ οἱ Τρῶες εὐθέως ἐκλονοῦντο καὶ ἐταράσσοντο φεύγοντες, οὐδέ τις δύναμις αὐτοῦ ἐγίνετο· οὗτος δὲ περιπαθῶς βοήσας, κατέβη ἀπὸ τοῦ πύργου ἐπὶ τὴν γῆν, προτρέπων παρὰ τὸ τεῖχος τοὺς ὑπερενδόξους φύλακας τῶν πυλῶν, καὶ λέγων· Κατέχετε ἐν ταῖς χερσὶν ἀνεωγμένας τὰς πύλας, ἕως ἂν οἱ λαοὶ ἔλθωσιν εἰς τὴν πόλιν φεύγοντες· ὄντως γὰρ ὁ Ἀχιλλεὺς πλησίον οὕτως ταράσσων νυνὶ ὑπολαμβάνω ὀλέθρια ἔσεσθαι· ἐπειδὰν δὲ εἰς τὸ τεῖχος συναθροισθέντες, ἀναπνοῆς τύχωσι καὶ ἀνέσεως, αὖθις ἐπίθετε τὰς πυκνῶς καὶ ἀσφαλῶς συνηρμοσμένας σανίδας, δέδοικα γὰρ μὴ ὁ ὀλέθριος ἀνὴρ εἰσπηδήσῃ εἰς τὸ (ἐντὸς τοῦ) τεῖχος(ους). Οὕτως εἶπεν. οὗτοι δὲ ἀπώσαντο, καὶ ἀπεκρούσαντο τοὺς μοχλοὺς, καὶ ἀπέλυσαν τὰς πύλας· αὗται δὲ ἀνεωγυῖαι ἐποίησαν φῶς. Ἀπόλλων δὲ ἐναντίον τοῦ Ἀχιλλέως ἐξώρμησεν, ὅπως ἀποσοβήσειε τὸν ὄλεθρον τῶν Τρώων· οὗτοι δὲ εὐθὺ τῆς πόλεως καὶ τοῦ ὑψηλοῦ τείχους ὑπὸ δίψους κατάξηροι, κονιορτοῦ πλήρεις, ἐκ τοῦ πεδίου ἔφευγον· οὗτος δὲ σφεδανῶς καὶ μετ' ἐπιτάσεως καὶ βίας ἐδίωκε τῷ δόρατι, μανία δὲ τὴν ψυχὴν αὐτοῦ κατεῖχεν ἀεὶ ἰσχυρὰ, ὥρμα δ' ἐνθουσιῶν δόξαν λαβεῖν. τότ' ἂν τὴν ὑψηλὰς πύλας ἔχουσαν Τροίαν . . . . οἱ υἱοὶ τῶν Ἑλλήνων, εἰ μὴ ὁ Ἀπόλλων ὁ καθαρὸς ἀνέπεισε τὸν ἐνδοξότατον Ἀγήνορα, ἄνδρα, υἱὸν τοῦ Ἀντήνορος, ἀμώμητόν τε καὶ ἰσχυρόν· Ἐνέβαλε μὲν οὖν εἰς τὴν καρδίαν αὐτοῦ εὐθαρσίαν, παρ' αὐτῷ δὲ καὶ αὐτὸς ἔστη, ὅπως τὰς βαρείας καὶ χαλεπὰς χεῖρας τοῦ Θανάτου ἀποσοβήσειεν, ὑποκρυπτόμενος τῇ δρυῒ, κεκαλυμμένος δὲ ἦν ἀέρι καὶ ἀχλύϊ πολλῇ· Ἐπεὶ δὲ

Αὐτὰρ ὅγ᾽, ὡς ἐνόησεν Ἀχιλλῆα πτολίπορθον,
Ἔστη, πολλὰ δέ οἱ κραδίη πόρφυρε μένοντι·
Ὀχθήσας δ᾽ ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·
Ὤ μοι ἐγὼν, εἰ μέν κεν ὑπὸ κρατεροῦ Ἀχιλῆος
Φεύγω, τῇπερ οἱ ἄλλοι ἀτυζόμενοι φοβέονται,
Αἱρήσει με καὶ ὥς, καὶ ἀνάλκιδα δειροτομήσει.
Εἰ δ᾽ ἂν ἐγὼ τούτους μὲν ὑποκλονέεσθαι ἐάσω
Πηλείδῃ Ἀχιλῆϊ, ποσὶν δ᾽ ἀπὸ τείχεος ἄλλῃ
Φεύγω πρὸς πεδίον Ἰλήϊον, ὄφρ᾽ ἂν ἵκωμαι
Ἴδης τε κνημοὺς, κατά τε ῥωπήϊα δύω,
Ἑσπέριος δ᾽ ἂν ἔπειτα λοεσσάμενος ποταμοῖο,
Ἱδρῶ ἀποψυχθεὶς, ποτὶ Ἴλιον ἀπονεοίμην·
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Μή μ᾽ ἀπαειρόμενον πόλιος πεδίονδε νοήσῃ,
Καί με μεταΐξας μάρψῃ ταχέεσσι πόδεσσιν·
Οὐκ ἔτ᾽ ἔπειτ᾽ ἔσται θάνατον καὶ κῆρας ἀλύξαι.
Λίην γὰρ κρατερὸς περὶ πάντων ἔστ᾽ ἀνθρώπων.
Εἰ δέ κέν οἱ προπάροιθε πόλιος κατεναντίον ἔλθω·
Καὶ γάρ θην τούτῳ τρωτὸς χρὼς ὀξέϊ χαλκῷ,
Ἐν δὲ ἴα ψυχὴ, θνητὸν δέ ἑ φάσ᾽ ἄνθρωποι
Ἔμμεναι· αὐτάρ οἱ Κρονίδης Ζεὺς κῦδος ὀπάζει.
Ὣς εἰπὼν, Ἀχιλῆα ἀλεὶς μένεν· ἐν δέ οἱ ἦτορ
Ἄλκιμον ὡρμᾶτο πτολεμίζειν ἠδὲ μάχεσθαι.
Ἠΰτε πόρδαλις εἶσι βαθείης ἐκ ξυλόχοιο
Ἀνδρὸς θηρητῆρος ἐναντίον, οὐδέ τι θυμῷ
Ταρβεῖ, οὐδὲ φοβεῖται, ἐπεί κεν ὑλαγμὸν ἀκούσῃ·
Εἴπερ γὰρ φθάμενός μιν ἢ οὐτάσῃ, ἠὲ βάλῃσιν,
Ἀλλά τε καὶ περὶ δουρὶ πεπαρμένη οὐκ ἀπολήγει

οὗτος ἐθεάσατο τὸν τὰς πόλεις πορθοῦντα Ἀχιλλέα, ἔμεινε κατὰ χώραν, πάνυ δὲ ἡ καρδία αὐτῷ ἑστῶτι ἐταράττετο καὶ ἐμερίμνα· στενάξας δὲ εἶπε πρὸς τὴν ἑαυτοῦ μεγαλόφρονα ψυχήν· Οἴμοι ἐγὼ, ἂν μὲν ὑπὸ τοῦ ἰσχυροῦ Ἀχιλλέως φεύγω, οὗπερ οἱ ἄλλοι ταραττόμενοι φεύγουσι, φθάσει καὶ κρατήσει με, καὶ ὡς ἀσθενῆ καὶ ἄνανδρον ἀποκτενεῖ· ἐὰν δὲ ἐγὼ τούτους μὲν καταλίπω ταράττεσθαι ὑπὸ Ἀχιλλέως τοῦ υἱοῦ τοῦ Πηλέως, τοῖς ποσὶ δὲ ἀπὸ τοῦ τείχους ἄλλοσε φεύγω ἐπὶ τὸ πεδίον τὸ ὑποκείμενον τῇ Ἴδῃ (τὸ πρὸς τῷ τάφῳ τοῦ Ἴλου), ἕως ἂν ἀφίκωμαι παρὰ τοὺς δασεῖς καὶ δυσβάτους τόπους, καὶ ὑπεισέλθω τὰ ἐν οἷς οἱ ῥῶπες φύονται καὶ σύμφυτα μέρη, ἑσπέρας (ὀψὲ τῆς ἡμέρας) δ᾽ ἂν μετὰ ταῦτα λουσάμενος ἐν τῷ ποταμῷ, τὸν ἱδρῶτα πνεύμασι ξηράνας, πρὸς τὸ Ἴλιον ὑποστρέψαιμι. Ἀλλὰ τί δή μοι ταῦτα διελέξατο ἡ ἀγαπητὴ ψυχὴ, μήπως με ἀποχωροῦντα τῆς πόλεως ἐπὶ τὸ πεδίον θεάσηται, καὶ κατόπιν ἐφορμήσας καταλάβῃ με τοῖς ταχέσι ποσὶν, οὐκέτι μετὰ ταῦτα ἔσται δυνατὸν ἐκφυγεῖν τὸν θάνατον καὶ τὴν ἀπαίσιον φθορὰν, πάνυ γὰρ ἰσχυρός ἐστιν ὑπὲρ πάντας τοὺς ἀνθρώπους. ἐὰν δὲ ἔμπροσθεν τῆς πόλεως ἐναντίον αὐτοῦ παραγένωμαι, καὶ γὰρ δήπου καὶ τούτῳ τρωτόν ἐστι σῶμα σιδήρῳ ὀξεῖ καὶ τμητικῷ, μία δὲ ψυχὴ ἔνεστι, φθαρτὸν δὲ αὐτὸν λέγουσιν οἱ ἄνθρωποι εἶναι, Ζεὺς δὲ ὁ υἱὸς τοῦ Κρόνου παρέχει αὐτῷ δόξαν καὶ νίκην. Οὕτως εἰπὼν, συστραφεὶς παρέμενε τὸν Ἀχιλλέα, ἐν αὐτῷ δὲ ἡ ψυχὴ ἡ ἀνδρεία προετρέπετο πολεμίζειν καὶ μάχεσθαι· καθάπερ πόρδαλις ὁρμᾷ ἐκ βαθέος καὶ πυκνοῦ δρυμοῦ ἐναντίον ἀνδρὸς κυνηγοῦ, οὐδέτι ἐν τῇ καρδίᾳ δέδοικεν οὐδὲ πτοεῖται, ἐπειδὰν ἀκούσῃ τὸν ὑλαγμὸν τῶν κυνῶν, ἐὰν γὰρ καὶ φθάσας ἢ τρώσῃ ἔγγυθεν αὐτὴν, ἢ βάλῃ πόῤῥωθεν, ἀλλά γε καὶ δόρατι πεπερονημένη καὶ καθηλωμένη οὐκ ἀποπαύεται

Ἀλκῆς, πρίν γ' ἠὲ ξυμβλήμεναι, ἠὲ δαμῆναι·
Ὣς Ἀντήνορος υἱὸς ἀγαυοῦ, δῖος Ἀγήνωρ,
Οὐκ ἔθελεν φεύγειν, πρὶν πειρήσαιτ' Ἀχιλῆος.
Ἀλλ' ὅ γ' ἄρ ἀσπίδα μὲν πρόσθ' ἔσχετο πάντοσε ἴσην,
Ἐγχείῃ δ' αὐτοῖο τιτύσκετο, καὶ μέγ' ἄϋτει·
Ἦ δή που μάλ' ἔολπας ἐνὶ φρεσὶ, φαίδιμ' Ἀχιλλεῦ,
Ἤματι τῷδε πόλιν πέρσειν Τρώων ἀγερώχων·
Νηπύτι', ἦ τ' ἔτι πολλὰ τετεύξεται ἄλγε' ἐπ' αὐτῇ·
Ἐν γάρ ῥ' οἱ πολέες τοι καὶ ἄλκιμοι ἀνέρες εἰμὲν,
Οἵ κε πρόσθε φίλων τοκέων, ἀλόχων τε, καὶ υἱῶν,
Ἴλιον εἰρυόμεσθα· σὺ δ' ἐνθάδε πότμον ἐφέψεις,
Ὧδ' ἔκπαγλος ἐὼν καὶ θαρσαλέος πολεμιστής.
Ἦ ῥα, καὶ ὀξὺν ἄκοντα παχείης χειρὸς ἀφῆκε·
Καί ῥ' ἔβαλε κνήμην ὑπὸ γούνατος, οὐδ' ἀφάμαρτεν·
Ἀμφὶ δέ μιν κνημὶς νεοτεύκτου κασσιτέροιο
Σμερδαλέον κονάβησε· πάλιν δ' ἀπὸ χαλκὸς ὄρουσε
Βλημένου, οὐδ' ἐπέρησε· θεοῦ δ' ἠρύκακε δῶρα.
Πηλείδης δ' ὡρμήσατ' Ἀγήνορος ἀντιθέοιο
Δεύτερος· οὐδέ τ' ἔασεν Ἀπόλλων κῦδος ἀρέσθαι,
Ἀλλά μιν ἐξήρπαξε, κάλυψε δ' ἄρ' ἠέρι πολλῇ,
Ἡσύχιον δ' ἄρα μιν πολέμου ἔκπεμπε νέεσθαι·
Αὐτὰρ ὁ Πηλείωνα δόλῳ ἀποέργαθε λαοῦ·
Αὐτῷ γάρ ῥ' Ἑκάεργος Ἀγήνορι πάντα ἐοικὼς,
Ἔστη πρόσθε ποδῶν, ὁ δ' ἐπέσσυτο ποσσὶ διώκειν.
Ἕως ὁ τὸν πεδίοιο διώκετο πυροφόροιο,
Στρέψας πὰρ ποταμὸν βαθυδινήεντα Σκάμανδρον,
Τυτθὸν ὑπεκπροθέοντα· δόλῳ δ' ἄρ ἔθελγεν Ἀπόλλων·
Ὡς αἰεὶ ἔλποιτο κιχήσεσθαι ποσὶν οἷσι·

τῆς εὐτόλμου ἰσχύος, πρίν γε ἢ συμβαλεῖν, ἢ ἀναιρεθῆναι· οὕτως ὁ υἱὸς τοῦ λαμπροῦ Ἀντήνορος ὁ ἐνδοξότατος Ἀγήνωρ, οὐκ ἤθελεν φεύγειν, πρὶν πειραθῆναι τοῦ Ἀχιλλέως. ἀλλ᾽ οὗτος δὴ τὴν μὲν ἀσπίδα ἔμπροσθεν κατέσχε τὴν πάντοθεν ἴσην καὶ κυκλοτερῆ, τῷ δόρατι δὲ αὐτοῦ κατεστοχάζετο, καὶ μεγάλως ἐφώνει· Ὄντως δήπου πάνυ ἐλπίζεις ἐν τῇ διανοίᾳ, λαμπρότατε Ἀχιλλεῦ, τῇ παρούσῃ ἡμέρᾳ ἐκπορθήσειν τὴν πόλιν τῶν ὑπερενδόξων Τρώων· μορὲ καὶ ἀνόητε, ὄντως ἔτι πολλαὶ θλίψεις καὶ λῦπαι γενήσονται δι᾽ αὐτήν, ἐν αὐτῇ γὰρ πολλοὶ δή σοι καὶ γενναῖοι ἄνδρες ἐσμέν, οἳ ἂν ἔμπροσθεν τῶν ἀγαπητῶν γονέων καὶ γυναικῶν καὶ παίδων φυλάσσομεν καὶ σώζομεν τὸ Ἴλιον, σὺ δὲ ἐνταῦθα θάνατον καταλήψῃ, οὕτω προπετὴς καὶ θρασὺς ὤν, καὶ εὔτολμος μαχητής. Εἶπε δὴ καὶ τὸ ὀξὺ δόρυ ἀπώσατο ἐκ τῆς παχείας καὶ ἰσχυρᾶς χειρὸς, καὶ ἔπληξε τὴν κνήμην ὑποκάτω τοῦ γόνατος, οὐδὲ ἥμαρτε, περὶ αὐτὴν δὲ ἡ κνημὶς τοῦ νεωστὶ κατεσκευασμένου κασσιτέρου καταπληκτικῶς περιήχησεν, εἰς τοὐπίσω δὲ ἀπηνέχθη ὁ σίδηρος τυφθέντος, οὐδὲ ἐπέρασε, διεκώλυσε γὰρ καὶ ἐπέσχε τὰ τοῦ θεοῦ δῶρα· ὁ υἱὸς δὲ τοῦ Πηλέως ὥρμησε κατὰ τοῦ ἰσοθέου Ἀγήνορος ὕστερος, οὐδὲ ἀφῆκεν ὁ Ἀπόλλων λαβεῖν εὐδοξίαν, ἀλλὰ ἐξήρπασεν αὐτὸν, περιεκάλυψε δὲ ἀέρι, καὶ ἀχλύϊ πολλῇ, λάθρα δὲ καὶ ἄνευ θορύβου ἐξέπεμψεν αὐτὸν ἐκ τοῦ πολέμου πορεύεσθαι· οὗτος δὲ τὸν υἱὸν τοῦ Πηλέως ἐπιβουλῇ καὶ ἀπάτῃ ἀπεχώρισε καὶ ἀπήγαγε τοῦ λαοῦ, αὐτῷ γὰρ δὴ τῷ Ἀγήνορι κατὰ πάντα ὅμοιος ὁ πόῤῥωθεν ἐνεργῶν Ἀπόλλων ἔστη ἔμπροσθεν τῶν ποδῶν, οὗτος δὲ ἐφώρμησε τοῖς ποσὶ διώκειν· ἐν ὅσῳ δὲ οὗτος ἐδίωκεν αὐτὸν διὰ τοῦ σιτοφόρου πεδίου, τρέψας παρὰ τὸν βαθύῤῥουν ποταμὸν τὸν Σκάμανδρον μετρίᾳ ταχύτητι προτρέχοντα· ἀπάτῃ γὰρ ἐπήγετο αὐτὸν ὁ Ἀπόλλων, ἵν᾽ ἀεὶ ἐλπίζοι καταλήψεσθαι τοῖς ἑαυτοῦ ποσίν. ἐν

Τόφρ' ἄλλοι Τρῶες πεφοβημένοι ἦλθον ὁμίλῳ
'Ασπάσιοι προτὶ ἄστυ· πόλις δ' ἔμπλητο ἀλέντων.
Οὐδ' ἄρα τοί γ' ἔτλαν πόλεως καὶ τείχεος ἐκτὸς
Μεῖναι ἔτ' ἀλλήλους, καὶ γνώμεναι, ὅς τε πεφεύγοι,
Ὅς τ' ἔθαν' ἐν πολέμῳ· ἀλλ' ἀσπασίως ἐσέχυντο
Ἐς πόλιν, ὅντινα τῶν γε πόδες καὶ γοῦνα σάωσαι.

σούτῳ οἱ ἄλλοι Τρῶες φεύγοντες εἰσῆλθον συνηθροισμένοι ἀγαπητῶς εἰς τὴν πόλιν, πᾶσα δ' ἡ πόλις ἐπληρώθη ἀθροισθέντων, οὐδ' ἄρα οὗτοί γε ὑπέμειναν ἔξω τῆς πόλεως καὶ τοῦ τείχους παραμεῖναι ἔτι ἀλλήλους καὶ γνῶναι ὃς ἂν φεύγοι, καὶ ὃς ἀπέθανεν ἐν τῷ πολέμῳ, ἀλλ' ἀγαπητῶς εἰσέτρεχον εἰς τὴν πόλιν, ὅντινα αὐτῶν οἱ πόδες καὶ τὰ γόνατα ἔσωσαν.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩΔΙΑ Χ.

Ὣς οἱ μὲν κατὰ ἄστυ πεφυζότες, ἠΰτε νεβροί,
Ἱδρῶ ἀπεψύχοντο, πίον τ', ἀκέοντό τε δίψαν,
Κεκλιμένοι καλῇσιν ἐπάλξεσιν· αὐτὰρ Ἀχαιοὶ
Τείχεος ἆσσον ἴσαν, σάκε' ὤμοισι κλίναντες.
Ἕκτορα δ' αὐτοῦ μεῖναι ὀλοὴ Μοῖρ' ἐπέδησεν,
Ἰλίου προπάροιθε, πυλάων τε Σκαιάων.
Αὐτὰρ Πηλεΐωνα προσηύδα Φοῖβος Ἀπόλλων·
Τίπτε με, Πηλέος υἱὲ, ποσὶν ταχέεσσι διώκεις,
Αὐτὸς θνητὸς ἐὼν, θεὸν ἄμβροτον; οὐδέ νυ πώ με
Ἔγνως ὡς θεός εἰμι, σὺ δ' ἀσπερχὲς μενεαίνεις;
Ἦ νύ τοι οὔτι μέλει Τρώων πόνος, οὓς ἐφόβησας,
Οἳ δή τοι εἰς ἄστυ ἄλεν, σὺ δὲ δεῦρ' ἐλιάσθης;
Οὐ μέν με κτανέεις, ἐπεὶ οὔτοι μόρσιμός εἰμι.
Τὸν δὲ μέγ' ὀχθήσας προσέφη πόδας ὠκὺς Ἀχιλλεύς

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑΣ Χ

ΠΑΡΑΦΡΑΣΙΣ.

Ουτως οὗτοι μὲν εἰς(ἐν) τὴν(ῇ) πόλιν(ει) καταφυγόντες (δειλιῶντες) καθάπερ γεννήματα ἐλάφων, τὸν ἱδρῶτα κατέψυχον καὶ ἐξήραινον ἀνέμῳ, ἔπιόν τε καὶ τὸ δίψος ἐθεράπευον περικεκλεισμένοι καὶ περιεχόμενοι τοῖς καλοῖς προμαχῶσιν, ἤγουν τῷ τείχει παντί. οἱ Ἕλληνες δὲ πλησίον τοῦ τείχους ἐπορεύοντο, τὰς ἀσπίδας ἐπικλίναντες, καὶ τὴν ἄνω περιφέρειαν αὐτῶν ἐπιθέντες τοῖς ὤμοις. Τὸν Ἕκτορα δὲ αὐτόθι παραμεῖναι ἐδέσμευσεν ἡ ἀφανιστικὴ Μοῖρα ἔμπροσθεν τοῦ Ἰλίου, καὶ τῶν Σκαιῶν πυλῶν. Πρὸς τὸν υἱὸν δὲ τοῦ Πηλέως ἔλεγεν ὁ λαμπρὸς Ἀπόλλων· Τί δήποτέ με υἱὲ τοῦ Πηλέως διώκεις ποσὶ ταχέσι, σὺ φθαρτὸς ὢν, θεὸν ἄφθαρτον καὶ ἀθάνατον; οὐδὲ δήπω με ἐνόησας ὅτι θεός εἰμι, σὺ δὲ ἀδιαλείπτως προθυμῇ; ἢ δή σοι οὐδὲν μέλει ἡ τῶν Τρώων κακοπάθεια, οὓς ἔτρεψας εἰς φυγήν, οἳ δή σοι εἰς τὴν πόλιν συνεστράφησαν, σὺ δὲ ἐνθάδε ἀπεχωρίσθης; οὐδαμῶς με ἀποκτανεῖς, ἐπειδὴ οὐχ ὑπόκειμαι μοίρᾳ. Πρὸς τοῦτον δὲ μεγάλως στενάξας εἶπεν ὁ ταχύπους Ἀχιλλεύς·

Ἔβλαψάς μ', Ἑκάεργε, θεῶν ὀλοώτατε πάντων,
Ἐνθάδε νῦν τρέψας ἀπὸ τείχεος· ἦ κ' ἔτι πολλοὶ
Γαῖαν ὀδὰξ εἷλον, πρὶν Ἴλιον εἰσαφικέσθαι.
Νῦν δ' ἐμὲ μὲν μέγα κῦδος ἀφείλεο, τοὺς δ' ἐσάωσας
Ῥηϊδίως, ἐπεὶ οὔτι τίσιν γ' ἔδδεισας ὀπίσσω·
Ἦ σ' ἂν τισαίμην, εἴ μοι δύναμίς γε παρείη.
Ὣς εἰπὼν, προτὶ ἄστυ μέγα φρονέων ἐβεβήκει,
Σευάμενος, ὥς θ' ἵππος ἀεθλοφόρος σὺν ὄχεσφιν,
Ὅς ῥά τε ῥεῖα θέῃσι τιταινόμενος πεδίοιο.
Ὣς Ἀχιλεὺς λαιψηρὰ πόδας καὶ γούνατ' ἐνώμα.
Τὸν δ' ὁ γέρων Πρίαμος πρῶτος ἴδεν ὀφθαλμοῖσι,
Παμφαίνονθ', ὥστ' ἀστέρ', ἐπεσσύμενον πεδίοιο,
Ὅς ῥά τ' ὀπώρης εἶσιν· ἀρίζηλοι δέ οἱ αὐγαὶ
Φαίνονται πολλοῖσι μετ' ἄστρασι νυκτὸς ἀμολγῷ·
Ὅν τε Κύν' Ὠρίωνος ἐπίκλησιν καλέουσι·
Λαμπρότατος μὲν ὅδ' ἐστὶ, κακὸν δέ τε σῆμα τέτυκται,
Καί τε φέρει πολλὸν πυρετὸν δειλοῖσι βροτοῖσιν·
Ὣς τοῦ χαλκὸς ἔλαμπε περὶ στήθεσσι θέοντος.
Ὤιμωξεν δ' ὁ γέρων, κεφαλὴν δ' ὅγε κόψατο χερσὶν,
Ὑψόσ' ἀνασχόμενος, μέγα δ' οἰμώξας ἐγεγώνει,
Λισσόμενος φίλον υἱόν· ὁ δὲ προπάροιθε πυλάων
Εἱστήκει, ἄμοτον μεμαὼς Ἀχιλῆϊ μάχεσθαι·
Τὸν δ' ὁ γέρων ἐλεεινὰ προσηύδα, χεῖρας ὀρεγνύς·
Ἕκτορ, μή μοι μίμνε, φίλον τέκος, ἀνέρα τοῦτον
Οἷος, ἄνευθ' ἄλλων· ἵνα μὴ τάχα πότμον ἐπίσπῃς,
Πηλείωνι δαμείς· ἐπειὴ πολὺ φέρτερός ἐστιν.
Σχέτλιος, αἴθε θεοῖσι φίλος τοσσόνδε γένοιτο,
Ὅσσον ἐμοί· τάχα κέν ἑ κύνες καὶ γῦπες ἔδονται

Ἔβλαψάς με, ὦ Ἄπολλον ὀλεθριώτατε πάντων τῶν θεῶν, δεῦρο νῦν ἀπαγαγὼν ἐκ τοῦ τείχους· ὄντως ἂν ἔτι πολλοὶ τοῖς ὀδοῦσιν ἐλάβοντο τῆς γῆς, πρὶν εἰς τὸ Ἴλιον ἀφικέσθαι. νυνὶ δὲ ἐμὲ μὲν μεγάλην δόξαν ἀφείλου, τούτους δὲ ἔσωσας ῥᾳδίως, ἐπειδὴ οὐδαμῶς ἐφοβήθης ἀντέκτισιν καὶ τιμωρίαν ἐσομένην· ὄντως ἐτιμωρησάμην ἄν σε, εἴ μοι δύναμίς γε παρῆν. Οὕτως εἰπὼν ἐπὶ τὴν πόλιν μεγαλοφρονῶν καὶ ἐπαιρόμενος ἐπορεύθη ὁρμήσας, ὥσπερ ἵππος νικητὴς σὺν ὀχήματι, ὃς δὴ ῥᾳδίως τρέχει ἐκτεινόμενος διὰ τῆς πεδιάδος· οὕτως ὁ Ἀχιλλεὺς ταχέως ἐκίνει τοὺς πόδας καὶ τὰ γόνατα. Τοῦτον δὲ ὁ γέρων Πρίαμος ἐθεάσατο τοῖς ὀφθαλμοῖς περιλάμποντα καθάπερ ἀστέρα, ἐφορμῶντα διὰ τοῦ πεδίου, ὃς δὴ κατὰ τὸν τοῦ φθινοπώρου καιρὸν ἀνατέλλει, λαμπραὶ δὲ καὶ διάδηλοι αἱ λαμπηδόνες αὐτοῦ ὁρῶνται ἐν τοῖς πολλοῖς ἄστρασιν ἐν τῷ μέσῳ τῆς νυκτὸς, ὃν καλοῦσι κατ' ἐπωνυμίαν Κύνα τοῦ Ὠρίωνος, τηλαυγέστατος μὲν οὗτος ὑπάρχει, χαλεπὸν δὲ σημεῖόν ἐστι, καὶ γὰρ ἐπιφέρει τοῖς ἀθλίοις ἀνθρώποις πολὺν πυρετόν. Οὕτως ἔλαμπεν ὁ σίδηρος περὶ τὰ στήθη αὐτοῦ τρέχοντος· κλαίων δ' ἐβόησεν ὁ γέρων, τὴν κεφαλὴν δ' αὐτὸς ἔπληξε ταῖς χερσὶν, ἄρας εἰς τὸ ὕψος, μεγάλως δὲ θρηνήσας ἐβόησε παρακαλῶν τὸν ἀγαπητὸν υἱόν· οὗτος δὲ ἔμπροσθεν τῶν πυλῶν ἵςατο ἀπαύςως προθυμούμενος πολεμεῖν τῷ Ἀχιλλεῖ. πρὸς τοῦτον δὲ ὁ γέρων οἰκτρὰ ἔλεγε τὰς χεῖρας ἐκτείνων· Ὦ Ἕκτορ μή μοι παράμενε, ἀγαπητὸν τέκνον, τὸν ἄνδρα τοῦτον μόνος ἄνευ τῶν ἄλλων, ἵνα μὴ ταχέως τὸν θάνατον ἐπισπάσῃ ἀναιρεθεὶς ὑπὸ τοῦ υἱοῦ τοῦ Πηλέως, ἐπειδὴ πολλῷ κρείσσων ὑπάρχει· ὁ χαλεπὸς καὶ ἄδικος, εἴθε γένοιτο φίλος τοσοῦτον τοῖς θεοῖς, ὅσον ἐμοὶ, ταχέως ἂν αὐτὸν οἱ κύνες καὶ οἱ γῦπες ἔφαγον

Κείμενον· ἤ κέ μοι αἰνὸν ἀπὸ πραπίδων ἄχος ἔλθοι.
Ὅς μ' υἱῶν πολλῶν τε καὶ ἐσθλῶν εὖνιν ἔθηκε,
Κτείνων, καὶ περνὰς νήσων ἐπὶ τηλεδαπάων.
Καὶ γὰρ νῦν δύο παῖδε Λυκάονα καὶ Πολύδωρον
Οὐ δύναμαι ἰδέειν, Τρώων εἰς ἄστυ ἀλέντων,
Τούς μοι Λαοθόη τέκετο, κρείουσα γυναικῶν.
Ἀλλ' εἰ μὲν ζώουσι μετὰ στρατῷ, ἦτ' ἂν ἔπειτα
Χαλκοῦ τε χρυσοῦ τ' ἀπολυσόμεθ'· ἔστι γὰρ ἔνδον·
Πολλὰ γὰρ ὤπασε παιδὶ γέρων ὀνομάκλυτος Ἄλτης
Εἰ δ' ἤδη τεθνᾶσι, καὶ εἰν Ἀΐδαο δόμοισιν,
Ἄλγος ἐμῷ θυμῷ καὶ μητέρι, τοὶ τεκόμεσθα.
Λαοῖσιν δ' ἄλλοισι μινυνθαδιώτερον ἄλγος
Ἔσσεται, ἢν μὴ καὶ σὺ θάνῃς, Ἀχιλῆϊ δαμασθείς.
Ἀλλ' εἰσέρχεο τεῖχος, ἐμὸν τέκος, ὄφρα σαώσῃς
Τρῶας καὶ Τρῳὰς, μηδὲ μέγα κῦδος ὀρέξῃς
Πηλείδῃ, αὐτὸς δὲ φίλης αἰῶνος ἀμερθῇς·
Πρὸς δ' ἐμὲ τὸν δύστηνον ἔτι φρονέοντ' ἐλέησον,
Δύσμορον, ὅν ῥα πατὴρ Κρονίδης ἐπὶ γήραος οὐδῷ
Αἴσῃ ἐν ἀργαλέῃ φθίσει, κακὰ πόλλ' ἐπιδόντα,
Υἷάς τ' ὀλλυμένους, ἑλκυθείσας τε θύγατρας,
Καὶ θαλάμους κεραϊζομένους, καὶ νήπια τέκνα
Βαλλόμενα προτὶ γαίῃ, ἐν αἰνῇ δηϊοτῆτι,
Ἑλκομένας τε νυοὺς ὀλοῇς ὑπὸ χερσὶν Ἀχαιῶν·
Αὐτὸν δ' ἂν πύματόν με κύνες πρώτῃσι θύρῃσιν
Ὠμησταὶ ἐρύουσι, ἐπεί κέ τις ὀξέϊ χαλκῷ
Τύψας, ἠὲ βαλὼν ῥεθέων ἐκ θυμὸν ἕληται,
Οὓς τρέφον ἐν μεγάροισι, τραπεζῆας πυλαωρούς,
Οἵ κ' ἐμὸν αἷμα πιόντες, ἀλύσσοντες περὶ θυμῷ

ἐῤῥιμμένον· ὄντως ἂν μοι ἡ χαλεπὴ λύπη ἐξέλιπεν ἀπὸ τῆς διανοίας, ὅς με ἐποίησεν ἔρημον πολλῶν τε καὶ ἀγαθῶν υἱῶν, ἀναιρῶν, καὶ πωλλῶν ἐπὶ τὰς πόῤῥω κειμένας νήσους. καὶ γὰρ νῦν τοὺς δύο μοι παῖδας τὸν Λυκάονα καὶ τὸν Πολύδωρον οὐ δύναμαι θεάσασθαι, τῶν Τρώων συςραφέντων καὶ ἀθροισθέντων εἰς τὴν πόλιν, οὓς μοι ἡ Λαοθόη ἔτεκεν ἡ βασιλικωτάτη τῶν γυναικῶν· ἀλλ᾽ εἰ μὲν ζῶσιν ἐν τῷ ςρατῷ, ὄντως ἂν μετὰ ταῦτα χαλκὸν δόντες καὶ χρυσὸν ἐλευθερώσομεν, πάρεστι γὰρ, πολλὰ γὰρ ἐπέδωκε τῇ ἑαυτοῦ θυγατρὶ ὁ περιβόητος γέρων Ἄλτης. εἰ δὲ ἤδη ἀπέθανον, καὶ ἐν τοῖς οἴκοις τοῦ Ἄιδου εἰσὶ, λύπη τῇ ἐμαυτοῦ ψυχῇ καὶ τῇ μητρὶ, οἳ ἐγεννήσαμεν αὐτοὺς, ὑπάρχει· τοῖς ἄλλοις δὲ λαοῖς ὀλιγοχρονιώτερος λύπη ἔσται, ἐὰν μὴ σὺ ἀποθάνῃς ἀναιρεθεὶς ὑπὸ τοῦ Ἀχιλλέως. Ἀλλ᾽ εἴσελθε εἰς τὴν πόλιν, ὦ τέκνον ἐμὸν, ὅπως σώσῃς τοὺς Τρῶας καὶ τὰς Τρωάδας, μηδὲ μεγάλην δόξαν παράσχῃς τῷ υἱῷ τοῦ Πηλέως, αὐτὸς (σὺ) δὲ τῆς ἀγαπητῆς ζωῆς στερηθῇς. πρὸς τούτοις δὲ ἐμὲ ἄθλιον καὶ ταλαίπωρον ἔτι σωφρονοῦντα οἴκτειρον, δυστυχῆ καὶ κακοδαίμονα, ὃν δὴ ὁ πατὴρ ὁ υἱὸς τοῦ Κρόνου ἐπὶ τῷ τέλει καὶ τῇ ἐξόδῳ τοῦ βίου φθερεῖ καὶ ἀφανίσει ἐν μοίρᾳ ὀδυνηρᾷ πολλὰ χαλεπὰ θεασάμενον· τούς τε υἱοὺς ἀναιρουμένους, καὶ τὰς θυγατέρας ἑλκομένας καὶ ὑβριζομένας, καὶ τὰ δώματα διαφθειρόμενα, καὶ μικρὰ παιδία ῥιπτούμενα ἐπὶ τὴν γῆν ἐν τῇ χαλεπῇ μάχῃ, καὶ τὰς τῶν υἱῶν γυναῖκας ἐπισυρομένας ὑπὸ τῶν..... χειρῶν τῶν Ἑλλήνων· ἐμὲ δὲ τελευταῖον αὐτὸν οἱ κύνες ἐν ταῖς πρώταις θύραις καὶ τοῖς προαυλίοις οἱ ὠμοβόροι ἑλκύσουσι, καὶ σπαράξουσιν, ἐπειδὰν τις σιδήρῳ ὀξεῖ τρώσας ἔγγυθεν, ἢ πλήξας πόῤῥωθεν, ἀφέληται τὴν ψυχὴν ἀπὸ τῶν μελῶν, οὓς ἔτρεφον ἐν τοῖς οἴκοις παρεςῶτας τῇ τραπέζῃ καὶ τὰς πύλας φυλάσσοντας, οἳ δὴ τοὐμὸν αἷμα πιόντες, δυσφοροῦντες ὑπὸ πλησμονῆς κα-

Κείσοντ' ἐν προθύροισι· νέῳ δέ τε πάντ' ἐπέοικεν
Ἄρηϊ κταμένῳ, δεδαϊγμένῳ ὀξέϊ χαλκῷ,
Κεῖσθαι· πάντα δὲ καλὰ θανόντι περ, ὅττι φανείη·
Ἀλλ' ὅτε δὴ πολιόν τε κάρη, πολιόν τε γένειον,
Αἰδῶ τ' αἰσχύνωσι κύνες κταμένοιο γέροντος,
Τοῦτο δὴ οἴκτιστον πέλεται δειλοῖσι βροτοῖσιν.
Ἦ ῥ' ὁ γέρων, πολιὰς δ' ἄρ' ἀνὰ τρίχας ἕλκετο χερσὶ,
Τίλλων ἐκ κεφαλῆς· οὐδ' Ἕκτορι θυμὸν ἔπειθε.
Μήτηρ δ' αὖθ' ἑτέρωθεν ὀδύρετο δακρυχέουσα,
Κόλπον ἀνιεμένη, ἑτέρηφι δὲ μαζὸν ἀνέσχε,
Καί μιν δακρυχέουσ' ἔπεα πτερόεντα προσηύδα·
Ἕκτορ, τέκνον ἐμὸν, τάδε τ' αἴδεο, καί μ' ἐλέησον
Αὐτὴν, εἴ ποτέ τοι λαθικηδέα μαζὸν ἐπέσχον,
Τῶν μνῆσαι, φίλε τέκνον· ἄμυνε δὲ δήϊον ἄνδρα
Τείχεος ἐντὸς ἰών· μηδὲ πρόμος ἵστασο τούτῳ·
Σχέτλιος· εἴπερ γάρ σε κατακτάνῃ, ου σέ τ' ἔγωγε
Κλαύσομαι ἐν λεχέεσσι, φίλον τέκος, ὃν τέκον αὐτὴ,
Οὐδ' ἄλοχος πολύδωρος, ἄνευθε δέ σε μέγα νῶϊν
Ἀργείων παρὰ νηυσὶ κύνες ταχέες κατέδονται.
Ὣς τώ γε κλαίοντε προσαυδήτην φίλον υἱὸν,
Πολλὰ λισσομένω· οὐδ' Ἕκτορι θυμὸν ἔπειθον·
Ἀλλ' ὅγε μίμν' Ἀχιλῆα πελώριον ἆσσον ἰόντα.
Ὡς δὲ δράκων ἐπὶ χειῇ ὀρέστερος ἄνδρα μένῃσι,
Βεβρωκὼς κακὰ φάρμακ', ἔδυ δέ τέ μιν χόλος αἰνὸς,
Σμερδαλέον δὲ δέδορκεν, ἑλισσόμενος περὶ χειῇ·
Ὣς Ἕκτωρ, ἄσβεστον ἔχων μένος, οὐχ ὑπεχώρει,
Πύργῳ ἔπι προὔχοντι φαεινὴν ἀσπίδ' ἐρείσας·
Ὀχθήσας δ' ἄρα εἶπε πρὸς ὃν μεγαλήτορα θυμόν·

τὰ ψυχὴν, κείσονται ἐν τοῖς προθύροις (ἔπροσθεν τῶν θυρῶν). τῷ δέ γε νέῳ πάντα καθήκει πολέμῳ ἀναιρεθέντι, διακεκομμένῳ σιδήρῳ ὀξεῖ κεῖσθαι, πάντα γὰρ εὐπρεπῆ ἀποθανόντι γε, ὅ τι ἂν συμβαίη (ἐὰν ἐκ τοῦ ἀποθανεῖν καλόν τι φανῇ καὶ λυσιτελὲς). ἀλλ᾽ ὁπόταν δὴ λευκὴν κεφαλὴν, καὶ λευκὸν γένειον, καὶ τὴν αἰδῶ αἰκίσωσι κύνες γέροντος ἀναιρεθέντος, τοῦτο δὴ ἐλεεινότατον ὑπάρχει τοῖς ἀθλίοις ἀνθρώποις. Εἶπε δὴ ὁ γέρων, τὰς λευκὰς δὲ τρίχας ἔτιλλε ταῖς χερσὶν ἀποσπῶν αὐτὰς ἐκ τῆς κεφαλῆς, οὐ μὴν τῷ(οῦ) Ἕκτορι(ος) κατέπειθε τὴν ψυχήν. Ἡ μήτηρ δὲ ἀφ᾽ ἑτέρου μέρους ὠλοφύρετο δακρυῤῥοοῦσα τὸν κόλπον ἀναχαλῶσα, τῇ ἑτέρᾳ δὲ χειρὶ τὸν μασθὸν προὐβάλετο, καὶ δακρύουσα λόγους ταχεῖς ἔλεγε πρὸς αὐτόν· Ὦ Ἕκτορ τέκνον ἐμὸν, ταῦτά τε αἰδοῦ, καί με οἴκτειρον αὐτὴν, εἴποτέ σοι μασθὸν παυσίλυπον, καὶ λαθίπονον ἐπέδωκα. τούτων μνήσθητι, ὦ τέκνον ἀγαπητόν· ἀμύνου δὲ τὸν πολέμιον καὶ ἀφανιστικὸν ἄνδρα, εἰσελθὼν ἐντὸς τοῦ τείχους, μηδὲ πρὸ τῶν ἄλλων μαχόμενος παράμενε τούτῳ· ὁ δεινὸς καὶ ἄδικος· ἐὰν γάρ σε ἀποκτείνῃ, οὐκέτι σε ἔγωγε κλαύσομαι ἐν τῇ στρωμνῇ, ἀγαπητὲ κλάδε, ὃν ἔτεκον ἐγὼ, οὐδὲ ἡ γυνὴ ἡ πολλά σοι δωρησαμένη· πόῤῥω δέ σε πάνυ ἡμῶν παρὰ ταῖς ναυσὶ τῶν Ἀργείων οἱ ταχεῖς κύνες καταφαγοῦνται. Οὕτως οὗτοι κλαίοντες ἔλεγον πρὸς τὸν ἀγαπητὸν υἱὸν πάνυ παρακαλοῦντες, οὐκ ἔπεισαν δὲ τοῦ Ἕκτορος τὴν ψυχήν. ἀλλ᾽ οὗτός γε παρέμενε τὸν μέγαν Ἀχιλλέα πλησίον ἐρχόμενον. ὥσπερ δὲ δράκων ἄγριος παρὰ τῇ(ῷ) ἑαυτοῦ καταδύσει (μυχῷ) παραμένει ἄνδρα, φαγὼν τινα κακωτικὰ καὶ ἰοῦ ποιητικὰ, εἰσῆλθε δὲ αὐτὸν ὀργὴ χαλεπὴ, καταπληκτικῶς δὲ βλέπει συστρεφόμενος ἐν τῷ μυχῷ. οὕτως ὁ Ἕκτωρ ἀκατάπαυστον ἔχων προθυμίαν οὐκ ἀφίστατο, ἐπιστηρίξας τὴν ἀσπίδα τὴν λαμπρὰν ἐπὶ τῷ προβεβλημένῳ πύργῳ, στενάξας δὲ εἶπε πρὸς τὴν ἑαυτοῦ μεγαλόφρονα ψυχὴν·

Ὤμοι ἐγών· εἰ μέν κε πύλας καὶ τείχεα δύω,
Πουλυδάμας μοι πρῶτος ἐλεγχείην ἀναθήσει,
Ὅς μ' ἐκέλευε Τρωσὶ ποτὶ πτόλιν ἡγήσασθαι,
Νύχθ' ὑπὸ τήνδ' ὀλοὴν, ὅτε τ' ὤρετο δῖος Ἀχιλλεύς.
Ἀλλ' ἐγὼ οὐ πιθόμην· ἦτ' ἂν πολὺ κέρδιον ἦεν·
Νῦν δ' ἐπεὶ ὤλεσα λαὸν ἀτασθαλίῃσιν,
Αἰδέομαι Τρῶας καὶ Τρῳάδας ἑλκεσιπέπλους,
Μήποτέ τις εἴπῃσι κακώτερος ἄλλος ἐμεῖο,
Ἕκτωρ ἧφι βίηφι πιθήσας ὤλεσε λαόν.
Ὣς ἐρέουσιν· ἐμοὶ δὲ τότ' ἂν πολὺ κέρδιον εἴη
Ἄντην, ἢ Ἀχιλῆα κατακτείναντα νέεσθαι,
Ἠέ κεν αὐτὸν ὀλέσθαι ἐϋκλειῶς πρὸ πόληος.
Εἰ δέ κεν ἀσπίδα μὲν καταθείομαι ὀμφαλόεσσαν
Καὶ κόρυθα βριαρὴν, δόρυ δὲ πρὸς τεῖχος ἐρείσας,
Αὐτὸς ἰὼν Ἀχιλῆος ἀμύμονος ἀντίον ἔλθω,
Καί οἱ ὑπόσχωμαι Ἑλένην, καὶ κτήμαθ' ἅμ' αὐτῇ
Πάντα μάλ', ὅσσα τ' Ἀλέξανδρος κοίλῃς ἐνὶ νηυσὶν
Ἠγάγετο Τροίηνδ', ἥ τ' ἔπλετο νείκεος ἀρχὴ,
Δωσέμεν Ἀτρείδῃσιν ἄγειν, ἅμα τ' ἀμφὶς Ἀχαιοῖς
Ἄλλ' ἀποδάσσασθαι, ὅσσα πτόλις ἥδε κέκευθε·
Τρωσὶν δ' αὖ μετόπισθε γερούσιον ὅρκον ἕλωμαι,
Μήτι κατακρύψειν, ἀλλ' ἄνδιχα πάντα δάσασθαι,
Κτῆσιν ὅσην πτολίεθρον ἐπήρατον ἐντὸς ἐέργει·
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Μή μιν ἐγὼ μὲν ἵκωμαι ἰών· ὁ δέ μ' οὐκ ἐλεήσει,
Οὐδέ τι μ' αἰδέσεται, κτενέει δέ με, γυμνὸν ἐόντα,
Αὔτως ὥστε γυναῖκα, ἐπεί κ' ἀπὸ τεύχεα δύω.
Οὐ μήν πως νῦν ἐστὶν ἀπὸ δρυὸς οὐδ' ἀπὸ πέτρης

Οἴμοι ἐγὼ, ἐὰν εἰς τὰς πύλας καὶ τὰ τείχη εἰσέλθω, πρῶτος ὁ Πολυδάμας μοι ὀνείδη καὶ λοιδορίας ἐπάξει, ὅς με ἐκέλευε προσδοποιῆσαι τοῖς Τρωσὶν ἐπὶ τὴν πόλιν κατὰ τήνδε τὴν.... νύκτα, ἐπειδὴ ἐξώρμησεν ὁ ἐνδοξότατος Ἀχιλλεὺς, ἀλλὰ ἐγὼ οὐκ ἐπειθόμην· ὅν-ἂν πολλῷ ἐπικερδέστερον καὶ ὠφελιμώτερον ἦν. νῦν δὲ μεθ' ὃ ἀπέβαλον τὸν λαὸν διαμαρτίᾳ καὶ ἀβουλίᾳ ἐμῇ, αἰδοῦμαι τοὺς Τρῶας καὶ τὰς Τρωάδας τὰς τοὺς πέπλους ἐφελκομένας, μήποτέ τις ἄλλος χείρων ἐμοῦ εἴπῃ· Ὁ Ἕκτωρ τῇ ἑαυτοῦ θαῤῥήσας ἰσχύϊ ἀπέβαλε τὸν στρατόν. οὕτω λέξουσιν· ἐμοὶ δὲ τότε πολλῷ ὠφελιμώτερον ἂν εἴη φανερῶς, ἢ τὸν Ἀχιλλέα ἀποκτείναντι ἐπανέρχεσθαι, ἢ δὴ ἐμὲ ἀπολέσθαι ἐνδόξως ἔμπροσθεν τῆς πόλεως. ἐὰν δὲ τὴν ὀμφαλοὺς ἔχουσαν ἀσπίδα καταθῶ, καὶ τὸ ἰσχυρὸν κράνος, τὸ δόρυ δὲ πρὸς τὸ τεῖχος στηρίξας, αὐτὸς πορευόμενος παραγένωμαι ἐναντίον τοῦ ἀμωμήτου Ἀχιλλέως, καὶ ὑπόσχωμαι αὐτῷ τὴν Ἑλένην, καὶ σὺν αὐτῇ τὰ κτήματα πάντα πάνυ, ὅσα γε ὁ Ἀλέξανδρος ἐν ταῖς βαθείαις ναυσὶν ἤγαγεν εἰς τὴν Τροίαν, ἥτις ὑπῆρξεν ἀρχὴ ἔριδος καὶ ἔχθρας, δώσειν τοῖς υἱοῖς τοῦ Ἀτρέως ἄγειν, καὶ ἅμα χωρὶς αὐτῶν, τοῖς Ἕλλησιν ἄλλα ἀπομερίσασθαι, ὅσα γε ἥδε ἡ πόλις κρύπτει καὶ ἐμπεριέχει· τοῖς Τρωσὶ δὲ μετὰ ταῦτα τοῖς γέρουσιν ὀφειλόμενον ὅρκον ὀμόσω μηδὲν ἀποκρύψειν καὶ νοσφιεῖσθαι, ἀλλὰ πάντα εἰς δύο μέρη διελεῖν, ὅσην κτῆσιν ἡ ἐπέραστος πόλις ἔνδον ἐναποκλείει καὶ περιέχει· ἀλλὰ τί δή μοι ταῦτα διεξῆλθεν ἡ ἀγαπητὴ ψυχή; μὴ ἐγὼ μὲν πορευόμενος ἀφίκω παρ' αὐτὸν (παραγενόμενος ἱκετεύσω αὐτὸν), οὗτος δέ με οὐκ οἰκτείρῃ, οὐδέ τί με αἰδοῦς ἀξιώσῃ, ἀποκτείνῃ δὲ ἄνοπλον ὑπάρχοντα οὕτω καθάπερ γυναῖκα, ἐπειδὰν τὰ ὅπλα ἐκδύσωμαι· οὐκ ἔστι νῦν δυνατὸν ἀπὸ δένδρων, οὐδὲ ἀπὸ κυμάτων τούτῳ γυναικῶς προσ-

Τῷ ἀοριζέμεναι, ἅτε παρθένος ἠΐθεός τε·
Παρθένος ἠΐθεός τ' ὀαρίζετον ἀλλήλοιϊν.
Βέλτερον αὖτ' ἔριδι ξυνελαυνέμεν· ὅττι τάχιστα
Εἴδομεν, ὁπποτέρῳ κεν Ὀλύμπιος εὖχος ὀρέξῃ.
Ὣς ὥρμαινε μένων· ὁ δέ οἱ σχεδὸν ἦλθεν Ἀχιλλεύς,
Ἶσος Ἐνυαλίῳ κορυθάϊκι πτολεμιστῇ,
Σείων Πηλιάδα μελίην κατὰ δεξιὸν ὦμον,
Δεινήν· ἀμφὶ δὲ χαλκὸς ἐλάμπετο εἴκελος αὐγῇ
Ἢ πυρὸς αἰθομένοιο, ἢ ἠελίου ἀνιόντος.
Ἕκτορα δ', ὡς ἐνόησεν, ἕλε τρόμος, οὐδ' ἄρ' ἔτ' ἔτλη
Αὖθι μένειν, ὀπίσω δὲ πύλας λίπε, βῆ δὲ φοβηθείς.
Πηλείδης δ' ἐπόρουσε, ποσὶ κραιπνοῖσι πεποιθώς·
Ἠΰτε κίρκος ὄρεσφιν, ἐλαφρότατος πετεηνῶν,
Ῥηϊδίως οἴμησε μετὰ τρήρωνα πέλειαν·
Ἡ δέ θ' ὕπαιθα φοβεῖται· ὁ δ' ἐγγύθεν ὀξὺ λεληκὼς
Ταρφέ', ἐπαΐσσει, ἑλέειν τέ ἑ θυμὸς ἀνώγει·
Ὣς ἄρ' ὅγ' ἐμμεμαὼς ἰθὺς πέτετο· τρέσε δ' Ἕκτωρ
Τεῖχος ὕπο Τρώων, λαιψηρὰ δὲ γούνατ' ἐνώμα.
Οἱ δὲ παρὰ σκοπιὴν καὶ ἐρινεὸν ἠνεμόεντα
Τείχεος αἰὲν ὑπ' ἐκ κατ' ἀμαξιτὸν ἐσσεύοντο·
Κρουνὼ δ' ἵκανον καλλιῤῥόω, ἔνθα δὲ πηγαὶ
Δοιαὶ ἀναΐσσουσι Σκαμάνδρου δινήεντος.
Ἡ μὲν γάρ θ' ὕδατι λιαρῷ ῥέει, ἀμφὶ δὲ καπνὸς
Γίνεται ἐξ αὐτῆς, ὡσεὶ πυρὸς αἰθομένοιο·
Ἡ δ' ἑτέρη θέρεει προρέει, εἰκυῖα χαλάζῃ,
Ἢ χιόνι ψυχρῇ, ἢ ἐξ ὕδατος κρυστάλλῳ.
Ἔνθα δ' ἐπ' αὐτάων πλυνοὶ εὐρέες ἐγγὺς ἔασι
Καλοί, λαΐνεοι, ὅθι εἵματα σιγαλόεντα

διαλέγεσθαι καθαπερ παρθένος καὶ νεανίας· ἡ παρθένος καὶ ὁ νεανίας προσδιαλέγονται οὕτως ἀλλήλοις. βέλτιόν ἐστι μετὰ ἔριδος καὶ μάχης συνελαύνειν καὶ συμβάλλειν ὅτι τάχος· θεασώμεθα τίνι δὴ ὁ οὐράνιος καύχημα παρέξει καὶ δωρήσεται. Οὕτω διελογίζετο ἑστώς. οὗτος δὲ πλησίον αὐτοῦ παρεγένετο ὁ Ἀχιλλεὺς ὅμοιος τῷ Ἄρει τῷ εὐκινητοκράνῳ πολεμιστῇ, κινῶν τὴν ἐκ τοῦ Πηλίου ὄρους μελίαν κατὰ τὸν δεξιὸν ὦμον τὴν φοβερὰν, περιέλαμπε δὲ ὁ σίδηρος ὅμοιος λαμπηδόνι, ἢ πυρὸς καιομένου ἢ ἡλίου ἀνατέλλοντος. τὸν Ἕκτορα δὲ, ὅτε ἐθεάσατο, κατέλαβε φόβος καὶ τρόμος, οὐδ' ὑπέμεινεν ἔτι μεῖναι αὐτόθι, ὀπίσω δὲ τὰς πύλας κατέλιπεν, ἀνεχώρησε δὲ φοβηθείς. Ὁ τοῦ Πηλέως δὲ υἱὸς ἐφώρμησε ποσὶ ταχέσι θαῤῥῶν, καθάπερ ἱέραξ ἐν τοῖς ὄρεσι κουφότατος τῶν πετεινῶν, ῥαδίως ὥρμησεν ἐπὶ τὴν δειλὴν περιστερὰν, αὕτη δὲ εἰς τὸ ἔμπροσθεν φεύγει, οὗτος δὲ ἐγγύθεν ὀξέως βοῶν συνεχῶς ἐφορμᾷ, καὶ ἑλεῖν αὐτὴν προτρέπεται ἡ ψυχή. Οὕτω δὴ αὐτὸς προθυμούμενος κατ' εὐθεῖαν ἔτρεχεν. ὁ Ἕκτωρ δὲ φοβούμενος ἐτράπη πρὸς τὸ τεῖχος τῶν Τρώων, ταχέως δὲ τὰ γόνατα ἐκίνει. Οὗτοι δὲ παρὰ τὴν περιοπὴν, (παρὰ τὸν ἐπὶ τὸ σῆμα τοῦ Ἴλου ὑψηλὸν τόπον) καὶ τὴν ὑψηλὴν ἀγρίαν συκῆν ἀεὶ πρὸς τὸ τεῖχος ἐπὶ τὴν πλατεῖαν ὁδὸν τὴν καλουμένην βασιλικὴν ἔτρεχον. ἀφίκοντο δὲ παρὰ τὴν περικαλλῶς ῥέουσαν ἀπόῤῥοιαν, ἐνταῦθα δὲ πηγαὶ δύο ἀναβλύζουσι τοῦ στροφώδους καὶ ῥευματώδους Σκαμάνδρου ἡ μὲν γάρ τοι ὕδατι θερμοτέρῳ ῥεῖ, περὶ αὐτὴν δὲ καπνὸς γίνεται ἐξ αὐτῆς ὥσπερ πυρὸς καιομένου· ἡ ἑτέρα δὲ κατὰ τὸ θέρος προχέει ὁμοία χαλάζῃ, ἢ χιόνι ψυχρᾷ, ἢ τῷ ἐκ τοῦ ὕδατος κρυστάλλῳ. ἐνταῦθα δὲ ἀπ' αὐτῶν πύελοι πλατεῖς ἐγγὺς ὑπάρχουσι περικαλλεῖς, λίθινοι, ὅπου τὰ λαμπρὰ ἱμάτια ἔπλυνον αἱ γυναῖκες

Πλύνεσκον Τρώων ἄλοχοι, καλαί τε θύγατρες,
Τὸ πρὶν ἐπ' εἰρήνης, πρὶν ἐλθεῖν υἷας Ἀχαιῶν·
Τῇ ῥα παραδραμέτην, φεύγων, ὁ δ' ὄπισθε διώκων.
Πρόσθε μὲν ἐσθλὸς ἔφευγε, δίωκε δέ μιν μέγ' ἀμείνων
Καρπαλίμως· ἐπεὶ οὐχ ἱερήϊον, οὐδὲ βοείην
Ἀρνύσθην, ἅ τε ποσσὶν ἀέθλια γίνεται ἀνδρῶν,
Ἀλλὰ περὶ ψυχῆς θέον Ἕκτορος ἱπποδάμοιο.
Ὡς δ' ὅτ' ἀεθλοφόροι περὶ τέρματα μώνυχες ἵπποι
Ῥίμφα μάλα τρωχῶσι· τὸ δὲ μέγα κεῖται ἄεθλον,
Ἵππος, ἠὲ γυνὴ ἀνδρὸς κατατεθνηῶτος·
Ὡς τὼ τρὶς Πριάμοιο πόλιν περιδινηθήτην
Καρπαλίμοισι πόδεσσι· θεοὶ δέ τε πάντες ὁρῶντο.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ὢ πόποι, ἦ φίλον ἄνδρα διωκόμενον περὶ τεῖχος
Ὀφθαλμοῖσιν ὁρῶμαι· ἐμὸν δ' ὀλοφύρεται ἦτορ
Ἕκτορος, ὅς μοι πολλὰ βοῶν ἐπὶ μηρί' ἔκηεν,
Ἴδης ἐν κορυφῇσι πολυπτύχου, ἄλλοτε δ' αὖτε
Ἐν πόλει ἀκροτάτῃ· νῦν αὖτε δῖος Ἀχιλλεὺς
Ἄστυ περὶ Πριάμοιο ποσὶν ταχέεσσι διώκει.
Ἀλλ' ἄγετε, φράζεσθε, θεοὶ, καὶ μητιάασθε,
Ἠέ μιν ἐκ θανάτοιο σαώσομεν, ἠέ μιν ἤδη
Πηλείδῃ Ἀχιλῆϊ δαμάσσομεν, ἐσθλὸν ἐόντα.
Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·
Ὦ πάτερ, ἀργικέραυνε, κελαινεφὲς, οἷον ἔειπες;
Ἄνδρα θνητὸν ἐόντα, πάλαι πεπρωμένον αἴσῃ,
Ἂψ ἐθέλεις θανάτοιο δυσηχέος ἐξαναλῦσαι;
Ἕρδ'· ἀτὰρ οὔτοι πάντες ἐπαινέομεν θεοὶ ἄλλοι.
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·

τῶν Τρώων, καὶ αἱ ὡραῖαι θυγατέρες πρότερον ἐπὶ τῆς εἰρήνης πρὶν ἦλθον οἱ υἱοὶ τῶν Ἑλλήνων· ἐκεῖσε δὲ παρέδραμον ὁ μὲν φεύγων, ὁδὲ ὄπισθεν διώκων· ἔμπροσθεν μὲν ἔφευγεν ἀνδρεῖος, ἐδίωκε δὲ αὐτὸν πολλῷ κρείσσων ταχέως πάνυ. ἐπειδὴ οὐ πρόβατον οὐδὲ βύρσα ἔμελλον λήψεσθαι, ἅπερ γίνονται ἆθλα τοῖς ποσὶ τῶν ἀνδρῶν, ἀλλὰ περὶ τῆς ζωῆς ἔτρεχον τοῦ ἱππικοῦ καὶ πολεμικοῦ Ἕκτορος· ὥσπερ δὲ ὅταν ἀγωνισταὶ ἵπποι μονώνυχες περὶ τὸ τέλος τοῦ δρόμου ταχέως πάνυ τρέχωσι, μέγα δὲ ἔπαθλον κεῖται ἵππος, ἢ γυνὴ ἀνδρὸς ἀποθανόντος. οὕτως οὗτοι τρὶς τὴν τοῦ Πριάμου πόλιν περιέδραμον, καὶ δίκην τόρνου περιεστράφησαν ταχέσι ποσὶν, οἱ θεοὶ δὲ πάντες ἐθεῶντο· ἐν τούτοις δὲ λόγων ἤρξατο ὁ πατὴρ τῶν ἀνδρῶν καὶ τῶν θεῶν. Φεῦ φεῦ, ὄντως ἄνδρα φίλον διωκόμενον περὶ τὸ τεῖχος θεῶμαι τοῖς ὀφθαλμοῖς, ἡ ἐμὴ δὲ ἀποδύρεται ψυχὴ ἕνεκα τοῦ Ἕκτορος, ὅς μοι πολλοὺς μηροὺς βοῶν ἔκαυσεν ἐν ταῖς κορυφαῖς τῆς πολλὰ ἀποκλίματα ἐχούσης Ἴδης, ἄλλοτε δὲ ἐν τῇ ἀκροπόλει· νῦνὶ δὲ αὐτὸν ὁ ἐνδοξότατος Ἀχιλλεὺς περὶ τὴν πόλιν τοῦ Πριάμου διώκει ποσὶ ταχέσιν. Ἀλλ᾽ ἄγετε σκοπεῖτε, ὦ θεοὶ, καὶ βουλεύεσθε, ἢ ὅπως ἐκ τοῦ θανάτου σώσωμεν αὐτὸν, ἢ ἤδη αὐτὸν θανατώσωμεν διὰ τοῦ Ἀχιλλέως τοῦ υἱοῦ τοῦ Πηλέως, ἀνδρεῖον καὶ γενναῖον ὄντα. Πρὸς τοῦτον δὲ εἶπεν ἡ θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ· Ὦ πάτερ λαμπροκέραυνε τῶν σκοτεινῶν νεφῶν αἴτιε, οἷον χαλεπὸν εἶπας· ἄνδρα φθαρτὸν ὄντα ὑποπεπτωκότα τῇ μοίρᾳ πάλιν ἐθέλεις ἐκ τοῦ κακοήχου καὶ χαλεποῦ θανάτου ἀναῤῥύσασθαι· πρᾶττε· οἱ ἄλλοι δὲ πάντες θεοὶ οὐκ ἐπαινοῦμέν σοι· Πρὸς ταύτην δὲ ἀποκρινόμενος εἶπεν ὁ τὰς νεφέλας ἀθροίζων Ζεύς. Θάῤῥει, ὦ τριτογέ-

Θάρσει, Τριτογένεια, φίλον τέκος· οὔ νύ τι θυμῷ
Πρόφρονι μυθέομαι, ἐθέλω δέ τοι ἤπιος εἶναι·
Ἔρξον, ὅπῃ δή τοι νόος ἔπλετο, μηδέ τ' ἐρώει.
Ὣς εἰπὼν, ὤτρυνε πάρος μεμαυῖαν Ἀθήνην·
Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
Ἕκτορα δ' ἀσπερχὲς κλονέων ἔφεπ' ὠκὺς Ἀχιλλεύς.
Ὡς δ' ὅτε νεβρὸν ὄρεσφι κύων ἐλάφοιο δίηται,
Ὄρσας ἐξ εὐνῆς, διά τ' ἄγκεα, καὶ διὰ βήσσας·
Τὸν δ', εἴπερ τε λάθῃσι καταπτήξας ὑπὸ θάμνῳ,
Ἀλλά τ' ἀνιχνεύων θέει ἔμπεδον, ὄφρα κεν εὕρῃ·
Ὣς Ἕκτωρ οὐ λῆθε ποδώκεα Πηλείωνα.
Ὁσσάκι δ' ὁρμήσειε πυλάων Δαρδανιάων
Ἀντίον ἀΐξασθαι, ἐϋδμήτους ὑπὸ πύργους,
Εἴπως οἱ καθύπερθεν ἀλάλκοιεν βελέεσσι·
Τοσσάκι μιν προπάροιθεν ἀποστρέψασκε παραφθὰς
Πρὸς πεδίον· αὐτὸς δὲ ποτὶ πτόλιος πέτετ' αἰεί.
Ὡς δ' ἐν ὀνείρῳ οὐ δύναται φεύγοντα διώκειν·
Οὔτ' ἄρ' ὁ τὸν δύναται ὑποφεύγειν, οὔθ' ὁ διώκειν.
Ὣς ῥα τὸν οὐ δύνατο μάρψαι ποσὶν, οὐδ' ὃς ἀλύξαι.
Πῶς δέ κεν Ἕκτωρ κῆρας ὑπεξέφυγεν θανάτοιο,
Εἰ μὴ πύματόν τε καὶ ὕστατον ἤντετ' Ἀπόλλων
Ἐγγύθεν, ὅς οἱ ἐπῶρσε μένος λαιψηρά τε γοῦνα;
Λαοῖσιν δ' ἀνένευε καρήατι δῖος Ἀχιλλεὺς,
Οὐδ' εἴα ἱέμεναι ἐπὶ Ἕκτορα πικρὰ βέλεμνα·
Μήτις κῦδος ἄροιτο βαλὼν, ὁ δὲ δεύτερος ἔλθοι·
Ἀλλ' ὅτε δὴ τὸ τέταρτον ἐπὶ κρουνοὺς ἀφίκοντο,
Καὶ τότε δὴ χρύσεια πατὴρ ἐτίταινε τάλαντα·
Ἐν δ' ἐτίθει δύο κῆρε τανηλεγέος θανάτοιο,

νεια Ἀθηνᾶ, τέκνον ἀγαπητὸν, οὔτι δὴ ψυχῇ προθύμῳ διαλέγομαι, βούλομαι δέ γε φιλάνθρωπος εἶναι. ποίησον ὥσπερ δή σοι νοῦς καὶ θέλησις ὑπάρχει, μηδέτι ἀποχώρει. Οὕτως εἰπὼν παρώξυνε τὴν καὶ πρότερον προθυμουμένην Ἀθηνᾶν· ἐπορεύθη δὲ ὁρμήσασα ἐκ τῶν ἐξοχῶν τοῦ Ὀλύμπου· τὸν Ἕκτορα δὲ διηνεκῶς ταράσσων ἐδίωκεν ὁ ταχύπους Ἀχιλλεύς. ὥσπερ δὲ ὅταν κύων ἐν τοῖς ὄρεσι διώκῃ γέννημα ἐλάφου ἀναστήσας ἐκ τῆς κοίτης, διὰ τῶν κοίλων καὶ βασίμων τόπων τοῦ ὄρους· τοῦτον δὲ ἐάν γε καὶ λάθῃ ὑποφυγὼν εἰς τὸν θάμνον, ἀλλά γε ἐρευνῶν τρέχει ἀσφαλῶς καὶ διηκριβωμένως (ἀνενδότως) ἕως ἂν εὕρῃ· οὕτως ὁ Ἕκτωρ οὐκ ἐλάνθανε τὸν ταχύποδα υἱὸν τοῦ Πηλέως, ὁσάκις δ' ἂν λογίσαιτο τῶν Δαρδανίων πυλῶν ἐναντίον ὁρμῆσαι, ὑπὸ τοὺς καλῶς ἐκτισμένους πύργους, εἴπως αὐτῷ ὑπεράνωθεν βοηθήσειεν διὰ τῶν βελῶν· τοσάκις αὐτὸν ἔμπροσθεν προφθάνων ἀπέστρεφε καὶ ἐδίωκεν εἰς τὸ πεδίον, αὐτὸς δὲ πρὸς τὴν πόλιν ἔτρεχεν ἀεί· ὥσπερ δὲ ἐν ὀνείρῳ οὐ δυνατὸν διώκειν τὸν φεύγοντα, οὔτε οὗτος αὐτὸν δύναται ἐκφυγεῖν, οὔτ' αὐτὸς διώκειν. οὕτως οὐκ ἐδύνατο οὗτος καταλαβεῖν τοῖς ποσὶν, οὐδὲ αὐτὸς ἐκφυγεῖν. πῶς δ' ἂν ὁ Ἕκτωρ ἐξέφυγε τὴν χαλεπὴν μοῖραν τοῦ θανάτου, εἰ μὴ τὸ ἔσχατον καὶ τελευταῖον συνήντησεν αὐτῷ ὁ Ἀπόλλων ἐκ τοῦ σύνεγγυς, ὃς αὐτῷ ἐπιδιήγειρε καὶ ἀνέῤῥωσε τήν τε ἰσχὺν καὶ τὰ ταχέα γόνατα (διήγειρεν ἰσχὺν καὶ ταχέα γόνατα); τῷ στρατῷ δὲ ἀπηγόρευε τῇ κεφαλῇ ὁ ἐνδοξότατος Ἀχιλλεὺς, οὐδὲ ἠφίει φέρεσθαι ἐπὶ τὸν Ἕκτορα τὰ πικρὰ καὶ ὀδυνηρὰ βέλη, μή τις τρώσας αὐτὸν δόξαν λάβοι, οὗτος δὲ ὕστερος παραγένοιτο. ἀλλ' ὁπηνίκα δὴ τὸ τέταρτον ἀφίκοντο παρὰ τὰς τῶν πηγῶν ἀποῤῥοίας, τηνικαῦτα δὴ ὁ πατὴρ ἐξέτεινε τὰς χρυσᾶς πλάστιγγας τοῦ ζυγοῦ, ἐνετίθει δὲ δύο μοίρας τοῦ μακρὰς ἐμποιοῦντος φροντίδας θανάτου,

Τὴν μὲν Ἀχιλλῆος, τὴν δ' Ἕκτορος ἱπποδάμοιο·
Ἕλκε δὲ μέσσα λαβών· ῥέπε δ' Ἕκτορος αἴσιμον ἦμαρ.
Ὤιχετο δ' εἰς Ἀΐδαο· λίπεν δέ ἑ Φοῖβος Ἀπόλλων.
  Πηλείωνα δ' ἵκανε θεὰ γλαυκῶπις Ἀθήνη,
Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
  Νῦν δὴ νῶϊ γ' ἔολπα, Διῒ φίλε, φαίδιμ' Ἀχιλλεῦ,
Οἴσεσθαι μέγα κῦδος Ἀχαιοῖσι προτὶ νῆας,
Ἕκτορα δῃώσαντε, μάχης ἆτόν περ ἐόντα.
Οὔ οἱ νῦν ἔτι γ' ἐστὶ πεφυγμένον ἄμμε γενέσθαι,
Οὐδ' εἴ κεν μάλα πολλὰ πάθοι ἑκάεργος Ἀπόλλων,
Προπροκυλινδόμενος πατρὸς Διὸς αἰγιόχοιο.
Ἀλλὰ σὺ μὲν νῦν στῆθι καὶ ἄμπνυε· τόνδε δ' ἐγώ τοι
Οἰχομένη πεπιθήσω ἐναντίβιον μαχέσασθαι.
  Ὣς φάτ' Ἀθηναίη· ὁ δ' ἐπείθετο, χαῖρε δὲ θυμῷ·
Στῆ δ' ἄρ' ἐπὶ μελίης χαλκογλώχινος ἐρεισθείς.
Ἡ δ' ἄρα τὸν μὲν ἔλειπε, κιχήσατο δ' Ἕκτορα δῖον,
Δηϊφόβῳ εἰκυῖα δέμας καὶ ἀτειρέα φωνήν.
Ἀγχοῦ δ' ἱσταμένη ἔπεα πτερόεντα προσηύδα·
  Ἠθεῖ', ἦ μάλα δή σε βιάζεται ὠκὺς Ἀχιλλεύς,
Ἄστυ πέρι Πριάμοιο ποσὶν ταχέεσσι διώκων·
Ἀλλ' ἄγε δὴ στέωμεν, καὶ ἀλεξώμεσθα μένοντες.
  Τὴν δ' αὖτε προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Δηΐφοβ', ἦ μέν μοι τὸ πάρος πολὺ φίλτατος ἦσθα
Γνωτῶν, οὓς Ἑκάβη ἠδὲ Πρίαμος τέκε παῖδας.
Νῦν δ' ἔτι καὶ μᾶλλον νοέω φρεσὶ τιμήσασθαι,
Ὃς ἔτλης, ἐμεῦ εἵνεκ', ἐπεὶ ἴδες ὀφθαλμοῖσι,
Τείχεος ἐξελθεῖν, ἄλλοι δ' ἔντοσθε μένουσι.
  Τὸν δ' αὖτε προσέειπε θεὰ γλαυκῶπις Ἀθήνη·

τὴν μὲν Ἀχιλλέως, τὴν δὲ Ἕκτορος τοῦ ἱππικοῦ καὶ πολεμικοῦ, ἀνεῖλκε δὲ ἐκ τοῦ μέσου κρατήσας, ἔῤῥεπε δὲ καὶ κατεφέρετο ἡ τοῦ Ἕκτορος θανάσιμος ἡμέρα, ἀπῆλθε δὲ εἰς τὸν ᾅδην, κατέλιπε δὲ αὐτὸν ὁ λαμπρὸς Ἀπόλλων. Παρὰ τὸν τοῦ Πηλέως υἱὸν δὲ ἀφίκετο ἡ θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ, πλησίον δὲ στᾶσα λόγους πτερωτοὺς καὶ ταχεῖς ἔλεγε πρὸς αὐτόν. Νῦν δὴ ἡμᾶς γε ἐλπίζω, ὦ φίλε τοῦ Διὸς, λαμπρότατε Ἀχιλλεῦ, κομίσειν δόξαν μεγάλην τοῖς Ἕλλησιν εἰς τὰς ναῦς, τὸν Ἕκτορα ἀποκτείναντες καίπερ ὄντα ἀκόρεστον μάχης, οὐκέτι νῦν ἐστι δυνατὸν αὐτῷ ἡμᾶς ἐκφυγεῖν, οὐδὲ ἐὰν πολλὰ πάνυ πάθῃ ὁ πόῤῥωθεν ἐνεργῶν Ἀπόλλων, ὑποπίπτων καὶ κυλιόμενος ἔμπροσθεν τοῦ τὴν αἰγίδα φοροῦντος Διός. ἀλλὰ σὺ μὲν νυνὶ στῆθι καὶ ἀνάπνεε, τοῦτον δὲ ἐγώ σοι ἐ(ἀ)πελθοῦσα θαρσοποιήσω πολεμῆσαι κατ᾽ ἐναντίωσιν βιαίαν. Οὕτως εἶπεν ἡ Ἀθηνᾶ. οὗτος δὲ ὑπήκουε, ἔχαιρε δὲ ἐν τῇ ψυχῇ, ἔστη δὲ ἐπιστηρίξας ἑαυτὸν ἐπὶ τῆς σιδηρᾶν ἐπιδορατίδα ἐχούσης μελίας. Αὕτη δὲ τοῦτον μὲν κατέλιπε, κατέλαβε δὲ τὸν ἐνδοξότατον Ἕκτορα, ὁμοία τῷ Δηϊφόβῳ κατά τε τὸ σῶμα καὶ τὴν ἰσχυρὰν καὶ ἀκαταπόνητον φωνήν· πλησίον δὲ στᾶσα λόγους ταχεῖς ἔλεγε πρὸς αὐτόν· Ὦ αἰδέσιμε ἀδελφὲ, ὄντως πάνυ δή σε καταναγκάζει ὁ ταχύπους Ἀχιλλεὺς, περὶ τὴν πόλιν τοῦ Πριάμου διώκων ταχέσι ποσίν. ἀλλ᾽ ἄγε δὴ στῶμεν καὶ ἀμυνώμεθα παραμένοντες. Πρὸς ταύτην δὲ εἶπεν ὁ συνεχῶς τὸ κράνος κινῶν μέγας Ἕκτωρ. Ὦ Δηΐφοβε, ὄντως μέν μοι καὶ πρότερον πάνυ φίλτατος ὑπῆρχες πάντων τῶν ἀδελφῶν, οὓς ἡ Ἑκάβη καὶ ὁ Πρίαμος ἐγέννησαν υἱούς. νῦν δ᾽ ἔτι καὶ μᾶλλον διανοοῦμαι κατὰ διάνοιαν τιμῆσαι καὶ φιλῆσαί σε, ὃς ὑπέμεινας ἕνεκεν ἐμοῦ, ἐπειδὴ ἐθεάσω τοῖς ὀφθαλμοῖς, ἐξελθεῖν τοῦ τείχους, οἱ ἄλλοι δὲ ἐντὸς μένουσι. Πρὸς τοῦτον δὲ εἶπεν ἡ θεὰ ἡ εὐόφθαλμος Ἀθηνᾶ· Αἰδέσιμε ἀδελφὲ, ὄντως μὲν πάνυ

Ἠθεῖ', ἦ μὲν πολλὰ πατὴρ καὶ πότνια μήτηρ
Λίσσονθ', ἑξείης γουνούμενοι, ἀμφὶ δ' ἑταῖροι,
Αὖθι μένειν· τοῖον γὰρ ὑποτρομέουσιν ἅπαντες·
Ἀλλ' ἐμὸς ἔνδοθι θυμὸς ἐτείρετο πένθεϊ λυγρῷ.
Νῦν δ' ἰθὺς μεμαῶτε μαχώμεθα, μηδ' ἔτι δούρων
Ἔστω φειδωλὴ, ἵνα εἴδομεν, εἴ κεν Ἀχιλλεὺς
Νῶϊ κατακτείνας, ἔναρα βροτόεντα φέρηται
Νῆας ἐπὶ γλαφυρὰς, ἦ κεν σῷ δουρὶ δαμείη.
Ὡς φαμένη, καὶ κερδοσύνῃ ἡγήσατ' Ἀθήνη.
Οἱ δ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τὸν πρότερος προσέειπε μέγας κορυθαίολος Ἕκτωρ·
Οὔ σ' ἔτι, Πηλέος υἱὲ, φοβήσομαι, ὡς τὸ πάρος περ·
Τρὶς περὶ ἄστυ μέγα Πριάμου δίον, ουδέ ποτ' ἔτλην
Μεῖναι ἐπερχόμενον· νῦν αὖτέ με θυμὸς ἀνῆκε,
Στήμεναι αντία σεῖο· ἕλοιμί κεν, ἤ κεν ἁλοίην.
Ἀλλ' ἄγε δεῦρο θεοὺς ἐπιδώμεθα· τοὶ γάρ ἄριστοι
Μάρτυροι ἔσσονται, καὶ ἐπίσκοποι ἁρμονιάων·
Οὐ γὰρ ἐγώ σ' ἔκπαγλον ἀεικιῶ, αἴκεν ἐμοὶ Ζεὺς
Δώῃ καμμονίην, σὴν δὲ ψυχὴν ἀφέλωμαι·
Ἀλλ' ἐπεὶ ἄρ κέ σε συλήσω κλυτὰ τεύχε', Ἀχιλλεῦ,
Νεκρὸν Ἀχαιοῖσιν δώσω πάλιν· ὣς δὲ σὺ ῥέζειν.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἕκτορ, μή μοι, ἄλαστε, συνημοσύνας ἀγόρευε.
Ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστὰ,
Οὐδὲ λύκοι τε καὶ ἄρνες ὁμόφρονα θυμὸν ἔχουσιν,
Ἀλλὰ κακὰ φρονέουσι διαμπερὲς ἀλλήλοισιν·
Ὣς οὐκ ἔστ' ἐμὲ καὶ σὲ φιλήμεναι, οὔτε τι νῶϊν
Ὅρκια ἔσσονται, πρίν γ' ἢ ἕτερόν γε πεσόντα

ὁ πατὴρ καὶ ἡ σεβαστὴ μήτηρ παρεκάλουν ἐφεξῆς ἱκετεύοντες, καὶ οἱ φίλοι περιεστῶτες, αὐτόθι παραμένειν, οὕτω γὰρ ἅπαντες τρέμουσι καὶ δεδοίκασιν. ἡ ἐμὴ μέντοι ψυχὴ ἐντὸς κατεπονεῖτο πένθει καὶ λύπῃ χαλεπῇ. νυνὶ δὲ εὐθὺ σὺν εὐθαρσίᾳ ὁρμῶντες πολεμῶμεν, μηδέ τι δοράτων ὑπαρχέτω φειδώ, ὅπως θεασώμεθα, ἐὰν ὁ Ἀχιλλεὺς ἀποκτείνας ἡμᾶς ὅπλα ᾑμαγμένα κομίσῃ ἐπὶ τὰς κοίλας ναῦς, ἢ ἀναιρεθείη ἂν ὑπὸ τοῦ σοῦ δόρατος. Οὕτως εἰποῦσα δόλῳ καὶ ἐπιβουλῇ προηγήσατο ἡ Ἀθηνᾶ. Οὗτοι δὲ ἡνίκα δὴ πλησίον ἐγένοντο ἐπαλλήλους ἐρχόμενοι, πρὸς τοῦτον πρότερον εἶπεν ὁ συνεχῶς τὴν περικεφαλαίαν κινῶν μέγας Ἕκτωρ· Οὐκέτι σε, ὦ υἱὲ τοῦ Πηλέως, φοβηθήσομαι, καὶ φεύξομαι ὥσπερ πρότερον. τρὶς περὶ τὴν μεγάλην πόλιν τοῦ Πριάμου ἔδεισα, οὐδὲ ὑπέμεινα παραμεῖναι ἐπιόντα· νυνὶ δέ με ἡ ψυχὴ ἀνέπεισε καὶ παρώρμησε στῆναι ἐναντίον σοῦ· κρατήσαιμι ἄν, ἢ κρατηθείην ἄν. ἀλλ' ἄγε δὴ τοὺς θεοὺς μάρτυρας τῶν λεγομένων ποιήσωμεν, οὗτοι γὰρ ἄριστοι μάρτυρες ἔσονται, καὶ ἔφοροι τῶν ὁμολογιῶν καὶ συμβόλων. οὐ γὰρ ἐγώ σε αἰκίσω οὐδὲ ὑβρίσω δεινῶς καὶ ὑπερηφανῶς, ἐάν μοι ὁ Ζεὺς παράσχῃ τὴν ἐκ μονομερείας νίκην, τὴν σὴν δὲ ζωὴν ἀφέλωμαι. ἀλλ' ἐπειδάν σε τὰ ἔνδοξα ὅπλα ἐκδύσω, Ἀχιλλεῦ, νεκρὸν τοῖς Ἕλλησιν ἀποδώσω, οὕτω δὲ καὶ σὺ ποιήσειν. Πρὸς τοῦτον δὲ δεινῶς ὑποβλεψάμενος εἶπεν ὁ ταχύπους Ἀχιλλεύς. Ὦ Ἕκτορ ἀλάθητε καὶ δεινὰ καὶ ἀνεπίληστα εἰργασμένε, μή μοι συνθήκας λέγε, ἐπειδὴ οὐκ ἔστι τοῖς λέουσι καὶ τοῖς ἀνδράσιν ὁρκωμόσια βέβαια, οὐδὲ οἱ λύκοι καὶ οἱ ἄρνες ὁμογνώμονα ψυχὴν ἔχουσιν, οὐδὲ ὁμονοοῦσιν, ἀλλὰ διηνεκῶς κακὰ καὶ χαλεπὰ φρονοῦσιν ἀλλήλοις. οὕτως οὐκ ἔστι δυνατὸν ἐμὲ καὶ σὲ φίλους εἶναι, οὔτε τι ἡμῖν ὁρκωμόσια ἔσονται πρινὴ τὸν ἕτερόν γε ἀναιρεθέντα ἐμ-

Αἵματος ἆσαι Ἄρηα ταλαύρινον πολεμιστήν.
Παντοίης ἀρετῆς μιμνήσκεο· νῦν σε μάλα χρὴ
Αἰχμητήν τ' ἔμεναι καὶ θαρσαλέον πολεμιστήν.
Οὔ τοι ἔτ' ἔσθ' ὑπάλυξις, ἄφαρ δέ σε Παλλὰς Ἀθήνη
Ἔγχει ἐμῷ δαμάᾳ· νῦν ἀθρόα πάντ' ἀποτίσεις
Κήδε' ἐμῶν ἑτάρων, οὓς ἔκτανες ἔγχεϊ θύων.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος·
Καὶ τὸ μὲν ἄντα ἰδὼν ἠλεύατο φαίδιμος Ἕκτωρ·
Ἕζετο γὰρ προϊδὼν, τὸ δ' ὑπέρπτατο χάλκεον ἔγχος.
Ἐν γαίῃ δ' ἐπάγη· ἀνὰ δ' ἥρπασε Παλλὰς Ἀθήνη,
Ἂψ δ' Ἀχιλῆϊ δίδου, λάθε δ' Ἕκτορα, ποιμένα λαῶν.
Ἕκτωρ δὲ προσέειπεν ἀμύμονα Πηλείωνα·
Ἤμβροτες, οὐδ' ἄρα πώ τι, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Ἐκ Διὸς ἠείδεις τὸν ἐμὸν μόρον, ἤτοι ἔφης γε·
Ἀλλά τις ἀρτιεπὴς καὶ ἐπίκλοπος ἔπλεο μύθων,
Ὄφρα σ' ὑποδδείσας μένεος ἀλκῆς τε λάθωμαι.
Οὐ μέν μοι φεύγοντι μεταφρένῳ ἐν δόρυ πήξεις.
Ἀλλ' ἰθὺς μεμαῶτι διὰ στήθεσφιν ἔλασσον,
Εἴ τοι ἔδωκε θεός· νῦν αὖτ' ἐμὸν ἔγχος ἄλευαι
Χάλκεον, ὡς δή μιν σῷ ἐν χροῒ πᾶν κομίσαιο·
Καί κεν ἐλαφρότερος πόλεμος Τρώεσσι γένοιτο,
Σεῖο καταφθιμένοιο· σὺ γάρ σφίσι πῆμα μέγιστον.
Ἦ ῥα, καὶ ἀμπεπαλὼν προΐει δολιχόσκιον ἔγχος,
Καὶ βάλε Πηλεΐδαο μέσον σάκος, οὐδ' ἀφάμαρτε·
Τῆλε δ' ἀπεπλάγχθη σάκεος δόρυ· χώσατο δ' Ἕκτωρ,
Ὅττι ῥά οἱ βέλος ὠκὺ ἐτώσιον ἔκφυγε χειρός·
Στῆ δὲ κατηφήσας, οὐδ' ἄλλ' ἔχε μείλινον ἔγχος·
Δηΐφοβον δ' ἐκάλει λευκάσπιδα, μακρὸν ἀΰσας,

πλῆσαι αἵματος τὸν ἰσχυρὸν πολεμιστὴν Ἄρεα. Πάσης τοίνυν ἀρετῆς ἀναμιμνήσκου, νυνί σε πάνυ δεῖ πολεμιστήν τε εἶναι καὶ εὔτολμον μαχητήν· οὐκέτι σοι ἐστὶν ἐκφυγὴ, ταχέως γάρ σε ἡ πολεμικὴ Ἀθηνᾶ τῷ ἐμῷ δόρατι δαμάσει καὶ ἀποκτενεῖ, νυνὶ δὲ ὁμοῦ πάντα ἀποδώσεις τὰ ἄλγη τῶν ἐμῶν φίλων, οὓς ἀπέκτεινας δόρατι ἐμμανῶς ὁρμῶν. Εἶπε δὴ, καὶ ἀνασείσας ἀφῆκε τὸ μακρὸν δόρυ, καὶ τοῦτο ἐναντίον θεασάμενος ἐφυλάξατο ὁ λαμπρότατος Ἕκτωρ, ἐκάθισε γὰρ προϊδὼν, αὐτὸ δὲ ὑπεράνωθεν ἠνέχθη τὸ σιδηροῦν δόρυ, ἐνεπάγη δὲ εἰς τὴν γῆν, ἀνήρπασε δ' αὐτὸ ἡ πολεμικὴ Ἀθηνᾶ, καὶ πάλιν ἐδίδου τῷ Ἀχιλλεῖ, ἔλαθε δὲ Ἕκτορα τὸν βασιλέα τοῦ στρατοῦ. Ἕκτωρ δὲ εἶπε πρὸς τὸν ἀμώμητον υἱὸν τοῦ Πηλέως· Ἀπέτυχες, οὐδ' ἄρα τι, ὦ ὅμοιε τοῖς θεοῖς Ἀχιλλεῦ, ἀκριβῶς ἠπίστασο ἐκ τοῦ Διὸς τὸν ἐμὸν θάνατον, εἶπάς γε μέντοι εἰδέναι· ἀλλά τις ὑπάρχεις ἱκανὸς εἰπεῖν καὶ παραλογιστικὸς καὶ ἀπατεὼν, ὅπως σε φοβηθεὶς εὐθαρσίας τε καὶ δυνάμεως ἐπιλήσμων γένωμαι· οὐ μέντοι φεύγοντί μοι ἐμπήξεις τὸ δόρυ εἰς τὸ μετάφρενον, ἀλλ' ἐπ' εὐθείας ὁρμῶντι διὰ τοῦ στήθους ὤθησον, εἴ σοι τοῦτο δέδωκεν ὁ θεός· νυνὶ δὲ φυλάττου τὸ ἐμὸν δόρυ τὸ σιδηροῦν, εἴθε δὴ αὐτὸ πᾶν ἐν τῷ σαυτοῦ σώματι δέξαιο, καὶ ἡ μάχη ἐλαφροτέρα καὶ κουφοτέρα τοῖς Τρωσὶ γένοιτο σοῦ ἀποθανόντος, σὺ γὰρ αὐτοῖς βλάβη μεγίστη ὑπάρχεις. Εἶπε δὴ καὶ ἀνακινήσας ἀφῆκε τὸ μακρὸν δόρυ, καὶ ἔπληξε τὸ μέσον τῆς ἀσπίδος τοῦ υἱοῦ τοῦ Πηλέως, οὐδὲ ἀπέτυχε· πόῤῥω δὲ ἀπεκρούσθη τῆς ἀσπίδος τὸ δόρυ, ὠργίσθη δὲ ὁ Ἕκτωρ, διότι δὴ τὸ ταχὺ βέλος ματαίως ἐξῆλθεν ἀπὸ τῆς χειρὸς αὐτοῦ, ἔστη δὲ σκυθρωπάσας, οὐ γὰρ εἶχεν ἄλλο μείλινον δόρυ· τὸν Δηΐφοβον δὲ ἐκάλει τὸν λευκὴν ἀσπίδα φέροντα μεγάλως φωνήσας, ἐζήτει αὐτὸν δόρυ μακρόν· οὗτος δὲ

Ἤτεέ μιν δόρυ μακρόν· ὁ δ' οὔτι οἱ ἐγγύθεν ἦεν.
Ἕκτωρ δ' ἔγνω ᾗσιν ἐνὶ φρεσὶ, φώνησέν τε·
Ὢ πόποι, ἦ μάλα δή με θεοὶ θάνατόν δ' ἐκάλεσσαν·
Δηΐφοβον γὰρ ἔγωγ' ἐφάμην ἥρωα παρεῖναι·
Ἀλλ' ὁ μὲν ἐν τείχει, ἐμὲ δ' ἐξαπάτησεν Ἀθήνη.
Νῦν δὲ δὴ ἐγγύθι μοι θάνατος κακὸς, οὐδέ τ' ἄνευθεν,
Οὐδ' ἀλέη· ἦ γάρ ῥα πάλαι τό γε φίλτερον ἦεν
Ζηνί τε, καὶ Διὸς υἱεῖ Ἑκηβόλῳ, οἵ με πάρος γε
Πρόφρονες εἰρύαται· νῦν αὖτέ με μοῖρα κιχάνει·
Μὴ μὰν ἀσπουδί γε καὶ ἀκλειῶς ἀπολοίμην,
Ἀλλὰ μέγα ῥέξας τι καὶ ἐσσομένοισι πυθέσθαι.
Ὣς ἄρα φωνήσας, εἰρύσσατο φάσγανον ὀξὺ,
Τό οἱ ὑπὸ λαπάρην τέτατο, μέγα τε στιβαρόν τε·
Οἴμησεν δὲ ἀλεὶς, ὥστ' αἰετὸς ὑψιπετήεις,
Ὅς τ' εἶσιν πεδίονδε διὰ νεφέων ἐρεβεννῶν,
Ἁρπάξων, ἢ ἄρν' ἀμαλὴν, ἢ πτῶκα λαγωόν·
Ὣς Ἕκτωρ οἴμησε τινάσσων φάσγανον ὀξύ.
Ὁρμήθη δ' Ἀχιλεὺς, μένεος δ' ἐμπλήσατο θυμὸν
Ἀγρίου· πρόσθεν δὲ σάκος στέρνοιο κάλυψε
Καλὸν, δαιδάλεον· κόρυθι δ' ἐπένευε φαεινῇ,
Τετραφάλῳ, καλαὶ δὲ περισσείοντο ἔθειραι
Χρύσεαι, ἃς Ἥφαιστος ἵει λόφον ἀμφὶ θαμειάς.
Οἷος δ' ἀστὴρ εἶσι μετ' ἀστράσι νυκτὸς ἀμολγῷ
Ἕσπερος, ὃς κάλλιστος ἐν οὐρανῷ ἵσταται ἀστήρ·
Ὣς αἰχμῆς ἀπέλαμπ' εὐήκεος, ἣν ἄρ' Ἀχιλλεὺς
Πάλλεν δεξιτερῇ, φρονέων κακὸν Ἕκτορι δίῳ,
Εἰσορόων χρόα καλὸν, ὅπῃ εἴξειε μάλιστα.
Τοῦ δὲ καὶ ἄλλο τόσον μὲν ἔχε χρόα χάλκεα τεύχη,

οὐδαμῶς ἦν πλησίον. ὁ Ἕκτωρ δὲ κατενόησεν ἐν τῇ διανοίᾳ, καὶ ἐβόησε· Φεῦ φεῦ, ὄντως πάνυ δή με καλοῦσιν οἱ θεοὶ ἐπὶ τὸν θάνατον, Δηΐφοβον γὰρ ἔγωγε τὸν ἥρωα ᾠήθην παρεῖναι. ἀλλ' οὗτος μὲν ἐν τῷ τείχει ἐστὶν, ἐμὲ δὲ ἠπάτησεν ἡ Ἀθηνᾶ· νυνὶ δέ μοι ἐγγὺς ὁ δεινὸς θάνατος, οὐδέτι πόῤῥωθεν, οὐδὲ ἐκφυγή ἐστιν· ὄντως γὰρ πάλαι τοῦτό γε φίλον καὶ ἀποδεκτὸν ἦν τῷ τε Διῒ καὶ τῷ τοῦ Διὸς υἱῷ Ἀπόλλωνι, οἵ με τὸ πρὶν προθύμως ἐφύλασσον καὶ ἔσωζον, νῦν δέ γε ἡ θανατηφόρος μοῖρα μὲ καταλαμβάνει. οὐ μὴν ἄνευ σπουδῆς καὶ ἀτίμως ἀποθάνοιμ' ἂν, ἀλλὰ πράξας τι μέγα, ὡς καὶ τοὺς μεταγενεστέρους ἀκοῦσαι. Οὕτω δὴ εἰπὼν εἵλκυσε τὸ ὀξὺ ξίφος, ὅπερ ὑπὸ τὴν λαγόνα αὐτοῦ ἐκρέματο, μέγα καὶ ἰσχυρὸν, ὥρμησε δὲ συστραφεὶς καθάπερ ἀετὸς ἐν ὕψει πετόμενος, ὅστις καταπέτεται εἰς τὸ πεδίον διὰ τῶν σκοτεινῶν νεφῶν ἁρπάσων ἄρνα ἁπαλὴν καὶ τρυφερὰν, ἢ λαγωὸν δειλόν. οὕτως ὁ Ἕκτωρ ὥρμησεν ἐπισείων τὸ ὀξὺ ξίφος· ἐπέδραμε δὲ ὁ Ἀχιλλεὺς, εὐθαρσίας δὲ ἐνέπλησε τὴν ψυχὴν φοβερᾶς (χαλεπῆς), ἔμπροσθεν δὲ τοῦ στήθους ἐκάλυψε καὶ ἐπέθηκε τὴν ἀσπίδα τὴν εὐειδῆ καὶ ποικιλωτάτην, τῷ λαμπρῷ δὲ κράνει παρέκυπτε τῷ τρεῖς φαλοὺς ἔχοντι, αἱ περικαλλεῖς δὲ τρίχες περιεκινοῦντο χρυσαῖ, ἃς ὁ Ἥφαιστος ἐνέπηξεν εἰς τὸν λόφον πολλάς. οἷος ὁ ἀστὴρ φέρεται ἐν τοῖς ἄστρασι κατὰ τὴν ἑσπέραν, ὁ καλούμενος Ἕσπερος, ὃς ὡραιότατος ἐν τῷ οὐρανῷ ὑπάρχει ἀστήρ. οὕτω λαμπηδὼν ἀπετελεῖτο ἐκ τῆς καλὴν ἀκμὴν ἐχούσης ἐπιδορατίδος, ἣν δὴ ὁ Ἀχιλλεὺς ἔσειε τῇ δεξιᾷ, δεινὰ καὶ χαλεπὰ διανοούμενος τῷ ἐνδοξοτάτῳ Ἕκτορι, περιβλέπων τὸ εὐειδὲς σῶμα, ὅπου μάλιστα ἐνδοίη καὶ τρωθείη· τούτου δὲ τὸ μὲν ἄλλο πλεῖον σῶμα τὰ ὅπλα κατεῖχον καὶ περιεκάλυ-

Καλά, τὰ Πατρόκλοιο βίην ἐνάριξε κατακτάς·
Φαίνετο δ' ᾗ κληῗδες ἀπ' ὤμων αὐχέν' ἔχουσι,
Λαυκανίης, ἵνα τε ψυχῆς ὤκιστος ὄλεθρος·
Τῇ ῥ' ἐπὶ οἱ μεμαῶς ἔλασ' ἔγχει δῖος Ἀχιλλεύς·
Ἀντικρὺ δ' ἁπαλοῖο δι' αὐχένος ἤλυθ' ἀκωκή·
Οὐδ' ἄρ ἀπ' ἀσφάραγον μελίη τάμε χαλκοβάρεια,
Ὄφρα τί μιν προτιείποι ἀμειβόμενος ἐπέεσσιν.
Ἤριπε δ' ἐν κονίῃς· ὁ δ' ἐπεύξατο δῖος Ἀχιλλεύς·
Ἕκτορ, ἀτάρ που ἔφης, Πατροκλῆ' ἐξεναρίζων,
Σῶς ἔσσεσθ', ἐμὲ δ' οὐδὲν ὀπίζεο νόσφιν ἐόντα·
Νήπιε, τοῖο δ' ἄνευθεν ἀοσσητὴρ μέγ' ἀμείνων
Νηυσὶν ἔπι γλαφυρῇσιν ἐγὼ μετόπισθε λελείμμην,
Ὅς τοι γούνατ' ἔλυσα· σὲ μὲν κύνες ἠδ' οἰωνοὶ
Ἑλκήσουσ' ἀϊκῶς, τὸν δὲ κτεριοῦσιν Ἀχαιοί.
Τὸν δ' ὀλιγοδρανέων προσέφη κορυθαίολος Ἕκτωρ·
Λίσσομ' ὑπὲρ ψυχῆς, καὶ γούνων, σῶν τε τοκήων,
Μή με ἔα παρὰ νηυσὶ κύνας καταδάψαι Ἀχαιῶν.
Ἀλλὰ σὺ μὲν χαλκόν τε ἅλις, χρυσόν τε δέδεξο,
Δῶρα, τά τοι δώσουσι πατὴρ καὶ πότνια μήτηρ·
Σῶμα δὲ οἴκαδ' ἐμὸν δόμεναι πάλιν, ὄφρα πυρός με
Τρῶες καὶ Τρώων ἄλοχοι λελάχωσι θανόντα.
Τὸν δ' ἄρ' ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Μή με, κύον, γούνων γουνάζεο, μηδὲ τοκήων·
Αἲ γάρ πως αὐτόν με μένος καὶ θυμὸς ἀνείη
Ὤμ' ἀποταμνόμενον κρέα ἔδμεναι, οἷά μ' ἔοργας·
Ὡς οὐκ ἔσθ', ὃς σῆς γε κύνας κεφαλῆς ἀπαλάλκοι·
Οὐδ' εἴ κεν δεκάκις τε καὶ εἰκοσινήριτ' ἄποινα
Στήσωσ' ἐνθάδ' ἄγοντες, ὑπόσχωνται δὲ καὶ ἄλλα·

πτον τὰ περικαλλῆ, ἅπερ ἀφείλετο ἀποκτείνας τὸν Πάτροκλον· ἐφαίνετο δὲ ὅπου αἱ ἀπὸ τῶν ὤμων διήκουσαι διατάσεις τῶν νεύρων (κατακλεῖδες τῶν ὀστέων) συνέχουσι τὸν αὐχένα τοῦ λαιμοῦ, ὅπου γε τάχιστός ἐστιν ἀφανισμὸς τῆς ζωῆς. ἐνταῦθα δὴ ἐπ' αὐτὸν ὁρμῶντα ἔτρωσε τῷ δόρατι ὁ ἐνδοξότατος Ἀχιλλεύς· ἀπαντικρὺ δὲ διὰ τοῦ ἁπαλοῦ αὐχένος διῆλθεν ἡ αἰχμή, οὐδὲ τὸν γαργαρεῶνα διέκοψεν ἡ τῷ σιδήρῳ ἐστομωμένη καὶ βεβαρυμένη μελία, ὅπως τι εἴπῃ πρὸς αὐτὸν ἀποκρινόμενος λόγοις· κατέπεσε δὲ ἐπὶ τὴν γῆν, οὕτως δὲ ἐπεκαυχήσατο ὁ ἔνδοξος Ἀχιλλεύς· Ὦ Ἕκτορ, εὐήθης μέντοι ἀποκτείνων καὶ συλῶν τὸν Πάτροκλον ὑγιὴς ἔσεσθαι, ἐμὲ δὲ οὐδαμῶς ἐνετρέπου, πόῤῥω μένοντα· μωρὲ καὶ ἀνόητε· τούτου δὲ πόῤῥωθεν βοηθὸς πολλῷ κρείσσων παρὰ ταῖς κοίλαις ναυσὶν ἐγὼ μετὰ ταῦτα ἐναπελείφθην, ὅς σοι τὰ γόνατα παρέλυσα· σὲ μὲν οὖν κύνες καὶ ὄρνεα σπαράξουσιν ἀπρεπῶς καὶ αἰσχρῶς, τοῦτον δὲ κηδεύσουσι καὶ ἐνταφιάσουσιν οἱ Ἕλληνες. Πρὸς τοῦτον δὲ ὀλίγον τὸ δρᾶν ἔχων, εἶπεν Ἕκτωρ ὁ τὸ κράνος κινῶν συνεχῶς· ἱκετεύω σε ἕνεκα τῆς σῆς ψυχῆς, καὶ τῶν γονάτων, καὶ τῶν σῶν γονέων, μή με κατάλειπε παρὰ ταῖς ναυσὶ σπαράξαι καὶ καταφαγεῖν τοὺς κύνας τῶν Ἑλλήνων. ἀλλὰ σὺ μὲν δέξαι χρυσόν τε καὶ χαλκὸν πολὺν, ἅπέρ σοι δώσουσι δῶρα ὅ τε πατὴρ καὶ ἡ σεβαστὴ μήτηρ, τὸ σῶμα δὲ τοὐμὸν ἀπόδος εἰς τὸν οἶκον, ἵνα με πυρὸς ἀξιώσωσι καὶ μεταδῶσι Τρῶες καὶ αἱ γυναῖκες τῶν Τρώων. Πρὸς τοῦτον δὲ δεινῶς ὑποβλεψάμενος εἶπεν ὁ ταχύπους Ἀχιλλεύς· Μή με, ὦ κύον, καὶ ἀναιδέστατε, ἱκέτευε ἕνεκα τῶν γονέων· εἴθε γάρ πως ἐμὲ αὐτὸν ἀναπείσειε καὶ προτρέψειεν ἡ ψυχή τε καὶ προθυμία ὠμὰ ἀποκόπτοντα τὰ σαυτοῦ κρέα ἐσθίειν, οὕτω δεινά με εἰργάσω· οὐ γάρ ἐστιν ὅστις ἀποσοβήσειε καὶ ἀποδιώξειε τῆς σῆς γε κεφαλῆς τοὺς κύνας, οὐδ' ἐὰν δεκάκις καὶ εἰκοσάκις ἐξισούμενα τοῖς ὑπὸ σοῦ νομιζομένοις λύτρα σταθμήσωσι δεῦρο ἄγοντες, ἐπαγγέλ-

Οὐδ' εἴ κέν σ' αὐτὸν χρυσῷ ἐρύσασθαι ἀνώγοι
Δαρδανίδης Πρίαμος· οὐδ' ὧς σέ γε πότνια μήτηρ
Ἐνθεμένη λεχέεσσι γοήσεται, ὃν τέκεν αὐτή,
Ἀλλὰ κύνες τε καὶ οἰωνοὶ κατὰ πάντα δάσονται.
Τὸν δὲ καταθνήσκων προσέφη κορυθαίολος Ἕκτωρ·
Ἦ σ' εὖ γινώσκων προτιόσσομαι, οὐδ' ἄρ' ἔμελλον
Πείσειν· ἦ γάρ σοί γε σιδήρεος ἔνδοθι θυμός·
Φράζεο νῦν, μήτοι τι θεῶν μήνιμα γένωμαι
Ἤματι τῷ, ὅτε κέν σε Παρις καὶ Φοῖβος Ἀπόλλων,
Ἐσθλὸν ἐόντ', ὀλέσωσιν ἐνὶ Σκαιῇσι πύλῃσιν.
Ὣς ἄρα μιν εἰπόντα τέλος θανάτοιο κάλυψε·
Ψυχὴ δ' ἐκ ῥεθέων πταμένη Ἄϊδόσδε βεβήκει,
Ὃν πότμον γοόωσα, λιποῦσ' ἀνδροτῆτα καὶ ἥβην,
Τὸν καὶ τεθνηῶτα προσηύδα δῖος Ἀχιλλεύς.
Τέθναθι· κῆρα δ' ἐγὼ τότε δέξομαι, ὁππότε κεν δὴ
Ζεὺς ἐθέλῃ τελέσαι, ἠδ' ἀθάνατοι θεοὶ ἄλλοι.
Ἦ ῥα, καὶ ἐκ νεκροῖο ἐρύσσατο χάλκεον ἔγχος·
Καὶ τό γ' ἄνευθεν ἔθηχ', ὁ δ' ἀπ' ὤμων τεύχε' ἐσύλα.
Αἱματόεντ'· ἄλλοι δὲ περίδραμον υἷες Ἀχαιῶν,
Οἳ καὶ θηήσαντο φυὴν καὶ εἶδος ἀγητὸν
Ἕκτορος· οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη.
Ὧδε δέ τις εἴπεσκεν ἰδὼν ἐς πλησίον ἄλλον·
Ὢ πόποι, ἦ μάλα δὴ μαλακώτερος ἀμφαφάασθαι
Ἕκτωρ, ἢ ὅτε νῆας ἐνέπρησεν πυρὶ κηλέῳ.
Ὣς ἄρα τις εἴπεσκε, καὶ οὐτήσασκε παραστάς.
Τὸν δ' ἐπεὶ ἐξενάριξε ποδάρκης δῖος Ἀχιλλεὺς,
Στὰς ἐν Ἀχαιοῖσιν ἔπεα πτερόεντ' ἀγόρευεν·
Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,

λωνται δὲ καὶ ἄλλα, οὐδ' ἐὰν σὲ αὐτὸν διὰ χρυσοῦ ἰσοστάθμου σοι ἀναῤῥύσασθαι κελεύῃ ὁ τοῦ Δαρδάνου ἀπόγονος Πρίαμος, οὐδ' οὕτω σέ γε ἡ σεβασμία μήτηρ βαλοῦσα ἐπὶ τῆς στρωμνῆς θρηνήσει, ὃν ἔτεκεν αὐτὴ, ἀλλὰ κύνες καὶ ὄρνεα ὅλον σε καταφάγονται. Πρὸς τοῦτον δὲ ἀποθνήσκων εἶπεν Ἕκτωρ ὁ τὸ κράνος κινῶν συνεχῶς· Ὄντως εὖ ἐπιστάμενός σε προφθέγγομαι, οὐ γὰρ ἔμελλον καταπείσειν· ὄντως γάρ σοί γε σιδηρᾶ ἔνδον ψυχὴ ὑπάρχει· σκόπει νῦν μή τίς σοι θεῶν ὀργὴ γένωμαι τῇ ἡμέρᾳ ἐκείνῃ, ἡνίκα σε ὁ Πάρις καὶ Ἀπόλλων ὁ λαμπρότατος ἀνδρεῖον καὶ γενναῖον ὄντα ἀποκτείνωσιν ἐν ταῖς Σκαιαῖς πύλαις. Οὕτω δὴ εἴποντα αὐτὸν ἐκάλυψε τὸ τέλος τοῦ θανάτου· ἡ ψυχὴ δὲ ἐκ τῶν μελῶν ἀποπτᾶσα εἰς τὸν ᾅδην ἀπῆλθε, τὸν ἑαυτῆς χωρισμὸν ὀδυρομένη, καταλιποῦσα τὴν τοῦ ἀνδρὸς φύσιν τε καὶ ἀκμάζουσαν ἡλικίαν. Πρὸς τοῦτον δὲ καὶ ἀποθανόντα ἔλεγεν ὁ ἐνδοξότατος Ἀχιλλεύς· Ἀπόθανε· τὸν θάνατον δὲ ἐγὼ τότε δέξομαι, ὅταν δὴ ὁ Ζεὺς βούληται ἐκτελέσαι καὶ οἱ ἄλλοι αἰώνιοι θεοί. Εἶπε δὴ, καὶ ἐκ τοῦ νεκροῦ ἀπέσπασε τὸ σιδηροῦν δόρυ, καὶ τοῦτο μὲν ἔθηκε πόῤῥω, αὐτὸς δὲ ἀφῃρεῖτο ἐκ τῶν ὤμων τὰ ὅπλα ᾑμαγμένα. οἱ ἄλλοι δὲ υἱοὶ τῶν Ἑλλήνων περιέδραμον, οἳ καὶ ἐθαύμασαν τὴν τῶν μελῶν σύστασιν, καὶ ἀναδρομὴν, καὶ τὴν θαυμαστὴν μορφὴν τοῦ Ἕκτορος· οὐδ' ἄρα τις αὐτῷ παρέστη ἄνευ τοῦ τρῶσαι. οὕτω δέ τις εἶπε θεασάμενος πρὸς ἄλλον ἐγγύς· Φεῦ φεῦ ὄντως δὴ μαλακώτερος καὶ ἡμερώτερος πάνυ ψηλαφᾶσθαι ὑπάρχει νῦν ὁ Ἕκτωρ, ἢ ἡνίκα τὰς ναῦς ἐπυρπόλει πυρὶ καυστικῷ. Οὕτω δή τις εἶπε καὶ ἔτρωσε παραγενόμενος. τοῦτον δὲ ἐπειδὴ ἐσύλησεν ὁ ταχύπους ἐνδοξότατος Ἀχιλλεὺς στὰς ἐν τοῖς Ἕλλησι λόγους ταχεῖς ἔλεγεν· Ὦ φίλοι ἡγεμόνες τῶν Ἑλλήνων, καὶ βασιλεῖς, ἐπει-

Ἐπειδὴ τόνδ' ἄνδρα θεοὶ δαμάσασθαι ἔδωκαν,
Ὃς κακὰ πόλλ' ἔρδεσκεν, ὅσ' οὐ σύμπαντες οἱ ἄλλοι·
Εἰδ' ἄγετ', ἀμφὶ πόλιν σὺν τεύχεσι πειρηθῶμεν
Ὄφρα κέ τι γνῶμεν Τρώων νόον, ὅντιν' ἔχουσιν·
Ἢ καταλείψουσι πόλιν ἄκρην, τοῦδε πεσόντος,
Ἠὲ μένειν μεμάασι, καὶ Ἕκτορος οὐκ ἔτ' ἐόντος.
Ἀλλὰ τίη μοι ταῦτα φίλος διελέξατο θυμός;
Κεῖται παρὰ νηυσὶ νέκυς ἄκλαυστος, ἄθαπτος,
Πάτροκλος· τοῦ δ' οὐκ ἐπιλήσομαι, ὄφρ' ἂν ἔγωγε
Ζωοῖσιν μετέω, καί μοι φίλα γούνατ' ὀρώρῃ·
Εἰ δὲ θανόντων περ καταλήθοντ' εἰν ἀΐδαο,
Αὐτὰρ ἐγὼ καὶ κεῖθι φίλου μεμνήσομ' ἑταίρου.
Νῦν δ' ἄγ' ἀείδοντες Παιήονα, κοῦροι Ἀχαιῶν.
Νηυσὶν ἔπι γλαφυρῇσι νεώμεθα, τόνδε δ' ἄγωμεν·
Ἠράμεθα μέγα κῦδος· ἐπέφνομεν Ἕκτορα δῖον,
Ὧι Τρῶες κατὰ ἄστυ, θεῷ ὥς, εὐχετόωντο.
Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα·
Ἀμφοτέρων μετόπισθε ποδῶν τέτρηνε τένοντε
Ἐς σφυρὸν ἐκ πτέρνης, βοέους δ' ἐξῆπτεν ἱμάντας,
Ἐκ δίφροιο δ' ἔδησε· κάρη δ' ἕλκεσθαι ἔασεν·
Ἐς δίφρον δ' ἀναβὰς, ἀνά τε κλυτὰ τεύχε' ἀείρας,
Μάστιξέν ῥ' ἐλάαν, τὼ δ' οὐκ ἄκοντε πετέσθην·
Τοῦ δ' ἦν ἑλκομένοιο κονίσσαλος· ἀμφὶ δὲ χαῖται
Κυάνεαι πίλναντο, κάρη δ' ἅπαν ἐν κονίῃσι
Κεῖτο, πάρος χαρίεν· τότε δὲ Ζεὺς δυσμενέεσσι
Δῶκεν ἀεικίσσασθαι ἑῇ ἐν πατρίδι γαίῃ·
Ὣς τοῦ μὲν κεκόνιτο κάρη ἅπαν· ἡ δέ νυ μήτηρ
Τίλλε κόμην, ἀπὸ δὲ λιπαρὴν ἔῤῥιψε καλύπτρην

δὴ ἐδωρήσαντο οἱ θεοὶ ἀποκτεῖναι τὸν ἄνδρα, ὃς πολλὰ δεινὰ καὶ χαλεπὰ ἐποίησεν, ὅσα οὐχ ὁμοῦ πάντες οἱ ἄλλοι. ἄγετε, περὶ τὴν πόλιν σὺν τοῖς ὅπλοις ἀπόπειραν ποιήσωμεν, ὅπως ἄν τι νοήσωμεν τὸν νοῦν, καὶ τὸν σκοπὸν τῶν Τρώων, ὃν ἔχουσιν, ἢ καταλείψουσι τὴν ἀκρόπολιν τούτου ἀποθανόντος, ἢ μένειν καὶ ἀντέχειν προθυμοῦνται καὶ τοῦ Ἕκτορος οὐκέτι ζῶντος. ἀλλὰ τί δή μοι ταῦτα ἡ ἀγαπητὴ ψυχὴ διῆλθε; κεῖται παρὰ ταῖς ναυσὶν ὁ νεκρὸς μήπω θρήνου καὶ ταφῆς ἠξιωμένος ὁ Πάτροκλος; τούτου δὲ οὐκ ἐπιλήσμων γενήσομαι, ἕως ἔγωγε ἐν τοῖς ζῶσιν ὑπάρχω, καί μοι τὰ προσφιλῆ γόνατα ὁρμᾷ καὶ κινεῖται. εἰ δὲ τῶν ἀποθανόντων γε λήθη γίνοιτο ἐν τῷ ᾅδῃ, ἀλλ᾽ ἐγὼ κἀκεῖ μνησθήσομαι τοῦ ἀγαπητοῦ φίλου. νυνὶ δὲ ἄγε ᾄδοντες Παιᾶνα, ὦ υἱοὶ τῶν Ἑλλήνων πορευώμεθα ἐπὶ τὰς κοίλας ναῦς, τοῦτον δὲ ἐπάγωμεν. ἔσχομεν δόξαν μεγάλην, ἀπεκτείναμεν τὸν ἐνδοξότατον Ἕκτορα, ᾧτινι οἱ Τρῶες ἐν τῇ πόλει καθάπερ θεῷ ηὔχοντο. Εἶπε δὴ καὶ τὸν ἐνδοξότατον Ἕκτορα ἀπρεπῆ καὶ αἰσχρὰ εἰργάζετο ἔργα. ὄπισθεν ἀμφοτέρων τῶν ποδῶν τὰ μεγάλα νεῦρα ἐτρύπησεν ἐκ τῆς πτέρνης μέχρι τοῦ σφυροῦ; βοείους δὲ λώρους ἐξῆψεν, ἔδησε δὲ ἐκ τοῦ ὀχήματος, τὴν κεφαλὴν δὲ ἀφῆκεν ἐπισύρεσθαι. ἀναβὰς δὲ εἰς τὸ ὄχημα, καὶ ἀναθεὶς καὶ τὰ ἔνδοξα ὅπλα, ἐμάστιζε δὴ ἐλαύνειν, οὗτοι δὲ ἑκόντες ἔτρεχον· τούτου δὲ ἐπισυρομένου ἐγίνετο κονιορτός· περὶ αὐτὸν αἱ τρίχες τῆς κεφαλῆς αἱ μέλαιναι προσήγγιζον τῇ γῇ, ἡ κεφαλὴ δὲ ὅλη ἐν τῇ κόνει καὶ τοῖς χώμασιν ἔκειτο, ἡ τὸ πρὶν χάριτος καὶ ἡδύτητος γέμουσα, τότε δὲ ὁ Ζεὺς τοῖς ἐχθροῖς ἔδωκεν αὐτὴν αἰκίσαι, καὶ ἀτιμάσαι ἐν τῇ ἑαυτοῦ πατρίδι γῇ. Οὕτω τούτου ἡ κεφαλὴ πᾶσα ἐκεκονιόρτωτο· ἡ μήτηρ δὲ ἀπέσπα τὰς τρίχας τῆς κεφαλῆς, ἀπέρριψε δὲ τὸ λευκὸν κάλυμμα πόρ-

Τηλόσε· κώκυσεν δὲ μάλα μέγα, παῖδ' ἐσιδοῦσα·
Ὤιμωξεν δ' ἐλεεινὰ πατὴρ φίλος, ἀμφὶ δὲ λαοὶ
Κωκυτῷ τ' εἴχοντο, καὶ οἰμωγῇ κατὰ ἄστυ·
Τῷ δὲ μάλιστ' ἄρ ἔην ἐναλίγκιον, ὡς εἰ ἅπασα
Ἴλιος ὀφρυόεσσα πυρὶ σμύχοιτο κατ' ἄκρης.
Λαοὶ μέν ῥα γέροντα μόλις ἔσχον ἀσχαλόωντα,
Ἐξελθεῖν μεμαῶτα πυλάων Δαρδανιάων.
Πάντας δ' ἐλλιτάνευε, κυλινδόμενος κατὰ κόπρον,
Ἐξονομακλήδην ὀνομάζων ἄνδρα ἕκαστον·
Σχέσθε, φίλοι, καί μ' οἶον ἐάσατε, κηδόμενόν περ,
Ἐξελθόντα πόληος ἱκέσθ' ἐπὶ νῆας Ἀχαιῶν·
Λίσσωμ' ἀνέρα τοῦτον ἀτάσθαλον, ὀβριμοεργὸν,
Ἤν πως ἡλικίην αἰδέσσεται, ἠδ' ἐλεήσῃ
Γῆρας· καὶ δέ νυ τῷδε πατὴρ τοιόσδε τέτυκται
Πηλεὺς, ὅς μιν ἔτικτε καὶ ἔτρεφε, πῆμα γενέσθαι
Τρωσί· μάλιστα δ' ἐμοὶ περὶ πάντων ἄλγε' ἔθηκε·
Τόσσους γάρ μοι παῖδας ἀπέκτανε τηλεθάοντας·
Τῶν πάντων οὐ τόσσον ὀδύρομαι, ἀχνύμενός περ,
Ὡς ἑνὸς, οὗ μ' ἄχος ὀξὺ κατοίσεται Ἄϊδος εἴσω,
Ἕκτορος· ὡς ὄφελεν θανέειν ἐν χερσὶν ἐμῇσι·
Τῷ κε κορεσσάμεθα κλαίοντέ τε, μυρομένω τε,
Μήτηρ θ', ἥ μιν ἔτικτε δυσάμμορος, ἠδ' ἐγὼ αὐτός.
Ὣς ἔφατο κλαίων· ἐπὶ δὲ στενάχοντο πολῖται·
Τρῳῇσιν δ' Ἑκάβη ἁδινοῦ ἐξῆρχε γόοιο·
Τέκνον, ἐγὼ δειλή, τί νυ βείομαι, αἰνὰ παθοῦσα,
Σεῦ ἀποτεθνειῶτος; ὅ μοι νύκτας τε καὶ ἦμαρ
Εὐχωλὴ κατὰ ἄστυ πελέσκεο, πᾶσί τ' ὄνειαρ
Τρωσί τε καὶ Τρῳῇσι κατὰ πτόλιν, οἵ σε, θεὸν ὥς,

ρω, ὠλόλυξε δὲ πάνυ μεγάλως θεασαμένη τὸν υἱόν· ἐθρήνει δὲ οἰκτρῶς ὁ ἀγαπητὸς πατὴρ, οἱ λαοὶ δὲ θρήνῳ κατείχοντο, καὶ ὀδυρμῷ κατὰ τὴν πόλιν· τούτῳ δὲ μάλιστα ἦν ὅμοιον ὥσπερ εἰ πᾶσα ἡ λοφώδης καὶ ὑψηλὴ Ἴλιος κατακαίοιτο κατὰ κορυφῆς (κατὰ κράτος). Οἱ μὲν οὖν λαοὶ τὸν γέροντα μόλις κατέσχον ἀγανακτοῦντα καὶ λυπούμενον περιπαθῶς, προθυμούμενον ἐξελθεῖν τῶν Δαρδανίων πυλῶν, πάντας δὲ ἱκέτευε, κυλιόμενος κατὰ τὸν συρφετὸν τῆς γῆς, ἐξ ὀνόματος καλῶν ἕκαστον ἄνδρα· Παύσασθε, ὦ φίλοι, καὶ ἄφετέ με μόνον, καίπερ λυπȣ́μενον, ἐξελθόντα τῆς πόλεως ἀφικέσθαι παρὰ τὰς ναῦς τῶν Ἑλλήνων, ὅπως παρακαλέσω τὸν ἄνδρα τοῦτον τὸν ἀνόσιον, καὶ βίαια καὶ ἄδικα πράττοντα, ἐάν πως τὴν ἐμὴν ἡλικίαν αἰδεσθήσεται καὶ ἐλεήσει τὸ γῆρας· καὶ δὴ καὶ αὐτῷ ὑπάρχει τοιοῦτος πατὴρ ὁ Πηλεὺς, ὅστις αὐτὸν ἐγέννησε, καὶ ἀνέτρεφε βλάβην γενέσθαι τοῖς Τρωσὶ, μάλιστα δὲ ἐκ πάντων ἐμοὶ θλίψεις καὶ λύπας ἐποίησε, πολλοὺς γάρ μοι υἱοὺς ἀπέκτεινε καλοὺς καὶ ἀκμαίους· τούτων πάντων ἕνεκα οὐ θρηνῶ τοσοῦτον, καίπερ λυπούμενος, ὥσπερ (ὅσον) ἕνεκα ἑνὸς, οὗ με ἡ λύπη ἡ σφοδρὰ καταβιβάσει εἰς τὸν ᾅδην, τοῦ Ἕκτορος· ὡς εἴθε ὤφλεν ἀποθανεῖν ἐν ταῖς ἐμαῖς χερσὶν, οὕτω γὰρ ἂν ἐνεπλήσθημεν κλαίοντες καὶ θρηνοῦντες, ἥ τε μήτηρ ἥτις αὐτὸν ἔτεκεν ἡ δυστυχὴς καὶ ἀθλία, καὶ ἐγὼ αὐτός. Οὕτως εἶπε κλαίων, ἐπεστέναζον δὲ οἱ πολῖται. Ἑκάβη δὲ ταῖς Τρωϊκαῖς γυναιξὶν ἤρχετο θρήνου καὶ ὀδυρμοῦ συχνοῦ, λέγουσα· Ὦ παῖ, ἐγὼ ἡ ταλαίπωρος καὶ ἀθλία, τί δὴ καὶ πῶς βιώσομαι καὶ ζήσομαι δεινὰ καὶ χαλεπὰ παθοῦσα σοῦ ἀποθανόντος; ὅς μοι νύκτωρ καὶ μεθ' ἡμέραν δόξα κατὰ τὴν πόλιν ἀνεστρέφου καὶ διέτριβες, καὶ πᾶσιν ὄφελος τοῖς τε Τρωσὶ καὶ ταῖς Τρῳάσιν ἐν τῇ πόλει, οἵ σε καθάπερ θεὸν διεδέ-

Δειδέχατ'· ἦ γάρ κέ σφι μάλα μέγα κῦδος ἔησθα,
Ζωὸς ἐών· νῦν αὖ θάνατος καὶ μοῖρα κιχάνει.
Ὣς ἔφατο κλαίουσ'· ἄλοχος δ' οὔπω τι πέπυστο
Ἕκτορος· οὐ γάρ οἵ τις ἐτήτυμος ἄγγελος ἐλθὼν
Ἤγγειλ', ὅττι ῥά οἱ πόσις ἔκτοθι μίμνε πυλάων·
Ἀλλ' ἥγ' ἱστὸν ὕφαινε, μυχῷ δόμου ὑψηλοῖο,
Δίπλακα πορφυρέην, ἐν δὲ θρόνα ποικίλ' ἔπασσε·
Κέκλετο δ' ἀμφιπόλοισιν ἐϋπλοκάμοις κατὰ δῶμα
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν, ὄφρα πέλοιτο
Ἕκτορι θερμὰ λοετρὰ μάχης ἐκνοστήσαντι·
Νηπίη, οὐδ' ἐνόησεν, ὅ μιν μάλα τῆλε λοετρῶν
Χερσὶν Ἀχιλλῆος δάμασεν γλαυκῶπις Ἀθήνη.
Κωκυτοῦ δ' ἤκουσε καὶ οἰμωγῆς ἀπὸ πύργου,
Τῆς δ' ἐλελίχθη γυῖα, χαμαὶ δέ οἱ ἔκπεσε κερκίς·
Ἡ δ' αὖτις δμωῇσιν ἐϋπλοκάμοισι μετηύδα·
Δεῦτε, δύω μοι ἕπεσθον, ἴδωμ', ὅτιν' ἔργα τέτυκται.
Αἰδοίης ἑκυρῆς ὀπὸς ἔκλυον, ἐν δέ μοι αὐτῇ
Στήθεσι πάλλεται ἦτορ ἀνὰ στόμα, νέρθε δὲ γοῦνα
Πήγνυται· ἐγγὺς δή τι κακὸν Πριάμοιο τέκεσσιν.
Αἲ γὰρ ἀπ' οὔατος εἴη ἐμεῦ ἔπος· ἀλλὰ μάλ' αἰνῶς
Δείδω, μὴ δή μοι θρασὺν Ἕκτορα δῖος Ἀχιλλεὺς
Μοῦνον ἀποτμήξας πόλιος, πεδίονδε δίηται.
Καὶ δή μιν καταπαύσῃ ἀγηνορίης ἀλεγεινῆς·
Ἥ μιν ἔχεσκ'· ἐπεὶ οὔποτ' ἐνὶ πληθυῖ μένεν ἀνδρῶν,
Ἀλλὰ πολὺ προθέεσκε, τὸ ὃν μένος οὐδενὶ εἴκων.
Ὣς φαμένη, μεγάροιο διέσσυτο, μαινάδι ἴση,
Παλλομένη κραδίην· ἅμα δ' ἀμφίπολοι κίον αὐτῇ.
Αὐτὰρ ἐπεὶ πύργον τε καὶ ἀνδρῶν ἷξεν ὅμιλον,

χοντο καὶ ἠσπάζοντο καὶ ἐφιλοφρονοῦντο, ὄντως γὰρ ἂν αὐτοῖς δόξα μεγάλη καὶ εὐπρέπεια ὑπῆρχες, ὅτε ἔζης, νυνὶ δὲ θάνατος καὶ τύχη κακή σε καταλαμβάνει. Οὕτως εἶπε κλαίουσα· ἡ γυνὴ δὲ οὔπω τι ἤκουσε τοῦ Ἕκτορος, οὐδεὶς γὰρ ἀληθὴς μηνυτὴς παραγενόμενος αὐτῇ ἐμήνυσεν, ὅτι δὴ ὁ ἀνὴρ αὐτῆς ἐκτὸς τῶν πυλῶν ἔμενεν· ἀλλ' αὕτη γε ὕφασμα εἰργάζετο ἐν τῷ ἐνδοτάτῳ τοῦ ὑψηλοῦ οἴκου, διπλοΐδα μεγάλην πορφυρὰν, ἐνέπασσε δὲ καὶ ἐποίκιλλε χρώματα διάφορα· παρεκελεύσατο δὲ ταῖς καλλικόμοις θεραπαίναις ἐν τῷ οἴκῳ στῆσαι περὶ τὸ πῦρ μέγαν λέβητα ὅπως ὑπάρχαι τῷ Ἕκτορι λουτρὰ θερμὰ ὑποστρέψαντι ἐκ τοῦ πολέμου· ἡ ἀνόητος, οὐδὲ ἔμαθεν ὅτι αὐτὸν πόῤῥω πάνυ λουτρῶν ἀπέκτεινεν ἡ εὐόφθαλμος Ἀθηνᾶ διὰ τῶν χειρῶν τοῦ Ἀχιλλέως· ἤκουσε δὲ τοῦ θρήνου καὶ τῆς ὀλολυγῆς ἀπὸ τοῦ πύργου· ταύτης δὲ περιεκλονήθησαν τὰ μέλη, ἐξέπεσε δὲ τῶν χειρῶν αὐτῆς ἐπὶ τὴν γῆν τὸ ὑφαντικὸν ἐργαλεῖον· ἡ δὲ ταῖς καλλικόμοις θεραπαίναις ἔλεγεν· Ἄγετ' ἀκολουθεῖτέ μοι δύο, ὅπως θεάσωμαι τίνα ἔργα γεγόνασι· τῆς αἰδεσίμου πενθερᾶς τὴν φωνὴν ἤκουσα· ἐν ἐμοὶ δὲ αὐτῇ κινεῖται ἐν τοῖς στήθεσιν ἡ καρδία κατὰ τὸ στόμα, κάτωθεν δὲ τὰ γόνατα ψύχεται καὶ ἀπονεκροῦται, πλησίον ἐστὶ δεινόν τι τοῖς παισὶ τοῦ Πριάμου· εἴθε γὰρ πόῤῥω τῆς ἐμῆς ἀκοῆς γένοιτο ὁ ἐμὸς λόγος· πάνυ μέντοι χαλεπῶς δέδοικα μή ποτέ μοι τὸν εὔτολμον Ἕκτορα ὁ ἐνδοξότατος Ἀχιλλεὺς μόνον ἀποχωρίσας τῆς πόλεως ἐπὶ τὸ πεδίον ἀποκτείνῃ, καὶ δὴ ἀποπαύσῃ αὐτὸν τῆς χαλεπῆς καὶ ὀδυνηρᾶς ἀνδρίας, ἥτις αὐτὸν κατεῖχεν, ἐπειδὴ οὐδέποτε ἐν τῷ πλήθει παρέμενε τῶν ἀνδρῶν, ἀλλὰ πολλῷ προέτρεχεν τῇ ἑαυτοῦ εὐθαρσίᾳ μηδενὶ ὑποχωρῶν. Οὕτως εἰποῦσα ὥρμησεν ἐκ τοῦ οἴκου ὁμοία ἐμμανεῖ γυναικὶ διασειομένη καὶ κλονουμένη κατὰ τὴν καρδίαν, σὺν αὐτῇ δὲ καὶ αἱ θεράπαιναι ἐπορεύοντο. ἐπειδὴ δὲ ἀφίκετο εἰς τὸν πύργον καὶ τὸ ἄθροισμα τῶν

Ἔστη παπτήνασ' ἐπὶ τείχεϊ· τὸν δ' ἐνόησεν
Ἑλκόμενον πρόσθεν πόλιος, ταχέες δέ μιν ἵπποι
Ἕλκον ἀκηδέστως κοίλας ἐπὶ νῆας Ἀχαιῶν·
Τὴν δὲ κατ' ὀφθαλμῶν ἐρεβεννὴ νὺξ ἐκάλυψεν·
Ἤριπε δ' ἐξοπίσω, ἀπὸ δὲ ψυχὴν ἐκάπυσσε.
Τῆλε δ' ἀπὸ κρατὸς χέε δέσματα σιγαλόεντα,
Ἄμπυκα, κεκρύφαλόν τε, ἰδὲ πλεκτὴν ἀναδέσμην,
Κρήδεμνόν θ', ὅ ῥά οἱ δῶκε χρυσῆ Ἀφροδίτη,
Ἤματι τῷ, ὅτε μιν κορυθαίολος ἠγάγεθ' Ἕκτωρ
Ἐκ δόμου Ἠετίωνος, ἐπεὶ πόρε μυρία ἕδνα·
Ἀμφὶ δέ μιν γαλόῳ τε καὶ εἰνατέρες ἅλις ἔσταν,
Αἵ ἑ μετὰ σφίσιν εἶχον ἀτυζομένην ἀπολέσθαι.
Ἡ δ' ἐπεὶ οὖν ἄμπνυτο, καὶ ἐς φρένα θυμὸς ἀγέρθη,
Ἀμβλήδην γοόωσα, μετὰ Τρῳῇσιν ἔειπεν·
Ἕκτορ, ἐγὼ δύστηνος· ἰῇ ἄρα γεινόμεθ' αἴσῃ
Ἀμφότεροι, σὺ μὲν ἐν Τροίῃ Πριάμου κατὰ δῶμα,
Αὐτὰρ ἐγὼ Θήβῃσιν, ὑπὸ Πλάκῳ ὑληέσσῃ,
Ἐν δόμῳ Ἠετίωνος, ὅ μ' ἔτρεφε τυτθὸν ἐοῦσαν,
Δύσμορον αἰνόμορον· ὡς μὴ ὤφελλε τεκέσθαι.
Νῦν δὲ σὺ μὲν Ἀΐδαο δόμους, ὑπὸ κεύθεσι γαίης,
Ἔρχεαι, αὐτὰρ ἐμὲ στυγερῷ ἐνὶ πένθεϊ λείπεις
Χήρην ἐν μεγάροισι· πάϊς δ' ἔτι νήπιος αὔτως,
Ὃν τέκομεν, σύ τ', ἐγώ τε, δυσάμμοροι· οὔτε σὺ τούτῳ
Ἔσσεαι, Ἕκτορ, ὄνειαρ, ἐπεὶ θάνες· οὔτε σοι οὗτος.
Ἤνπερ γὰρ πόλεμόν γε φύγῃ πολύδακρυν Ἀχαιῶν,
Αἰεί τοι τούτῳ γε πόνος καὶ κήδε' ὀπίσσω
Ἔσσοντ'· ἄλλοι γάρ οἱ ἀπουρίσσουσιν ἀρούρας.
Ἦμαρ δ' ὀρφανικὸν, παναφήλικα παῖδα τίθησι·

ἀνδρῶν, ἔστη ἐπὶ τῷ τείχει περιβλεψαμένη, τοῦτον δὲ ἐθεάσατο ἐπισυρόμενον ἔμπροσθεν τῆς πόλεως· οἱ ταχεῖς δὲ ἵπποι αὐτὸν ἔσυρον ἀφειδῶς ἐπὶ τὰς βαθείας ναῦς τῶν Ἑλλήνων· ταύτην δὲ ἐν ὀφθαλμοῖς νὺξ σκοτεινὴ περιεκάλυψε, κατέπεσε δὲ εἰς τὐπίσω, ἀπέπνευσε δὲ τὴν ψυχήν· πόῤῥω δὲ ἀπὸ τῆς κεφαλῆς ἔῤῥιψε τὰ λαμπρὰ ἐπίδεσμα καὶ περιθέματα τῆς κεφαλῆς, τό τε διάδημα τῶν τριχῶν, καὶ τὸν κεκρύφαλον, καὶ τὴν περὶ τοὺς κροτάφους σειρὰν, καὶ τὸ ἐπιβόλαιον, ὅπερ ἔδωκεν αὐτῇ ἡ χρυσῆ Ἀφροδίτη τῇ ἡμέρᾳ ἐκείνῃ, ἡνίκα αὐτὴν ὁ συνεχῶς τὸ κράνος κινῶν Ἕκτωρ ἠγάγετο ἐκ τοῦ οἴκου τοῦ Ἠετίωνος, ἐπειδὴ ἔδωκε πλεῖστα δῶρα προικῷα· περὶ αὐτὴν δὲ αἱ τοῦ ἀνδρὸς ἀδελφαὶ καὶ αἱ τῶν ἀνδραδελφῶν γυναῖκες πολλαὶ ἵσταντο, αἳ δὴ αὐτὴν ἐν ἑαυταῖς κατεῖχον λύπῃ ἐπειγομένην (συνεχομένην) ἀποθανεῖν. ἐπεὶ δὲ αὕτη ἔμπνους ἐγένετο (ἀνέπνευσε), καὶ ἡ ψυχὴ (τὸ πνεῦμα) συνηθροίσθη εἰς τὴν διάνοιαν, ἀναβολάδην καὶ ὀξέως ὀλολύζουσα ἐν ταῖς Τρωϊκαῖς γυναιξὶν εἶπεν· Ὦ Ἕκτορ, ἐγὼ ἡ ταλαίπωρος καὶ ἀθλία, μιᾷ δὴ μοίρᾳ ἐγεννήθημεν ἀμφότεροι, σὺ μὲν ἐν τῇ Τροίᾳ ἐν τῷ οἴκῳ τοῦ Πριάμου, ἐγὼ δὲ ἐν ταῖς Θήβαις, τῇ ὑπὸ τῷ Πλακεῖ ὄρει κειμένῃ, συμφύτῳ καὶ ὑλώδει πόλει ἐν τῷ οἴκῳ τοῦ Ἠετίωνος, ὅς με ἀνέτρεφε μικρὰν ὑπάρχουσαν τὴν δυστυχῆ καὶ κακόμοιρον, ὡς εἴθε μὴ ὤφλε γεννῆσαί με· νυνὶ δὲ σὺ μὲν δὴ εἰς τοὺς οἴκους τοῦ Ἅιδου ὑπὸ τοὺς μυχοὺς καὶ ἀποκρύφους τόπους τῆς γῆς ἀπέρχῃ, ἐμὲ δὲ ἐν πένθει καὶ θρήνῳ μισητῷ καταλείπεις ἐστερημένην ἀνδρὸς ἐν τοῖς οἴκοις, ὁ παῖς δὲ ἔτι βρέφος οὕτως, ὃν ἐγεννήσαμεν σύ τε κἀγὼ οἱ δυστυχεῖς καὶ κακόμοιροι· οὔτε σὺ τούτῳ ἔσῃ, ὦ Ἕκτορ, ὄφελος, ἐπειδὴ ἀπέθανες, οὔτε σοὶ ἔσαι οὗτος· ἐὰν γὰρ καὶ τὸν πολλῶν δακρύων αἴτιον πόλεμον τῶν Ἑλλήνων ἐκφύγῃ, ἀεὶ δὴ τούτῳ γε ταλαιπωρία καὶ λῦπαι μετὰ ταῦτα ἔσονται, ἄλλοι γὰρ αὐτοῦ ἀφαιρήσονται τὰ σιτοφόρα χωρία· ἡ τῆς ὀρφανίας δ' ἡμέρα, καὶ τὸ ζῆν ὀρφανὸν, πάντων τῶν ὁμηλίκων ἀπεληλαμμένον

Πάντα δ' ὑπεμνήμυκε, δεδάκρυται δὲ παρειαί.
Δευόμενος δέ τ' ἄνεισι πάϊς ἐς πατρὸς ἑταίρους,
Ἄλλον μὲν χλαίνης ἐρύων, ἄλλον δὲ χιτῶνος·
Τῶν δ' ἐλεησάντων κοτύλην τις τυτθὸν ἐπέσχε,
Χείλεα μέν τ' ἐδίην', ὑπερῴην δ' οὐκ ἐδίηνε·
Τὸν δὲ καὶ ἀμφιθαλὴς ἐκ δαιτύος ἐστυφέλιξε.
Χερσὶν πεπληγὼς, καὶ ὀνειδείοισιν ἐνίσσων,
Ἔῤῥ' οὕτως· οὐ σός γε πατὴρ μεταδαίνυται ἡμῖν·
Δακρυόεις δέ τ' ἄνεισι πάϊς ἐς μητέρα χήρην,
Ἀστυάναξ, ὃς πρὶν μὲν ἑοῦ ἐπὶ γούνασι πατρὸς
Μυελὸν οἶον ἔδεσκε, καὶ οἰῶν πίονα δημόν·
Αὐτὰρ ὅθ' ὕπνος ἕλοι, παύσαιτό τε νηπιαχεύων,
Εὕδεσκ' ἐν λέκτροισιν, ἐν ἀγκαλίδεσσι τιθήνης,
Εὐνῇ ἐνὶ μαλακῇ, θαλέων ἐμπλησάμενος κῆρ·
Νῦν δ' ἂν πολλὰ πάθῃσι, φίλου ἀπὸ πατρὸς ἁμαρτὼν,
Ἀστυάναξ, ὃν Τρῶες ἐπίκλησιν καλέουσιν·
Οἶος γάρ σφιν ἔρυσο πύλας καὶ τείχεα μακρά.
Νῦν δὲ σὲ μὲν παρὰ νηυσὶ κορωνίσι, νόσφι τοκήων,
Αἰόλαι εὐλαὶ ἔδονται, ἐπεί κε κύνες κορέσωνται,
Γυμνόν· ἀτάρ τοι εἵματ' ἐνὶ μεγάροισι κέονται,
Λεπτά τε καὶ χαρίεντα, τετυγμένα χερσὶ γυναικῶν·
Ἀλλ' ἤτοι τάδε πάντα καταφλέξω πυρὶ κηλέῳ·
Οὐδὲν σοί γ' ὄφελος, ἐπεὶ οὐκ ἐγκείσεαι αὐτοῖς,
Ἀλλὰ πρὸς Τρώων καὶ Τρωϊάδων κλέος εἶναι.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δὲ στενάχοντο γυναῖκες.

τὸν παῖδα καθίστησι, πάντα δὲ δεινὰ εἰς ἀνάμνησιν ἄγει τοῦ δυσφορεῖν, δάκρυσι δὲ περιῤῥέονται αἱ παρειαὶ, βρεχόμενος (ἐνδεὴς) δὲ ἀιέρχεται ὁ παῖς παρὰ τοὺς πατρικοὺς φίλους· ἄλλον μὲν ἀπὸ τῆς χλαμύδος ἑλκύων, ἄλλον δὲ ἀπὸ τοῦ χιτῶνος, τούτων δὲ σπλαχνισθέντων ποτήριόν τις μικρὸν παρέσχε, καὶ τὰ μὲν χείλη ἔβρεξεν, ἐντὸς δὲ τὰ ὑλα τοῦ σόματος ὐκ ἔβρεξε. τοῦτον δὲ καί τις ἐπ' ἀμφοτέροις τοῖς γονεῦσι θάλλων ἀπεωθήσατο ἐκ τῆς εὐωχίας πλήξας ταῖς χερσὶ, καὶ ὀνειδισμοῖς, καὶ λοιδορίαις βάλλων καὶ ἐπιπλήσσων· Ἄπελθ' οὕτω μετὰ φθορᾶς, οὐχ ὁ σὸς πατὴρ ἐν ἡμῖν εὐωχεῖται· δακρύων δὲ ὁ παῖς ἐπανέρχεται πρὸς τὴν μητέρα τὴν ἐστερημένην ἀνδρὸς ὁ Ἀςυάναξ, ὃς πρότερον μὲν ἐπὶ τοῖς γόνασι τοῦ ἑαυτοῦ πατρὸς μυελὸν μόνον ἤσθιε, καὶ στέαρ λιπαρὸν προβάτων· ὅτε δ' αὐτὸν ὁ ὕπνος κατελάμβανε καὶ ἐπαύετο παιδαριευόμενος καὶ τὰ τῶν νηπίων πράττων, ὕπνωττεν ἐν τῇ κλίνῃ ἐν ταῖς ἀγκάλαις τῆς τροφοῦ ἐν στρωμνῇ μαλακῇ, παντοίων ἐδεσμάτων ἐμπλήσας τὴν ψυχήν· νυνὶ δὲ πολλὰ ἂν δεινὰ πάθῃ τοῦ ἀγαπητοῦ πατρὸς ἀπεστερημένος ὁ Ἀστυάναξ, ὃν οἱ Τρῶες κατ' ἐπωνυμίαν καλῦσι· μόνος γὰρ αὐτοῖς ἐφύλαττες καὶ ἔσωζες τὰς πύλας καὶ ὑψηλὰ τείχη, ὦ Ἕκτορ, νυνὶ δὲ σὲ μὲν παρὰ ταῖς καμπυλοπρύμναις ναυσὶ πόῤῥω τῶν γονέων εὔςροφοι καὶ εὐκίνητοι σκώληκες ...., ἐπειδὰν οἱ κύνες ἐμπλησθῶσιν, ἀπερικάλυπτον· τὰ ἱμάτια δέ σοι ἐν τοῖς οἴκοις κεῖται λεπτὰ καὶ ὡραῖα, εἰργασμένα ταῖς τῶν γυναικῶν χερσίν. ἀλλὰ ταῦτα μὲν πάντα κατακαύσω πυρὶ καυστικῷ, σοὶ γὰρ ἐξ αὐτῶν οὐδὲν ὄφελος, ἐπειδὴ οὐκ ἐν αὐτοῖς κείσῃ, ἀλλὰ πρὸς δόξαν τῶν Τρώων καὶ τῶν Τρωάδων ἔσονται. Οὕτως εἶπε κλαίουσα, ἐπεστέναζον δὲ αἱ γυναῖκες.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩιΔΙΑ Ψ.

Ὡς οἱ μὲν στενάχοντο κατὰ πτόλιν· αὐτὰρ Ἀχαιοὶ
Ἐπειδὴ νῆάς τε καὶ Ἑλλήσποντον ἵκοντο,
Οἱ μὲν ἄρ ἐσκίδναντο ἑὴν ἐπὶ νῆα ἕκαστος·
Μυρμιδόνας δ' οὐκ εἶα ἀποσκίδνασθαι Ἀχιλλεὺς,
Ἀλλ' ὅγε οἷς ἑτάροισι φιλοπτολέμοισι μετηύδα·
Μυρμιδόνες ταχύπωλοι, ἐμοὶ ἐρίηρες ἑταῖροι,
Μὴ δήπω ὑπ' ὄχεσφι λυώμεθα μώνυχας ἵππους,
Ἀλλ' αὐτοῖς ἵπποισι καὶ ἅρμασιν ἆσσον ἰόντες,
Πάτροκλον κλαίωμεν· ὃ γὰρ γέρας ἐστὶ θανόντων.
Αὐτὰρ ἐπεί κ' ὀλοοῖο τεταρπώμεσθα γόοιο,
Ἵππους λυσάμενοι, δορπήσομεν ἐνθάδε πάντες.
Ὣς ἔφαθ'· οἱ δ' ᾤμωξαν ἀολλέες· ἦρχε δ' Ἀχιλλεύς·
Οἱ δὲ τρὶς περὶ νεκρὸν ἐΰτριχας ἤλασαν ἵππους
Μυρόμενοι, μετὰ δέ σφι Θέτις γόου ἵμερον ὦρσε.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩΙΔΙΑΣ Ψ

ΠΑΡΑΦΡΑΣΙΣ.

Οὕτως οὗτοι μὲν ἐστέναζον καὶ ἐθρήνουν ἐν τῇ πόλει· οἱ Ἕλληνες δὲ ἐπειδὴ παρὰ τὰς ναῦς καὶ τὸν Ἑλλήσποντον ἀφίκοντο, οἱ μὲν ἄλλοι διεμερίσθησαν ἕκαστος ἐπὶ τὴν ἑαυτοῦ ναῦν. τοὺς Μυρμιδόνας δὲ οὐκ ἠφίει ὁ Ἀχιλλεὺς ἀποχωρίζεσθαι· ἀλλ' οὗτός γε ἐν τοῖς ἑαυτοῦ φίλοις τοῖς πολεμικοῖς καὶ ἀνδρείοις ἔλεγεν· Ὦ Μυρμιδόνες ταχεῖς ἔχοντες ἵππους· ἐμοὶ δεξιοὶ καὶ εὐάρμοστοι φίλοι, μήπω δὴ ὑπὸ τοῖς ὀχήμασιν ἀπολύσωμεν τοὺς μονώνυχας ἵππους· ἀλλὰ σὺν τοῖς ἵπποις, καὶ τοῖς ἅρμασι πλησίον· ἐλθόντες κλαίωμεν τὸν Πάτροκλον· τοῦτο γὰρ ὑπάρχει τιμὴ τῶν τεθνεώτων. ἐπειδὰν δὲ τοῦ ὀλεθρίου θρήνου ἀπολαύσωμεν, τοὺς ἵππους ἀπολύσαντες δειπνήσομεν ἐνταῦθα πάντες. Οὕτως εἶπεν· αὐτοὶ δὲ ᾤμωξαν συνηθροισμένοι· ἡγεῖτο δὲ τῆς οἰμωγῆς ὁ Ἀχιλλεύς· οὗτοι δὲ τρὶς περὶ τὸν νεκρὸν περιήγαγον τοὺς καλλίτριχας ἵππους κλαίοντες. ἐν αὐτοῖς δὲ θρήνου ἐπιθυμίαν διήγειρεν ἡ Θέτις· ἐβρέχετο ἡ ἄμμος, ἐβρέχοντο τὰ ὅπλα τῶν

Δεύοντο ψάμαθοι, δεύοντο δὲ τεύχεα φωτῶν
Δάκρυσι· τοῖον γὰρ πόθεον μήστωρα φόβοιο.
Τοῖσι δὲ Πηλείδης ἀδινοῦ ἐξῆρχε γόοιο,
Χεῖρας ἐπ' ἀνδροφόνους θέμενος στήθεσσιν ἑταίρου·
Χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν ἀΐδαο δόμοισι·
Πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέστην,
Ἕκτορα δεῦρ' ἐρύσας δώσειν κυσὶν ὠμὰ δάσασθαι·
Δώδεκα δὲ προπάροιθε πυρῆς ἀποδειροτομήσειν
Τρώων ἀγλαὰ τέκνα, σέθεν κταμένοιο χολωθείς.
Ἦ ῥα, καὶ Ἕκτορα δῖον ἀεικέα μήδετο ἔργα,
Πρηνέα πὰρ λεχέεσσι Μενοιτιάδαο τανύσσας
Ἐν κονίῃσ'· οἱ δ' ἔντε' ἀφωπλίζοντο ἕκαστοι
Χάλκεα, μαρμαίροντα· λύον δ' ἐριαύχενας ἵππους·
Καδδίζον παρὰ νηῒ ποδώκεος Αἰακίδαο
Μυρίοι· αὐτὰρ ὁ τοῖσι τάφον μενοεικέα δαίνυ.
Πολλοὶ μὲν βόες ἀργοὶ ὀρέχθεον ἀμφὶ σιδήρῳ,
Σφαζόμενοι, πολλοὶ δ' ὄϊες καὶ μηκάδες αἶγες·
Πολλοὶ δ' ἀργιόδοντες ὕες, θαλέθοντες ἀλοιφῇ,
Εὑόμενοι τανύοντο διὰ φλογὸς Ἡφαίστοιο·
Πάντῃ δ' ἀμφὶ νέκυν κοτυλήρυτον ἔῤῥεεν αἷμα.
Αὐτὰρ τόν γε ἄνακτα ποδώκεα Πηλείωνα
Εἰς Ἀγαμέμνονα δῖον ἄγον βασιλῆες Ἀχαιῶν,
Σπουδῇ παρπεπιθόντες, ἑταίρου χωόμενον κῆρ.
Οἱ δ' ὅτε δὴ κλισίην Ἀγαμέμνονος ἷξον ἰόντες,
Αὐτίκα κηρύκεσσι λιγυφθόγγοισι κέλευσαν,
Ἀμφὶ πυρὶ στῆσαι τρίποδα μέγαν· εἰ πεπίθοιεν
Πηλείδην, λούσασθαι ἀπὸ βρότον αἱματόεντα.
Αὐτὰρ ὅγ' ἠρνεῖτο στυγερῶς, ἐπὶ δ' ὅρκον ἄμοσσεν·

ἀνδρῶν ὑπὸ τῶν δακρύων. τοιοῦτον γὰρ ἐπιστήμονα τοῦ πολέμου ἐπόθουν· ἐν τούτοις δὲ ὁ τοῦ Πηλέως ἡγεῖτο θρήνου οἰκτροῦ καὶ ἀθρόου, τὰς ἀνδροκτόνους χεῖρας ἐπιθεὶς ἐν τοῖς στήθεσι τοῦ φίλου. Χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ ἐν τοῖς οἴκοις τοῦ Ἅιδου. πάντα γὰρ ἤδη σοι πληρώσω, ἃ πρότερον ὑπεσχόμην, τὸν Ἕκτορα ἐνθάδε ἑλκύσας δώσειν τοῖς κυσὶν ὠμῶς ἀπομερίσασθαι καὶ καταφαγεῖν. δώδεκα δὲ ἔμπροσθεν τῆς πυρᾶς ἀποκεφαλίσω λαμπροὺς υἱοὺς τῶν Τρώων ἕνεκα σοῦ ἀναιρεθέντος ὀργισθείς. Εἶπε δὴ, καὶ τὸν ἐνδοξότατον Ἕκτορα εἰργάζετο ἔργα ἀπρεπῆ, κατὰ πρόσωπον παρὰ τῇ στρωμνῇ τοῦ υἱοῦ τοῦ Μενοιτίου ἐκτείνας ἐν τοῖς χώμασιν. οὗτοι δὲ ἅπαντες τὰ ὅπλα ἀπεδύοντο τὰ τῷ σιδήρῳ περιλάμποντα. ἔλυον δὲ τοὺς ὑψαύχενας ἵππους. ἐκάθιζον δὲ παρὰ τῇ νηῒ τοῦ ταχύποδος Ἀχιλλέως πλεῖστοι. οὗτος δὲ αὐτοῖς τὸ ἐπιτάφιον δεῖπνον παρεσκεύαζε. Πολλοὶ μὲν οὖν βόες εἰλίποδες (λευκοὶ, πίονες) ἐμυκῶντο περὶ τὸν σίδηρον ἀναιρούμενοι· πολλὰ δὲ πρόβατα καὶ αἶγες τοκάδες. πολλοὶ δὲ λευκόδοντες χοῖροι θάλλοντες λίπει ἀποκαιόμενοι τὰς τρίχας ἐξετείνοντο διὰ τῆς φλογὸς τοῦ πυρός· πανταχοῦ δὲ περὶ τὸν νεκρὸν αἷμα ἔῤῥει τοσοῦτον ὥστε κοτύλῃ ἀρύσασθαι. Τὸν δέ γε ταχύποδα υἱὸν τοῦ Πηλέως τὸν βασιλέα, πρὸς τὸν Ἀγαμέμνονα τὸν ἔνδοξον ἦγον οἱ βασιλεῖς τῶν Ἑλλήνων μετὰ σπουδῆς, παρηγοροῦντες καὶ πείθοντες τὴν ψυχὴν αὐτοῦ, ὀργιζομένην ἕνεκα τοῦ φίλου. οὗτοι δὲ ἐπειδὴ πορευόμενοι ἀφίκοντο εἰς τὴν σκηνὴν τοῦ Ἀγαμέμνονος, παραχρῆμα τοῖς ὀξυφώνοις κήρυξιν ἐπέταξαν στῆσαι ἐν τῷ πυρὶ λέβητα μέγαν, εἰ καταπείσειεν τὸν τοῦ Πηλέως λούσασθαι καὶ ἀπονίξαι τὸν ἐκ τοῦ αἵματος λύθρον. οὗτος δὲ ἐξηρνεῖτο ὁλοσχερῶς, καὶ ὅρκον ἐπώμοσεν·

Οὐ μὰ Ζῆν', ὅστις τε θεῶν ὕπατος καὶ ἄριστος,
Οὐ θέμις ἐστὶ λοετρὰ καρήατος ἆσσον ἱκέσθαι,
Πρίν γ' ἐνὶ Πάτροκλον θέμεναι πυρὶ, σῆμά τε χεῦσαι,
Κείρασθαί τε κόμην· ἐπεὶ οὔ μ' ἔτι δεύτερον ὧδε
Ἵξετ' ἄχος κραδίην, ὄφρα ζωοῖσι μετείω·
Ἀλλ' ἤτοι νῦν μὲν στυγερῇ πειθώμεθα δαιτί·
Ἠῶθεν δ' ὄτρυνον, ἄναξ ἀνδρῶν Ἀγάμεμνον,
Ὕλην τ' ἀξέμεναι, παρά τε σχεῖν, ὡς ἐπιεικὲς
Νεκρὸν ἔχοντα νέεσθαι ὑπὸ ζόφον ἠερόεντα·
Ὄφρ' ἤτοι τοῦτον μὲν ἐπιφλέγῃ ἀκάματον πῦρ
Θᾶσσον ἀπ' ὀφθαλμῶν, λαοὶ δ' ἐπὶ ἔργα τράπωνται.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο.
Ἐσσυμένως δ' ἄρα δόρπον ἐφοπλίσσαντες ἕκαστοι
Δαίνυντ'· οὐδέ τι θυμὸς ἐδεύετο δαιτὸς ἐΐσης·
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Οἱ μὲν κακκείοντες ἔβαν κλισίηνδε ἕκαστος·
Πηλείδης δ' ἐπὶ θινὶ πολυφλοίσβοιο θαλάσσης
Κεῖτο βαρυστενάχων, πολέσιν μετὰ Μυρμιδόνεσσιν,
Ἐν καθαρῷ, ὅθι κύματ' ἐπ' ἠϊόνος κλύζεσκεν·
Εὖτε τὸν ὕπνος ἔμαρπτε, λύων μελεδήματα θυμοῦ,
Νήδυμος ἀμφιχυθείς· μάλα γὰρ κάμε φαίδιμα γυῖα,
Ἕκτορ' ἐπαΐσσων προτὶ Ἴλιον ἠνεμόεσσαν.
Ἦλθε δ' ἔπι ψυχὴ Πατροκλῆος δειλοῖο,
Πάντ' αὐτῷ μέγεθός τε καὶ ὄμματα κάλ' εἰκυῖα,
Καὶ φωνήν· καὶ τοῖα περὶ χροῒ εἵματα ἕστο·
Στῆ δ' ἄρ' ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Εὕδεις, αὐτὰρ ἐμεῖο λελασμένος ἔπλευ, Ἀχιλλεῦ;
Οὐ μέν μευ ζώοντος ἀκήδεις, ἀλλὰ θανόντος·

Οὐ μὰ τὸν Δία, ὅστις ἐστὶ τιμιώτατος καὶ ἰσχυρότατος τῶν Θεῶν, οὐχ ὅσιόν ἐστι λουτρὰ παραγενέσθαι πλησίον τῆς κεφαλῆς, πρὶν θεῖναι τὸν Πάτροκλον ἐν τῷ πυρὶ καὶ μνῆμα ἐπιχέαι καὶ ἀποκόψαι τὴν κόμην· ἐπειδὴ οὐκέτι μου αὖθις οὕτω λύπη καταλήψεται τὴν καρδίαν, ἕως ἂν ἐν τοῖς ζῶσιν ὑπάρχω. ἀλλὰ νυνὶ μὲν τῇ μισητῇ πεισθῶμεν εὐωχίᾳ. ἕωθεν δὲ πρότρεψον, ὦ βασιλεῦ τοῦ στρατοῦ Ἀγάμεμνον, ξύλα τε ἄξειν καὶ παρασχεῖν ὡς ἔστιν εἰκὸς ἔχοντα τὸν νεκρὸν πορέυεσθαι ἐπὶ τὸν ζόφον τὸν σκοτεινὸν, ὅπως τοῦτον μὲν κατακαύσῃ τὸ ἀκαταπόνητον πῦρ καὶ ποιήσῃ τάχιον ἀπὸ τῆς ὄψεως ἡμῶν, ὁ στρατὸς δὲ χωρήσῃ ἐπὶ τὰ ἔργα. Οὕτως εἶπεν· οὗτοι δὲ πάνυ δὴ ἤκουον αὐτοῦ καὶ ἐπείθοντο· σπουδαίως δ' οὖν τὸ δεῖπνον παρασκευάσαντες ἅπαντες εὐωχοῦντο· οὐδέτινος ψυχὴ ἐνδεὴς ἦν εὐωχίας κοινῇ προκειμένης ἅπασιν. ἐπειδὴ δὲ τῆς πόσεως καὶ τῆς τροφῆς τὸν ἔρωτα ἐξεπλήρωσαν, οὗτοι μὲν ἐπὶ τὰς σκηνὰς ἐπορεύθησαν ἅπαντες ὑπνώσοντες· ὁ υἱὸς δὲ τοῦ Πηλέως ἐπὶ τῷ αἰγιαλῷ τῆς πολυταράχου θαλάσσης ἔκειτο βαρέως στενάζων, ἐν τοῖς πολλοῖς Μυρμιδόσιν ἐν τόπῳ καθαρῷ, ὅπου τὰ κύματα παρὰ τὸν αἰγιαλὸν προσέκλυζον, καὶ προσέβαλλον. ὁπηνίκα δ' αὐτὸν ὁ ὕπνος κατέλαβε λύων τὰς φροντίδας τῆς ψυχῆς, δυσέκδυτος περιχυθείς· πάνυ γὰρ ἐκοπίασε τὰ λαμπρὰ μέλη, τὸν Ἕκτορα διώκων πρὸς τὴν ὑψηλὴν Ἴλιον· ἐπῆλθε δὲ ἡ ψυχὴ τοῦ ἀθλίου Πατρόκλου παρομοία αὐτῷ καὶ κατὰ τὸ μέγεθος καὶ κατὰ τὸ περικαλλὲς πρόσωπον καὶ τὴν φωνὴν, καὶ τοιαῦτα περὶ τὸ σῶμα ἱμάτια ἦν ἐνδεδυμένη· ἔστη δὲ ἄνωθεν ἐκ τῆς κεφαλῆς καὶ εἶπε πρὸς αὐτὸν λόγον. Ὑπνώττεις; ἐμοῦ δὲ ἐπιλελησμένος ὑπάρχεις, ὦ Ἀχιλλεῦ; οὐ μὴν ἐμοῦ ζῶντος ἠφροντίστεις καὶ ἠμέλεις, ἀλλ' ἀποθανόν-

Θάπτε με ὅττι τάχιστα, πύλας ἀΐδαο περήσω.
Τῆλέ με εἴργουσι ψυχαὶ εἴδωλα καμόντων,
Οὐδέ μέ πω μίσγεσθαι ὑπὲρ ποταμοῖο ἐῶσιν·
Ἀλλ' αὔτως ἀλάλημαι ἀν' εὐρυπυλὲς Ἄϊδος δῶ.
Καί μοι δος τὴν χεῖρ', ὀλοφύρομαι· οὐ γὰρ ἔτ' αὖτις
Νείομ' ἐξ ἀΐδαο, ἐπήν με πυρὸς λελάχητε.
Οὐ μὲν γὰρ ζωοί γε φίλων ἀπάνευθεν ἑταίρων
Βουλὰς ἑζόμενοι βουλεύσομεν· ἀλλ' ἐμὲ μὲν κὴρ
Ἀμφέχανε στυγερὴ, ἥπερ λάχε γεινόμενόν περ·
Καὶ δέ σοι αὐτῷ μοῖρα, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Τείχει ὕπο Τρώων εὐηγενέων ἀπολέσθαι.
Ἄλλο δέ τοι ἐρέω καὶ ἐφήσομαι, αἴκε πίθηαι,
Μὴ ἐμὰ σῶν ἀπάνευθε τιθήμεναι ὀστέ', Ἀχιλλεῦ.
Ἀλλ' ὁμοῦ ὡς ἐτράφημεν ἐν ὑμετέροισι δόμοισιν,
Εὖτέ με τυτθὸν ἐόντα Μενοίτιος ἐξ Ὀπόεντος
Ἤγαγεν ὑμέτερόνδ', ἀνδροκτασίης ὕπο λυγρῆς,
Ἤματι τῷ, ὅτε παῖδα κατέκτανον Ἰφιδάμαντος,
Νήπιος, οὐκ ἐθέλων, ἀμφ' ἀστραγάλοισι χολωθείς·
Ἔνθα με δεξάμενος ἐν δώμασιν ἱππότα Πηλεὺς,
Ἔτρεφέ τ' ἐνδυκέως, καὶ σὸν θεράποντ' ὀνόμηνεν·
Ὣς δὲ καὶ ὀστέα νῶϊν ὁμὴ σορὸς ἀμφικαλύπτοι,
Χρύσεος ἀμφιφορεὺς, τόν τοι πόρε πότνια μήτηρ.
Τὸν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Τίπτε μοι, ἠθείη κεφαλὴ, δεῦρ' εἰλήλουθας.
Καί μοι ταῦτα ἕκαστ' ἐπιτέλλεαι; αὐτὰρ ἐγώ τοι
Πάντα μάλ' ἐκτελέω, καὶ πείσομαι, ὡς σὺ κελεύεις.
Ἀλλά μοι ἆσσον στῆθι· μίνυνθά περ ἀμφιβαλόντες
Ἀλλήλους, ὀλοοῖο τεταρπώμεσθα γόοιο.

τος. θάψον με ὅτι τάχος, ὅπως περάσω τὰς πύλας τοῦ ᾅδου· πόῤῥω γάρ με ἀπείργουσι καὶ κωλύουσι διελθεῖν αἱ ψυχαὶ τὰ εἴδωλα τῶν ἀποθανόντων, οὐδέ με συμμίξαι πω ἀφίασιν πέραν τοῦ ποταμοῦ. ἀλλ' οὕτω πλανῶμαι κατὰ τὸν οἶκον τοῦ Ἅιδου τὸν τὰς πλατείας ἔχοντα πύλας· Καί μοι δὸς τὴν χεῖρα ἵνα ἀνακλαύσωμαι· οὐκέτι γὰρ αὖθις ἐπανέλθω ἐκ τοῦ ᾅδου ἐπειδάν μοι πυρὸς μεταδῶτε· οὐ γάρ τοι ζῶντες πόῤῥωθεν τῶν ἀγαπητῶν φίλων καθεζόμενοι βουλὰς βουλευσόμεθα. ἀλλ' ἐμὲ μὲν ἡ θανατηφόρος μοῖρα κατέπιεν ἡ μισητὴ, ἥτις με ἔλαχε γεννώμενόν γε· καὶ δὴ καὶ σοὶ αὐτῷ εἵμαρτο, ὦ Θεοῖς ὅμοιε Ἀχιλλεῦ, ὑπὸ τῷ τείχει τῶν εὐγενῶν Τρώων ἀναιρεθῆναι. ἄλλο δέ σοι λέξω καὶ παραγγελῶ ἐάν μοι πείθῃ· μὴ καταθεῖναι τὰ ἐμὰ ὀστέα πόῤῥω τῶν σῶν Ἀχιλλεῦ, ἀλλ' ὁμοῦ ὥσπερ ἀνετράφημεν ἐν τοῖς ὑμετέροις οἴκοις, ὅτε με μικρὸν ὄντα ὁ Μενοίτιος ἐκ .... ἤγαγεν εἰς τὸν ὑμέτερον οἶκον ὑπὸ τῆς χαλεπῆς παιδοφωνίας τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτε ἀνεῖλον τὸν παῖδα τοῦ Ἰφιδάμαντος, ὁ ἀνόητος, ἄκων καὶ μὴ βουλόμενος, ὀργισθεὶς ἕνεκα τῶν ἀστραγάλων· ὅπου δεξάμενός με ἐν τοῖς οἴκοις ὁ ἱππικὸς Πηλεὺς, ἀνέτρεφεν ἐπιμελῶς, καὶ σὸν θεράποντα ὠνόμασεν· οὕτω δὴ καὶ τὰ ὀστᾶ ἡμῶν ἡ αὐτὴ σορὸς περικαλύπτοι ὁ χρυσοῦς ἀμφιφορεὺς, ὅν σοι ἔδωκεν ἡ σεβαστὴ μήτηρ. Πρὸς τοῦτον δὲ ἀποκρινόμενος εἶπεν ὁ ταχύπους Ἀχιλλεύς. Τί δήποτέ μοι, ὦ αἰδεσιμωτάτη κεφαλὴ, ἐνθάδε ἀφίκου, καί μοι ταῦτα πάντα ἐντέλλῃ καὶ ἐπιτάττεις. ἐγὼ δέ σοι πάντα πάνυ πληρώσω καὶ ὑπακούσομαι, καθάπερ σὺ ἐπιτάττεις. Ἀλλά μοι πλησίον γενοῦ, ἵνα καίπερ ἐπ' ὀλίγον, περιβαλόντες ἀλλήλους ὀλεθρίου ἀπολαύσωμεν θρήνου· Οὕτω δὴ εἰπὼν ἐξέ-

Ὣς ἄρα φωνήσας ὠρέξατο χερσὶ φίλῃσιν,
Οὐδ' ἔλαβε· ψυχὴ δὲ κατὰ χθονὸς, ἠΰτε καπνὸς,
Ὤιχετο τετριγυῖα· ταφὼν δ' ἀνόρουσεν Ἀχιλλεὺς,
Χερσί τε συμπατάγησεν, ἔπος τ' ὀλοφυδνὸν ἔειπεν·
Ὢ πόποι, ἦ ῥά τίς ἐστι καὶ Ἀΐδαο δόμοισι
Ψυχὴ καὶ εἴδωλον, ἀτὰρ φρένες οὐκ ἔνι πάμπαν·
Παννυχίη γάρ μοι Πατροκλῆος δειλοῖο
Ψυχὴ ἐφειστήκει γοόωσά τε, μυρομένη τε,
Καί μοι ἕκαστ' ἐπέτελλεν· ἔϊκτο δὲ θέσκελον αὐτῷ.
Ὣς φάτο· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο
Μυρομένοισι δὲ τοῖσι φάνη ῥοδοδάκτυλος Ἠὼς
Ἀμφὶ νέκυν ἐλεεινόν. Ἀτὰρ κρείων Ἀγαμέμνων
Οὐρῆάς τ' ὤτρυνε καὶ ἀνέρας, ἀξέμεν ὕλην,
Πάντοθεν ἐκ κλισιῶν· ἐπὶ δ' ἀνὴρ ἐσθλὸς ὀρώρει
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος·
Οἱ δ' ἴσαν, ὑλοτόμους πελέκεας ἐν χερσὶν ἔχοντες,
Σειράς τ' εὐπλέκτους· πρὸ δ' ἄρ' οὐρῆες κίον αὐτῶν·
Πολλὰ δ' ἄναντα, κάταντα, πάραντά τε, δόχμιά τ', ἦλ-
Ἀλλ' ὅτε δὴ κνημοὺς προσέβαν πολυπίδακος Ἴδης, (θον
Αὐτίκ' ἄρα δρῦς ὑψικόμους ταναήκεϊ χαλκῷ
Τάμνον ἐπειγόμενοι· ταὶ δὲ μεγάλα κτυπέουσαι
Πίπτον· τὰς μὲν ἔπειτα διαπλήσσοντες Ἀχαιοὶ,
Ἔκδεον ἡμιόνων, ταὶ δὲ χθόνα ποσσὶ δατεῦντο,
Ἐλδόμεναι πεδίοιο, διὰ ῥωπήϊα πυκνά.
Πάντες δ' ὑλοτόμοι φιτροὺς φέρον· ὣς γὰρ ἀνώγει
Μηριόνης, θεράπων ἀγαπήνορος Ἰδομενῆος (λεὺς
Κὰδδ' ἄρ' ἐπ' ἀκτῆς βάλλον ἐπισχερὼ, ἔνθ' ἄρ' Ἀχιλ-
Φράσσατο Πατρόκλῳ μέγα ἠρίον, ἠδὲ οἱ αὐτῷ.

τεινε τὰς ἀγαπητὰς χεῖρας, οὐκ ἔλαβε δέ. ἡ γάρ τοι ψυχὴ ὑπὸ τὴν γῆν καθάπερ καπνὸς ἀπῆλθεν, ἐλεεινῶς βοῶσα. ἐκπλαγεὶς ἀνώρμησεν ὁ Ἀχιλλεὺς, καὶ ταῖς χερσὶ συνεκρότησε καὶ κτύπον ἀπετέλεσε, λόγον δὲ θρηνητικὸν εἶπε. Φεῦ φεῦ. ὄντως δή τις ἔστι καὶ ἐν τοῖς οἴκοις τοῦ Ἄιδου ψυχὴ καὶ εἴδωλον, σῶμα δὲ οὐδόλως ἔχει· δι' ὅλης γὰρ τῆς νυκτός μοι ἡ τοῦ ἀθλίου Πατρόκλου ψυχὴ παρίστατο θρηνοῦσα τε καὶ ὀδυρομένη, καί μοι πάντα ἐπέταττεν· ὁμοία δὲ ἦν αὐτῷ πρὸς ὑπερβολήν. Οὕτως εἶπε· τούτοις δὲ ἅπασι διήγειρεν ἐπιθυμίαν θρήνου· κλαίουσι δὲ τούτοις ἐφάνη ἡ ῥοδόχρους καὶ περικαλλὴς ἡμέρα περὶ τὸν ἄθλιον καὶ οἰκτρὸν νεκρόν· Ὁ βασιλεὺς δὲ Ἀγαμέμνων τοὺς οὐρέας παρώξυνε καὶ τοὺς ἄνδρας ἄξειν ξύλα, πανταχόθεν ἐκ τῶν σκηνῶν· ἀνὴρ δὲ γενναῖος διανέστη ὁ Μηριόνης ὁ θεράπων τοῦ ἀνδρείου Ἰδομενέως· οὗτοι δὲ ἐπορεύοντο ἔχοντες ἐν ταῖς χερσὶ τοὺς δενδροτόμους πελέκεις, καὶ τὰς καλῶς πεπλεγμένας σχοίνους. ἔμπροσθεν δὲ αὐτῶν ἐπορεύοντο οἱ οὐρεῖς, πολλὰ δὲ ἀνάντη κατάντη καὶ ὁμαλὰ καὶ πλάγια διῆλθον· ἀλλ' ὁπηνίκα ἔφθασαν εἰς τὰς τῶν ὀρῶν προβάσεις τῆς πολλὰς πηγὰς ἐχούσης Ἴδης, παραχρῆμα δὴ δρῦς ὑψηλὰς σιδήρῳ ὀξεῖ καὶ ἠκονημένῳ ἔκοπτον ἐπειγόμενοι· αὗται δὲ μεγάλως κτυποῦσαι κατέπιπτον· ταύτας μὲν οὖν διασχίζοντες οἱ Ἕλληνες ἐξῆπτον τῶν ἡμιόνων· αὗται δὲ τοῖς ποσὶν ἐμερίζοντο τὴν γῆν καὶ ἐπορεύοντο ἐπιθυμοῦσαι τοῦ πεδίου . . . . πάντες δὲ οἱ τὰ δένδρα κόπτοντες κορμοὺς ἔφερον· οὕτω γὰρ προσέταξε Μηριονης ὁ θεράπων τοῦ ἀνδρείου Ἰδομενέως, κατέβαλον δὲ ἐπὶ τοῦ αἰγιαλοῦ ἐφεξῆς κατὰ τάξιν, ὅπου δὴ ὁ Ἀχιλλεὺς διενοήσατο γενέσθαι μέγα μνημεῖον τῷ τε Πατρόκλῳ καὶ ἑαυτῷ. ἐπεὶ δὲ παντα-

Αὐτὰρ ἐπεὶ πάντη παρακάββαλον ἄσπετον ὕλην,
Εἵατ' ἄρ' αὖθι μένοντες ἀολλέες· αὐτὰρ Ἀχιλλεὺς,
Αὐτίκα Μυρμιδόνεσσι φιλοπτολέμοισι κέλευσε,
Χαλκὸν ζώννυσθαι, ζεῦξαι δ' ὑπ' ὄχεσφιν ἕκαστον
Ἵππους· οἱ δ' ὤρνυντο, καὶ ἐν τεύχεσσιν ἔδυνον.
Ἂν δ' ἔβαν ἐν δίφροισι παραιβάται, ἡνίοχοί τε·
Πρόσθε μὲν ἱππῆες, μετὰ δὲ νέφος εἵπετο πεζῶν,
Μυρίοι· ἐν δὲ μέσοισι φέρον Πάτροκλον ἑταῖροι.
Θριξὶ δὲ πάντα νέκυν καταείνυον, ἃς ἐπέβαλλον
Κειρόμενοι· ὄπιθεν δὲ κάρη ἔχε δῖος Ἀχιλλεὺς
Ἀχνύμενος· ἕταρον γὰρ ἀμύμονα πέμπ' Ἄϊδόσδε.
Οἱ δ' ὅτε χῶρον ἵκανον, ὅθι σφίσι πέφραδ' Ἀχιλλεὺς,
Κάτθεσαν· αἶψα δέ οἱ μενοεικέα νήεον ὕλην.
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεύς·
Στὰς ἀπάνευθε πυρῆς ξανθὴν ἀπεκείρατο χαίτην,
Τήν ῥα Σπερχειῷ ποταμῷ τρέφε τηλεθόωσαν·
Ὀχθήσας δ' ἄρα εἶπεν, ἰδὼν ἐπὶ οἴνοπα πόντον·
Σπερχεί', ἄλλως σοί γε πατὴρ ἠρήσατο Πηλεὺς,
Κεῖσέ με νοστήσαντα φίλην ἐς πατρίδα γαῖαν,
Σοί τε κόμην κερέειν, ῥέξειν θ' ἱερὴν ἑκατόμβην·
Πεντήκοντα δ' ἔνορχα παρ' αὐτόθι μῆλ' ἱερεύσειν
Ἐς πηγὰς, ὅθι τοι τέμενος βωμός τε θυήεις·
Ὣς ἠρᾶθ' ὁ γέρων, σὺ δέ οἱ νόον οὐκ ἐτέλεσσας.
Νῦν δ' ἐπεὶ οὐ νέομαί γε φίλην ἐς πατρίδα γαῖαν,
Πατρόκλῳ ἥρωϊ κόμην ὀπάσαιμι φέρεσθαι.
Ὣς εἰπὼν, ἐν χερσὶ κόμην ἑτάροιο φίλοιο
Θῆκεν· τοῖσι δὲ πᾶσιν ὑφ' ἵμερον ὦρσε γόοιο,
Καί νύ κ' ὀδυρομένοισιν ἔδυ φάος ἠελίοιο,

χοῦ κατέβαλον τὰ πλεῖστα ξύλα, ἐκάθηντο δὴ αὐτόθι παραμένοντες ἠθροισμένοι· ὁ Ἀχιλλεὺς δὲ παραχρῆμα τοῖς πολεμικοῖς καὶ ἀνδρείοις Μυρμιδόσιν ἐπέταξε ζώννυσθαι τὸν σίδηρον καὶ ὁπλίζεσθαι, καὶ συνδυάσαι ὑπὸ τοῖς ὀχήμασιν ἕκαστον τοὺς ἵππους· οὗτοι δὲ διανίσταντο καὶ ἐνεδύοντο τὰ ὅπλα ἀνέβησαν δὲ εἰς τοὺς δίφρους οἵ τε ἐπὶ τῶν ἁρμάτων πολεμοῦντες καὶ οἱ τὰς ἡνίας κατέχοντες Ἔμπροσθεν μὲν οὖν οἱ ἱππεῖς μετ' αὐτοὺς δὲ ἠκολούθει τὸ πλῆθος τῶν πεζῶν πλεῖστοι. ἐν τῷ μέσῳ δὲ ἔφερον τὸν Πάτροκλον οἱ φίλοι, ταῖς θριξὶ δὲ πάντα τὸν νεκρὸν κατεκάλυπτον, ἃς κατέβαλλον ἐπ' αὐτῷ τέμνοντες αὐτὰς, ὄπισθεν δὲ ἀνεῖχε τὴν κεφαλὴν ὁ ἐνδοξότατος Ἀχιλλεὺς λυπούμενος· τὸν γὰρ ἀμώμητον φίλον ἔπεμπεν εἰς Ἅιδου· οὗτοι δὲ, ὁπηνίκα ἀφίκοντο παρὰ τὸν τόπον, ὅπου αὐτοῖς διετάξατο ὁ Ἀχιλλεὺς, κατέθηκαν. ταχέως δὲ αὐτῷ τὴν πρέπουσαν ὕλην ἐσόρευον. τότε δὲ ἄλλα διενοήθη πράττειν ὁ ἐνδοξότατος ταχύπους Ἀχιλλεύς· Στὰς πόῤῥωθεν τοῦ πυρὸς ἀπέτεμε τὴν ξανθὴν κόμην, ἣν δὴ ἔτρεφε περικαλλῆ καὶ ἀκμαίαν Σπερχειῷ τῷ ποταμῷ. στενάξας δὲ εἶπε θεασάμενος ἐπὶ τὸν μελανόχρουν πόντον. Ὦ Σπερχειὲ, εἰκῆ καὶ μάτην ηὔξατο σοί γε ὁ Πηλεύς. ἐκεῖσέ με ὑποστρέψαντα εἰς τὴν ἀγαπητὴν γῆν τὴν πατρίδα· σοί τε τὰς τῆς κεφαλῆς τρίχας ἀποκόψειν, καὶ θυσίαν ἁγίαν ποιήσειν πεντήκοντα δὲ ὄρχεις ἔχοντα πρόβατα αὐτόθι θύσειν παρὰ τὰς πηγάς· ὅπου σοι ὁ ἀνατεθειμένος τόπος, καὶ ὁ εὐώδης ναός. οὕτως εὔχετο ὁ γέρων· σὺ δὲ αὐτῷ τὴν βούλησιν οὐκ ἐτελείωσας· νυνὶ δὲ ἐπειδὴ οὐκ ἐπανέρχομαι εἰς τὴν ἀγαπητὴν γῆν τὴν πατρίδα, τῷ ἥρωϊ Πατρόκλῳ τὰς τρίχας παρέχω. Οὕτως εἰπὼν, ἐν ταῖς χερσὶ τοῦ ἀγαπητοῦ φίλου τὰς τρίχας ἔθηκε· τούτοις δὲ ἅπασι διήγειρε θρήνου ἐπιθυμίαν· καὶ δὴ ἂν ὀλοφυρομένοις κατέδυ τὸ φῶς τοῦ ἡλίου, εἰ μὴ ταχέως

Εἰ μὴ Ἀχιλλεὺς αἶψ' Ἀγαμέμνονι εἶπε παραστάς·
Ἀτρείδη, σοὶ μέν τε μάλιστά γε λαὸς Ἀχαιῶν
Πείσονται μύθοισι, γόοιο μὲν ἔστι καὶ ἆσαι·
Νῦν δ' ἀπὸ πυρκαϊῆς σκέδασον, καὶ δεῖπνον ἄνωχθι
Ὅπλεσθαι· τάδε δ' ἀμφιπονησόμεθ', οἷσι μάλιστα
Κήδεός ἐστι νέκυς· παρὰ δ' οἱ ταγοὶ ἄμμι μενόντων.
Αὐτὰρ ἐπεὶ τό γ' ἄκουσεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων,
Αὐτίκα λαὸν μὲν σκέδασεν κατὰ νῆας ἐίσας,
Κηδεμόνες δὲ παρ' αὖθι μένον, καὶ νήεον ὕλην.
Ποίησαν δὲ πυρὴν ἑκατόμπεδον ἔνθα καὶ ἔνθα·
Ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἀχνύμενοι κῆρ.
Πολλὰ δὲ ἴφια μῆλα, καὶ εἰλίποδας ἕλικας βοῦς
Πρόσθε πυρῆς ἔδερόν τε, καὶ ἄμφεπον· ἐκ δ' ἄρα πάντων
Δημὸν ἑλὼν ἐκάλυψε νέκυν μεγάθυμος Ἀχιλλεὺς
Ἐς πόδας ἐκ κεφαλῆς, περὶ δὲ δρατὰ σώματα νήει.
Ἐν δ' ἐτίθει μέλιτος καὶ ἀλείφατος ἀμφιφορῆας·
Πρὸς λέχεα κλίνων· πίσυρας δ' ἐριαύχενας ἵππους
Ἐσσυμένως ἐνέβαλλε πυρῇ, μεγάλα στοναχίζων.
Ἐννέα τῷ γε ἄνακτι τραπεζῆες κύνες ἦσαν,
Καὶ μὲν τῶν ἐνέβαλλε πυρῇ δύο δειροτομήσας·
Δώδεκα δὲ Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς,
Χαλκῷ δηϊόων· κακὰ δὲ φρεσὶ μήδετο ἔργα
Ἐν δὲ πυρὸς μένος ἧκε σιδήρεον, ὄφρα νέμοιτο.
Ὤιμωξέν τ' ἄρ' ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
Χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ εἰν Ἀΐδαο δόμοισι·
Πάντα γὰρ ἤδη τοι τελέω, τὰ πάροιθεν ὑπέστην.
Δώδεκα μὲν Τρώων μεγαθύμων υἱέας ἐσθλοὺς,
Τοὺς ἅμα σοὶ πάντας πῦρ ἐσθίει· Ἕκτορα δ' οὔτι

παραγενόμενος ὁ Ἀχιλλεὺς εἶπε τῷ Ἀγαμέμνονι· Ὦ υἱὲ τοῦ Ἀτρέως, σοὶ μὲν μᾶλλον τῶν ἄλλων ὁ τῶν Ἑλλήνων στρατὸς πεισθήσονται λόγοις, τοῦ μὲν θρήνου δυνατόν ἐστιν ἐμπλησθῆναι καὶ ὕστερον· νῦν δὲ διαμέρισον αὐτοὺς ἀπὸ τῆς πυρᾶς καὶ δεῖπνον κέλευσον εὐτρεπίσαι· ταῦτα δὲ διαπραξόμεθα, οἷς μάλιστα ταφῆς ἐστιν ἄξιος ὁ νεκρός· παραμενέτωσαν δὲ ἡμῖν οἱ ἡγεμόνες. Ἐπεὶ δὲ τοῦτο ἤκουσεν ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων παραχρῆμα δὲ τὸν λαὸν μὲν διεμέρισεν ἐπὶ τὰς ἴσας ναῦς· οἱ στρατηγοὶ δὲ αὐτόθι παρέμενον καὶ ἐσόρευον τὰ ξύλα· ἐποίησαν δὲ πυρκαϊὰν ποδῶν ἑκατὸν τῇδε κἀκεῖσε· ἐν δὲ τῷ ἀνωτάτω, αὐτῆς μέρει, κατέθηκαν τὸν νεκρὸν λυπούμενοι κατὰ ψυχήν· πολλὰ δὲ πίονα πρόβατα, καὶ βοῦς συστρέφοντας ἐν τῷ πορεύεσθαι τοὺς πόδας, καὶ περικεκαμμένα τὰ κέρατα ἔχοντας, ἔμπροσθεν τῆς πυρκαϊᾶς ἐξέδερόν τε καὶ ἐμέλιζον· ἐκ πάντων δὲ τὸ λίπος λαβὼν περιεκάλυψε τὸν νεκρὸν ὁ μεγαλόψυχος Ἀχιλλεύς, ἐκ τῆς κεφαλῆς μέχρι τῶν ποδῶν· περὶ αὐτὸν καὶ σώματα ἐκδεδαρμένα ἐσόρευσεν. ἐνέθηκε δὲ μέλιτος καὶ πιμελῆς πίθους πρὸς τὴν στρωμνὴν παρακλίνων. τέσσαρας δὲ μεγαλαύχενας ἵππους ἐσπευσμένως ἐνέβαλεν εἰς τὸ πῦρ, μεγάλως στενάζων. ἐννέα τῷ βασιλεῖ Ἀχιλλεῖ κύνες παρεστῶτες τῇ τραπέζῃ ὑπῆρχον· καὶ δὴ καὶ τούτων δύο ἀποκεφαλίσας ἐνέβαλεν εἰς τὸ πῦρ. δώδεκα δὲ γενναίους υἱοὺς τῶν μεγαλοψύχων Τρώων σιδήρῳ ἀποκτείνων ἐνέβαλε. κακὰ δὲ διενοεῖτο ποιεῖν κατὰ διάνοιαν. ἐνέβαλε δὲ τὴν τοῦ πυρὸς ἰσχυροτάτην δύναμιν, ὅπως ἅπαντα καταφάγοι. ἐστέναξε δὲ μετέπειτα καὶ τὸν ἀγαπητὸν ὠνόμασε φίλον. Χαῖρέ μοι, ὦ Πάτροκλε, καὶ ἐν τοῖς οἴκοις τοῦ Ἅιδου. πάντα γὰρ ἤδη σοι τελῶ, ἅπερ τὸ πρὶν ὑπεσχόμην· δώδεκα μὲν γενναίους υἱοὺς τῶν μεγαλοψύχων Τρώων, τούτους σὺν σοὶ ἅπαντας καταναλίσκει τὸ πῦρ. Ἕκτορα δὲ οὐδαμῶς

Δώσω Πριαμίδην πυρὶ δαπτέμεν, ἀλλὰ κύνεσσιν.
Ὣς φάτ' ἀπειλήσας· τὸν δ' οὐ κύνες ἀμφεπένοντο·
Ἀλλὰ κύνας μὲν ἄλαλκε Διὸς θυγάτηρ Ἀφροδίτη
Ἤματα καὶ νύκτας· ῥοδόεντι δὲ χρῖεν ἐλαίῳ,
Ἀμβροσίῳ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων·
Τῷ δ' ἐπὶ κυάνεον νέφος ἤγαγε Φοῖβος Ἀπόλλων
Οὐρανόθεν πεδίονδε· κάλυψε δὲ χῶρον ἅπαντα,
Ὅσσον ἐπεῖχε νέκυς, μὴ πρὶν μένος ἠελίοιο
Σκήλῃ ἀμφὶ περὶ χρόα ἴνεσιν, ἠδὲ μέλεσσιν.
Οὐδὲ πυρὴ Πατρόκλου ἐκαίετο τεθνειῶτος·
Ἔνθ' αὖτ' ἄλλ' ἐνόησε ποδάρκης δῖος Ἀχιλλεὺς,
Στὰς ἀπάνευθε πυρῆς, δοιοῖς ἠρᾶτ' Ἀνέμοισι,
Βορέῃ καὶ Ζεφύρῳ, καὶ ὑπέσχετο ἱερὰ καλά·
Πολλὰ δὲ καὶ σπένδων χρυσέῳ δέπαϊ, λιτάνευεν
Ἐλθέμεν, ὄφρα τάχιστα πυρὶ φλεγεθοίατο νεκρὸν,
Ὕλη τ' ἐσσεύαιτο καήμεναι· ὠκέα δ' Ἶρις
Ἀράων ἀΐουσα μετάγγελος ἦλθ' Ἀνέμοισιν.
Οἱ μὲν ἄρα Ζεφύροιο δυσαέος ἀθρόοι ἔνδον
Εἰλαπίνην δαίνυντο· θέουσα δὲ Ἶρις ἐπέστη
Βηλῷ ἔπι λιθέῳ· τοὶ δ' ὡς ἴδον ὀφθαλμοῖσι,
Πάντες ἀνήϊξαν, κάλεόν τέ μιν εἰς ἓ ἕκαστος·
Ἡ δ' αὖθ' ἕζεσθαι μὲν ἀνήνατο, εἶπε δὲ μῦθον·
Οὐχ ἕδος· εἶμι γὰρ αὖθις ἐπ' Ὠκεανοῖο ῥέεθρα,
Αἰθιόπων ἐς γαῖαν, ὅθι ῥέζουσ' ἑκατόμβας
Ἀθανάτοις, ἵνα δὴ καὶ ἐγὼ μεταδαίσομαι ἱρῶν·
Ἀλλ' Ἀχιλεὺς Βορέην ἠδὲ Ζέφυρον κελαδεινὸν
Ἐλθεῖν ἀρᾶται, καὶ ὑπίσχεται ἱερὰ καλὰ,
Ὄφρα πυρὴν ὄρσητε καήμεναι, ᾗ ἔνι κεῖται

παραδώσω τὸν τοῦ Πριάμου τῷ πυρὶ κατεσθίειν, ἀλλὰ τοῖς κυσίν. Οὕτως εἶπε διατεινάμενος· τοῦτον οὐ κύνες ἐσπάρασσον, ἀλλὰ τοὺς μὲν κύνας ἀπεσόβει ἡ τοῦ Διὸς θυγάτηρ Ἀφροδίτη νύκτωρ καὶ μεθημέραν· ἔχριε δὲ ἐλαίῳ εὐώδει θείῳ· ὅπως μὴ αὐτὸν καταγέοι ἕλκων καὶ ἐπισύρων· μέλαν δὲ νέφος ἐπήγαγεν αὐτῷ ὁ λαμπρότατος Ἀπόλλων ἐκ τοῦ οὐρανοῦ εἰς τὸ πεδίον, περιεκάλυψε δὲ τὸν τόπον ἅπαντα, ὅσον περιεῖχεν ὁ νεκρός· μὴ πρότερον ἡ τοῦ ἡλίου δύναμις σκελετῶδες καὶ καταξηρὸν ποιήσειεν τὸ σῶμα, νεύροις τε καὶ μέλεσιν. οὐδὲ ἡ πυρκαϊὰ ἐκαίετο τοῦ ἀποθανόντος Πατρόκλου. Τότε τοίνυν ἄλλα διενοήθη ὁ ἐνδοξότατος ταχύπους Ἀχιλλεὺς στὰς πόῤῥωθεν τῆς πυρκαϊᾶς εὔχετο τοῖς δυσὶν ἀνέμοις, τῷ Βορέᾳ καὶ τῷ Ζεφύρῳ. καὶ ὑπέσχετο θυσίας καλάς· πάνυ δὲ καὶ λείβων διὰ τοῦ χρυσοῦ ποτηρίου παρεκάλει αὐτοὺς ἀφικέσθαι, ὅπως ὡς τάχος τῇ πυρκαϊᾷ κατακαύσειαν τὸν νεκρὸν, καὶ ξύλα ἐπειχθεῖεν καῆναι. ἡ ταχεῖα δὲ Ἶρις ἀκούουσα τῶν εὐχῶν ἐπῆλθεν ἄγγελος τοῖς ἀνέμοις· οὗτοι μὲν οὖν ἠθροισμένοι ἐν τῇ οἰκίᾳ τοῦ χαλεπῶς πνέοντος Ζεφύρου πανδαισίαν εὐωχοῦντο· τρέχουσα δὲ ἡ Ἶρις παρέστη ἐν τῷ λιθίνῳ οὐδῷ· οὗτοι δὲ ὅτε ἐθεάσαντο τοῖς ὀφθαλμοῖς, ἅπαντες ὑπανέστησαν· καὶ ἕκαστος ἐκάλει αὐτὴν πρὸς ἑαυτόν· αὕτη δὲ καθέζεσθαι μὲν οὐκ ἠθέλεσεν. εἶπε δὲ λόγον οὕτως. Οὐκ ἔστι καιρὸς καθίσεως. ἐπανειμι γὰρ ἐπὶ τὰ ῥεύματα τοῦ Ὠκεανοῦ εἰς τὴν γῆν τῶν Αἰθιόπων, ὅπου ποιοῦσι θυσίας τοῖς ἀθανάτοις θεοῖς, ὅπως δὴ καὶ αὐτὴ ἐνευωχηθῶ καὶ μετάσχω τῶν θυσιῶν. ἀλλὰ ὁ Ἀχιλλεὺς Βορέαν καὶ Ζέφυρον τὸν πολύηχον ἀφικέσθαι εὔχεται, καὶ ὑπόσχεται θυσίας καλὰς καὶ προσηκούσας, ὅπως τὴν πυρκαϊὰν παρορμήσητε καῆναι, ἐν ᾗ κεῖται Πάτροκλος, ὃν ἅπαντες

Πάτροκλος, τὸν πάντες ἀναστενάχουσιν Ἀχαιοί,
Ἡ μὲν ἄρ ὣς εἰποῦσ' ἀπεβήσετο· τοὶ δ' ὀρέοντο
Ἠχῇ θεσπεσίῃ, νέφεα κλονέοντε πάροιθεν·
Αἶψα δὲ πόντον ἵκανον ἀήμεναι· ὦρτο δὲ κῦμα
Πνοιῇ ὑπὸ λιγυρῇ· Τροίην δ' ἐρίβωλον ἱκέσθην,
Ἐν δὲ πυρῇ πεσέτην, μέγα δ' ἴαχε θεσπιδαὲς πῦρ·
Παννύχιοι δ' ἄρα τοί γε πυρῆς ἄμυδις φλόγ' ἔβαλλον.
Φυσῶντες λιγέως· ὁ δὲ πάννυχος ὠκὺς Ἀχιλλεὺς
Χρυσέου ἐκ κρητῆρος, ἔχων δέπας ἀμφικύπελλον,
Οἶνον ἀφυσσόμενος χαμάδις χέε, δεῦε δὲ γαῖαν,
Ψυχὴν κικλήσκων Πατροκλῆος δειλοῖο.
Ὡς δὲ πατὴρ οὗ παιδὸς ὀδύρεται ὀστέα καίων
Νυμφίου, ὅστε θανὼν δειλοὺς ἀκάχησε τοκῆας·
Ὣς Ἀχιλεὺς ἑτάροιο ὀδύρετο ὀστέα καίων,
Ἑρπύζων παρὰ πυρκαϊὴν, ἀδινὰ στεναχίζων.
Ἦμος δ' Ἑωσφόρος εἶσι, φόως ἐρέων ἐπὶ γαῖαν,
Ὅν τε μέτα κροκόπεπλος ὑπεὶρ ἅλα κίδναται ἠὼς,
Τῆμος πυρκαϊὴ ἐμαραίνετο, παύσατο δὲ φλόξ.
Οἱ δ' ἄνεμοι πάλιν αὖτις ἔβαν οἶκονδε νέεσθαι,
Θρηΐκιον κατὰ πόντον· ὁ δ' ἔστενεν, οἴδματι θύων.
Πηλείδης δ' ἀπὸ πυρκαϊῆς ἑτέρωσε λιασθεὶς,
Κλίνθη κεκμηὼς, ἐπὶ δὲ γλυκὺς ὕπνος ὄρουσεν.
Οἱ δ' ἀμφ' Ἀτρείωνα ἀολλέες ἠγερέθοντο,
Τῶν μιν ἐπερχομένων ὅμαδος καὶ δοῦπος ἔγειρεν·
Ἕζετο δ' ὀρθωθεὶς, καί σφέας πρὸς μῦθον ἔειπεν·
Ἀτρεΐδαί τε, καὶ ἄλλοι, ἀριστῆες Παναχαιῶν,
Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσατ' αἴθοπι οἴνῳ
Πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα

ἀναστενάζουσι καὶ ὀδύρονται οἱ Ἕλληνες. αὕτη μὲν οὖν οὕτως εἰποῦσα ἀπῆλθεν. Οὗτοι δὲ διανέστησαν σὺν βοῇ μεγίστῃ καὶ θείᾳ τὰ νέφη κλονοῦντες καὶ ταράσσοντες πρότερον· ταχέως δὲ ἐπὶ τὴν θάλασσαν ἀφίκοντο πνέειν. διηγέρθη δὲ τὸ κῦμα ὑπὸ τῆς ὀξείας πνοῆς. ἔφθασαν δὲ εἰς τὴν μεγαλόβωλον καὶ εὔγειον Τροίαν ἐνέπεσον δὲ καὶ ἐπέπνευσαν τῇ πυρκαϊᾷ. μεγάλως δὲ ἤχησε τὸ θεσπεσίως καιόμενον πῦρ· δι' ὅλης τοιγαροῦν τῆς νυκτὸς ἔπνεον ὁμοῦ τὴν τῆς πυρκαϊᾶς φλόγα, φυσῶντες ὀξέως· ὁ ταχύπους δὲ Ἀχιλλεὺς δι' ὅλης τῆς νυκτὸς ἐκ κρατῆρος χρυσοῦ λαβὼν ποτήριον περιφερὲς οἶνον ἀντλῶν εἰς γῆν κατέχεε, ἔβρεχε δὲ τὴν γῆν, τὴν ψυχὴν καλῶν τοῦ ἀθλίου Πατρόκλου. Ὥσπερ δὲ πατὴρ ὀλοφύρεται καὶ θρηνεῖ καίων τὰ ὀστᾶ τοῦ ἑαυτοῦ παιδὸς τοῦ νυμφίου, ὃς ἀποθανὼν τὰ μάλιστ' ἐλύπησε τοὺς ἀθλίους γονέας, οὕτως ὁ Ἀχιλλεὺς ὠλοφύρετο καὶ ἐθρήνει καίων τὰ ὀστᾶ τοῦ φίλου, προσερχόμενος τῇ πυρᾷ, πυκνῶς ἀναστενάζων. Ἡνίκα δὲ ὁ κατὰ τὴν ἡμέραν ἐπιτέλλων ἀστὴρ ἔρχεται λέξων τὸ φῶς ἐπὶ τὴν γῆν, ὃν ἡ κροκόχρους καὶ περικαλλὴς ἡμέρα διαχεῖται ὑπὲρ τῆς θαλάσσης, τηνικαῦτα τὸ πῦρ ἐσβέννυτο καὶ ἡ φλὸξ ἔληξεν. οἱ ἄνεμοι δὲ ἐπανῆλθον εἰς τὸν οἶκον πορεύεσθαι διὰ τοῦ Θρακικοῦ πόντου· οὗτος δὲ ἤχει ῥεύμασι σφοδρῶς κινούμενος. ὁ τοῦ Πηλέως δὲ ἀπὸ τῆς πυρᾶς ἐπ' ἄλλο μέρος ἀποχωρισθεὶς, πάνυ κοπιάσας κατεκλίθη· τάχιστα δ' ἐπῆλθεν ὕπνος γλυκύς. οἱ δὲ περὶ τὸν υἱὸν τοῦ Ἀτρέως ὁμοῦ πάντες ἠθροίζοντο. τούτων προσιόντων, ἡ βοὴ καὶ ὁ κτύπος ἀφύπνιζεν αὐτόν. ἐκάθισε δὲ ἀνορθωθεὶς. καὶ λόγον εἶπε πρὸς αὐτούς· Ὦ υἱοὶ τοῦ Ἀτρέως καὶ ἄλλοι πάντες ἀριστεῖς τῶν Ἑλλήνων, πρῶτον μὲν κατασβέσατε τὸ πῦρ οἴνῳ καυστικῷ ἅπαν, καθ' ὅσον περιέσχεν ἡ τοῦ πυρὸς δύναμις· μετὰ ταῦτα δὲ συλλέγωμεν τὰ ὀστᾶ Πατρόκλου

Ὀστέα Πατρόκλοιο Μενοιτιάδαο λέγωμεν,
Εὖ διαγινώσκοντες· ἀριφραδέα δὲ τέτυκται·
Ἐν μέσσῃ γὰρ ἔκειτο πυρῇ, τοὶ δ' ἄλλοι ἄνευθεν
Ἐσχατιῇ καίοντ' ἐπιμὶξ ἵπποι τε καὶ ἄνδρες·
Καὶ τὰ μὲν ἐν χρυσέῃ φιάλῃ καὶ δίπλακι δημῷ
Θείομεν, εἰσόκεν αὐτὸς ἐγὼν Ἄϊδος κεύθωμαι·
Τύμβον δ' οὐ μάλα πολλὸν ἐγὼ πονέεσθαι ἄνωγα,
Ἀλλ' ἐπιεικέα τοῖον· ἔπειτα δὲ καὶ τὸν Ἀχαιοὶ
Εὐρύν θ' ὑψηλόν τε τιθήμεναι, οἵ κεν ἐμεῖο
Δεύτεροι ἐν νήεσσι πολυκλήϊσι λίπησθε.
Ὣς ἔφαθ'· οἱ δ' ἐπίθοντο ποδώκεϊ Πηλείωνι·
Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ,
Ὅσσον ἐπὶ φλὸξ ἦλθε, βαθεῖα δὲ κάππεσε τέφρη·
Κλαίοντες δ' ἑτάροιο ἐνηέος ὀστέα λευκὰ
Ἄλλεγον ἐς χρυσέην φιάλην, καὶ δίπλακα δημόν·
Ἐν κλισίῃσι δὲ θέντες, ἑανῷ λιτὶ κάλυψαν·
Τορνώσαντο δὲ σῆμα, θεμείλιά τε προβάλοντο
Ἀμφὶ πυρήν· εἶθαρ δὲ χυτὴν ἐπὶ γαῖαν ἔχευαν,
Χεύαντες δὲ τὸ σῆμα, πάλιν κίον. Αὐτὰρ Ἀχιλλεὺς
Αὐτοῦ λαὸν ἔρυκε, καὶ ἵζανεν εὐρὺν ἀγῶνα·
Νηῶν δ' ἔκφερ' ἄεθλα, λέβητάς τε, τρίποδάς τε,
Ἵππους θ', ἡμιόνους τε, βοῶν τ' ἴφθιμα κάρηνα,
Ἠδὲ γυναῖκας ἐϋζώνους, πολιόν τε σίδηρον·
Ἱππεῦσιν μὲν πρῶτα ποδώκεσιν ἀγλά' ἄεθλα
Θῆκε, γυναῖκα ἄγεσθαι, ἀμύμονα ἔργ' εἰδυῖαν,
Καὶ τρίποδ' ὠτώεντα δύω καὶ εἰκοσίμετρον,
Τῷ πρώτῳ· ἀτὰρ αὖ τῷ δευτέρῳ ἵππον ἔθηκεν
Ἑξέτε', ἀδμήτην, βρέφος ἡμίονον κυέουσαν·

τοῦ υἱοῦ τοῦ Μενοιτίου, καλῶς ἐπιγινώσκοντες· αὐτὰ διάδηλα γὰρ ὑπάρχουσιν· ἐν τῷ μέσῳ γὰρ ἔκειτο τῆς πυρκαϊᾶς· οὗτοι ἄλλοι δὲ πόῤῥωθεν ἐν τῷ κατωτάτῳ μέρει ἐκαίοντο ὁμοῦ οἵ τε ἵπποι καὶ οἱ ἄνδρες. καὶ ταῦτα μὲν ἐν χρυσῇ φιάλῃ καὶ πιμελῇ διπτύχῳ θῶμεν· ἕως ἂν αὐτὸς ἐγὼ ἐναποκρυφθῶ εἰς τὸν ᾅδην. τάφον δὲ οὐ πάνυ πολλῶν ποιεῖν ἐγὼ κελεύω. ἀλλὰ σύμμετρον οὕτω. μετὰ ταῦτα δὲ καὶ τοῦτον Ἕλληνες πλατύν τε καὶ ὑψηλὸν ποιείτωσαν· οἳ ἂν ἐμοῦ ὕστερον ἐν ταῖς πολυκαθέδροις ναυσὶν ὑπολείπησθε. Οὕτως εἶπεν· οὗτοι δὲ ὑπήκουσαν τῷ ταχύποδι υἱῷ τοῦ Πηλέως. πρῶτον μὲν τὴν πυρὰν κατέσβεσαν οἴνῳ θερμῷ, ὅσον ἐπέσχεν ἡ φλόξ. πλείστη δὲ κατέπεσε τέφρη· κλαίοντες δὲ τὰ λευκὰ ὀστᾶ τοῦ ἐπιεικοῦς καὶ προσηνοῦς φίλου συνέλεγον εἰς τὸ λεβητοειδὲς ἀγγεῖον καὶ τὴν δίπτυχον πιμελήν. καταθέντες δ' ἐν τῇ σκηνῇ περιεκάλυψαν αὐτὰ λεπτῷ ὑφάσματι. προδιεγράψαντο δὲ κυκλοτερῶς τὸ μνημεῖον. καὶ τὰ θεμέλια κατεβάλοντο ἔμπροσθεν περὶ τὴν πυρκαϊάν. εὐθέως δὲ χωστὴν γῆν ἐπέχεαν. χέαντες δὲ τὸ μνημεῖον ὑπέστρεψαν. ὁ Ἀχιλλεὺς δὲ αὐτόθι τὸν στρατὸν κατέσχε καὶ ἐκάθισεν αὐτοὺς εἰς τὸν, ἐν ᾧ ἀγωνίζονται εὐρύχωρον τόπον· ἐξήνεγκε δὲ τῶν νεῶν ἆθλα· λέβητας καὶ τρίποδας καὶ ἵππους καὶ ἡμιόνους, καὶ βοῶν ἰσχυρὰς κεφαλάς, καὶ γυναῖκας καλλιζώνους καὶ εὐειματούσας, καὶ σίδηρον λευκόν. Τοῖς ἱππεῦσι μὲν οὖν πρῶτον τοῖς ταχύποσι λαμπρὰ ἔπαθλα ἔθηκε· γυναῖκα λαβεῖν, ἀμώμητα ἔργα ἐπισαμένην, ἤγουν τεχνῆτιν, καὶ τρίποδα ὦτα ἔχοντα, δύο καὶ εἴκοσι χωροῦντα τῷ πρώτῳ νικητῇ. τῷ δευτέρῳ δὲ ἵππον ἔθηκεν ἐτῶν ἕξ· μήπω δεδαμασμένην· ἔμβριον ἡμίονον ἐντὸς ἔχουσαν· τῷ τρίτῳ

Αὐτὰρ τῷ τριτάτῳ ἄπυρον κατέθηκε λέβητα,
Καλὸν, τέσσαρα μέτρα κεχανδότα, λευκὸν ἔτ' αὔτως·
Τῷ δὲ τετάρτῳ θῆκε δύο χρυσοῖο τάλαντα·
Πέμπτῳ δ' ἀμφίθετον φιάλην ἀπύρωτον ἔθηκε·
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ἀτρείδη τε, καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,
Ἱππῆας τάδ' ἄεθλα δεδεγμένα κεῖτ' ἐν ἀγῶνι.
Εἰ μὲν νῦν ἐπὶ ἄλλῳ ἀεθλεύοιμεν Ἀχαιοὶ,
Ἦτ' ἂν ἐγὼ τὰ πρῶτα λαβὼν κλισίηνδε φεροίμην.
Ἴστε γὰρ, ὅσσον ἐμοὶ ἀρετῇ περιβάλλετον ἵπποι·
Ἀθάνατοί τε γάρ εἰσι. Ποσειδάων δ' ἔπορ' αὐτοὺς
Πατρὶ ἐμῷ Πηλῆϊ, ὁ δ' αὖτ' ἐμοὶ ἐγγυάλιξεν.
Ἀλλ' ἤτοι μὲν ἐγὼ μενέω, καὶ μώνυχες ἵπποι·
Τοίου γὰρ σθένος ἐσθλὸν ἀπώλεσαν ἡνιόχηος
Ἠπίου, ὅς σφῶϊν μάλα πολλάκις ὑγρὸν ἔλαιον
Χαιτάων κατέχευε, λοέσσας ὕδατι λευκῷ.
Τὸν τώ γ' ἑσταότε πενθήετον, οὔδεϊ δέ σφιν
Χαῖται ἐρηρέδαται, τὼ δ' ἕστατον ἀχνυμένω κῆρ·
Ἄλλοι δὲ στέλλεσθε κατὰ στρατὸν, ὅστις Ἀχαιῶν
Ἵπποισίν τε πέποιθε καὶ ἅρμασι κολλητοῖσιν,
Ὣς φάτο Πηλείδης· ταχέες δ' ἱππῆες ἔγερθεν·
Ὦρτο πολὺ πρῶτος μὲν ἄναξ ἀνδρῶν Εὔμηλος,
Ἀδμήτου φίλος υἱὸς, ὃς ἱπποσύνῃ ἐκέκαστο·
Τῷ δ' ἔπι Τυδείδης ὦρτο κρατερὸς Διομήδης,
Ἵππους δὲ Τρωοὺς ὕπαγε ζυγὸν, οὕς ποτ' ἀπηύρα
Αἰνείαν, ἀτὰρ αὐτὸν ὑπεξεσάωσεν Ἀπόλλων·
Τῷ δ' ἄρ' ἔπ' Ἀτρείδης ὦρτο ξανθὸς Μενέλαος,
Διογενὴς, ὑπὸ δὲ ζυγὸν ἤγαγεν ὠκέας ἵππους,

δὲ κατέθηκε. λέβητα μήπω εἰς τὸ πῦρ βεβλημένον περικαλλῆ, τέσσαρα μέτρα χωροῦντα, λευκὸν ἔτι καὶ καθαρὸν οὕτω. τῷ τετάρτῳ δὲ ἔθηκε δύο τάλαντα χρυσοῦ· τῷ πέμπτῳ δὲ κατέθηκε φιάλην ἀμφοτέρωθεν θέσιν ἔχουσαν, μήπω εἰς πῦρ βεβλημένην. ἔστη δὲ ὀρθὸς καὶ λόγον ἐν τοῖς Ἕλλησιν εἶπεν. Ὦ υἱοὶ τοῦ Ἀτρέως καὶ ἄλλοι ἀριστεῖς τῶν πάντων Ἑλλήνων, τάδε τὰ ἔπαθλα κεῖνται ἐν τῷ ἀγῶνι προσδεχόμενα ἱππέας· εἰ μὲν οὖν ἐπ' ἄλλῳ ἀγωνιζοίμεθα οἱ Ἕλληνες, ὄντως ἂν αὐτὸς τὰ πρῶτα εἰληφὼς ἤνεγκα ἐπὶ τὴν σκηνήν· οἴδατε γὰρ ὁπόσον ὑπερβάλλουσιν ἀρετῇ οἱ ἐμοὶ ἵπποι· ἀθάνατοι γὰρ ὑπάρχουσιν, ὁ Ποσειδῶν δὲ παρέσχετο αὐτοὺς Πηλεῖ τῷ ἐμῷ πατρί, οὗτος δ' ἐμοὶ ἐδωρήσατο. ἀλλ' ἐγὼ μὲν παραμενῶ καὶ οἱ μονώνυχες ἵπποι· τοιούτου γὰρ ἀγαθοῦ καὶ γενναίου ἡνιόχου δύναμιν ἀπέβαλον ἐπιεικοῦς καὶ πρᾴου, ὅς αὐτοῖς πάνυ πολλάκις ἔλαιον ὑγρὸν κατέχεε τῶν χαιτῶν, καὶ ἔχρισεν αὐτούς, λούσας ὕδατι λευκῷ· τοῦτον οὗτοι ἑστῶτες πενθοῦσι, τῷ ἐδάφει δ' αὐτῶν αἱ χαῖται ἐπίκεινται· οὗτοι δὲ μένουσι λυπούμενοι κατὰ ψυχήν. οἱ ἄλλοι δὲ πορεύεσθε, ὅστις ἐν τῷ στρατῷ τῶν Ἑλλήνων τοῖς τε ἵπποις θαῤῥεῖ καὶ τοῖς κεκολλημένοις ἅρμασιν. Οὕτως εἶπεν ὁ τοῦ Πηλέως· οἱ ταχεῖς δὲ ἱππεῖς ἠθροίσθησαν. Ἠγέρθη μὲν οὖν πολλῷ πρῶτος ὁ βασιλεὺς τῶν ἀνδρῶν Εὔμηλος ὁ ἀγαπητὸς υἱὸς τοῦ Ἀδμήτου, ὃς ἱππικῇ ἐκεκόσμητο· ἐπὶ τούτῳ δὲ ἀνέστη ὁ τοῦ Τυδέως υἱὸς ἰσχυρὸς Διομήδης· τοὺς Τρωϊκοὺς δὲ ἵππους ὑπῆγεν εἰς τὸν ζυγόν, οὕς ποτε ἀφείλετο τὸν Αἰνείαν, αὐτὸν δὲ ἐῤῥύσατο καὶ ἔσωσεν ὁ Ἀπόλλων. ἐπὶ τούτῳ δὲ ἀνέστη ὁ τοῦ Ἀτρέως υἱὸς ὁ πυρόχρους Μενέλαος ὁ ἐνδοξότατος· ἤγαγε δὲ ὑπὸ τὸν ζυγὸν τοὺς ταχεῖς ἵππους, Αἴθην

Αἴθην τὴν Ἀγαμεμνονέην, τὸν ἑόν τε Πόδαργον·
Τὴν Ἀγαμέμνονι δῶκ' Ἀγχισιάδης Ἐχέπωλος
Δῶρ', ἵνα μή οἱ ἕποιθ' ὑπὸ Ἴλιον ἠνεμόεσσαν,
Ἀλλ' αὐτοῦ τέρποιτο μένων· μέγα γάρ οἱ ἔδωκε
Ζεὺς ἄφενος, ναῖεν δ' ὅγ' ἐν εὐρυχόρῳ Σικυῶνι·
Τὴν ὅγ' ὑπὸ ζυγὸν ἦγε μέγα δρόμου ἰσχανόωσαν·
Ἀντίλοχος δὲ, τέταρτος ἐΰτριχας ὡπλίσαθ' ἵππους,
Νέστορος ἀγλαὸς υἱὸς ὑπερθύμοιο ἄνακτος
Τοῦ Νηληϊάδαο· Πυλοιγενέες δέ οἱ ἵπποι
Ὠκύποδες φέρον ἅρμα· πατὴρ δέ οἱ ἄγχι παραστὰς
Μυθεῖτ' εἰς ἀγαθὰ φρονέων νοέοντι καὶ αὐτῷ·
Ἀντίλοχ', ἤτοι μέν σε νέον περ ἐόντ' ἐφίλησαν
Ζεύς τε Ποσειδάων τε, καὶ ἱπποσύνας ἐδίδαξαν
Παντοίας· τῷ καί σε διδασκέμεν οὔτι μάλα χρεώ.
Οἶσθα γὰρ εὖ περὶ τέρμαθ' ἑλισσέμεν· ἀλλά τοι ἵπποι
Βάρδιστοι θείειν, τῷ τ' οἴω λοίγι' ἔσεσθαι·
Τῶν δ' ἵπποι μὲν ἔασιν ἀφάρτεροι, οὐδὲ μὲν αὐτοὶ
Πλείονα ἴσασιν σέθεν αὐτοῦ μητίσασθαι.
Ἀλλ' ἄγε δὴ σὺ, φίλος, μῆτιν ἐμβάλλεο θυμῷ
Παντοίην, ἵνα μή σε παρεκπροφύγῃσιν ἄεθλα.
Μήτι τοι δρυτόμος μέγ' ἀμείνων, ἠὲ βίηφι·
Μήτι δ' αὖτε κυβερνήτης ἐνὶ οἴνοπι πόντῳ
Νῆα θοὴν ἰθύνει ἐρεχθομένην ἀνέμοισι·
Μήτι δ' ἡνίοχος περιγίνεται ἡνιόχοιο.
Ἀλλ' ὃς μέν θ' ἵπποισι καὶ ἅρμασιν οἷσι πεποιθὼς,
Ἀφραδέως ἐπὶ πολλὸν ἑλίσσεται ἔνθα καὶ ἔνθα,
Ἵπποι δὲ πλανόωνται ἀνὰ δρόμον, οὐδὲ κατίσχει·
Ὃς δέ κε κέρδεα εἰδῇ, ἐλαύνων ἥσσονας ἵππους,

τὴν τοῦ Ἀγαμέμνονος καὶ τὸν ἑαυτοῦ Πόδαργον, ἣν ἔδωκε τῷ Ἀγαμέμνονι Ἐχέπωλος ὁ . . . . . . δῶρον, ἵνα μὴ ἀκολουθοίη αὐτῷ ἐπὶ τὴν ὑψηλὴν Ἴλιον, ἀλλ' αὐτόθι καθήμενος ἀγάλλοιτο· μέγαν γὰρ αὐτῷ ἐδωρήσατο ὁ Ζεὺς πλοῦτον, κατῴκει δ' οὗτος ἐν τῇ μεγάλῃ Σικυῶνι· ταύτην οὗτος ἤγαγεν ὑπὸ τὸν ζυγόν, μεγάλως τοῦ δρόμου ἐπιθυμοῦσαν. ὁ Ἀντίλοχος δὲ τέταρτος ἡτοίμασε τοὺς καλλίτριχας ἵππους ὁ τοῦ Νέστορος λαμπρότατος υἱὸς τοῦ μεγαλοψύχου βασιλέως, τοῦ υἱοῦ τοῦ Νηλέως, οἳ ἐν τῇ Πύλῳ δὲ ἐτύγχανον γεννηθέντες ἵπποι αὐτοῦ ταχύποδες εἷλκον τὸ ἅρμα. ὁ πατὴρ δὲ πλησίον αὐτοῦ παραγενόμενος, παρεκελεύετο εἰς τὸ ἀγαθὸν φρενοῦν αὐτὸν (ἀγαθὰ καὶ ὠφέλιμα λογιζόμενος,) καὶ ἐμβιβάζων ἐπιστάμενον καὶ αὐτὸν (νοοῦντι καὶ αὐτῷ). Ὦ Ἀντίλοχε, φιλοῦσι μέν σε καὶ νέον ὄντα ὅ τε Ζεὺς καὶ ὁ Ποσειδῶν, καὶ ἱππικὴν ἐδίδαξαν παντοίαν· δι' ὃ καὶ διδάσκειν σε, οὐ πάνυ γε χρεία· οἶδας γὰρ καλῶς περὶ τὰ τέρματα συστρέφειν· ἀλλά σοι οἱ ἵπποι βραδεῖς εἰσι τρέχειν, δι' ὃ δὴ ὑπολαμβάνω δεινὰ καὶ χαλεπὰ ἔσεσθαι. τούτων δὲ οἱ ἵπποι μὲν εἰσι ταχύτεροι· οὐ μὴν δ' αὐτοὶ πλείονα ἐπίστανται σοῦ αὐτοῦ βουλεύσασθαι· ἀλλ' ἄγε δὴ σὺ, ὦ φίλε, ἔμβαλε εἰς τὴν ψυχὴν βουλὴν παντοίαν, ἵνα μή σε διαφύγωσι τὰ ἔπαθλα· βουλῇ μέντοι ὁ τὰ δένδρα κόπτων πολλῷ κρείσσων ἢ ἰσχυΐ, βουλῇ δὲ ὁ κυβερνήτης ἐν τῷ μέλανι πόντῳ τὴν ταχεῖαν ναῦν εὐθύνει καὶ ἄγει ἐρεθιζομένην ὑπὸ τῶν ἀνέμων. βουλῇ δὲ καὶ ὁ ἡνίοχος νικᾷ τὸν ἡνίοχον. ἀλλ' ὅστις μὲν τοῖς ἑαυτοῦ ἵπποις καὶ τοῖς ἅρμασι θαῤῥῶν ἀπερισκέπτως ἐπὶ πολὺ συστρέφεται τῇδε κἀκεῖσε, οἱ ἵπποι δὲ πλανῶνται κατὰ τὸν δρόμον, οὐδὲ κατέχει αὐτούς. ὃς δ' ἂν τέχνας εἰδῇ, ἐλαύνων χείρονας ἵππους,

Αἰεὶ τέρμ' ὁρόων, στρέφει ἐγγύθεν, οὐδέ ἑ λήθει,
Ὅππως τὸ πρῶτον τανύσῃ βοέοισιν ἱμᾶσιν·
Ἀλλ' ἔχει ἀσφαλέως, καὶ τὸν προὔχοντα δοκεύει.
Σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδὲς, οὐδέ σε λήσει·
Ἕστηκε ξύλον αὖον, ὅσον τ' ὀργυῖ' ὑπὲρ αἴης,
Ἢ δρυὸς, ἢ πεύκης, τὸ μὲν οὐ καταπύθεται ὄμβρῳ·
Λᾶε δὲ τοῦ ἑκάτερθεν ἐρηρέδαται δύο λευκὼ,
Ἐν ξυνοχῇσιν ὁδοῦ· λεῖος δ' ἱππόδρομος ἀμφίς·
Ἤ τευ σῆμα βροτοῖο πάλαι κατατεθνειῶτος,
Ἢ τό γε νύσσα τέτυκτο ἐπὶ προτέρων ἀνθρώπων,
Καὶ νῦν τέρματ' ἔθηκε ποδάρκης δῖος Ἀχιλλεύς·
Τῷ σὺ μάλ' ἐγχρίμψας, ἐλάαν σχεδὸν ἅρμα καὶ ἵππους·
Αὐτὸς δὲ κλινθῆναι ἐϋπλέκτῳ ἐνὶ δίφρῳ,
Ἦκ' ἐπ' ἀριστερὰ τοῖϊν· ἀτὰρ τὸν δεξιὸν ἵππον
Κένσαι ὁμοκλήσας, εἶξαί τε οἱ ἡνία χερσίν·
Ἐν νύσσῃ δέ τοι ἵππος ἀριστερὸς ἐγχριμφθήτω,
Ὡς ἄν τοι πλήμνη γε δοάσσεται ἄκρον ἱκέσθαι
Κύκλου ποιητοῖο· λίθου δ' ἀλέασθαι ἐπαυρεῖν.
Μήπως ἵππους τε τρώσῃς, κατά θ' ἅρματα ἄξῃς·
Χάρμα δὲ τοῖς ἄλλοισιν, ἐλεγχείη δέ σοι αὐτῷ
Ἔσσεται· ἀλλὰ, φίλος, φρονέων πεφυλαγμένος εἶναι.
Εἰ γάρ κ' ἐν νύσσῃσι παρεξελάσῃσθα διώκων,
Οὐκ ἔσθ', ὅς κ' ἕλῃσι μετάλμενος, οὐδὲ παρέλθοι·
Οὐδ' εἴ κεν μετόπισθεν Ἀρείονα δῖον ἐλαύνοι,
Ἀδρήστου ταχὺν ἵππον, ὃς ἐκ θεόφιν γένος ἦεν,
Ἢ τοὺς Λαομέδοντος, οἳ ἐνθάδε τέτραφεν ἐσθλοί.
Ὣς εἰπὼν Νέστωρ Νηλήϊος ἂψ ἐνὶ χώρῃ
Ἕζετ', ἐπεὶ ᾧ παιδὶ ἑκάστου πείρατ' ἔειπε.

ἀεὶ τὸ τέλος ὁρῶν ἐκ τοῦ σύνεγγυς στρέφει τοὺς ἵπ-
πους, οὐδὲ λανθάνει αὐτὸν ὅπως τὸ πρῶτον ἐπίσχῃ
τοῖς ἐκ βοῶν λώροις· ἀλλ' ἐλαύνει ἀσφαλῶς καὶ
τὸν ἔμπροσθεν τρέχοντα ἐπιτηρεῖ· σημεῖον δέ σοι
λέξω πάνυ διάδηλον, οὐδὲ λαθεῖν σε δυνήσεται· ξύ-
λον ἵσταται ξηρὸν, ὅσον ὀργυιὰ ὑπεράνω τῆς γῆς,
ἢ δρυὸς ἢ πεύκης· τοῦτο γὰρ οὐ σήπεται ὑπὸ τοῦ
ὄμβρου· λίθοι δὲ δύο λευκοὶ προσκεῖνται ἑκατέρω-
θεν αὐτοῦ ἐν ταῖς συμπτώσεσι καὶ τοῖς στενώμα-
σι τῆς ὁδοῦ, ὁμαλὸς δὲ ἱππόδρομος χωρὶς καὶ ἐ-
κτὸς τῆς στενώσεως, ἥτινος μνημεῖον ἀνθρώπου πάλαι
ἀποθανόντος, ἢ τοῦτό γε καμπτὴρ ἦν καὶ ἐπὶ τῶν
προγενεστέρων ἀνθρώπων· καὶ νῦν τὸ τέλος ἐποίησε
δρόμου ὁ ἐνδοξότατος ταχύπους Ἀχιλλεύς· τούτῳ
σὺ πάνυ πλησιάσας, ἔλαυνε ἐγγύθεν τοὺς ἵππους
καὶ τὸ ἅρμα, σὺ δὲ συγκάμφθητι ἐν τῷ καλῶς συν-
ηρμοσμένῳ δίφρῳ . . . .
κέντρισον βοήσας· χάλασον δὲ αὐτῷ τὰς ἡνίας ταῖς
χερσὶ, πρὸς τὸν καμπτῆρα δέ σοι ὁ ἀριστερὸς ἵπ-
πος πλησιασάτω οὕτως, ὥστέ σοι τὴν ἔξωθεν περι-
φάνειαν τοῦ τροχοῦ δόξαι ψαύειν τῆς χοινικίδος τοῦ
πεποιημένου κύκλου. τῷ λίθῳ δὲ προσεγγύσαι φυ-
λάττου, μήπως καὶ τοὺς ἵππους τρώσῃς, καὶ τὸ ἅρ-
μα συντρίψῃς· χαρὰ δὲ καὶ εὐφροσύνη τοῖς ἄλλοις,
ὄνειδος δὲ καὶ κατήφεια σοὶ αὐτῷ γένηται· ἀλλ', ὦ
φίλε, φρονῶν εὖ, ἔσο πεφυλαγμένος· εἰ γὰρ ἐν τῷ
καμπτῆρι παρέλθῃς ἐλαύνων καὶ τρέχων, οὐκ ἔστιν
ὃς ἂν καταλάβῃ ἐπιπηδήσας, οὐδὲ ὑπερβῇ· οὐδ' ἐὰν
ὄπισθεν ἐλαύνῃ Ἀρείονα τὸν ἔνδοξον τοῦ Ἀδράστου
ταχὺν ἵππον, ὃς ἐκ θεῶν εἷλκε τὸ γένος, ἢ τοὺς
ἵππους τοῦ Λαομέδοντος, οἳ ἐνταῦθα ἀνετράφησαν
γενναῖοι. Ὣς εἰπὼν ὁ τοῦ Νηλέως Νέστωρ ὀπίσω κα-
τὰ χώραν ἐκάθισεν, ἐπειδὴ τῷ ἑ[illegible]υ[illegible]οῦ υἱῷ ἑκάστου τέ-
λος ἐδήλωσεν, ἤγουν τὰ ἀπὸ τῆς ἐμπειρίας ἀποβησό-

Μηριόνης δ' ἄρα πέμπτος ἐΰτριχας ὡπλίσαθ' ἵππους.
Ἂν δ' ἔβαν ἐς δίφρους, ἐν δὲ κλήρους ἐβάλοντο·
Πάλλ' Ἀχιλεύς, ἐκ δὲ κλῆρος θόρε Νεστορίδαο
Ἀντιλόχου· μετὰ τὸν δ' ἔλαχε κρείων Εὔμηλος·
Τῷ δ' ἄρ' ἐπ' Ἀτρείδης δουρικλειτὸς Μενέλαος·
Τῷ δ' ἐπὶ Μηριόνης λάχ' ἐλαυνέμεν· ὕστατος αὖτε
Τυδείδης, ὄχ' ἄριστος ἐὼν, λάχ' ἐλαυνέμεν ἵππους.
Στὰν δὲ μεταστοιχεί· σήμηνε δὲ τέρματ' Ἀχιλλεὺς,
Τηλόθεν ἐν λείῳ πεδίῳ· παρὰ δὲ σκοπὸν εἷσεν
Ἀντίθεον Φοίνικα, ὀπάονα πατρὸς ἑοῖο,
Ὡς μεμνόῳτο δρόμου, καὶ ἀληθείην ἀποείποι.
Οἱ δ' ἄρα πάντες ἐφ' ἵπποιϊν μάστιγας ἄειραν,
Πέπληγόν θ' ἱμᾶσιν, ὁμόκλησάν τ' ἐπέεσσιν
Ἐσσυμένως· οἱ δ' ὦκα διέπρησσον πεδίοιο,
Νόσφι νεῶν, ταχέως· ὑπὸ δὲ στέρνοισι κονίη
Ἵστατ' ἀειρομένη, ὥστε νέφος ἠὲ θύελλα·
Χαῖται δ' ἐῤῥώοντο μετὰ πνοιῇς ἀνέμοιο·
Ἅρματα δ' ἄλλοτε μὲν χθονὶ πίλνατο πουλυβοτείρῃ,
Ἄλλοτε δ' ἀΐξασκε μετήορα· τοὶ δ' ἐλατῆρες
Ἔστασαν ἐν δίφροισι· πάτασσε δὲ θυμὸς ἑκάστου
Νίκης ἱεμένων· κέκλοιτο δὲ οἷσιν ἕκαστος
Ἵπποις, οἱ δ' ἐπέτοντο κονίοντες πεδίοιο.
Ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον ὠκέες ἵπποι
Ἂψ ἀφ' ἁλὸς πολιῆς· τότε δὴ ἀρετή γε ἑκάστου
Φαίνετ', ἄφαρ δ' ἵπποισι τάθη δρόμος· ὦκα δ' ἔπειτα
Αἰφηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι.
Τὰς δὲ μετεξέφερον Διομήδεος ἄρσενες ἵπποι
Τρώϊοι· οὐδέ τι πολλὸν ἄνευθ' ἔσαν, ἀλλὰ μάλ' ἐγγύς·

μενον. Μηριόνης δὲ πέμπτος εὐτρέπισε τοὺς ὡραιότριχας ἵππους. Ἀνέβησαν δὲ εἰς τοὺς δίφρους, ἐνέβαλον δὲ κλήρους, ἐκίνει δὲ ὁ Ἀχιλλεύς, ἐξεπήδησε δὲ ὁ κλῆρος τοῦ υἱοῦ τοῦ Νέστορος, τοῦ Ἀντιλόχου· μετ' αὐτὸν δὲ ἔτυχεν ὁ βασιλεὺς Εὔμηλος· ἐπ' αὐτῷ δὲ ὁ τοῦ Ἀτρέως κατὰ πόλεμον ἔνδοξος Μενέλαος. ἐπ' αὐτῷ δὲ Μηριόνης ἔτυχεν ἐλαύνειν τοὺς ἵππους. τελευταῖος δὲ ὁ τοῦ Τυδέως ἐξόχως κράτιστος ὢν, ἔτυχεν ἐλαύνειν τοὺς ἵππους. Ἔστησαν δὲ κατὰ τάξιν. ἐδήλωσε δὲ τὰ τέλη τοῦ δρόμου ὁ Ἀχιλλεὺς πόῤῥωθεν ἐν ὁμαλῇ πεδιάδι. ἐπίσκοπον δὲ καὶ ἐπόπτην ἐκάθισε τὸν ἰσόθεον Φοίνικα τὸν θεράποντα τοῦ ἑαυτοῦ πατρός· ὅπως ἐπισκοποίη καὶ μεμνημονεύοι τοῦ δρόμου καὶ τὴν ἀλήθειαν δηλοποιήσαι. Οὗτοι δὲ πάντες ἐπὶ τῶν ἵππων τὰς μάστιγας ἀνέσχον, καὶ ἔπληξαν τοῖς λώροις, καὶ ἠπείλησαν λόγοις ἐσπευσμένως· ταχέως δὲ αὐτοὶ διέτρεχον διὰ τοῦ πεδίου πόῤῥω τῶν νεῶν συντόμως· ἐκ τῶν πτέρνων δὲ κονιορτὸς ἠγείρετο αἰρόμενος καθάπερ νέφος ἢ συστροφὴ μεγάλη ἀνέμου. αἱ χαῖται δὲ διεκινοῦντο ἐν ταῖς πνοαῖς τοῦ ἀνέμου. τὰ ἅρματα δὲ, ποτὲ μὲν προσήγγυζον τῇ πολλὰ τρεφούσῃ γῇ· ποτὲ δὲ ἄνω ἤροντο μετέωρα. οἱ ἀναβάται δὲ ἵσταντο ἐν τοῖς δίφροις· ἔσφυζε δὲ καὶ ὑπεκινεῖτο ἡ ψυχὴ ἑκάστου τῆς νίκης ἐπιθυμούντων· παρεκελεύοντο δὲ τοῖς ἑαυτῶν ἵπποις ἅπαντες· οὗτοι δὲ ἀνύοντες ἔτρεχον διὰ τῆς πεδιάδος· ἀλλ' ὁπηνίκα δὴ τὸ ἔσχατον τοῦ δρόμου ἐτέλουν οἱ ταχεῖς ἵπποι εἰς τοὐπίσω ἀπὸ τῆς λευκῆς θαλάσσης, τηνικαῦτα δὴ ἑκάστου τέχνη καὶ ἀρετὴ διεφαίνετο· ὀξὺς δὲ τοῖς ἵπποις ἐξετάθη δρόμος· ταχέως δὲ μετὰ ταῦτα ἐξέφερον καὶ παρήρχοντο αἱ ταχύποδες ἵπποι τοῦ υἱοῦ τοῦ Ἀιφηρτίου. μετὰ ταύτας δὴ προέτρεχον οἱ τοῦ Διομήδους ἄρσενες ἵπποι οἱ Τρωϊκοὶ, οὐδέ τι πολλῷ πόῤῥωθεν ἦσαν, ἀλλὰ πάνυ πλησίον· ἀεὶ γὰρ ἐοίκεσαν ἐπιβησομέ-

Αἰεὶ γὰρ δίφρου ἐπιβησομένοισιν ἐΐκτην.
Πνοιῇ δ' Εὐμήλοιο μετάφρενον, εὐρέε τ' ὤμω
Θέρμετ'· ἐπ' αὐτῷ γὰρ κεφαλὰς καταθέντε πετέσθην·
Καί νύ κεν ἢ παρέλασσ', ἢ ἀμφήριστον ἔθηκεν,
Εἰ μὴ Τυδέος υἷϊ κοτέσσατο Φοῖβος Ἀπόλλων,
Ὅς ῥά οἱ ἐκ χειρῶν ἔβαλεν μάστιγα φαεινήν·
Τοῖο δ' ἀπ' ὀφθαλμῶν χύτο δάκρυα χωομένοιο,
Οὕνεκα τὰς μὲν ὅρα ἔτι καὶ πολὺ μᾶλλον ἰούσας,
Οἱ δέ οἱ ἐβλάφθησαν, ἄνευ κέντροιο θέοντες.
Οὐδ' ἄρ' Ἀθηναίην ἐλεφηράμενος λάθ' Ἀπόλλων
Τυδείδην, μάλα δ' ὦκα μετέσσυτο ποιμένα λαῶν·
Δῶκε δέ οἱ μάστιγα, μένος δ' ἵπποισιν ἐνῆκεν.
Ἡ δὲ μετ' Ἀδμήτου υἱὸν κοτέουσ' ἐβεβήκει,
Ἵππειον δέ οἱ ἦξε θεὰ ζυγόν· αἱ δέ οἱ ἵπποι
Ἀμφὶς ὁδοῦ δραμέτην, ῥυμὸς δ' ἐπὶ γαῖαν ἐλίσθη·
Αὐτὸς δ' ἐκ δίφροιο παρὰ τροχὸν ἐξεκυλίσθη,
Ἀγκῶνάς τε περιδρύφθη, στόμα τε, ῥινάς τε,
Θρυλλίχθη δὲ μέτωπον ἐπ' ὀφρύσι· τὼ δέ οἱ ὄσσε
Δακρυόφιν πλῆσθεν, θαλερὴ δέ οἱ ἔσχετο φωνή.
Τυδείδης δὲ παρατρέψας ἔχε μώνυχας ἵππους,
Πολλὸν τῶν ἄλλων ἐξάλμενος· ἐν γὰρ Ἀθήνη
Ἵπποις ἧκε μένος, καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκε.
Τῷ δ' ἄρ' ἐπ' Ἀτρείδης εἶχε ξανθὸς Μενέλαος.
Ἀντίλοχος δ' ἵπποισιν ἐκέκλετο πατρὸς ἑοῖο.
Ἔμβητον, καὶ σφῶϊ τιταίνετον ὅττι τάχιστα.
Ἤτοι μὲν κείνοισιν ἐριζέμεν οὔτι κελεύω
Τυδείδεω ἵπποισι δαΐφρονος, οἷσιν Ἀθήνη
Νῦν ὤρεξε τάχος, καὶ ἐπ' αὐτῷ κῦδος ἔθηκεν·

νοις τοῦς ὀχήματος· ὑπὸ τῆς πνοῆς δὲ τὰ τοῦ Εὐμήλου μετάφρενα, καὶ τοὺς πλατεῖς ὤμους ἐθερμαίνοντο. ἐπ' αὐτῷ γὰρ καταθέντες τὰς κεφαλὰς ἔτρεχον. Καὶ δὴ ἢ παρῆλθεν ἂν, ἢ ἀμφισβητήσιμον ἐποίησεν, εἰ μὴ τῷ υἱῷ τοῦ Τυδέως ὠργίσθη Ἀπόλλων ὁ καθαρὸς, ὃς δὴ ἐξέβαλεν ἐκ τῶν χειρῶν αὐτοῦ τὴν λαμπρὰν μάστιγα· τούτου δ' ἀπὸ τῶν ὀφθαλμῶν ἐχέοντο δάκρυα ὀργιζομένου καὶ λυπουμένου· διότι τὰς μὲν ἑώρα ἔτι πολλῷ μᾶλλον προϊούσας· οὗτοι δὲ χείρονες γεγόνασιν ἄνευ κέντρου καὶ μάστιγος τρέχοντες, οὐδὲ ἔλαθε τὴν Ἀθηνᾶν ὁ Ἀπόλλων βλάψας ἀδίκως τὸν τοῦ Τυδέως· ταχέως δὲ πᾶν ἐφώρμησεν ἐπὶ τὸν βασιλέα τοῦ στρατοῦ, ἔδωκε δὲ αὐτῷ τὴν μάστιγα, προθυμίαν δὲ τοῖς ἵπποις ἐνέβαλεν· αὕτη δὲ ἐπὶ τὸν υἱὸν τοῦ Ἀδμήτου ἐπορεύθη μνησικακοῦσα, συνέτριψε δὲ αὐτοῦ τὸν τῶν ἵππων ζυγὸν ἡ θεὰ, αἱ ἵπποι δ' αὐτῷ ἔξω τῆς προκειμένης ὁδοῦ ἔδραμον, τὸ ξύλον δὲ τὸ ἀπὸ τοῦ δίφρου μέχρι τοῦ ζυγοῦ διῆκον ἐπὶ τὴν γῆν κατέπεσεν, αὐτὸς δὲ ἐκ τοῦ ὀχήματος ἐπὶ τὸν τροχὸν κατηνέχθε καὶ τοὺς ἀγκῶνας κατεξέσθη, καὶ τὸ στόμα, καὶ τὰς ῥῖνας, ἐθραύσθη δὲ τὸ μέτωπον ἐπὶ ταῖς ὀφρύσιν, οἱ ὀφθαλμοὶ δὲ αὐτοῦ δακρύων ἐπλήσθησαν, ἡ σύντονος δὲ καὶ μεγάλη αὐτοῦ φωνὴ κατεσχέθη· ὁ τοῦ Τυδέως δὲ παρακλίνας ἤλαυνε τοὺς μονώνυχας ἵππους, πολλῷ τῶν ἄλλων προτρέχων· ἡ γὰρ Ἀθηνᾶ ἐνέβαλε προθυμίαν τοῖς ἵπποις καὶ δόξαν ἐπέθηκεν αὐτῷ· ἐπὶ τούτῳ δὲ ἤλαυνεν ὁ τοῦ Ἀτρέως ξανθὸς Μενέλαος· ὁ Ἀντίλοχος δὲ τοῖς ἵπποις παρεκελεύσατο τοῦ ἑαυτοῦ πατρός. Προχωρεῖτε καὶ ὑμεῖς . . . .

ἐκείνοις μὲν ἁμιλλᾶσθαι οὐδαμῶς ἐπιτάττω, τοῖς ἵπποις τοῦ συνετοῦ υἱοῦ τοῦ Τυδέως· οἷστισιν ἡ Ἀθηνᾶ νῦν παρέσχετο ταχυτῆτα, καὶ ἐπέθηκεν αὐτῷ δόξαν.

Ἵππους δ' Ἀτρείδαο κιχάνετε, μηδὲ λίπησθον,
Καρπαλίμως, μὴ σφῶϊν ἐλεγχείην καταχεύῃ
Αἴθη, θῆλυς ἐοῦσα· τίη λείπεσθε, φέριστοι;
Ὧδε γὰρ ἐξερέω, καὶ μὴν τετελεσμένον ἔσται·
Οὐ σφῶϊν κομιδὴ παρὰ Νέστορι ποιμένι λαῶν
Ἔσσεται· αὐτίκα δ' ὔμμε κατακτενεῖ ὀξέϊ χαλκῷ,
Αἴκ' ἀποκηδήσαντε φερώμεθα χεῖρον ἄεθλον·
Ἀλλ' ἐφομαρτεῖτον, καὶ σπεύδετον ὅττι τάχιστα·
Ταῦτα δ' ἐγὼν αὐτὸς τεχνήσομαι, ἠδὲ νοήσω,
Στεινωπῷ ἐν ὁδῷ παραδύμεναι· οὐδέ με λήσει.
Ὣς ἔφαθ'· οἱ δὲ, ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν,
Μᾶλλον ἐπιδραμέτην ὀλίγον χρόνον· αἶψα δ' ἔπειτα
Στεῖνος ὁδοῦ κοίλης ἴδεν Ἀντίλοχος μενεχάρμης·
Ῥωχμὸς ἔην γαίης, ᾗ χειμέριον ἀλὲν ὕδωρ
Ἐξέῤῥηξεν ὁδοῖο, βάθυνε δὲ χῶρον ἅπαντα·
Τῇ ῥ' εἶχεν Μενέλαος, ἁματροχίας ἀλεείνων.
Ἀντίλοχος δὲ παρατρέψας ἔχε μώνυχας ἵππους
Ἐκτὸς ὁδοῦ, ὀλίγον δὲ παρακλίνας ἐδίωκεν·
Ἀτρείδης δ' ἔδδεισε, καὶ Ἀντιλόχῳ ἐγεγώνει·
Ἀντίλοχ', ἀφραδέως ἱππάζεαι· ἀλλ' ἄνεχ' ἵππους·
Στεινωπὸς γὰρ ὁδὸς, τάχα δ' εὐρυτέρῃ παρελάσσεις·
Μήπως ἀμφοτέρους δηλήσεαι, ἅρματι κύρσας.
Ὣς ἔφατ'· Ἀντίλοχος δ' ἔτι καὶ πολὺ μᾶλλον ἔλαυνε,
Κέντρῳ ἐπισπέρχων, ὡς οὐκ ἀΐοντι ἐοικώς.
Ὅσσα δὲ δίσκου οὖρα κατωμαδίοιο πέλονται,
Ὅντ' αἰζηὸς ἀφῆκεν ἀνὴρ, πειρώμενος ἥβης,
Τόσσον ἐπιδραμέτην· αἱ δ' ἠρώησαν ὀπίσσω
Ἀτρείδεω· αὐτὸς γὰρ ἑκὼν μεθέηκεν ἐλαύνειν,

τοὺς ἵππους δὲ τοῦ υἱοῦ τοῦ Ἀτρέως καταλάβετε, μηδὲ ἀπολειφθῆτε· ταχέως, μήποθ' ὑμῖν ὄνειδος καὶ μέμψιν καταχέῃ ἡ Αἴθη θῆλυς καὶ φορβὰς οὖσα. τί δὴ ὑστερίζετε, ὦ βέλτιστοι; οὕτω γὰρ λέξω, καὶ τετελεσμένον δήπουθεν ἔσται· οὐχ ὑμῖν ἐπιμέλεια καὶ φροντὶς παρὰ Νέστορι τῷ βασιλεῖ τῶν λαῶν ἔσται· παραχρῆμα γὰρ ὑμᾶς ἀποκτενεῖ σιδήρῳ ὀξεῖ καὶ τμητικῷ, ἐὰν ἀφροντιστήσαντες λάβωμεν φαῦλον καὶ εὐτελὲς ἔπαθλον. ἀλλ' ἐπιδιώκετε, καὶ ἐπειγόμενοι τρέχετε πάνυ ταχέως· ταῦτα δὲ ἐγὼ αὐτὸς μηχανήσομαι, καὶ ἐπινοήσω, παρεισδῦναι εἰς τὸ στένωμα τῆς ὁδοῦ, οὐδὲ λαθεῖν με δυνήσεται. Οὕτως εἶπεν. οὗτοι δὲ φοβηθέντες τὴν τοῦ βασιλέως ἀπειλὴν, μᾶλλον ἐπέδραμον ἐν ὀλίγῳ χρόνῳ. ταχέως δὲ μετὰ ταῦτα τὸ στένωμα τῆς κοίλης ὁδοῦ ἐθεάσατο ὁ ἀνδρεῖος καὶ καρτερικὸς ἐν τῇ μάχῃ Ἀντίλοχος. ῥύαξ καὶ σχίσμα ἦν γῆς, ἐν ᾧ χειμῶνος ὕδωρ ἀθροισθὲν διέκοψε καὶ κατέσπασε τὴν ὁδὸν, ἐβάθυνε δὲ πάντα τὸν τόπον. ἐκεῖσε δὴ ἤλαυνεν ὁ Μενέλαος φυλαττόμενος τὸ τρέχειν ἅμα· ὁ Ἀντίλοχος δὲ παρακλίνας ἤλαυνεν τοὺς μονώνυχας ἵππους ἔξω τῆ ὁδοῦ· ὀλίγον δὲ παρατρέψας ἔτρεχεν, ὁ τοῦ Ἀτρέως δὲ ἐφοβήθη, καὶ τῷ Ἀντιλόχῳ ἐφώνει. Ὦ Ἀντίλοχε ἀπερισκέπτως (ἀπείρως) ἱππάζῃ καὶ τρέχεις· ἀλλ' ἄνω ἔχε τοὺς ...... καὶ μὴ ἐπίκεισο· στενὴ γὰρ ἡ ὁδὸς, ταχέως δὲ ἐν τῇ πλατυτέρᾳ παρελεύσῃ· μήπως ἀμφοτέρους βλάψῃς, τῷ ἅρματι προσκρούσας καὶ συῤῥάξας συμπεσών· Οὕτως εἶπεν. Ἀντίλοχος δ' ἔτι πολλῷ μᾶλλον ἤλαυνε, τῇ μάστιγι ἐπιταχύνων, ὥσπερ ὅμοιος μηδὲν ἀκούοντι· ὅσα δέ εἰσι τὰ τοῦ δίσκου ὁρμήματα, ὃν ἀφιᾶσιν ἄνωθεν ἐκ τῶν ὤμων, ὃν ἔῤῥιψεν ἀνὴρ νέος πεῖραν λαμβάνων τῆς ἑαυτοῦ ἐφηβίας, τοσοῦτον ἐπέδραμον· αἱ ἵπποι δὲ ὑπεχώρησαν εἰς τοὐπίσω καὶ ἀπελείφθησαν, τοῦ υἱοῦ τοῦ Ἀτρέως· αὐτὸς γὰρ ἐθελουσίως μεθῆκε τὸ συντόνως τρέχειν, μήπως συμ-

Μήπως συγκύρσειαν ὁδῷ ἔνι μώνυχες ἵπποι,
Δίφρους τ' ἀνατρέψειαν ἐϋπλεκέας, κατὰ δ' αὐτοὶ
Ἐν κονίῃσι πέσοιεν, ἐπειγόμενοι περὶ νίκης.
Τὸν καὶ νεικείων προσέφη ξανθὸς Μενέλαος·
Ἀντίλοχ', οὔτις σεῖο βροτῶν ὀλοώτερος ἄλλος·
Ἔῤῥ', ἐπεὶ οὔ σ' ἔτυμόν γε φαμὲν πεπνῦσθαι Ἀχαιοί·
Ἀλλ' οὐ μὰν οὐδ' ὧς ἄτερ ὅρκου οἴσῃ ἄεθλον.
Ὣς εἰπὼν, ἵπποισιν ἐκέκλετο, φώνησέν τε·
Μή μοι ἐρύκεσθον, μηδ' ἕστατον ἀχνυμένω κῆρ·
Φθήσονται τούτοισι πόδες καὶ γοῦνα καμόντα,
Ἢ ὑμῖν· ἄμφω γὰρ ἀτέμβονται νεότητος.
Ὣς ἔφαθ'· οἱ δὲ, ἄνακτος ὑποδδείσαντες ὁμοκλὴν,
Μᾶλλον ἐπιδραμέτην, τάχα δέ σφισιν ἄγχι γένοιτο·
Ἀργεῖοι δ' ἐν ἀγῶνι καθήμενοι εἰσορόωντο
Ἵππους, τοὶ δὲ πέτοντο κονίοντες πεδίοιο.
Πρῶτος δ' Ἰδομενεὺς, Κρητῶν ἀγὸς, ἐφράσαθ' ἵππους·
Ἧστο γὰρ ἐκτὸς ἀγῶνος ὑπέρτατος ἐν περιωπῇ·
Τοῖο δ' ἄνευθεν ἐόντος, ὁμοκλητῆρος ἀκούσας
Ἔγνω· φράσσατο δ' ἵππον ἀριπρεπέα προὔχοντα,
Ὃς τὸ μὲν ἄλλο τόσον φοῖνιξ ἦν, ἐν δὲ μετώπῳ
Λευκὸν σῆμ' ἐτέτυκτο περίτροχον, ἠΰτε μήνη·
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ὦ φίλοι, Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
Οἶος ἐγὼν ἵππους αὐγάζομαι, ἦε καὶ ὑμεῖς;
Ἄλλοι μοι δοκέουσι παροίτεροι ἔμμεναι ἵπποι,
Ἄλλος δ' ἡνίοχος ἰνδάλλεται· αἱ δέ που αὐτοῦ
Ἔβλαβεν ἐν πεδίῳ, αἳ κεῖσέ γε φέρτεραι ἦσαν·
Ἤτοι γὰρ τὰς πρῶτα ἴδον περὶ τέρμα βαλούσας·

πέσειεν καὶ προσκρούσειεν ἐν τῇ ὁδῷ οἱ μονώνυχες ἵπποι, καὶ τὰ ὀχήματα καταῤῥίψειεν τὰ καλῶς ἡρμοσμένα, καὶ αὐτοὶ καταπέσειεν ἐν τῇ κόνει, σπεύδοντες ἕνεκα νίκης. Πρὸς τοῦτον δὲ καὶ λοιδορῶν εἶπεν ὁ πυρόχρους Μενέλαος· Ὦ Ἀντίλοχε, οὐδεὶς ἄλλος τῶν ἀνθρώπων ἐστὶν ὀλέθριου αἰτιώτερος σοῦ· ἄπιθι μετὰ φθορᾶς, ἐπειδὴ οὐκ ἀληθῶς σε οἰόμεθα οἱ Ἕλληνες φρόνιμον εἶναι. οὐ μὴν ἀλλὰ μὴν οὕτως ἄνευ ὅρκου λήψῃ τὸ ἔπαθλον· Οὕτως εἰπὼν τοῖς ἵπποις παρεκελεύσατο καὶ εἶπε· Μή μοι κωλύεσθε, μηδὲ ἵστασθε λυπούμενοι κατὰ ψυχήν. φθάσουσιν ἀσθενήσαντες οἱ πόδες καὶ τὰ γόνατα τούτοις ἢ ὑμῖν, ἀμφότεροι γὰρ στέρονται νεότητος. Οὕτως εἶπεν· οὗτοι δὲ τὴν τοῦ βασιλέως φοβηθέντες ἀπειλὴν, μᾶλλον ἐπέδραμον, ταχέως δὲ πλησίον αὐτῶν ἐγένοντο· οἱ Ἕλληνες δὲ ἐν τῷ τοῦ ἀγῶνος τόπῳ καθήμενοι ἐθεῶντο τοὺς ἵππους· οὗτοι δὲ ἔτρεχον σπεύδοντες διὰ τῆς πεδιάδος. πρῶτος δὲ ὁ Ἰδομενεὺς ὁ στρατηγὸς τῶν Κρητῶν ἐνόεσε τοὺς ἵππους· ἐκάθητο γὰρ ἐκτὸς τῶν ἄλλων ἄνωθι ἐν ὑψηλῷ τόπῳ. Τούτου δὲ πόῤῥωθεν ὄντος τοῦ ἀπειλοῦντος καὶ παρακελευομένου ἀκούσας ἐνόησεν, ἐθεάσατο δὲ τὸν διάδηλον, καὶ ἐπίσημον ἵππον προβαίνοντα, ὃς τὸ μὲν ἄλλο σῶμα πυῤῥὸς τῷ χρώματι ἦν, ἐν τῷ μετώπῳ δὲ σημεῖον λευκὸν ἦν περιφερὲς ὥσπερ σελήνη. ἔστη δὲ ὀρθὸς, καὶ λόγον ἐν τοῖς Ἕλλησιν εἶπεν. Ὦ φίλοι ἡγεμόνες τῶν Ἑλλήνων καὶ βασιλεῖς, μόνος ἐγὼ τοὺς ἵππους ὁρῶ, ἢ καὶ ὑμεῖς; ἄλλοι μοι δοκοῦσι πρότεροι εἶναι ἵπποι, ἄλλος δὲ ἀναβάτης ἔοικεν· αὗται δέ που ἐβλάβησαν ἐν τῷ πεδίῳ, αἵτινες κρείσσονες ἦσαν ἐκεῖσε· ταύτας μὲν γὰρ τὸ πρῶτον ἐθεασάμην παρὰ τὸν καμπτῆρα ἐλθούσας, νῦν δὲ οὐδαμοῦ δύναμαι ἰδεῖν.

Νῦν δ' οὔ πη δύναμαι ἰδέειν, πάντη δέ μοι ὄσσε
Τρωϊκὸν ἂμ πεδίον παπταίνετον εἰσορόωντι·
Ἠὲ τὸν ἡνίοχον φύγον ἡνία, οὐδὲ δυνάσθη
Εὖ σχεθέειν περὶ τέρμα, καὶ οὐκ ἐτύχησεν ἑλίξας·
Ἔνθα μιν ἐκπεσέειν οἴω, σύν θ' ἅρματα ἆξαι·
Αἱ δ' ἐξηρώησαν, ἐπεὶ μένος ἔλλαβε θυμόν.
Ἀλλὰ ἴδεσθε καὶ ὔμμες ἀνασταδόν· οὐ γὰρ ἔγωγε
Εὖ διαγινώσκω· δοκέει δέ μοι ἔμμεναι ἀνὴρ
Αἰτωλὸς γενεὴν, μετὰ δ' Ἀργείοισιν ἀνάσσει
Τυδέος ἱπποδάμου υἱὸς, κρατερὸς Διομήδης·
Τὸν δ' αἰσχρῶς ἐνένιπεν Ὀϊλῆος ταχὺς Αἴας·
Ἰδομενεῦ, τί πάρος λαβρεύεαι; αἱ δέ τ' ἄνευθεν
Ἵπποι ἀερσίποδες πολέος πεδίοιο δίενται·
Οὔτε νεώτατός ἐσσι μετ' Ἀργείοισι τοσοῦτον,
Οὔτε τοι ὀξύτατον κεφαλῆς ἐκδέρκεται ὄσσε·
Ἀλλ' αἰεὶ μύθοις λαβρεύεαι· οὐδέ τί σε χρὴ
Λαβραγόρην ἔμεναι· πάρα γὰρ καὶ ἀμείνονες ἄλλοι·
Ἵπποι δ' αὖτε ἔασι παροίτεραι, αἳ τὸ πάρος περ,
Εὐμήλου, ἐν δ' αὐτὸς ἔχων εὔληρα βέβηκε.
Τὸν δὲ χολωσάμενος Κρητῶν ἀγὸς ἀντίον ηὔδα.
Αἶαν, νείκει ἄριστε, κακοφραδὲς, ἄλλα τε πάντα
Δεύεαι Ἀργείων, ὅτι τοι νόος ἐστὶν ἀπηνής·
Δεῦρο νῦν ἢ τρίποδος περιδώμεθον, ἠὲ λέβητος·
Ἵστορα δ' Ἀτρείδην Ἀγαμέμνονα θείομεν ἄμφω,
Ὁππότεραι πρόσθ' ἵπποι· ἵνα γνοίης ἀποτίνων.
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας,
Χωόμενος, χαλεποῖσιν ἀμείψασθαι ἐπέεσσι·
Καί νύ κε δὴ προτέρω ἔτ' ἔρις γένετ' ἀμφοτέροισιν,

πανταχόσε δέ μοι οἱ ὀφθαλμοὶ κατὰ τὸ τρωϊκὸν πεδίον περιβλέπουσι θεωμένῳ. ἢ τὸν ἡνιόχον ἔφυγον αἱ ἡνίαι, οὐδὲ ἠδυνήθη καλῶς κατασχεῖν παρὰ τὸν καμπτῆρα, καὶ ἀπέτυχε τοῦ ἑλίξαι καὶ συστρέψαι τοὺς ἵππους· ἐκεῖ αὐτὸν ἐκπεσεῖν ὑπολαμβάνω, καὶ τὰ ἅρματα συντρίψαι. αὗται δὲ ἔξω τοῦ δρόμου ὥρμησαν, ἐπειδὴ προθυμία ἐπεγένετο τῇ ψυχῇ· ἀλλὰ θεάσασθε καὶ ὑμεῖς ἀναστάντες, οὐ γὰρ ἐγὼ καλῶς διακρίνω. δοκεῖ δέ μοι εἶναι ἀνὴρ τὸ γένος Αἰτωλὸς βασιλεὺς δὲ ἐν τοῖς Ἕλλησιν, ὁ υἱὸς τοῦ ἱππικοῦ καὶ πολεμικοῦ Τυδέως ὁ ἰχυρὸς καὶ ἀνδρεῖος Διομήδης. Τοῦτον δὲ αἰσχρῶς καὶ ἀναιδῶς ἐλοιδώρησεν ὁ τοῦ Οϊλέως ταχύπους Αἴας. Ὦ Ἰδομενεῦ, τί πρὸ καιροῦ λάβρως καὶ ἀπερισκέπτως λαλεῖς· αὗται γὰρ πόῤῥωθεν αἱ ἵπποι . . . . διὰ τοῦ μεγάλου πεδίου τρέχουσιν· οὔτε νέος ὑπάρχεις ἐν τοῖς Ἕλλησι τοσοῦτον, ὥστε τὰ πολλῷ πόῤῥω ὁρᾶν, οὔτε σοι ὀξύτατα καὶ τμητικώτατα ἐκ τῆς κεφαλῆς βλέπουσιν οἱ ὀφθαλμοί. ἀλλ᾽ ἀεὶ λόγοις ἀχρήστως λαλεῖς· οὐδαμῶς δέ σε δεῖ ἀπαίδευτον ἐν τῷ λέγειν εἶναι· πάρεισι γὰρ καὶ ἄλλοι βελτίονες, αἱ ἵπποι δέ εἰσιν ἔμπροσθεν, αἱ καὶ πρότερον ἦσαν τοῦ Εὐμήλου. αὐτὸς δὲ ἐμβέβηκε κατέχων τὰς ἡνίας. Πρὸς τοῦτον δὲ ὀργισθεὶς ὁ στρατηγὸς τῶν Κρητῶν ἐξεναντίας ἔλεγεν· Ὦ Αἶαν, ἐν τῷ φιλονεικεῖν κράτιστε, κακῶς ἐπιλογιζόμενε, καὶ κατὰ πάντα τ᾽ ἄλλα τυγχάνεις ἡττώμενος τῶν Ἑλλήνων, καθότι σοι νοῦς ὑπάρχει ὠμὸς καὶ μωρός· ἄγε νῦν συνθώμεθα ἢ περὶ τρίποδος ἢ λέβητος, μάρτυρα δὲ ποιησώμεθα ἀμφότεροι Ἀγαμέμνονα τὸν υἱὸν τοῦ Ἀτρέως, ὁπότεραι (ὁποῖαι) ἵπποι εἰσὶν ἔμπροσθεν, ἵνα γνῷς ἀποδιδοὺς καὶ ζημιούμενος. Οὕτως εἶπε· διανέστη δὲ παραχρῆμα ὁ ταχύπους Αἴας τοῦ Οϊλέως πάνυ ὀργιζόμενος δεινοῖς χαλεποῖς λόγοις ἀποκρίνασθαι· καὶ δὴ προσωτέρω ἐχώρησεν ἂν ἀμφοτέροις ἡ φιλονεικία, εἰ μὴ αὐτὸς ὁ

Εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ φάτο μῦθον·
Μηκέτι νῦν χαλεποῖσιν ἀμείβεσθον ἐπέεσσιν,
Αἶαν, Ἰδομενεῦ τε, κακοῖς· ἐπεὶ οὐδὲ ἔοικε·
Καὶ δ᾽ ἄλλῳ νεμεσᾶτον, ὅ τις τοιαῦτά γε ῥέζοι·
Ἀλλ᾽ ὑμεῖς ἐν ἀγῶνι καθήμενοι εἰσοράασθε
Ἵππους· οἱ δὲ τάχ᾽ αὐτοὶ ἐπειγόμενοι περὶ νίκης
Ἐνθάδ᾽ ἐλεύσονται· τότε δὲ γνώσεσθε ἕκαστος
Ἵππους Ἀργείων, οἳ δεύτεροι, οἵ τε πάροιθεν.
Ὣς φάτο· Τυδείδης δὲ μάλα σχεδὸν ἦλθε διώκων,
Μάστιγι δ᾽ αἰὲν ἔλαυνε κατωμαδόν· οἱ δέ οἱ, ἵπποι
Ὑψόσ᾽ ἀειρέσθην ῥίμφα πρήσσοντε κέλευθον·
Αἰεὶ δ᾽ ἡνίοχον κονίης ῥαθάμιγγες ἔβαλλον·
Ἅρματα δὲ χρυσῷ πεπυκασμένα κασσιτέρῳ τε,
Ἵπποις ὠκυπόδεσσιν ἐπέτρεχον· οὐδέ τι πολλὴ
Γίνετ᾽ ἐπισσώτρων ἁρματροχιὴ κατόπισθεν
Ἐν λεπτῇ κονίῃ· τὼ δὲ σπεύδοντε πετέσθην·
Στῆ δὲ μέσῳ ἐν ἀγῶνι, πολὺς δ᾽ ἀνεκήκιεν ἱδρὼς
Ἵππων, ἔκ τε λόφων καὶ ἀπὸ στέρνοιο χαμᾶζε.
Αὐτὸς δ᾽ ἐκ δίφροιο χαμαὶ θόρε παμφανόωντος,
Κλῖνε δ᾽ ἄρα μάστιγα ποτὶ ζυγόν· οὐδ᾽ ἐμάτησεν
Ἴφθιμος Σθένελος, ἀλλ᾽ ἐσσυμένως λάβ᾽ ἄεθλον·
Δῶκε δ᾽ ἄγειν ἑτάροισιν ὑπερθύμοισι γυναῖκα,
Καὶ τρίποδ᾽ ὠτώεντα φέρειν· ὁ δ᾽ ἔλυεν ὑφ᾽ ἵππους.
Τῷ δ᾽ ἄρ᾽ ἔπ᾽ Ἀντίλοχος Νηλήϊος ἤλασεν ἵππους,
Κέρδεσιν, οὔτι τάχει γε παραφθάμενος Μενέλαον·
Ἀλλὰ καὶ ὣς Μενέλαος ἔχ᾽ ἐγγύθεν ὠκέας ἵππους·
Ὅσσον δὲ τροχοῦ ἵππος ἀφίσταται, ὅς ῥά τ᾽ ἄνακτα
Ἕλκῃσιν πεδίοιο τιταινόμενος σὺν ὄχεσφι,

Ἀχιλλεὺς ἀνέστη καὶ εἶπε λόγον. Μηκέτι νῦν ἀποκρίνεσθε λόγοις χαλεποῖς καὶ δεινοῖς, ὦ Αἶαν, καὶ Ἰδομενεῦ, ἐπαχθέσι καὶ βλαβεροῖς, οὐ γὰρ προσήκει· καὶ δὴ καὶ ἄλλῳ μέμφεσθε, ὅστις τοιαῦτά γε πράττοι, ἀλλ' ὑμεῖς ἐν τῷ ἀγῶνι καθήμενοι θεᾶσθε τοὺς ἵππους, οὗτοι δὲ ταχέως αὐτοὶ σπεύδοντες ἕνεκα νίκης δεῦρο ἀφίξονται· τότε δὲ γνώσεσθε πάντες τοὺς ἵππους τῶν Ἑλλήνων τίνες δεύτεροι, καὶ τίνες πρότεροι. Οὕτως εἶπεν· ὁ τοῦ Τυδέως δὲ πάνυ πλησίον ἀφίκετο τρέχων, μάστιγι δὲ ἀεὶ ἐδίωκε κατὰ τῶν ὤμων αὐτὴν ἐπαίρων, οἱ ἵπποι δὲ αὐτοῦ εἰς ὕψος ἤροντο ῥαδίως ἀνύοντες τὴν ὁδὸν, ἀεὶ δὲ τὸν ἀναβάτην ἔβαλλον ῥανίδες κόνεως αἰρομένης, τὸ ἅρμα δὲ χρυσῷ καὶ κασσιτέρῳ κεκαλυμμένον τὰ πέριξ ἄκρα, τοῖς ταχύποσιν ἵπποις ἐπέτρεχεν, οὐδέ τι μεγάλη ἐγίνετο ὄπισθεν ἡ τῶν ἐπικειμένων τοῖς τροχοῖς στομωμάτων ἐγχάραξις ἐν τῇ λεπτῇ κόνει· οὗτοι δὲ ἐπειγόμενοι ἔτρεχον, ἔστη δὲ ἐν τῷ μέσῳ τοῦ ἀγῶνος. πολὺς δὲ ἱδρὼς ἀνεφέρετο ἔκ τε τῶν κορυφῶν τῶν ἵππων καὶ ἀπὸ τῶν στέρνων ἐπὶ τὴν γῆν. αὐτὸς δὲ ἐκ τοῦ ὀχήματος τοῦ λαμπροτάτου κατεπήδησε χαμαὶ, ἔκλινε δὲ καὶ ἐπέθηκε τὴν μάστιγα πρὸς τὸν ζυγόν· οὐδὲ ὑστέρησεν ὁ ἰσχυρὸς καὶ γενναῖος Σθένελος· ἀλλ' ἐσπευσμένως ἔλαβε τὸ ἔπαθλον, καὶ ἔδωκε τοῖς μεγαλοψύχοις φίλοις ἄγειν γυναῖκα, καὶ τρίποδα φέρειν ὦτα ἔχοντα· αὐτὸς δὲ ἀπέλυσε τοὺς ἵππους· ἐπὶ τούτῳ δὲ Ἀντίλοχος ὁ τοῦ Νηλέως ἀπόγονος ἐπήγαγε τοὺς ἵππους τέχνῃ καὶ δόλῳ, οὐδαμῶς τάχει παρελθὼν τὸν Μενέλαον· ἀλλὰ καὶ οὕτως ὁ Μενέλαος ἤλαυνεν ἐκ τοῦ σύνεγγυς τοὺς ταχεῖς ἵππους. ὅσον δὲ ἀφίσταται τοῦ τροχοῦ ὁ ἵππος, ὃς δὴ τὸν κύριον εἵλκυσε διὰ τῆς πεδιάδος ἐπεκτεινόμενος καὶ τρέχων σὺν τοῖς ὀχήμασι· τῆς γὰρ περιφερείας τοῦ τροχοῦ

Τοῦ μέν τε ψαύουσιν ἐπισσώτρου τρίχες ἄκραι
Οὐραῖαι, ὁ δέ τ' ἄγχι μάλα τρέχει, οὐδέ τι πολλὴ
Χώρη μεσσηγὺς, πολέος πεδίοιο θέοντος·
Τόσσον δὴ Μενέλαος ἀμύμονος Ἀντιλόχοιο
Λείπετ'· ἀτὰρ τὰ πρῶτα καὶ ἐς δίσκουρα λέλειπτο,
Ἀλλά μιν αἶψα κίχανεν· ὀφέλλετο γὰρ μένος ἠῢ
Ἵππου τῆς Ἀγαμεμνονέης καλλίτριχος Αἴθης·
Εἰ δέ κ' ἔτι προτέρω γένετο δρόμος ἀμφοτέροισι,
Τῷ κέν μιν παρέλασσ', οὐδ' ἀμφήριστον ἔθηκεν.
Αὐτὰρ Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος,
Λείπετ' ἀγακλῆος Μενελάου δουρὸς ἐρωήν.
Βάρδιστοι μὲν γάρ οἱ ἔσαν καλλίτριχες ἵπποι,
Ἥκιστος δ' ἦν αὐτὸς ἐλαυνέμεν ἅρμ' ἐν ἀγῶνι.
Υἱὸς δ' Ἀδμήτοιο πανύστατος ἤλυθεν ἄλλων,
Ἕλκων ἅρματα καλὰ, ἐλαύνων πρόσσοθεν ἵππους.
Τὸν δὲ ἰδὼν ᾤκτειρε ποδάρκης δῖος Ἀχιλλεύς·
Στὰς δ' ἄρ ἐν Ἀργείοις ἔπεα πτερόεντ' ἀγόρευε·
Λοῖσθος ἀνὴρ ὤριστος ἐλαύνει μώνυχας ἵππους·
Ἀλλ' ἄγε δή οἱ δῶμεν ἀέθλιον, ὡς ἐπιεικὲς,
Δευτέρ'· ἀτὰρ τὰ πρῶτα φερέσθω Τυδέος υἱός.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπῄνεον, ὡς ἐκέλευε.
Καί νύ κέν οἱ πόρεν ἵππον, ἐπῄνησαν γὰρ Ἀχαιοὶ,
Εἰ μὴ ἄρ Ἀντίλοχος, μεγαθύμου Νέστορος υἱὸς,
Πηλείδην Ἀχιλλῆα δίκῃ ἠμείψατ' ἀναστάς·
Ὦ Ἀχιλεῦ, μάλα τοι κεχολώσομαι, αἴ κε τελέσσῃς
Τοῦτο ἔπος· μέλλεις γὰρ ἀφαιρήσεσθαι ἄεθλον,
Τὰ φρονέων, ὅτι οἱ βλάβεν ἅρματα καὶ ταχέ' ἵππω,
Αὐτός τ' ἐσθλὸς ἐών· ἀλλ' ὤφελεν ἀθανάτοισιν

ψαύουσιν αἱ τελευταῖαι τρίχες τῆς οὐρᾶς, οὗτος δὲ πάνυ πλησίον τρέχει, οὐδέ τι πολλὴ διάστασις μεταξὺ διὰ τοῦ μεγάλου πεδίου τρέχοντος· τοσοῦτον δὴ ὁ Μενέλαος τοῦ ἀμωμήτου καὶ βελτίστου Ἀντιλόχου ἀφίστατο. τὸ πρῶτον δὲ καὶ εἰς δίσκου βολὴν ἀπελείπετο· ἀλλὰ ταχέως αὐτὸν κατελάμβανεν· αὐξάνετο γὰρ ἡ καλὴ προθυμία τῆς τοῦ Ἀγαμέμνονος Αἴθης τῆς ὡραιότριχος ἵππου. εἰ δ᾽ ἔτι προσωτέρω ἐγένετο δρόμος ἀμφοτέροις, ταύτῃ παρῆλθεν ἂν αὐτὸν, οὐδὲ ἀμφισβητήσιμον ἐποίησε. Μηριόνης δὲ ὁ χρηστὸς θεράπων τοῦ Ἰδομενέως ἀφίστατο τοῦ ὑπερενδόξου Μενέλαου δόρατος βολήν. βραδεῖς μὲν γὰρ ἦσαν αὐτοῦ ἵπποι ὡραιότριχες· ἐλάσσων δὲ ἦν αὐτὸς ἐλαύνειν ἅρμα ἐν τοῖς ἀγῶσιν. ὁ υἱὸς δὲ τοῦ Ἀδμήτου ὕστατος πάντων τῶν ἄλλων ἀφίκετο ἐπισύρων τὸ περικαλλὲς ἅρμα, ἐλαύνων εἰς τὸ πρόσω τοὺς ἵππους· τοῦτον δὲ θεασάμενος ἠλέησεν ὁ ἐνδοξότατος ταχύπους Ἀχιλλεύς. στὰς δὲ ἐν τοῖς Ἕλλησι λόγους ταχεῖς ἔλεγεν· Ὁ ἄριστος ἀνὴρ ἔσχατος πάντων ἐλαύνει τοὺς μονώνυχας ἵππους· ἀλλ᾽ ἄγε δὴ δῶμεν αὐτῷ ἔπαθλον ὡς τὸ εἰκὸς τὰ δεύτερα, τὰ πρῶτα δὲ ἐχέτω ὁ τοῦ Τυδέως υἱός. Οὕτως εἶπεν, οὗτοι δὲ πάντες συνῄνουν καθάπερ ἔλεγε. καὶ δὴ παρέσχεν ἂν αὐτῷ τὸν ἵππον, συνῄνεσαν γὰρ οἱ Ἕλληνες· εἰ μὴ Ἀντίλοχος ὁ τοῦ μεγαλοψύχου Νέστορος υἱὸς πρὸς τὸν τοῦ Πηλέως Ἀχιλλέα ἐνδίκως ἀπεκρίνατο ἀναστάς· Ὦ Ἀχιλλεῦ, πάνυ σοι ὀργισθήσομαι ἐὰν τελειώσῃς τόνδε τὸν λόγον, μέλλεις γὰρ ἀποστερήσειν ἔπαθλον· ταῦτα διανούμενος, ὅτι ἐβλάβησαν αὐτῷ τὰ ἅρματα καὶ οἱ ταχεῖς ἵπποι, αὐτός γε γενναῖος ὑπάρχων. ἀλλ᾽ ἐχρεώστει τοῖς ἀθανάτοις θεοῖς εὐχὰς ποιεῖσθαι· οὕτω γὰρ οὐκ ἂν

Εὔχεσθαι, τό κεν οὔτι πανύστατος ἦλθε διώκων.
Εἰ δέ μιν οἰκτείρεις, καί τοι φίλος ἔπλετο θυμῷ,
Ἔστι τοι ἐν κλισίῃ χρυσὸς πολὺς, ἔστι δὲ χαλκὸς,
Καὶ πρόβατ', εἰσὶ δέ τοι δμωαὶ, καὶ μώνυχες ἵπποι·
Τῶν οἱ ἔπειτ' ἀνελὼν δόμεναι καὶ μεῖζον ἄεθλον,
Ἠὲ καὶ αὐτίκα νῦν, ἵνα σ' αἰνήσωσιν Ἀχαιοί.
Τὴν δ' ἐγὼ οὐ δώσω· περὶ δ' αὐτῆς πειρηθήτω
Ἀνδρῶν, ὅς κ' ἐθέλῃσιν ἐμοὶ χερσὶ μάχεσθαι.
Ὣς φάτο· μείδησεν δὲ ποδάρκης δῖος Ἀχιλλεὺς,
Χαίρων Ἀντιλόχῳ, ὅτι οἱ φίλος ἦεν ἑταῖρος·
Καί μιν ἀμειβόμενος ἔπεα πτερόεντ' ἀγόρευεν·
Ἀντίλοχ', εἰ μὲν δή με κελεύεις οἴκοθεν ἄλλο
Εὐμήλῳ ἐπιδοῦναι, ἐγὼ δέ κε καί τὸ τελέσσω·
Δώσω οἱ θώρηκα, τὸν Ἀστεροπαῖον ἀπηύρων,
Χάλκεον, ᾧ πέρι χεῦμα φαεινοῦ κασσιτέροιο
Ἀμφιδεδίνηται· πολέος δέ οἱ ἄξιός ἐστιν.
Ἦ ῥα, καὶ Αὐτομέδοντι φίλῳ ἐκέλευσεν ἑταίρῳ
Οἰσέμεναι κλισίηθεν· ὁ δ' ᾤχετο, καί οἱ ἔνεικεν
Εὐμήλῳ δ' ἐν χερσὶ τίθει· ὁ δὲ δέξατο χαίρων.
Τοῖσι δὲ καὶ Μενέλαος ἀνίστατο, θυμὸν ἀχεύων,
Ἀντιλόχῳ ἄμοτον κεχολωμένος· ἐν δ' ἄρα κῆρυξ
Χερσὶ σκῆπτρον ἔθηκε, σιωπῆσαί τ' ἐκέλευσεν
Ἀργείους· ὁ δ' ἔπειτα μετηύδα ἰσόθεος φώς·
Ἀντίλοχε, πρόσθεν πεπνυμένε, ποῖον ἔρεξας;
Ἤισχυνας μὲν ἐμὴν ἀρετὴν, βλάψας δέ μοι ἵππους,
Τοὺς σοὺς πρόσθε βαλὼν, οἵ τοι πολὺ χείρονες ἦσαν.
Ἀλλ' ἄγετ', Ἀργείων ἡγήτορες, ἠδὲ μέδοντες,
Ἐς μέσον ἀμφοτέροισι δικάσσατε, μηδ' ἐπ' ἀρωγῇ·

ἀφίκετο τρέχων ὕστατος πάντων. εἰ δὲ ἐλεεῖς αὐτὸν καί σοι ἀγαπητὸς ὑπάρχει ἐν τῇ ψυχῇ· ἔστι σοι ἐν τῇ σκηνῇ πολὺς χρυσὸς, ἔστι δέ σοι χαλκὸς, καὶ πρόβατα, εἰσὶ δὲ δοῦλαι καὶ ἵπποι μονώνυχες. τούτων τι μετὰ ταῦτα καὶ μεῖζον ἔπαθλον ἀναλαβὼν δώρησαι αὐτῷ, ἢ καὶ νυνὶ παραχρῆμα, ὅπως σε ἐπαινέσωσιν οἱ Ἕλληνες· ταύτην δὲ ἐγὼ οὐκ ἐπιδώσω· περὶ αὐτῆς δὲ πειραθείτω, ὃς ἂν βούληται τῶν ἀνδρῶν χερσὶ μάχεσθαί μοι. Οὕτως εἶπεν· ἐγέλασε δὲ ὁ ἐνδοξότατος ταχύπους Ἀχιλλεὺς εὐφραινόμενος ἐπὶ τῷ Ἀντιλόχῳ· διότι φίλος ἦν αὐτῷ ἀγαπητός, καὶ ἀποκρινόμενος ἔλεγε πρὸς αὐτὸν λόγους ταχεῖς· Ὦ Ἀντίλοχε, ἐπειδή με κελεύεις οἴκοθεν ἄλλο ἔπαθλον δωρήσασθαι τῷ Εὐμήλῳ, ἔγωγε καὶ τοῦτ' ἂν ποιήσω· δώσω αὐτῷ θώρακα, ὃν τὸν Ἀστεροπαῖον ἀφειλόμην, τὸν χαλκοῦν· ᾧτινι χύμα λαμπροῦ κασσιτέρου περικέχυται καὶ πέπηκται, πολλοῦ δὲ ἄξιος ὑπάρχει. Εἶπε δὴ, καὶ Αὐτομέδοντι τῷ φίλῳ ἑταίρῳ ἐκέλευσε κομίσειν ἐκ τῆς σκηνῆς· οὗτος δὲ ἀπῆλθε καὶ ἤνεγκεν αὐτῷ· ἔθηκε δὲ ἐν ταῖς χερσὶ τοῦ Εὐμήλου, αὐτὸς δὲ εὐφραινόμενος ἐδέξατο αὐτόν. Ἐν τούτοις δὲ καὶ Μενέλαος ἀνέστη λυπούμενος κατὰ ψυχὴν τῷ Ἀντιλόχῳ καθ' ὑπερβολὴν ὀργισθείς. ὁ κῆρυξ δὲ ἐνέβαλεν εἰς τὰς χεῖρας αὐτοῦ τὴν βασιλικὴν ῥάβδον, καὶ σιγῆσαι ἐπέταξε τοῖς Ἕλλησιν. οὗτος δὲ μετὰ ταῦτα ἔλεγεν ὁ ἶσος τοῖς θεοῖς ἀνήρ· Ὦ Ἀντίλοχε, τὸ πρότερον συνετὲ καὶ φρόνιμε, τί ἐποίησας; κατῄσχυνας μὲν τὴν ἐμὴν ἀρετὴν, ἔβλαψας δέ μοι τοὺς ἵππους, τοὺς σοὺς ἔμπροσθεν ἀγαγὼν, οἵ σοι πολλῷ ἥττονες εἰσίν· ἀλλ' ἄγετε, ὦ ἡγεμόνες τῶν Ἑλλήνων καὶ βασιλεῖς, εἰς τὸ μέσον ἀμφοτέροις κρίνατε, μηδὲ ἐπὶ βοηθείᾳ καὶ κατὰ χάριν· μήποτέ τις εἴπῃ τῶν σιδηροθωράκων Ἑλ-

Μήποτέ τις εἴπῃσιν Ἀχαιῶν χαλκοχιτώνων,
Ἀντίλοχον ψεύδεσσι βιησάμενος Μενέλαος
Οἴχεται ἵππον ἄγων, οἱ πολὺ χείρονες ἦσαν
Ἵπποι, αὐτὸς δὲ κρείσσων ἀρετῇ τε, βίῃ τε.
Εἰ δ᾽ ἄγ᾽ ἐγὼν αὐτὸς δικάσω, καί μ᾽ οὔτινα φημὶ
Ἄλλον ἐπιπλήξειν Δαναῶν· ἰθεῖα γὰρ ἔσται·
Ἀντίλοχ᾽, εἰ δ᾽ ἄγε δεῦρο, διοτρεφὲς, ἣ θέμις ἐστὶ,
Στὰς ἵππων προπάροιθε καὶ ἅρματος, αὐτὰρ ἱμάσθλην
Χερσὶν ἔχε ῥαδινὴν, ᾗπερ τὸ πρόσθεν ἔλαυνες,
Ἵππων ἁψάμενος, γαιήοχον Ἐννοσίγαιον
Ὄμνυθι, μὴ μὲν ἑκὼν τὸ ἐμὸν δόλῳ ἅρμα πεδῆσαι.
Τὸν δ᾽ αὖτ᾽ Ἀντίλοχος πεπνυμένος ἀντίον ηὔδα·
Ἄνσχεο νῦν, πολλὸν γὰρ ἔγωγε νεώτερός εἰμι
Σεῖο, ἄναξ Μενέλαε, σὺ δὲ πρότερος καὶ ἀρείων.
Οἶσθ᾽, οἷαι νέου ἀνδρὸς ὑπερβασίαι τελέθουσι·
Κραιπνότερος μὲν γάρ τε νόος, λεπτὴ δέ τε μῆτις·
Τῷ τοι ἐπιτλήτω κραδίη· ἵππον δέ τοι αὐτὸς
Δώσω, τὴν ἀρόμην· εἰ καί νύ κεν οἴκοθεν ἄλλο
Μεῖζον ἀπαιτήσειας, ἄφαρ κέ τοι αὐτίκα δοῦναι
Βουλοίμην, ἢ σοί γε, διοτρεφὲς, ἤματα πάντα
Ἐκ θυμοῦ πεσέειν, καὶ δαίμοσιν εἶναι ἀλιτρός.
Ἦ ῥα, καὶ ἵππον ἄγων μεγαθύμου Νέστορος υἱὸς
Ἐν χείρεσσι τίθει Μενελάου· τοῖο δὲ θυμὸς
Ἰάνθη, ὡσεί τε περὶ σταχύεσσιν ἐέρση
Ληΐου ἀλδήσκοντος, ὅτε φρίσσουσιν ἄρουραι·
Ὣς ἄρα σοί, Μενέλαε, μετὰ φρεσὶ θυμὸς ἰάνθη·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἀντίλοχε νῦν μέν τοι ἐγὼν ὑποείξομαι αὐτὸς,

λήνων τὸν Ἀντίλοχον ψεύσμασι βιασάμενος ὁ Μενέλαος ἀπῆλθεν ἔχων τὸν ἵππον, διότι αὐτῷ πολλῷ ἥττονές εἰσιν ἵπποι, αὐτὸς δὲ κρείττων ἀρετῇ καὶ δυνάμει· εἰ δὲ μὴ, ἄγε ἐγὼ αὐτὸς κρινῶ, καί με οὐδένα οἴομαι ἄλλον τῶν Ἑλλήνων ἐλέγξειν. εὐθεῖα γὰρ καὶ δικαία ἔσται ἡ κρίσις μου. Ὦ Ἀντίλοχε, ἄγε δὴ ἐνθάδε, ἐνδοξοτάτως τεθραμμένε, καθάπερ ἐστὶν ὅσιον καὶ δίκαιον. Στὰς ἔμπροσθεν τῶν ἵππων καὶ τοῦ ἅρματος, τὴν μάστιγα δὲ ἐν ταῖς χερσὶν ἔχε τὴν λεπτὴν καὶ ἐπιμήκη, δι᾽ ἧς τὸ πρότερον ἐδίωκας ἁψάμενος τῶν ἵππων, τὸν συνέχοντα τὴν γῆν καὶ σείοντα Ποσειδῶνα ὄμνυ, ἦ μὴν οὐκ ἐθελουσίως ἐπιβουλῇ τὸ ἐμὸν ἅρμα παρελθεῖν. Πρὸς τοῦτον δὲ Ἀντίλοχος ὁ συνετὸς καὶ φρόνιμος ἐναντίον ἔλεγεν· Ἀνάσχου καὶ ὑπόμεινον νῦν· πολλῷ γὰρ ἐγὼ νεώτερος ὑπάρχω σοῦ, βασιλεῦ Μενέλαε, σὺ δὲ πρεσβύτερος καὶ κρείσσων, οἶδας ὁποῖαι ὑπάρχουσιν αἱ τοῦ νέου ἀνδρὸς παραβάσεις τοῦ δέοντος, ταχύτερος μὲν γὰρ καὶ εὐκινητότερός ἐστιν ὁ νοῦς, μικρὰ δὲ καὶ ἀφελὴς ἡ βουλή· δι᾽ ὅ σοι ὑπομεινάτω ἡ καρδία, ἵππον δέ σοι ἐγὼ δώσω, ἣν ἔλαβον· εἰ δὲ καὶ οἴκοθεν ἄλλό τι μεῖζον ἀπαιτήσαις, εὐθέως ἄν σοι καὶ παραχρῆμα δοῦναι ἐθέλοιμι μᾶλλον, ἢ σοί γε, ἐνδόξως τεθραμμένε, πάντα τὸν χρόνον ἐκπεσεῖν τῆς ψυχῆς (φιλίας) καὶ ἀποθύμιος καὶ μισητὸς εἶναι, καὶ τοῖς θεοῖς ἄδικος καὶ ἁμαρτωλὸς ὑπάρχειν. Εἶπε δή· καὶ τὴν ἵππον ἄγων ὁ τοῦ μεγαλοψύχου Νέστορος υἱὸς ἐνέβαλεν εἰς τὰς χεῖρας τοῦ Μενελάου, τούτου δὲ ἡ ψυχὴ εὐφράνθη, οἷον εἰ ἐν τοῖς ἀστάχυσι δρόσος τοῦ ληΐου αὐξανομένου περιεχύθη, ἡνίκα ξηρότερά εἰσι τὰ χωρία. οὕτω δὴ σοὶ, ὦ Μενέλαε, ἐν τῇ διανοίᾳ ἡ ψυχὴ διεχύθη καὶ ἐχάρη, καὶ φωνήσας πρὸς αὐτὸν ἔλεγε λόγους ταχεῖς· Ὦ Ἀντίλοχε, νῦν μέν σοι ἐγὼ αὐτὸς ὑπείξω καὶ συγχωρήσω ὀργιζόμενος, ἐπειδὴ οὐδαμῶς ἄφρων, οὐδὲ

Χώσομαι· ἐπεὶ οὔτι παρήορος, οὐδ' ἀεσίφρων
Ἦσθα πάρος· νῦν αὖτε νόον νίκησε νεοίη.
Δεύτερον αὖτ' ἀλέασθαι ἀμείνονας ἠπεροπεύειν·
Οὐ γαρ κέν με τάχ' ἄλλος ἀνὴρ παρέπεισεν Ἀχαιῶν
Ἀλλὰ σὺ δὴ πόλλ' ἔπαθες, καὶ πόλλ' ἐμόγησας,
Σός τε πατὴρ ἀγαθὸς, καὶ ἀδελφεὸς, εἵνεκ' ἐμεῖο·
Τῷ τοι λισσομένῳ ἐπιπείσομαι, ἠδὲ καὶ ἵππον
Δώσω ἐμήν περ ἐοῦσαν· ἵνα γνώωσι καὶ οἵδε,
Ὡς ἐμὸς οὔποτε θυμὸς ὑπερφίαλος καὶ ἀπηνής.
Ἦ ῥα, καὶ Ἀντιλόχοιο νοήμονι δῶκεν ἑταίρῳ
Ἵππον ἄγειν· ὁ δ' ἔπειτα λέβηθ' ἕλε παμφανόωντα.
Μηριόνης δ' ἀνάειρε δύο χρυσοῖο τάλαντα,
Τέτρατος ὡς ἔλασεν· πέμπτον δ' ὑπελείπετ' ἄεθλον,
Ἀμφίθετος φιάλη, τὴν Νέστορι δῶκεν Ἀχιλλεὺς,
Ἀργείων ἀν' ἀγῶνα φέρων, καὶ ἔειπε παραστάς.
Τῆ νῦν, καί σοι τοῦτο, γέρον, κειμήλιον ἔστω,
Πατρόκλοιο τάφου μνῆμ' ἔμμεναι· οὐ γὰρ ἔτ' αὐτὸν
Ὄψει ἐν Ἀργείοισι· δίδωμι δέ τοι τόδ' ἄεθλον
Αὔτως· οὐ γὰρ πύξ γε μαχήσεαι, οὐδὲ παλαίσεις,
Οὐδέ τ' ἀκοντιστὺν ἐνδύσεαι, οὐδὲ πόδεσσι
Θεύσεαι· ἤδη γὰρ χαλεπὸν κατὰ γῆρας ἔπεισιν.
Ὣς εἰπὼν, ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων,
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ναὶ δὴ ταῦτά γε πάντα, τέκος, κατὰ μοῖραν ἔειπες.
Οὐ γὰρ ἔτ' ἔμπεδα γυῖα, φίλος, πόδες, οὐδέ τι χεῖρες
Ὤμων ἀμφοτέρωθεν ἐπαΐσσονται ἐλαφραί.
Εἴθ' ὣς ἡβώοιμι, βίη τέ μοι ἔμπεδος εἴη,
Ὡς ὁπότε κρείοντ' Ἀμαρυγκέα θάπτον Ἐπειοὶ

δολιόφρων ὑπῆρχες τὸ πρὶν, νῦν δὲ τὸν νοῦν ἐνίκησεν ἡ νεότης· αὖθις δὲ ἐξαπατᾷν τοὺς κρείσσονας φυλάττου· οὐ γὰρ ἄν με ταχέως ἄλλος τις ἀνὴρ τῶν Ἑλλήνων κατέπεισεν, ἀλλὰ σὺ δὴ πολλὰ ἔπαθες καὶ πολλὰ ἐκακοπάθησας καὶ ἐπόνησας, καὶ ὁ σὸς ἀγαθὸς πατὴρ καὶ ὁ ἀδελφὸς, ἕνεκα ἐμοῦ· δι᾽ ὅ σοι παρακαλοῦντι ὑπακούσομαι καὶ τὴν ἵππον δώσω, καίπερ οὖσαν ἐμήν· ἵνα γνῶσι καὶ οὗτοι, ὅτι ἡ ἐμὴ ψυχὴ οὐδέποτε ὑπάρχει ὑπερήφανος καὶ σκληρά· Εἶπε δὴ, καὶ τῷ νουνεχεῖ φίλῳ τοῦ Ἀντιλόχου ἔδωκε τὴν ἵππον ἄγειν· αὐτὸς δὲ μετὰ ταῦτα ἔλαβε τὸν λαμπρότατον λέβητα, ὁ Μηριόνης δὲ ἀνέλαβε τὰ δύο τάλαντα τοῦ χρυσοῦ, ἐπειδὴ τέταρτος ἀφίκετο. τὸ πέμπτον δὲ ἔπαθλον ὑπελείπετο ἡ θέσιν ἀμφοτέρωθεν ἔχουσα φιάλη· ἣν ἔδωκε τῷ Νέστορι ὁ Ἀχιλλεὺς, φέρων κατὰ τὸ ἄθροισμα τῶν Ἑλλήνων· καὶ εἶπε παραστάς· Λάβε νῦν (δὴ), καί σοι τοῦτο, ὦ γέρον, κτῆμα ἐναποκείμενον ἔστω, ὥστ᾽ εἶναι μνῆμα τοῦ ἐνταφιασμοῦ καὶ τῆς κηδείας τοῦ Πατρόκλου· οὐκέτι γὰρ αὐτὸν θεάσῃ ἐν τοῖς Ἕλλησι· δίδωμι δέ σοι τοῦτο τὸ ἔπαθλον οὕτως ἐπ᾽ οὐδενί· οὐ γὰρ πυγμῇ μαχήσῃ, οὐδὲ παλαίσεις, οὐδὲ εἰς ἀκοντισμὸν καὶ ἄφεσιν ἀκοντίων εἰσελεύσῃ, οὐδὲ ποσὶ δραμῇ· ἤδη γὰρ γῆρας χαλεπόν σε κατεπείγει. Οὕτως εἰπὼν ἔθηκεν εἰς τὰς χεῖρας· οὗτος δὲ ἐδέξατο αὐτὴν εὐφραινόμενος καὶ φωνήσας πρὸς αὐτὸν ἔλεγε λόγους ταχεῖς· Ναὶ δὴ ταῦτά γε πάντα, ὦ τέκνον, κατὰ τὸ πρέπον εἶπας· οὐκέτι γάρ μοι βέβαια καὶ ἰσχυρὰ τὰ μέλη, προσφιλέστατε, οἱ πόδες, οὐδὲ αἱ χεῖρες ἑκατέρωθεν ἐκ τῶν ὤμων κινοῦνται κούφως καὶ ἐλαφρῶς· εἴθε οὕτως ἀκμάζοιμι, καί μοι ἡ δύναμις ἀσφαλὴς καὶ κραταιὰ ὑπάρχοι, ὥσπερ ὅτε ἔθαπτον οἱ Ἠλεῖοι τὸν βασιλέα Ἀμαρυγκέα ἐν τῷ Βουπρασίῳ πεδίῳ· οἱ υἱοὶ δὲ ἔθηκαν τὰ τοῦ βασιλέως ἔπαθλα· τότε οὐδεὶς

Βουπρασίῳ, παῖδες δ' ἔθεσαν βασιλῆος ἄεθλα·
Ἔνθ' οὔτις μοι ὁμοῖος ἀνὴρ γένετ', οὔτ' ἄρ' Ἐπειῶν,
Οὔτ' αὐτῶν Πυλίων, οὔτ' Αἰτωλῶν μεγαθύμων.
Πὺξ μὲν ἐνίκησα Κλυτομήδεα, Ἤνοπος υἱὸν·
Ἀγκαῖον δὲ πάλῃ Πλευρώνιον, ὅς μοι ἀνέστη·
Ἴφικλον δὲ πόδεσσι παρέδραμον, ἐσθλὸν ἐόντα·
Δουρὶ δ' ὑπειρέβαλον Φυλῆά, τε, καὶ Πολύδωρον.
Οἴοισίν μ' ἵπποισι παρήλασαν Ἀκτορίωνε,
Πλήθει πρόσθε βαλόντες, ἀγασσάμενοι περὶ νίκης,
Οὕνεκα δὴ τὰ μέγιστα παρ' αὐτόθι λείπετ' ἄεθλα.
Οἱ δ' ἄρ ἔσαν διδυμοι· ὁ μὲν ἔμπεδον ἡνιόχευεν,
Ἔμπεδον ἡνιόχευ', ὁ δ' ἄρα μάστιγι κέλευεν·
Ὣς ποτ' ἔον, νῦν αὖτε νεώτεροι ἀντιοώντων
Ἔργων τοιούτων· ἐμὲ δὲ χρὴ γήραϊ λυγρῷ
Πείθεσθαι, τότε δ' αὖτε μετέπρεπον ἡρώεσσιν.
Ἀλλ' ἴθι, καὶ σὸν ἑταῖρον ἀέθλοισι κτερέϊζε.
Τοῦτο δ' ἐγὼ πρόφρων δέχομαι, χαίρει δέ μοι ἦτορ,
Ὥς μευ ἀεὶ μέμνησαι ἐνηέος· οὐδέ σε λήθω,
Τιμῆς ἧς τέ μ' ἔοικε τετιμῆσθαι μετ' Ἀχαιοῖς,
Σοὶ δὲ θεοὶ τῶνδ' ἀντὶ χάριν μενοεικέα δοῖεν.
Ὣς φάτο· Πηλείδης δὲ πολὺν καθ' ὅμιλον Ἀχαιῶν
Ὤιχετ', ἐπεὶ πάντ' αἶνον ἐπέκλυε Νηλείδαο.
Αὐτὰρ ὁ πυγμαχίης ἀλεγεινῆς θῆκεν ἄεθλον·
Ἡμίονον ταλαεργὸν ἄγων κατέδησ' ἐν ἀγῶνι
Ἑξέτε', ἀδμήτην, ἥτ' ἀλγίστη δαμάσασθαι·
Τῷ δ' ἄρα νικηθέντι τίθει δέπας ἀμφικύπελλον·
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ἀτρείδη τε, καὶ ἄλλοι ἐϋκνήμιδες Ἀχαιοὶ,

μοι ἀνὴρ ἦν ὅμοιος· οὔτε τῶν Ἠλείων οὔτε αὐτῶν τῶν Πυλίων, οὔτε τῶν μεγαλοψύχων Αἰτωλῶν· πυγμῇ μὲν ἐνίκησα Κλυτομήδην τὸν υἱὸν τοῦ Ἤνοπος· Ἀγκαῖον δὲ πάλῃ τὸν ἐκ τῆς Πλευρῶνος, ὅς μοι ἀνέστη παλαῖσαι, Ἴφικλον δὲ τοῖς ποσὶ παρῆλθον καὶ ἐνίκησα γενναῖον ὄντα· δόρατι δὲ ἐνίκησα τὸν Φυλέα καὶ τὸν Πολύδωρον· μόνοις ἵπποις παρῆλθον καὶ παρέδραμον οἱ υἱοὶ τοῦ Ἄκτορος, πολλῷ προπηδήσαντες, φθονήσαντες περὶ τῆς νίκης, διότι τὰ μέγιστα ἔπαθλα ὑπελείπετο αὐτόθι, οὗτοι δὲ ἦσαν δίδυμοι (συμφυεῖς καὶ ἅμα γεγεννημένοι)· καὶ ὁ μὲν ἀσφαλῶς ἀεὶ τὰς ἡνίας κατεῖχεν, ἀσφαλῶς ἀεὶ τὰς ἡνίας κατέχων τὸ ἅρμα ἴθυνεν· ὁ δὲ τῇ ἱμάσθλῃ τοὺς ἵππους παρώξυνεν· οὕτω ποτὲ ἦν, νυνὶ δὲ οἱ νεώτεροι ἀντιλαμβανέτωσαν τῶν τοιούτων ἔργων· ἐμὲ δὲ προσήκει τῷ χαλεπῷ γήρᾳ ὑπακούειν· τότε δὲ διέπρεπον ἐπὶ τοῖς ἥρωσι, καὶ ἔξοχος ἦν· ἀλλ᾽ ἄπελθε καὶ τὸν σὸν φίλον ἐνταφίαζε (γέραιρε, τίμα) ἐπάθλοις καὶ ἀγῶσι. τοῦτο δὲ ἐγὼ προθύμως δέχομαι, ἀγάλλεται δέ μου ἡ ψυχὴ, ὅτι μου ἀεὶ μέμνεσαι τοῦ προσηνοῦς καὶ φιλόφρονος, οὐδὲ λανθάνω σε ἐν τῇ τιμῇ, ᾗ με τιμᾶσθαι καθήκει ἐν τοῖς Ἕλλησι· σοὶ δὲ εἴθε δοῖεν οἱ θεοὶ ἀντὶ τούτων χάριν καὶ δωρεὰν εὐφρόσυνον. Οὕτως εἶπεν· ὁ τοῦ Πηλέως δὲ εἰς τὸν πολὺν σύλλογον τῶν Ἑλλήνων ἀπῆλθεν, ἐπειδὴ πάντα τὸν λόγον ἤκουσε τοῦ υἱοῦ τοῦ Νηλέως· αὐτὸς δὲ πυγμαχίας ἀλγεινῆς καὶ ὀδυνηρᾶς (τῆς πολυφρόντιδος καὶ πολλῆς δεομένης σκέψεως) ἔπαθλον ἔθηκεν, ἡμίονον καρτερικὴν πρὸς τὰ ἔργα ἄγων κατέδησεν ἐν τῷ ἀγῶνι, ἐτῶν ἕξ, μήπω δεδαμασμένην, ἥτις χαλεπωτάτη ἐστὶ δαμασθῆναι καὶ δουλωθῆναι· τῷ νικηθέντι δὲ ἔθηκε ποτήριον διπλοῦν, καὶ τὴν βάσιν δηλονότι κοίλην ἔχον, ἔστη δὲ ὀρθὸς καὶ λόγον ἐν τοῖς Ἕλλησιν εἶπεν. Ὦ υἱὲ τοῦ Ἀτρέως, καὶ ἄλλοι εὔοπλοι Ἕλληνες, ἄνδρας δύο περὶ τούτων προτρέψωμεν, οἵτινές εἰσιν ἄριστοι

Ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥπερ ἀρίστω,
Πὺξ μάλ' ἀνασχομένω πεπληγέμεν· ᾧ δέ κ' Ἀπόλλων
Δώῃ καμμονίην, γνώωσι δὲ πάντες Ἀχαιοὶ,
Ἡμίονον ταλαεργὸν ἄγων κλισίηνδε νεέσθω·
Αὐτὰρ ὁ νικηθεὶς δέπας οἴσεται ἀμφικύπελλον.
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' ἀνὴρ ἠΰς τε μέγας τε,
Εἰδὼς πυγμαχίης, υἱὸς Πανοπῆος, Ἐπειός·
Ἅψατο δ' ἡμιόνου ταλαεργοῦ, φώνησέν τε·
Ἆσσον ἴτω, ὅστις δέπας οἴσεται ἀμφικύπελλον,
Ἡμίονον δ' οὔ φημί τιν' ἀξέμεν ἄλλον Ἀχαιῶν,
Πυγμῇ νικήσαντ'· ἐπεὶ εὔχομαι εἶναι ἄριστος.
Ἦ οὐχ ἅλις, ὅττι μάχης ἐπιδεύομαι; οὐδ' ἄρα πως ἦν
Ἐν πάντεσσ' ἔργοισι δαήμονα φῶτα γενέσθαι.
Ὧδε γὰρ ἐξερέω, τὸ δὲ καὶ τετελεσμένον ἔσται,
Ἀντικρὺ χρόα τε ῥήξω, σύν τ' ὀστέ' ἀράξω.
Κηδεμόνες δέ οἱ ἐνθάδ' ἀολλέες αὖθι μενόντων,
Οἵ κέ μιν ἐξοίσουσιν, ἐμῆς ὑπὸ χερσὶ δαμέντα.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἀκὴν ἐγένοντο σιωπῇ
Εὐρύαλος δέ οἱ οἶος ἀνίστατο, ἰσόθεος φὼς,
Μηκιστέος υἱὸς, Ταλαϊονίδαο ἄνακτος,
Ὅς ποτε Θήβας ἦλθε δεδουπότος Οἰδιπόδαο
Ἐς τάφον· ἔνθα δὲ πάντας ἐνίκα Καδμείωνας.
Τὸν μὲν Τυδείδης δουρικλυτὸς ἀμφεποιεῖτο,
Θαρσύνων ἔπεσιν, μέγα δ' αὐτῷ βούλετο νίκην.
Ζῶμα δέ οἱ πρῶτον παρακάββαλεν, αὐτὰρ ἔπειτα
Δῶκεν ἱμάντας ἐϋτμήτους βοὸς ἀγραύλοιο.
Τὼ δὲ, ζωσαμένω βήτην ἐς μέσσον ἀγῶνα·
Ἄντα δ' ἀνασχομένω χερσὶ στιβαρῇσιν ἄμ' ἄμφω.

τὴν πυκτικὴν πάνυ ἀνατεινάμενοι πλήττειν καὶ τύπτειν· ᾧτινι δ' ἂν ὁ Ἀπόλλων παράσχῃ μονομερῆ νίκην, γνῶσι δὲ πάντες οἱ Ἕλληνες τοῦτο, τὴν ἐν τοῖς ἔργοις καρτερικὴν ἡμίονον ἄγων, πορευέσθω εἰς τὴν σκηνήν· ὁ νικηθεὶς δὲ λήψεται ἔκπωμα διπλοῦν. Οὕτως εἶπεν· ἀνέστη δὲ παραχρῆμα ἀνὴρ μέγας τε καὶ γενναῖος, ἔμπειρος τῆς πυκτικῆς, ὁ τοῦ Πανοπέως υἱὸς Ἐπειός. ἥψατο δὲ τοῦ καρτερᾶς ἡμιόνου καὶ εἶπεν. Ἐλθέτω πλησίον ὅστις λήψεται τὸ διπλοῦν ποτήριον, τὴν ἡμίονον δὲ οὐδένα ἄλλον τῶν Ἑλλήνων οἴομαι ἄξειν νικήσαντά με πυγμῇ· ἐπειδὴ καυχῶμαι κράτιστος εἶναι· ἢ οὐχ ἱκανῶς ἔχει, ὅτι ἐν τῷ πολέμῳ ἥττων εἰμί; οὐ γάρ ἐστι δυνατὸν γενέσθαι τινὰ ἄνδρα ἐπήβολον καὶ ἐπιστήμονα ἐν πᾶσι τοῖς ἔργοις· οὕτω γὰρ λέξω, τοῦτο δὲ καὶ τελειωθήσεται. ἀπαντικρὺ (ἐξεναντίας) ἀγωνιζόμενος τήν τε σάρκα σχίσω καὶ τὰ ὀστᾶ συντρίψω· φροντισταὶ δὲ αὐτῷ ἐνταυθοῖ ἀθρόοι παραμενέτωσαν, οἳ δὴ αὐτὸν ἐκκομίσουσι, δαμασθέντα ὑπὸ τῶν ἐμῶν χειρῶν. Οὕτως εἶπεν· οὗτοι δὲ πάντες ἄφωνοι ἐγένοντο σιωπῇ· Εὐρύαλος δὲ αὐτῷ μόνος ἀνέστη ἀνὴρ ἴσος θεῷ, υἱὸς Μηκιστέως τοῦ βασιλέως τοῦ υἱοῦ τοῦ Ταλαοῦ, ὃς ἀφίκετό ποτε εἰς τὰς Θήβας, ἀποθανόντος τοῦ Οἰδίποδος εἰς ἐπιτάφιον, ἐκεῖ δὲ πάντας ἐνίκα τοὺς Θηβαίους. περὶ τοῦτον μὲν οὖν ὁ κατὰ πόλεμον ἔνδοξος υἱὸς τοῦ Τυδέως ἠσχολεῖτο καὶ ἐνήργει παρορμῶν αὐτὸν λόγοις· πάνυ δὲ αὐτῷ ἤθελε νίκην· περίζωμα δὲ αὐτῷ πρῶτον περιέθηκε. μετὰ ταῦτα δὲ ἔδωκαν τοὺς καλῶς κεκομμένους λώρους τοῦ ἐν ἀγρῷ διαιτωμένου βοὸς, οὗτοι δὲ ζωσάμενοι ἐπορεύθησαν εἰς τὸ μέσον τοῦ ἀγῶνος, ἐξεναντίας δὲ ἀνατεινάμενοι χερσὶν ἰσχυραῖς ὁμοῦ ἀμφότεροι συνέπεσον καὶ συνέβαλον, συνέμιξαν δὲ αὐτῶν αἱ βαρεῖαι καὶ ἐπαχθεῖς χεῖρες, φοβερὸς δὲ ψόφος

Σὺν ῥ' ἔπεσον, σὺν δέ σφι βαρεῖαι χεῖρες ἔμιχθεν·
Δεινὸς δὲ χρόμαδος γενύων γένετ', ἔῤῥεε δ' ἱδρὼς,
Πάντοθεν ἐκ μελέων· ἐπὶ δ' ὤρνυτο θεῖος Ἐπειὸς,
Κόψε δὲ παπτήναντα παρήϊον, οὐδ' ἄρ' ἔτι δὴν
Ἑστήκειν· αὐτοῦ γὰρ ὑπήριπε φαίδιμα γυῖα.
Ὡς δ' ὅθ' ὑπὸ φρικὸς Βορέω ἀναπάλλεται ἰχθὺς
Θῖν' ἔπι φυκιόεντι, μέλαν δέ ἑ κῦμα κάλυψεν·
Ὡς πληγεὶς ἀνέπαλτ'· αὐτὰρ μεγάθυμος Ἐπειὸς
Χερσὶ λαβὼν ὤρθωσε· φίλοι δ' ἀμφέσταν ἑταῖροι,
Οἵ μιν ἄγον δι' ἀγῶνος ἐφελκομένοισι πόδεσσιν,
Αἷμα παχὺ πτύοντα, κάρη βάλλονθ' ἑτέρωσε·
Κὰδδ' ἀλλοφρονέοντα μετὰ σφίσιν εἷσαν ἄγοντες·
Αὐτοὶ δ' οἰχόμενοι κόμισαν δέπας ἀμφικύπελλον.
Πηλείδης δ' αἶψ' ἄλλα κατὰ τρίτα θῆκεν ἄεθλα,
Δεικνύμενος Δαναοῖσι, παλαισμοσύνης ἀλεγεινῆς.
Τῷ μὲν νικήσαντι, μέγαν τρίποδ' ἐμπυριβήτην,
Τὸν δὲ δυωδεκάβοιον ἐνὶ σφίσι τῖον Ἀχαιοί·
Ἀνδρὶ δὲ νικηθέντι γυναῖκ' ἐς μέσσον ἔθηκεν·
Πολλὰ δ' ἐπίστατο ἔργα· τίον δέ ἑ τεσσαράβοιον·
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθον.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας,
Ἂν δ' Ὀδυσεὺς πολύμητις ἀνίστατο, κέρδεα εἰδώς·
Ζωσαμένω δ' ἄρα τώ γε βάτην ἐς μέσσον ἀγῶνα,
Ἀγκὰς δ' ἀλλήλων λαβέτην χερσὶ στιβαρῇσιν·
Ὡς δ' ὅτ' ἀμείβοντες, τούς τε κλυτὸς ἤραρε τέκτων,
Δώματος ὑψηλοῖο, βίας ἀνέμων ἀλεείνων·
Τετρίγει δ' ἄρα νῶτα, θρασειάων ἀπὸ χειρῶν

καὶ κτύπος τῶν σιαγόνων ἐγένετο, ἔῤῥει δὲ καὶ ἐχεῖτο ἱδρὼς πάντοθεν ἐκ τῶν μελῶν, ἐφώρμησε δὲ ὁ ἔνδοξος Ἐπειὸς, ἔπληξε δὲ περιβλεψάμενον κατὰ τὴν παρειὰν, οὐκέτι δὲ ἐπὶ πολὺ ἵστατο, αὐτόθι γὰρ ὑποπέπτωκε τὰ λαμπρὰ μέλη. ὥσπερ δὲ ὅτε ὑπὸ τοῦ βορέου ἀναπηδᾷ ἐκ τοῦ ἐπανεστηκότος τῆς θαλάσσης ὁ ἰχθὺς παρὰ τὸν βρυώδη αἰγιαλὸν καὶ τὸ μέλαν κῦμα πελικαλύπτει αὐτὸν, οὕτω πληγεὶς ἀνετράπη αὐτόθι· ὁ μεγαλόψυχος δὲ Ἐπειὸς κρατήσας αὐτὸν ταῖς χερσὶν ἀνώρθωσεν, οἱ ἀγαπητοὶ δὲ φίλοι περιίσταντο, οἵτινες αὐτὸν ἔφερον διὰ τοῦ ἀγῶνος τῶν ποδῶν ἐπισυρομένων, αἷμα πολὺ πτύοντα, τὴν κεφαλὴν κλίνοντα πρὸς τὸν ὦμον· . . . . αὐτοὶ δὲ ἀπελθόντες ἔνεγκαν (ἔλαβον) τὸ διπλοῦν ἔκπωμα. Ὁ τοῦ Πηλέως δὲ ταχέως ἄλλα τρίτα κατέθηκεν ἔπαθλα φιλοτιμούμενος τοῖς Ἕλλησιν, τῆς δυσχεροῦς καὶ ἐπιπόνου πάλης· τῷ μὲν νικήσαντι τρίποδα μέγαν ἐν τῷ πυρὶ τιθέμενον, τοῦτον δὲ δώδεκα βοῶν ἐτίμων ἐν ἑαυτοῖς οἱ Ἕλληνες, τῷ νικηθέντι δὲ ἀνδρὶ ἔθηκεν εἰς τὸ μέσον γυναῖκα, πολλὰ δὲ ἔργα ἠπίστατο, ἐτίμων δ' αὐτὴν τεσσάρων βοῶν. ἔστη δὲ ὀρθὸς καὶ λόγον ἐν τοῖς Ἕλλησιν εἶπεν. Ἐγείρεσθε οἳ καὶ τούτου τοῦ ἄθλου πειραθήσεσθε. Οὕτως εἶπεν. ἀνέστη δὲ μετὰ ταῦτα ὁ τοῦ Τελαμῶνος μέγας Αἴας, ἀνέστη δὲ καὶ ὁ πολύβουλος Ὀδυσσεὺς, ὁ τὰς μηχανὰς καὶ πανουργίας ἐπιστάμενος· ζωσάμενοι δ' ἄρα οὗτοι ἐπορεύθησαν εἰς τὸ μέσον τοῦ ἀγῶνος, τὰς ἀγκάλας δὲ ἀλλήλων περιέλαβον χερσὶ στιβαραῖς καὶ ἰσχυραῖς· ὥσπερ δὲ ὅτε οἱ συςάται, οὓς ἔνδοξος τέκτων ἥρμοσε, τοῦ ὑψηλοῦ οἰκήματος, τὴν τῶν ἀνέμων ἰσχὺν φυλαττόμενος, ἔτριζον δὲ τὰ νῶτα ὑπὸ τῶν εὐτόλμων καὶ ἰσχυρῶν χειρῶν ἐπισυρόμενα σφοδρῶς, κατέῤῥει δὲ ἐκ τῶν νώτων ἱδρὼς

Ἑλκόμενα στερεῶς, κατὰ δὲ νῶτιος ῥέεν ἱδρώς·
Πυκναὶ δὲ σμώδιγγες ἀνὰ πλευράς τε καὶ ὤμους
Αἵματι φοινικόεσσαι ἀνέδραμον· οἱ δὲ μάλ' αἰεὶ
Νίκης ἱέσθην, τρίποδος πέρι ποιητοῖο·
Οὔτ' Ὀδυσεὺς δύνατο σφῆλαι, οὔδει τε πελάσσαι,
Οὔτ' Αἴας δύνατο, κρατερὴ δ' ἔχεν ἴς Ὀδυσῆος.
Ἀλλ' ὅτε δή ῥ' ἀνίαζον ἐϋκνήμιδας Ἀχαιούς,
Δὴ τότε μιν προσέειπε μέγας Τελαμώνιος Αἴας·
Διογενὲς Λαερτιάδη, πολυμήχαν' Ὀδυσσεῦ,
Ἤ μ' ἀνάειρ', ἢ ἐγώ σε· τὰ δ' αὖ Διῒ πάντα μελήσει.
Ὣς εἰπὼν, ἀνάειρε· δόλου δ' οὐ λήθετ' Ὀδυσσεύς·
Κόψ' ὄπιθεν κώληπα τυχὼν, ὑπέλυσε δὲ γυῖα·
Κὰδδ' ἔβαλ' ἐξοπίσω· ἐπὶ δὲ στήθεσσιν Ὀδυσσεὺς
Κάππεσε· λαοὶ δ' αὖ θηεῦντό τε, θάμβησάν τε.
Δεύτερος αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεὺς,
Κίνησεν δ' ἄρα τυτθὸν ἀπὸ χθονὸς, οὐδέ τ' ἄειρεν·
Ἐν δὲ γόνυ γνάμψεν· ἐπὶ δὲ χθονὶ κάππεσον ἄμφω
Πλησίοι ἀλλήλοισι, μιάνθησαν δὲ κονίῃ.
Καί νύ κε τὸ τρίτον αὖτις ἀναΐξαντε πάλαιον,
Εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνίστατο, καὶ κατέρυκε·
Μηκέτ' ἐρίδεσθον, μηδὲ τρίβεσθε κακοῖσι·
Νίκη δ' ἀμφοτέροισιν, ἀέθλια δ' ἶσ' ἀνελόντες
Ἔρχεσθ', ὄφρα καὶ ἄλλοι ἀεθλεύωσιν Ἀχαιοί.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα τοῦ μάλα μὲν κλύον, ἠδ' ἐπίθοντο·
Καί ῥ' ἀπομορξαμένω κονίην, δύσαντο χιτῶνας.
Πηλείδης δ' αἶψ' ἄλλα τίθει ταχυτῆτος ἄεθλα,
Ἀργύρεον κρητῆρα τετυγμένον· ἓξ δ' ἄρα μέτρα
Χάνδανεν, αὐτὰρ κάλλει ἐνίκα πᾶσαν ἐπ' αἶαν

πλεῖσται δὲ μώλωπες καὶ οἰδήματα κατὰ τὰς πλευρὰς καὶ τοὺς ὤμους αἵματι ἐρυθρὰ ὑπανέστησαν, οὗτοι δὲ πάνυ ἀεὶ νίκης ἐπεθύμουν ἕνεκα τοῦ πεποιημένου τρίποδος· καὶ οὔτε ὁ Ὀδυσσεὺς ἐδύνατο παρατρέψαι καὶ προσπελάσαι τῷ εδάφει, οὔτε ὁ Αἴας ἐδύνατο, καρτερῶς γὰρ ἀντεῖχεν ἡ τοῦ Ὀδυσσέως δύναμις. ἀλλ' ὁπηνίκα δὴ εἰς ἀνίαν ἦγον τοὺς εὐόπλους Ἕλληνας, τηνικαῦτα δὴ εἶπε πρὸς αὐτὸν ὁ τοῦ Τελαμῶνος μέγας Αἴας. Ὦ ἐκ τοῦ Διὸς καταγόμενε υἱὲ τοῦ Λαέρτου πολύτροπε Ὀδυσσεῦ, ἢ ἆρον μὲ εἰς ὕψος, ἢ ἐγὼ σέ· τἀπὶ τούτοις δὲ πάντα διὰ φροντίδος τῷ Διΐ ἔσται. Οὕτως εἰπὼν ἀνεκούφισεν αὐτὸν· οὐκ ἐπελάθετο δὲ τοῦ δόλου ὁ Ὀδυσσεὺς, ἔπληξε γὰρ ὄπισθεν τὴν ἰγνύην ἐπιτυχὼν, ἀσθενῆ δὲ ἐποίησε τὰ μέλη, κατέπεσε δὲ εἰς τοὐπίσω, ἐν τοῖς σήθεσι δὲ Ὀδυσσεὺς κατέπεσεν· οἱ λαοὶ δὲ ἐθαύμαζόν (ἐθεῶντό) τε καὶ ἐξεπλάγησαν· δεύτερος δὲ ἐπῆρεν ὁ καρτερικὸς ἐνδοξότατος Ὀδυσσεὺς, ἐκίνησε δὲ ὀλίγον ἀπὸ τῆς γῆς, οὐδέ γε ἀνεκούφισεν, ἐνέκαμψε δὲ τὸ γόνυ, κατέπεσον δὲ ἀμφότεροι ἐπὶ τὴν γῆν ἐπάλληλοι, ἐμολύνθησαν δὲ ὑπὸ τῆς κόνεως. καὶ δὴ τὸ τρίτον πάλιν ἀνορμήσαντες ἐπάλαιον ἂν, εἰ μὴ Ἀχιλλεὺς αὐτὸς ἀνέστη καὶ διεκώλυσε λέγων. Μηκέτι μάχεσθε μηδὲ καταπονεῖτε κακοῖς ἑαυτοὺς, ἡ νίκη δὲ ἀμφοτέρων ἐστὶν, ἔπαθλα δὲ ὅμοια ἀναλαβόντες πορεύεσθε, ἵνα καὶ ἄλλοι Ἕλληνες ἀγωνίσωνται. Οὕτως εἶπεν. οὗτοι δὲ αὐτοῦ πάνυ ἐπήκουσαν καὶ ἐπείσθησαν καὶ δὴ ἀποτιναξάμενοι τὴν κόνιν ἐνεδύσαντο τοὺς χιτῶνας. Ὁ τοῦ Πηλέως δὲ ταχέως ἄλλα ἔθηκεν ἔπαθλα ταχυτῆτος ἀργυροῦν κρατῆρα κατεσκευασμένον, ἓξ δὲ μέτρα ἐχώρει, ὡραιότητι δὲ ἐπὶ πᾶσαν τὴν γῆν ἐνίκα τοὺς ἄλλους πολλῷ, ἐπειδὴ Σιδόνες οἱ πολλὰ ποικίλα ἐργαζόμενοι, καλῶς κα-

Πολλὸν, ἐπεὶ Σιδόνες πολυδαίδαλοι εὖ ἤσκησαν,
Φοίνικες δ' ἄγον ἄνδρες ἐπ' ἠεροειδέα πόντον,
Στῆσαν δ' ἐν λιμένεσσι, Θόαντι δὲ δῶρον ἔδωκαν·
Υἷος δὲ Πριάμοιο Λυκάονος ὦνον ἔδωκε.
Πατρόκλῳ ἥρωϊ Ἰησονίδης Εὔνηος.
Καὶ τὸν Ἀχιλλεὺς θῆκεν ἄεθλιον οὗ ἑτάροιο,
Ὅστις ἐλαφρότατος ποσσὶ κραιπνοῖσι πέλοιτο.
Δευτέρῳ αὖ βοῦν θῆκε μέγαν καὶ πίονα δημῷ·
Ἡμιτάλαντον δὲ χρυσοῦ λοισθῆ' ἔθηκε,
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε.
Ὣς ἔφατ'· ὤρνυτο δ' αὐτίκ' Ὀϊλῆος ταχὺς Αἴας,
Ἂν δ' Ὀδυσεὺς πολύμητις, ἔπειτα δὲ Νέστορος υἱὸς
Ἀντίλοχος· ὁ γὰρ αὖτε νέους ποσὶ πάντας ἐνίκα·
Σταν δὲ μεταστοιχεί· σήμηνε δὲ τέρματ' Ἀχιλλεύς·
Τοῖσι δ' ἀπὸ νύσσης τέτατο δρόμος· ὦκα δ' ἔπειτα
Ἔκφερ' Ὀϊλιάδης· ἐπὶ δ' ὤρνυτο δῖος Ὀδυσσεὺς
Ἄγχι μάλ', ὡς ὅτε τίς τε γυναικὸς εὐζώνοιο
Στήθεός ἐστι κανὼν, ὅντ' εὖ μάλα χερσὶ τανύσσῃ,
Πηνίον ἐξέλκουσα παρὲκ μίτον, ἀγχόθι δ' ἴσχει
Στήθεος· ὣς Ὀδυσεὺς θέεν ἐγγύθεν αὐτὰρ ὄπισθεν
Ἴχνια τύπτε πόδεσσι, πάρος κόνιν ἀμφιχυθῆναι·
Κὰδδ' ἄρα οἱ κεφαλῆς χέ' ἀϋτμένα δῖος Ὀδυσσεὺς,
Αἰεὶ ῥίμφα θέων· ἴαχον δ' ἐπὶ πάντες Ἀχαιοὶ
Νίκης ἱεμένῳ, μάλα δὲ σπεύδοντι κέλευον.
Ἀλλ' ὅτε δὴ πύματον τέλεον δρόμον, αὐτίκ' Ὀδυσσεὺς
Εὔχετ' Ἀθηναίῃ γλαυκώπιδι ὃν κατὰ θυμόν·
Κλῦθι, θεὰ, ἀγαθή μοι ἐπίρροθος ἐλθὲ ποδοῖϊν.

τεσκεύασαν, φοίνικες δὲ ἄνδρες ἤνεγκαν διὰ τῆς σκοτοειδοῦς θαλάσσης, ἔστησαν (προσώρμισαν) δὲ ἐν τῷ λιμένι, τῷ Θόαντι δὲ ἔδωκαν αὐτὸν δῶρον· ὁ τοῦ Πριάμου δὲ υἱὸς Λυκάονος λύτρα ἔδωκε τῷ ἥρωϊ Πατρόκλῳ. Εὔνηος ὁ υἱὸς τοῦ Ἰάσονος, καὶ τοῦτον δὴ ὁ Ἀχιλλεὺς ἔθηκεν ἔπαθλον τοῦ ἑαυτοῦ φίλου. ὅστις κουφότατος ταχέσι ποσὶν ὑπάρχοι· τῷ δευτέρῳ δὲ βοῦν ἔθηκε μέγαν καὶ λιπαρὸν πιμελῆ, ἥμισυ δὲ ταλάντου χρυσοῦ τῷ ἐσχάτῳ ἔθηκεν. ἔστη δὲ ὀρθὸς καὶ λόγον ἐν τοῖς Ἕλλησιν εἶπεν. Ἀνάστητε οἳ καὶ τούτου τοῦ ἄθλου πειραθήσεσθε. Οὕτως εἶπεν· ἀνέστη δὲ παραχρῆμα ὁ ταχύπους Αἴας τοῦ Ὀϊλέως· ἀνέστη δὲ καὶ ὁ πολύβουλος Ὀδυσσεὺς μετὰ ταῦτα δὲ καὶ ὁ τοῦ Νέστορος υἱὸς Ἀντίλοχος, οὗτος γὰρ πάντας τοὺς νέους ἐνίκα τοῖς ποσίν· ἔστησαν δὲ κατὰ τάξιν· ἐδήλωσε δὲ τὰ τέλη τοῦ δρόμου ὁ Ἀχιλλεύς· τούτοις δὲ ἀπὸ τῆς ἀφετερίας ἐξετάθη ὁ δρόμος, ταχέως δὲ μετὰ ταῦτα προέβαινεν ὁ τοῦ Ὀϊλέως, ἐφώρμα δὲ ὁ ἐνδοξότατος Ὀδυσσεὺς ἐγγύθεν πάνυ. ὥσπερ ὅτε τις γυναικὸς καλλιζώνου ἐγγὺς τοῦ στήθους ἐστὶν ὁ ἱστουργικὸς κανὼν, ὃν ἂν πάνυ καλῶς ἐκτανύσῃ ταῖς χερσὶ τὸ ὕφασμα ἐξέλκουσα παρὰ τὸν μῖτον, ἐγγὺς δὲ κατέχει τοῦ στήθους· οὕτως ὁ Ὀδυσσεὺς ἔτρεχεν ἐγγύθεν, ὄπισθεν δὲ τὰ ἴχνη φθάνων ἔτυπτε τοῖς ποσὶ, πρὶν κατενεχθῆναι τὴν κόνιν ἐπὶ τὸ ἴχνος, ἣν ὁ προτρέχων ἵστησι· κατὰ τῆς κεφαλῆς δὲ αὐτοῦ ἔχεεν ἀναπνοὴν ὁ ἐνδοξότατος Ὀδυσσεὺς, ἀεὶ τρέχων ταχέως· ἐπεβόησαν δὲ πάντες οἱ Ἕλληνες αὐτῷ νίκης ἐφιεμένῳ· πάνυ δὲ ἐπειγομένῳ καὶ σπουδάζοντι παρεκελεύοντο· ἀλλ᾽ ὁπηνίκα δὴ τὸ ἔσχατον τοῦ δρόμου ἤνυον, παραχρῆμα Ὀδυσσεὺς ηὔχετο τῇ Ἀθηνᾷ τῇ εὐοφθάλμῳ κατὰ τὴν ἑαυτοῦ ψυχήν· Ἐπάκουσόν μου, ὦ θεὰ, ἐλθέ μοι ἀγαθὴ βοηθὸς τῶν ποδῶν. Οὕτως εἶπε δεόμενος· τούτου δὲ ἐπήκουσεν ἡ πολεμικὴ Ἀθηνᾶ, τὰ

Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε Παλλὰς Ἀθήνη·
Γυῖα δ' ἔθηκεν ἐλαφρὰ πόδας, καὶ χεῖρας ὕπερθεν.
Ἀλλ' ὅτε δὴ τάχ' ἔμελλον ἐπαΐξασθαι ἄεθλον.
Ἔνθ' Αἴας μὲν ὄλισθε θέων, βλάψεν γὰρ Ἀθήνη,
Τῇ ῥα βοῶν κέχυτ' ὄνθος ἀποκταμένων ἐριμύκων,
Οὓς ἐπὶ Πατρόκλῳ πέφνεν πόδας ὠκὺς Ἀχιλλεύς·
Ἐν δ' ὄνθου βοέου πλῆτο στόμα τε, ῥῖνάς τε.
Κρητῆρα αὖτ' ἀνάειρε πολύτλας δῖος Ὀδυσσεύς,
Ὡς ἦλθε φθάμενος· ὁ δὲ βοῦν ἕλε φαίδιμος Αἴας·
Στῆ δὲ κέρας μετὰ χερσὶν ἔχων βοὸς ἀγραύλοιο,
Ὄνθον ἀποπτύων, μετὰ δ' Ἀργείοισιν ἔειπεν·
Ὢ πόποι, ἦ μ' ἔβλαψε θεὰ πόδας, ἣ τὸ πάρος περ,
Μήτηρ ὥς, Ὀδυσῆϊ παρίσταται, ἠδ' ἐπαρήγει.
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πάντες ἐπ' αὐτῷ ἡδὺ γέλασσαν·
Ἀντίλοχος δ' ἄρα δὴ λοισθήϊον ἔκφερ' ἄεθλον,
Μειδιόων, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Εἰδόσιν ὔμμ' ἐρέω πᾶσιν, φίλοι, ὡς ἔτι καὶ νῦν
Ἀθάνατοι τιμῶσι παλαιοτέρους ἀνθρώπους·
Αἴας μὲν γὰρ ἐμεῖ' ὀλίγον προγενέστερός ἐστιν·
Οὗτος δὲ προτέρης γενεῆς, προτέρων τ' ἀνθρώπων,
Ὠμογέροντα δέ μιν φάσ' ἔμμεναι· ἀργαλέον δὲ
Ποσσὶν ἐριδήσασθαι Ἀχαιοῖς, εἰ μὴ Ἀχιλλεῖ.
Ὣς φάτο· κύδηνεν δὲ ποδώκεα Πηλείωνα.
Τὸν δ' Ἀχιλεὺς μύθοισιν ἀμειβόμενος προσέειπεν·
Ἀντίλοχ', οὐ μέν τοι μέλεος εἰρήσεται αἶνος,
Ἀλλά τοι ἡμιτάλαντον ἐγὼ χρυσοῦ ἐπιθήσω.
Ὣς εἰπών, ἐν χερσὶ τίθει· ὁ δ' ἐδέξατο χαίρων·
Αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος

μέλη δὲ αὐτοῦ ἐποίησε κοῦφα, τούς τε πόδας καὶ τὰς χεῖρας ἄνωθεν. ἀλλ᾽ ὁπηνίκα δὴ ταχέως ἔμελλον ἐπὶ τὸ ἔπαθλον ὁρμήσειν, τότε Αἴας μὲν σφήλας κατέπεσε τρέχων, ἔβλαψε γὰρ αὐτὸν ἡ Ἀθηνᾶ, ἔνθα ἦν κόπρος κεχυμένη βοῶν μεγάλως μυκωμένων ἀναιρεθέντων, οὓς ἐπὶ τῷ Πατρόκλῳ ἀπέκτεινεν ὁ ταχύπους Ἀχιλλεύς. ἐνεπληρώθη δὲ τὸ στόμα αὐτοῦ καὶ αἱ ῥῖνες κόπρου βοείας. τὸν κρατῆρα δὲ ἀνέλαβεν ὁ καρτερικὸς ἐνδοξότατος Ὀδυσσεὺς, ἐπειδὴ ἀφίκετο προφθάσας· οὗτος δὲ τὸν βοῦν ἔλαβεν ὁ λαμπρὸς Αἴας, ἔστη δὲ τὸ κέρας κατέχων ἐν ταῖς χερσὶ τοῦ ἀγροδιαίτου βοὸς, κόπρον ἀποπτύων, εἶπε δὲ ἐν τοῖς Ἕλλησι· Φεῦ φεῦ, ὄντως που ἡ θεὰ ἔβλαψε τοὺς πόδας μου, ἣ καὶ πρότερον καθάπερ μήτηρ σύνεστι τῷ Ὀδυσσεῖ καὶ βοηθεῖ. Οὕτως εἶπεν· οὗτοι δὲ πάντες ἡδέως ἐγέλασαν ἐπ᾽ αὐτῷ. ὁ Ἀντίλοχος δὲ τὸ ἔσχατον ἔπαθλον ἔλαβε μειδιῶν, καὶ λόγον ἐν τοῖς Ἕλλησιν εἶπεν. Ἐπισταμένοις ὑμῖν ἅπασιν ἐρῶ, ὦ φίλοι, ὡς ἔτι κἀν τῷ παρόντι οἱ αἰώνιοι θεοὶ τιμῶσι τοὺς πρεσβυτέρους ἀνθρώπους· ὁ Αἴας μὲν γὰρ ὀλίγον ἐμοῦ πρεσβύτερος ὑπάρχει. οὗτος δὲ προτέρας ἡλικίας καὶ προγενεστέρων ἀνθρώπων ἐστὶν, μήπω δὲ ὑπὸ γήρως καθεψημένον αὐτόν φασιν εἶναι· χαλεπὸν δὲ τοῖς Ἕλλησιν ἐλθεῖν αὐτῷ εἰς ἅμιλλαν ποδῶν, πλὴν Ἀχιλλέως. Οὕτως εἶπεν. ὕψωσε δὲ ἐπαίνῳ τὸν ταχύποδα υἱὸν τοῦ Πηλέως. πρὸς τοῦτον δὲ ὁ Ἀχιλλεὺς λόγοις ἀποκρινόμενος εἶπεν. Ὦ Ἀντίλοχε, οὐδαμῶς σοι μάταιος ῥηθήσεται ὁ ἔπαινος. ἀλλά σοι ἐγὼ ἥμισυ ταλάντου χρυσοῦ ἐπιδώσω. Οὕτως εἰπὼν ἐνέθηκε ταῖς χερσὶν, οὗτος δὲ ἐδέξατο ἀγαλλόμενος. Ὁ υἱὸς δὲ τοῦ Πηλέως δόρυ μακρὸν κατέθηκεν εἰς τὸν ἀγῶνα ἐνέγκας. κατέθηκε δὲ καὶ ἀσπίδα καὶ κράνος, ὅπλα τοῦ Σαρπηδόνος, ἅπερ

Θῆκ' ἐς ἀγῶνα φέρων, κατὰ δ' ἀσπίδα, καὶ τρυφάλειαν,
Τεύχεα Σαρπηδόντος, ἅ μιν Πάτροκλος ἀπηύρα·
Στῆ δ' ὀρθὸς, καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ἄνδρε δύω περὶ τῶνδε κελεύομεν, ὥπερ ἀρίστω,
Τεύχεα ἑσσαμένω, ταμεσίχροα χαλκὸν ἑλόντε,
Ἀλλήλων προπάροιθεν ὁμίλου πειρηθῆναι·
Ὁππότερός κεν φθῆσιν ὀρεξάμενος χρόα καλὸν,
Ψαύσῃ δ' ἐνδίνων, διά τ' ἔντεα, καὶ μέλαν αἷμα,
Τῷ μὲν ἐγὼ δώσω τόδε φάσγανον ἀργυρόηλον,
Καλὸν, Θρηΐκιον, τὸ μὲν, Ἀστεροπαῖον ἀπηύρων·
Τεύχεα δ' ἀμφότεροι ξυνήϊα ταῦτα φερέσθων·
Καί σφιν δαῖτ' ἀγαθὴν παραθήσομαι ἐν κλισίῃσιν.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μέγας Τελαμώνιος Αἴας
Ἂν δ' ἄρα Τυδείδης ὦρτο κρατερὸς Διομήδης·
Οἱ δ' ἐπεὶ οὖν ἑκάτερθεν ὁμίλου θωρήχθησαν,
Ἐς μέσον ἀμφοτέρων συνίτην μεμαῶτε μαχέσθαι,
Δεινὸν δερκόμενοι, θάμβος δ' ἔχε πάντας Ἀχαιούς·
Ἀλλ' ὅτε δὴ σχεδὸν ἦσαν ἐπ' ἀλλήλοισιν ἰόντες,
Τρὶς μὲν ἐπήϊξαν, τρὶς δὲ σχεδὸν ὡρμήθησαν·
Ἔνθ' Αἴας μὲν ἔπειτα κατ' ἀσπίδα πάντοσε ἴσην
Νύξ', οὐδὲ χρό'· ἵκανεν· ἔρυτο γὰρ ἔνδοθι θώρηξ.
Τυδείδης δ' ἄρ' ἔπειτα ὑπὲρ σάκεος μεγάλοιο,
Αἰὲν ἐπ' αὐχένι κῦρε φαεινοῦ δουρὸς ἀκωκῇ.
Καὶ τότε δή ῥ' Αἴαντι περιδδείσαντες Ἀχαιοὶ,
Παυσαμένους ἐκέλευσαν ἀέθλια ἶσ' ἀνελέσθαι.
Αὐτὰρ Τυδείδῃ δῶκεν μέγα φάσγανον ἥρως,
Σὺν κολεῷ τε φέρων, καὶ εὐτμήτῳ τελαμῶνι.
Αὐτὰρ Πηλείδης θῆκεν σόλον αὐτοχόωνον,

ἀφείλετο αὐτὸν ὁ Πάτροκλος· ἔστη δὲ ὀρθὸς καὶ λόγον ἐν τοῖς Ἕλλησιν εἶπεν. Ἄνδρας δύο περὶ τούτων προτρέψωμεν, οἵτινές εἰσιν ἄριστοι, τὰ ὅπλα ἐνδυσάμενοι, σωματοτόμον σίδηρον λαβόντες, ἀλλήλων πειραθῆναι ἔμπροσθεν τοῦ πλήθους· ὃς δ' ἂν φθάσῃ πατάξας τὸ καλὸν σῶμα, ἅψηται δὲ τῶν μελῶν διὰ τῶν ὅπλων καὶ τοῦ μέλανος αἵματος τούτῳ μὲν ἐγὼ δώσω τοῦτο τὸ ἀργυροὺς ἥλους ἔχον ξίφος περικαλλὲς Θρακικὸν, τοῦτο(ὃ) δὴ ἀφειλόμην τὸν Ἀστεροπαῖον, τὰ ὅπλα δὲ ταῦτα κοινὰ λαβέτωσαν ἀμφότεροι· καὶ εὐωχίαν χρηστὴν παραθήσομαι αὐτοῖς ἐν ταῖς σκηναῖς. Οὕτως εἶπεν. ἀνέστη δὲ μετὰ ταῦτα ὁ μέγας υἱὸς τοῦ Τελαμῶνος Αἴας· ἀνέστη δὲ καὶ ὁ τοῦ Τυδέως υἱὸς ὁ ἰσχυρὸς Διομήδης. Οὗτοι δὲ ἐπειδὴ ἑκατέρωθεν τοῦ πλήθους ὡπλίσθησαν εἰς τὸ μέσον ἀμφοτέρων συνήρχοντο προθυμούμενοι πολεμεῖν, φοβερῶς ἀντιβλέποντες, ἔκπληξις δὲ κατεῖχε πάντας τοὺς Ἕλληνας. ἀλλ' ὁπηνίκα δὴ πλησίον ἦσαν ἐπ' ἀλλήλους πορευόμενοι, τρὶς μὲν ἐφώρμησαν, τρὶς δὲ πλησίον ἐγένοντο. τότε Αἴας μὲν οὖν κατὰ τὴν ἀσπίδα τὴν κυκλοτερῆ ἔπληξεν, οὐδὲ τὸ σῶμα κατέλαβεν· ἐπεῖχε γὰρ ἔνδοθεν ὁ θώραξ· ὁ τοῦ Τυδέως δὲ μετὰ ταῦτα ὑπεράνω τῆς μεγάλης ἀσπίδος ἀεὶ ἐπὶ τῷ αὐχένι ἐστοχάζετο τῇ αἰχμῇ τοῦ λαμπροῦ δόρατος· καὶ τότε δὴ φοβηθέντες περὶ τοῦ Αἴαντος οἱ Ἕλληνες λήξαντας τῆς μάχης ἐκέλευσαν ἀναλαβεῖν ἔπαθλα ἴσα. τῷ υἱῷ δὲ τοῦ Τυδέως ἔδωκε τὸ μέγα ξίφος ὁ ἥρως σὺν τῇ ξιφοθήκῃ φέρων καὶ τῷ καλῶς τετμημένῳ ἀναφορεῖ. Ὁ τοῦ Πηλέως δὲ ἔθηκε δίσκον αὐτόχυτον. ὃν πρότερον μὲ ἐρρίπτει ἡ μεγάλη δύναμις τοῦ Ἠετίωνος, ἀλλὰ τοῦτον μὲν ἀπέκτεινεν ὁ ταχύπους ἐν-

Ὃν πρὶν μὲν ἐρίπτασκε μέγα σθένος Ἠετίωνος·
Ἀλλ' ἤτοι τὸν ἔπεφνε ποδάρκης δῖος Ἀχιλλεὺς,
Τὸν δ' ἄγ' ἐν νήεσσι σὺν ἄλλοισι κτεάτεσσι.
Στῆ δ' ὀρθὸς. καὶ μῦθον ἐν Ἀργείοισιν ἔειπεν·
Ὄρνυσθ', οἳ καὶ τούτου ἀέθλου πειρήσεσθε·
Εἴ οἱ καὶ μάλα πολλὸν ἀπόπροθι πίονες ἀγροὶ,
Ἕξει μιν καὶ πέντε περιπλομένους ἐνιαυτοὺς
Χρεώμενος· οὐ μὲν γάρ οἱ, ἀτεμβόμενός γε σιδήρου,
Ποιμὴν, οὐδ' ἀροτὴρ, εἶσ' ἐς πόλιν, ἀλλὰ παρέξει.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα μενεπτόλεμος Πολυποίτης,
Ἂν δ' Αἴας Τελαμωνιάδης, καὶ δῖος Ἐπειός·
Ἂν δὲ Λεοντῆος κρατερὸν μένος ἀντιθέοιο·
Ἑξείης δ' ἵσταντο· σόλον δ' ἕλε δῖος Ἐπειὸς,
Ἧκε δὲ δινήσας· γέλασαν δ' ἐπὶ πάντες Ἀχαιοί.
Δεύτερος αὖτ' ἀφέηκε Λεοντεὺς, ὄζος Ἄρηος·
Τὸ τρίτον αὖτ' ἔῤῥιψε μέγας Τελαμώνιος Αἴας
Χειρὸς ἀπὸ στιβαρῆς, καὶ ὑπέρβαλε σήματα πάντων.
Ἀλλ' ὅτε δὴ σόλον εἷλε μενεπτόλεμος Πολυποίτης,
Ὅσσον τίς τ' ἔῤῥιψε καλαύροπα βουκόλος ἀνὴρ,
Ἥδε θ' ἑλισσομένη πέτεται διὰ βοῦς ἀγελαίας·
Τόσσον παντὸς ἀγῶνος ὑπέρβαλε· τοὶ δ' ἐβόησαν.
Ἀνστάντες δ' ἕταροι Πολυποίταο κρατεροῖο,
Νῆας ἐπὶ γλαφυρὰς ἔφερον βασιλῆος ἄεθλον.
Αὐτὰρ ὁ τοξευτῇσι τίθει ἰόεντα σίδηρον,
Κὰδ δ' ἐτίθει δέκα μὲν πελέκεας, δέκα δ' ἡμιπέλεκκα·
Ἱστὸν δ' ἔστησεν νηὸς κυανοπρώροιο
Τηλοῦ ἐπὶ ψαμάθοιο· ἐκ δὲ τρήρωνα πέλειαν
Λεπτῇ μηρίνθῳ δῆσεν ποδὸς, ἣν ἄρ ἀνώγει

δοξότατος Ἀχιλλεὺς, αὐτὸν δὲ ἦγεν ἐν τοῖς ναυσὶ, μετὰ τῶν ἄλλων κτημάτων, ἔστη δὲ ὀρθὸς καὶ λόγον ἐν τοῖς Ἕλλησιν εἶπεν· Ἀνάστητε οἳ καὶ τούτου τοῦ ἄθλου πεῖραν λήψεσθε· εἴ γ' αὐτῷ καὶ πάνυ πολλῷ πόῤῥωθι εὔγειοι ἀγροὶ, ἕξει αὐτὸν καὶ πέντε κυκλοφορουμένους ἐνιαυτοὺς χρώμενος· οὐ γὰρ στερισκόμενος σιδήρου ὁ ποιμὴν αὐτοῦ, οὐδὲ ὁ γεωργὸς πορεύσεται εἰς τὴν πόλιν, ἀλλὰ παρέσται δοῦναι. Οὕτως εἶπεν· ἀνέστη δὲ μετὰ ταῦτα ὁ πολεμικὸς καὶ ἀνδρεῖος Πολυποίτης· ἀνέστη δὲ ὁ τοῦ Τελαμῶνος Αἴας καὶ ὁ ἔνδοξος Ἐπειός· ἀνέστη δὲ ἡ ἰσχυρὰ δύναμις τοῦ ἰσοθέου Λεοντέως· ἔστησαν δὲ ἐφεξῆς, ἔλαβε δὲ τὸν δίσκον ὁ ἔνδοξος Ἐπειὸς, ἀφῆκε δὲ συστρέψας, ἐπεγέλασαν δὲ πάντες οἱ Ἕλληνες· δεύτερος δὲ ἀφῆκε Λεοντεὺς ὁ κλάδος τοῦ Ἄρεος· τὸ τρίτον δὲ ἔῤῥιψεν ὁ μέγας υἱὸς τοῦ Τελαμῶνος Αἴας ἀπὸ τῆς στερεᾶς καὶ ἰσχυρᾶς χειρὸς, καὶ ὑπερέβαλε τὰ σημεῖα πάντων· ἀλλ' ὁπηνίκα δὴ τὸν δίσκον ἔλαβεν ὁ πολεμικὸς καὶ ἀνδρεῖος Πολυποίτης, ὁπόσον τις ἀνὴρ βουκόλος ἔῤῥιψε τὴν καλὴν ῥοπὴν ἔχουσαν, ῥάβδον· αὕτη δὲ συστρεφομένη φέρεται διὰ τῆς ἀγέλης τῶν βοῶν, τόσον ἐπέκεινα τοῦ ὅλου ἀγῶνος ἔβαλεν· οὗτοι δὲ ἀνεβόησαν, ἀναστάντες δὲ οἱ φίλοι τοῦ ἰσχυροῦ Πολυποίτου ἔφερον ἐπὶ τὰς κοίλας ναῦς τὸ ἆθλον τοῦ βασιλέως· Οὗτος δὲ τοξόταις ἐτίθει σίδηρον πρὸς ἰῶν κατασκευὴν ἐπιτήδειον (τὸν ἰὸν γεννῶντα), κατετίθει δὲ δέκα μὲν πελέκεις, δέκα δὲ ἡμιπέλεκα, ἔστησε δὲ ἱστὸν νεὼς μελανοπρώρου πόῤῥωθι ἐπὶ τῆς ἄμμου· περιστερὰν δὲ τρήρωνα ἐξῆψεν ἀπὸ τοῦ ποδὸς σχοινίῳ λεπτῷ, ἣν δὴ ἐκέλευσε τοξεῦσαι λέγων· Ὃς μὲν ἂν τρώσῃ τὴν τρήρωνα περιστερὰν, πάντας ἀναλαβὼν τοὺς πελέ-

Τοξεύειν· ὃς μέν κε βάλῃ τρήρωνα πέλειαν,
Πάντας ἀειράμενος πελέκεας, κλισίηνδε φερέσθω·
Ὃς δέ κε μηρίνθοιο τύχῃ, ὄρνιθος ἁμαρτὼν,
Ἥσσων γὰρ δὴ κεῖνος, οἴσεται ἡμιπέλεκκα.
Ὣς ἔφατ'· ὦρτο δ' ἔπειτα βίη Τεύκροιο ἄνακτος,
Ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος·
Κλήρους δ' ἐν κυνέῃ χαλκήρεϊ πάλλον ἑλόντες.
Τεῦκρος δὲ πρῶτος κλήρῳ λάχεν· αὐτίκα δ' ἰὸν
Ἧκεν ἐπικρατέως, οὐδ' ἠπείλησεν ἄνακτι
Ἀρνῶν πρωτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην.
Ὄρνιθος μὲν ἄμαρτε, μέγηρε γάρ οἱ τόγ' Ἀπόλλων·
Αὐτὰρ ὁ μήρινθον τάμε πικρὸς ὀϊστός.
Ἡ μὲν ἔπειτ' ἤϊξε πρὸς οὐρανὸν, ἡ δὲ παρείθη
Μήρινθος ποτὶ γαῖαν· ἀτὰρ κελάδησαν Ἀχαιοί.
Σπερχόμενος δ' ἄρα Μηριόνης ἐξείρυσε χειρὸς
Τόξον· ἀτὰρ δὴ ὀϊστὸν ἔχεν πάλαι, ὡς ἴθυνεν.
Αὐτίκα δ' ἠπείλησεν ἑκηβόλῳ Ἀπόλλωνι
Ἀρνῶν προτογόνων ῥέξειν κλειτὴν ἑκατόμβην·
Ὕψι δ' ὑπαὶ νεφέων εἶδε τρήρωνα πέλειαν,
Τῇ ῥ' ὅγε δινεύουσαν πτέρυγος ὑπὸβάλε μέσσην·
Ἀντικρὺ δὲ διῆλθε βέλος· τὸ μὲν ἂψ ἐπὶ γαίῃ
Πρόσθεν Μηριόναο πάγη ποδός· αὐτὰρ ὄρνις
Ἱστῷ ἐφεζομένη νηὸς κυανοπρώροιο,
Αὐχέν' ἀπεκρέμασεν, σὺν δὲ πτερὰ πυκνὰ λίασθεν.
Ὠκὺς δ' ἐκ μελέων θυμὸς πτάτο, τῆλε δ' ἀπ' αὐτοῦ
Κάππεσε· λαοὶ δ' αὖ θηεῦντό τε, θάμβησάν τε.
Ἂν δ' ἄρα Μηριόνης πελέκεας δέκα πάντας ἄειρε,
Τεῦκρος δ' ἡμιπέλεκκα φέρεν κοίλας ἐπὶ νῆας.

κεις ἐπὶ τὴν σκηνὴν κομισάτω· ὃς δ' ἂν ἀποτυχὼν τῆς ὄρνιθος τὸ σχοινίον βάλῃ, ἥττων γὰρ δὴ ἐκεῖνος, κομίσεται τὰ ἡμιπέλεκα. Οὕτως εἶπεν, ἀνέστη δὲ μετὰ ταῦτα ἡ ἰσχὺς Τεύκρου τοῦ βασιλέως· ἀνέστη δὲ καὶ Μηριόνης ὁ γενναῖος θεράπων τοῦ Ἰδομενέως, κλήρους δὲ λαβόντες ἐκίνουν ἐν περικεφαλαίᾳ χαλκῷ ἡρμοσμένῃ, Τεῦκρος δὲ πρῶτος ἔτυχε κλήρῳ. παραχρῆμα δὲ οϊστὸν ἀφῆκεν ἰσχυρῶς, οὐδὲ ηὔξατο τῷ βασιλεῖ Ἀπόλλωνι ἀρνῶν πρωτοτόκων ποιήσειν θυσίαν ἔνδοξον. τῆς ὄρνιθος μὲν οὖν ἀπέτυχεν, ἐφθόνησε γὰρ αὐτῷ τούτου γε ὁ Ἀπόλλων, τὸ σχοινίον δὲ ἀπέκοψεν ὁ πικρὸς ἰός. αὕτη μέντοι μετὰ ταῦτα ὥρμησε πρὸς τὸν οὐρανὸν, τὸ σχοινίον δὲ παραλυθὲν κατέπεσεν ἐπὶ τὴν γῆν· οἱ Ἕλληνες δὲ ἀνεβόησαν, σπεύδων δὲ ὁ Μηριόνης ἐξείλετο τῆς χειρὸς τοῦ Τεύκρου τὸ τόξον· τὸ βέλος δὲ πάλαι κατεῖχεν, ἕως ἴθυνε καὶ ἐτόξευεν ὁ Τεῦκρος. παραχρῆμα δὲ ηὔξατο τῷ πόῤῥωθεν βάλλοντι Ἀπόλλωνι ἀρνῶν πρωτοτόκων ποιήσειν θυσίαν ἔνδοξον, ἐν ὕψει δὲ ὑπὸ τὰ νέφη ἐθεάσατο τὴν τρήρωνα περιστερὰν, ᾗ δὴ οὗτος περιστρεφομένην ἔπληξεν ὑπὸ τὸ μέσον τῆς πτέρυγος, εἰς τὸ ἀπαντικρὺ δὲ διεπέρασε τὸ βέλος. τοῦτο μὲν οὖν ὀπίσω (πάλιν) ἐπὶ γῆς ἔμπροσθεν τοῦ ποδὸς τοῦ Μηριόνου ἐπάγη, ἡ ὄρνις δὲ ἐπὶ τῷ ἱστῷ καθίσασα τῆς μελανοπρώρου νεὼς ὑπεχάλασε τὸν τράχηλον· τὰ πυκνὰ δὲ καὶ συνεχῆ πτερὰ ἀπεκλίθησαν τὴν ἰδίαν ἁρμονίαν ἀφέντα, ταχέως δὲ ἐκ τῶν μελῶν ἡ ψυχὴ ἀπέπτη καὶ ἠφανίσθη, μακρὰν δὲ ἀπ' αὐτοῦ κατέπεσε, τὸ πλῆθος δὲ ἐθαύμαζόν τε καὶ ἐξεπλήττοντο, Μηριόνης δ' ἄρα πάντας τοὺς δέκα πελέκεις ἀνέλαβεν, ὁ Τεῦκρος δὲ τὰ ἡμιπέλεκα ἔφερεν ἐπὶ τὰς βαθείας ναῦς. Ὁ υἱὸς

Αὐτὰρ Πηλείδης κατὰ μὲν δολιχόσκιον ἔγχος,
Καδδὲ λέβητ' ἄπυρον βοὸς ἄξιον ἀνθεμόεντα
Θῆκ' ἐς ἀγῶνα φέρων· καὶ ῥ' ἥμονες ἄνδρες ἀνέσταν;
Ἂν μὲν ἄρ' Ἀτρείδης εὐρυκρείων Ἀγαμέμνων.
Ἂν δ' ἄρα Μηριόνης, θεράπων ἐῢς Ἰδομενῆος·
Τοῖσι δὲ καὶ μετέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Ἀτρείδη, ἴδμεν γὰρ, ὅσον προβέβηκας ἁπάντων,
Ἠδ' ὅσσον δυνάμει τε καὶ ἥμασιν ἔπλευ ἄριστος·
Ἀλλὰ σὺ μὲν τόδ' ἄεθλον ἔχων κοίλας ἐπὶ νῆας
Ἔρχευ, ἀτὰρ δόρυ Μηριόνῃ ἥρωϊ πόρωμεν,
Εἰ σύ γε σῷ θυμῷ ἐθέλοις· κέλομαι γὰρ ἔγωγε.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησεν ἄναξ ἀνδρῶν Ἀγαμέμνων·
Δῶκε δὲ Μηριόνῃ δόρυ χάλκεον· αὐτὰρ ὅγ' ἥρως·
Ταλθυβίῳ κήρυκι δίδου περικαλλὲς ἄεθλον.

δὲ τοῦ Πηλέως δόρυ μακρὸν κατέθηκε, κατέθηκε δὲ καὶ λέβητα, μήπω εἰς πῦρ ἐμβληθέντα, ἄξιον βοὸς, ἀνθηρὸν καὶ ποικίλον, εἰς τὸν ἀγῶνα ἐνέγκας. Καὶ δὴ ἄνδρες ἀκοντισταὶ ἀνέστησαν. Ἀνέστη μὲν οὖν ὁ υἱὸς τοῦ Ἀτρέως, ὁ μέγας βασιλεὺς Ἀγαμέμνων· ἀνέστη δὲ Μηριόνης ὁ γενναῖος θεράπων τοῦ Ἰδομενέως· ἐν τούτοις δὲ καὶ εἶπεν ὁ ταχύπους ἐνδοξότατος Ἀχιλλεύς· Ὦ υἱὲ τοῦ Ἀτρέως, οἴδαμεν γὰρ (πάντως) ὅσον ὑπερέχεις, καὶ ὅσον ἰσχύϊ τε καὶ ἱματίοις ὑπάρχεις κράτιστος· ἀλλὰ σὺ μὲν τὸ ἔπαθλον τοῦτο ἔχων ἐπὶ τὰς βαθείας ναῦς πορεύου· τῷ ἥρωϊ δὲ Μηριόνῃ τὸ δόρυ παράσχωμεν. εἴγε καὶ σὺ ἐν τῇ σαυτοῦ ψυχῇ βούλῃ· φημὶ γὰρ ἔγωγε. Οὕτως εἶπεν· ὑπήκουσε δὲ ὁ βασιλεὺς τῶν ἀνδρῶν Ἀγαμέμνων, ἔδωκε δὲ τῷ Μηριώνῃ τὸ χαλκοῦν δόρυ, αὐτὸς δὲ ὁ ἥρως Ταλθυβίῳ τῷ κήρυκι ἔδωκε τὸ ὡραῖον ἔπαθλον.

ΤΗΣ ΟΜΗΡΟΥ

ΙΛΙΑΔΟΣ

ΡΑΨΩιΔΙΑ Ω.

Λῦτο δ' ἀγὼν, λαοὶ δὲ θοὰς ἐπὶ νῆας ἕκαστοι
Ἐσκίδναντ' ἰέναι· τοὶ μὲν δόρποιο μέδοντο
Ὕπνου τε γλυκεροῦ ταρπήμεναι· αὐτὰρ Ἀχιλλεὺς
Κλαῖε, φίλου ἑτάρου μεμνημένος, οὐδέ μιν ὕπνος
Ἥιρει πανδαμάτωρ, ἀλλ' ἐστρέφετ' ἔνθα καὶ ἔνθα
Πατρόκλου ποθέων ἀνδροτῆτα τε καὶ μένος ἠΰ·
Ἠδ' ὁπόσα τολύπευσε σὺν αὐτῷ, καὶ πάθεν ἄλγεα,
Ἀνδρῶν τε πτολέμους, ἀλεγεινά τε κύματα πείρων·
Τῶν μιμνησκόμενος, θαλερὸν κατὰ δάκρυον εἶβεν,
Ἄλλοτ' ἐπὶ πλευρὰς κατακείμενος, ἄλλοτε δ' αὖτε
Ὕπτιος, ἄλλοτε δὲ πρηνής· τότε δ' ὀρθὸς ἀναστὰς
Δινεύεσκ' ἀλύων, παρὰ θῖν' ἁλός· οὐδέ μιν ἠὼς
Φαινομένη λήθεσκεν ὑπεὶρ ἅλα τ' ἠϊόνας τε·
Ἀλλ' ὅγ', ἐπεὶ ζεύξειεν ὑφ' ἅρμασιν ὠκέας ἵππους.

ΤΗΣ ΙΛΙΑΔΟΣ

ΡΑΨΩ͂ΙΔΙΑΣ Ω

ΠΑΡΑΦΡΑΣΙΣ.

Διελύθη δὲ τὸ ἄθροισμα τῶν θεατῶν, τὸ πλῆθος δὲ ἅπαν ἐπὶ τὰς ναῦς διεμερίσθησαν πορεύεσθαι· οὗτοι μὲν οὖν δείπνου ἐβούλοντο ἀπολαῦσαι, καὶ ὕπνου ἡδέος, ὁ Ἀχιλλεὺς δὲ ἔκλαιε τοῦ ἀγαπητοῦ φίλου μεμνημένος, οὐδὲ ὕπνος αὐτὸν κατελάμβανεν ὁ πάντα δαμάζων, ἀλλὰ περιεστρέφετο τῇδε κἀκεῖσε, τὴν τοῦ Πατρόκλου ποθῶν ἀνθρωπότητα καὶ τὴν γενναίαν ἰσχὺν, καὶ ὅσα ἀπετέλεσε καὶ κατώρθωσε μετ' αὐτοῦ, καὶ ὅσα ἔπαθε κακὰ, πολέμους τε ἀνδρῶν καὶ ἀλγεινὰ κύματα περῶν. Τούτων ἀναμιμνησκόμενος ἀκμαῖον κατέχεε δάκρυον, ἄλλοτε μὲν κατακείμενος ἐπὶ τὰς πλευρὰς, ἄλλοτε δὲ ἐπὶ τὰ μετάφρενα, ἄλλοτε δὲ ἐπὶ τὸ πρόσωπον· ποτὲ δὲ ἀναστὰς ὀρθὸς περιήρχετο ἀδημονῶν παρὰ τὸν αἰγιαλὸν τῆς θαλάσσης· οὐδὲ ἡ ἡμέρα αὐτὸν παραγενομένη ὑπὲρ τῆς θαλάσσης καὶ τοῦ αἰγιαλοῦ ἐκλαθέσθαι ἐποίει, ἀλλ' οὗτος ἐπεὶ ἔζευξε ὑπὸ τοῖς ἅρμασι τοὺς ταχεῖς ἵππους, τὸν Ἕκτορα κατέδησεν ἑλ-

Ἕκτορα δ' ἕλκεσθαι δησάσκετο δίφρου ὄπισθεν·
Τρὶς δ' ἐρύσας περὶ σῆμα Μενοιτιάδαο θανόντος,
Αὖτις ἐνὶ κλισίῃ παυέσκετο· τὸνδε δ' ἔασκεν
Ἐν κόνι, ἐκτανύσας προπρηνέα, τοῖο δ' Ἀπόλλων
Πᾶσαν ἀεικείην ἄπεχε χροΐ, φῶτ' ἐλεαίρων
Καὶ τεθνηότα περ· περὶ δ' Αἰγίδι πάντα κάλυπτε
Χρυσείῃ, ἵνα μή μιν ἀποδρύφοι ἑλκυστάζων.
Ὣς ὁ μὲν Ἕκτορα δῖον ἀείκιζεν μενεαίνων·
Τὸν δ' ἐλεαίρεσκον μάκαρες θεοὶ εἰσορόωντες,
Κλέψαι δ' ὠτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην.
Ἔνθ' ἄλλοις μὲν πᾶσιν ἐήνδανεν, οὐδέ ποθ' Ἥρῃ,
Οὐδὲ Ποσειδάωνι, οὐδὲ Γλαυκώπιδι κούρῃ·
Ἀλλ' ἔχον· ὥς σφιν πρῶτον ἀπήχθετο Ἴλιος ἱρὴ.
Καὶ Πρίαμος καὶ λαὸς, Ἀλεξάνδρου εἵνεκ' ἄτης·
Ὃς νείκεσσε θεὰς, ὅτε οἱ μέσσαυλον ἵκοντο,
Τὴν δ' ᾔνησ', ἥ οἱ πόρε μαχλοσύνην ἀλεγεινήν.
Ἀλλ' ὅτε δή ῥ' ἐκ τοῖο δυωδεκάτη γένετ' ἠὼς,
Καὶ τότ' ἂρ ἀθανάτοισι μετηύδα Φοῖβος Ἀπόλλων·
Σχέτλιοι ἐστὲ, θεοὶ, δηλήμονες· οὔ νύ ποθ' ὑμῖν
Ἕκτωρ μηρί' ἔκηε βοῶν αἰγῶν τε τελείων;
Τὸν νῦν οὐκ ἔτλητε, νέκυν περ ἐόντα, σαῶσαι,
Ἧι τ' ἀλόχῳ ἰδέειν, καὶ μητέρι, καὶ τέκεϊ ᾧ,
Καὶ πατέρι Πριάμῳ, λαοῖσί τε· τοί κέ μιν ὦκα
Ἐν πυρὶ καίαιεν, καὶ ἐπὶ κτέρεα κτερίσειαν.
Ἀλλ' ὀλοῷ Ἀχιλῆϊ, θεοὶ, βούλεσθ' ἐπαρήγειν,
Ὧι οὔτ' ἂρ φρένες εἰσὶν ἐναίσιμοι, οὔτε νόημα
Γναμπτὸν ἐνὶ στήθεσσι· λέων δ' ὥς, ἄγρια οἶδεν,
Ὅστ' ἐπεὶ ἂρ μεγάλῃ τε βίῃ καὶ ἀγήνορι θυμῷ

κεσθαι ὄπισθεν τοῦ ὀχήματος· τρὶς δὲ ἑλκύσας αὐτὸν περὶ τὸ μνῆμα τοῦ τεθνεῶτος υἱοῦ τοῦ Μενοιτίου, αὖθις ἐν τῇ σκηνῇ ἀπεπαύετο, αὐτὸν δὲ κατελίμπανεν ἐν τῷ χοῒ ἀπεκτείνας πρηνῆ καὶ ἐπὶ πρόσωπον· τῦτυ δὲ Ἀπόλλων ἐκ τοῦ σώματος πᾶσαν ὕβριν καὶ ἀσχημοσύνην ἀφῃρεῖτο, ἐλεῶν τὸν ἄνδρα καὶ νεκρὸν ὄντα. πάντα δὲ περιεκάλυπτε τῇ Αἰγίδι τῇ χρυσῇ, ὅπως μὴ ἀποξέοι αὐτὸν ἐπισύρων. Οὕτως οὗτος μὲν τὸν ἐνδοξότατον Ἕκτορα ὕβριζε παροξυνόμενος. τοῦτον δὲ ἠλέουν οἱ μακάριοι θεοὶ καθορῶντες, κλέψαι δὲ προέτρεπον Ἑρμῆν τὸν καλὸν κατάσκοπον. τότε δὴ τοῖς ἄλλοις μὲν πᾶσιν ἤρεσκεν, τῇ Ἥρα δὲ οὐδαμῶς, οὐδὲ τῷ Ποσειδῶνι, οὐδὲ τῇ εὐοφθάλμῳ κόρῃ τῇ Ἀθηνᾷ· ἀλλὰ διέκειντο ὥσπερ αὐτοῖς ἐξ ἀρχῆς ἐμισεῖτο ἡ ἱερὰ Ἴλιος, καὶ ὁ Πρίαμος, καὶ ὁ δῆμος ἕνεκα τῆς βλάβης τοῦ Ἀλεξάνδρου, ὃς ἔκρινε τὰς θεὰς, ἡνίκα αὐτῷ παρεγένοντο εἰς τὴν ὀρεινὴν οἴκησιν, ταύτην δὲ ἐπήνησεν, ἥτις αὐτῷ παρέσχεν τὴν ὀδυνηρὰν πορνείαν. Ἀλλ' ὁπηνίκα δὴ ἐκ τούτου δωδεκάτη ἐγένετο ἡμέρα, τότε δὴ ἐν τοῖς ἀθανάτοις θεοῖς ἔλεγεν Ἀπόλλων ὁ καθαρός· Ἄδικοί ἐςε, ὦ θεοὶ, καὶ φθαρτικοί· οὐδήποτε ὑμῖν ὁ Ἕκτωρ ἔκαυσε μηροὺς βοῶν καὶ αἰγῶν τελέων; τοῦτον νυνὶ οὐκ ἠξιώσατε (ὑπεμείνατε) νεκρόν γε ὄντα σῶσαι ἐλευθερῶσαι τῇ ἑαυτοῦ γαμετῇ ὥστ' ἰδεῖν, καὶ τῇ μητρὶ, καὶ τῷ ἰδίῳ τέκνῳ, καὶ τῷ πατρὶ Πριάμῳ, καὶ τοῖς λαοῖς, οἳ ἂν αὐτὸν ταχέως ἐν πυρὶ καύσειαν καὶ τὰ ἐντάφια ἐνταφιάσειαν, ἀλλὰ τῷ ὀλεθρίῳ Ἀχιλλεῖ βοηθεῖν βούλεσθε, ὦ θεοὶ, ᾧτινι, οὔτε διάνοια ἔστι πρέπουσα, οὔτε λογισμὸς μεταβλητὸς ἐν τῷ ςήθει· ὥσπερ δὲ λέων ἄγρια καὶ ἀπηνῆ ἐπίσταται, ὅστις ἐπειδὴ τῇ μεγάλῃ ἰσχύϊ καὶ ὑπερηφάνῳ ψυχῇ ὑπεί-

Εἶξας, εἶσ' ἐπὶ μῆλα βροτῶν, ἵνα δαῖτα λάβησιν·
Ὣς Ἀχιλεὺς ἔλεον μὲν ἀπώλεσεν, οὐδέ οἱ αἰδὼς
Γίγνεται, ἥ τ' ἄνδρας μέγα σίνεται, ἠδ' ὀνίνησι.
Μέλλει μέν πού τις καὶ φίλτερον ἄλλον ὀλέσσαι,
Ἠὲ κασίγνητον ὁμογάστριον, ἠὲ καὶ υἱόν·
Ἀλλ' ἤτοι κλαύσας καὶ ὀδυρόμενος μεθέηκε·
Τλητὸν γὰρ μοῖραι θυμὸν θέσαν ἀνθρώποισιν.
Αὐτὰρ ὅγ' Ἕκτορα δῖον, ἐπεὶ φίλον ἦτορ ἀπηύρα,
Ἵππων ἐξάπτων, περὶ σῆμ' ἑτάροιο φίλοιο
Ἕλκει· οὐ μήν οἱ τό γε κάλλιον, οὐδέ τ' ἄμεινον,
Μὴ, ἀγαθῷ περ ἐόντι, νεμεσσηθῶμέν οἱ ἡμεῖς·
Κωφὴν γὰρ δὴ γαῖαν ἀεικίζει μενεαίνων.
Τὸν δὲ χολωσαμένη προσέφη λευκώλενος Ἥρη·
Εἴη κεν καὶ τοῦτο τεὸν ἔπος, Ἀργυρότοξε,
Εἰ δὴ ὁμὴν Ἀχιλῆϊ καὶ Ἕκτορι θήσετε τιμήν.
Ἕκτωρ μὲν θνητός τε, γυναῖκά τε θήσατο μαζόν·
Αὐτὰρ Ἀχιλλεύς ἐστι θεᾶς γόνος, ἣν ἐγὼ αὐτὴ
Θρέψα τε, καὶ ἀτίταλα, καὶ ἀνδρὶ πόρον παράκοιτιν
Πηλεῖ, ὃς περὶ κῆρι φίλος γένετ' ἀθανάτοισι·
Πάντες δ' ἀντιάασθε θεοὶ γάμου· ἐν δ' αὐτοῖσι
Δαίνυ', ἔχων φόρμιγγα, κακῶν ἕταρ', αἰὲν ἄπιστε,
Τὴν δ' ἀπαμειβόμενος προσέφη νεφεληγερέτα Ζεύς·
Ἥρη, μὴ δὴ πάμπαν ἀποσκύδμαινε θεοῖσιν.
Οὐ μὲν γὰρ τιμή γε μί' ἔσσεται· ἀλλὰ καὶ Ἕκτωρ
Φίλτατος ἔσκε θεοῖσι βροτῶν, οἳ ἐν Ἰλίῳ εἰσίν·
Ὣς γὰρ ἔμοιγ'· ἐπεὶ οὔτι φίλων ἡμάρτανε δώρων.
Οὐ γάρ μοι ποτὲ βωμὸς ἐδεύετο δαιτὸς ἐΐσης,
Λοιβῆς τε, κνίσσης τε· τὸ γὰρ λάχομεν γέρας ἡμεῖς.

ξειε, πορεύεται ἐπὶ τὰ θρέμματα τῶν ἀνθρώπων, ὅπως λάβῃ τροφήν. Οὕτως ὁ Ἀχιλλεὺς οἶκτον μέντοι ἀπέβαλεν, οὐδέ τις αὐτῷ αἰσχύνη γίνεται, ἥτις μεγάλως βλάπτει καὶ ὀφελεῖ τοὺς ἄνδρας· ἔοικε μέν τις που καὶ ἄλλον προσφιλέστερον ἀπολέσαι, ἢ ἀδελφὸν ὁμομήτριον, ἢ καὶ υἱόν. ἀλλ' οὗτος μὲν κλαύσας καὶ θρηνήσας ἐπαύσατο· αἱ γὰρ μοῖραι ψυχὴν ἐνέθηκαν τοῖς ἀνθρώποις δυναμένην ἅπαντα φέρειν. οὗτος δὲ ἐπειδὴ ἀφείλετο τὸν ἐνδοξότατον Ἕκτορα τὴν προσφιλεστάτην ψυχὴν ἐξόπισθεν τῶν ἵππων καταδήσας, περὶ τὸ μνῆμα τοῦ ἀγαπητοῦ φίλου ἐπισύρει· οὐ μὴν αὐτῷ τοῦτό γε καλὸν, οὐδ' ὠφέλιμον, μή τι, ἀγαθῷ ὄντι, ἀναξιοπαθήσαντες ὀργισθῶμεν αὐτῷ ἡμεῖς, ἀναίσθητον γὰρ γῆν ὑβρίζει καὶ καταισχύνει παροξυνόμενος. Πρὸς τοῦτον δὲ ὀργισθεῖσα εἶπεν ἡ λευκοβραχίων Ἥρα· Εἴη ἂν καὶ τοῦτο λόγος σὸς, ὦ Ἄπολλον λαμπρότοξε, εἰ δὴ ὁμοίαν τιμὴν θήσετε τῷ Ἀχιλλεῖ καὶ τῷ Ἕκτορι, ὁ μέντοι Ἕκτωρ φθαρτός τε ἐστὶ καὶ γυναικεῖον μαστὸν ἐθήλασεν, ὁ Ἀχιλλεὺς δὲ ἐστὶν θεᾶς γέννημα, ἣν ἐγὼ αὐτὴ ἀνέθρεψα καὶ ἐπαιδοτρόφησα, καὶ ἀνδρὶ ἔδωκα γαμετὴν τῷ Πηλεῖ, ὃς τὰ μάλιστα ἐκ ψυχῆς φίλος ἐγένετο τοῖς ἀθανάτοις θεοῖς, πάντες δὲ οἱ θεοὶ μετείχετε τοῦ γάμου, ἐν αὐτοῖς δὲ εὐωχοῦ κρατῶν τὴν κιθάραν, ὦ φίλε κακῶν, ἀεὶ ἄπιστε. Πρὸς ταύτην δὲ ἀποκρινόμενος εἶπεν ὁ τὰς νεφέλας ἀθροίζων Ζεύς· Ὦ Ἥρα, μὴ πάνυ γε ὀργίζου τοῖς θεοῖς, οὐδαμῶς γὰρ μία τιμὴ ἔσται, ἀλλὰ καὶ ὁ Ἕκτωρ προσφιλέστατος ἦν τοῖς θεοῖς τῶν ἀνθρώπων ἁπάντων οἳ ἐν τῷ Ἰλίῳ εἰσὶν, οὕτω γὰρ ἔμοι γε φίλος ἦν· ἐπειδὴ τῶν ἐπεράστων δώρων οὐδαμῶς ὑπερώρα, οὐδέποτε γάρ μοι ὁ ναὸς ἦν ἐνδεὴς εὐωχίας κοινῆς καὶ θυσίας καὶ χοῆς· τοῦτο γὰρ ἔσχομεν εἰς τιμὴν ἡ-

Ἀλλ' ἤτοι κλέψαι μὲν ἐάσομεν, οὐδέ πη ἐστὶ
Λάθρη Ἀχιλλῆος, θρασὺν Ἕκτορα· ἦ γάρ οἱ αἰεὶ
Μήτηρ παρμέμβλωκεν ὁμῶς νύκτας τε καὶ ἦμαρ·
Ἀλλ' εἴτις καλέσειε θεῶν Θέτιν ἆσσον ἐμεῖο,
Ὄφρα τί οἱ εἴπω πυκινὸν ἔπος, ὥς κεν Ἀχιλλεὺς
Δώρων ἐκ Πριάμοιο λάχῃ, ἀπό θ' Ἕκτορα λύσῃ.
Ὣς ἔφατ'· ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα.
Μεσσηγὺς δὲ Σάμου τε, καὶ Ἴμβρου παιπαλοέσσης,
Ἔνθορε μείλανι πόντῳ, ἐπεστονάχησε δὲ λίμνη.
Ἡ δὲ, μολυβδαίνῃ ἰκέλη, ἐς βυσσὸν ὄρουσεν,
Ἥτε κατ' ἀγραύλοιο βοὸς κέρας ἐμβεβαυῖα,
Ἔρχεται ὠμηστῇσιν ἐπ' ἰχθύσι κῆρα φέρουσα·
Εὗρε δ' ἐνὶ σπῆϊ γλαφυρῷ Θέτιν, ἀμφὶ δέ τ' ἄλλαι
Εἵαθ' ὁμηγερέες ἅλιαι θεαί· ἡδ' ἐνὶ μέσσῃς
Κλαῖε μόρον οὗ παιδὸς ἀμύμονος, ὅς οἱ ἔμελλε
Φθίσεσθ' ἐν Τροίῃ ἐριβώλακι, τηλόθι πάτρης.
Ἀγχοῦ δ' ἱσταμένη προσέφη πόδας ὠκέα Ἶρις·
Ὄρσο, Θέτι, καλέει Ζεὺς ἄφθιτα μήδεα εἰδώς.
Τὴν δ' ἠμείβετ' ἔπειτα θεὰ Θέτις ἀργυρόπεζα·
Τίπτε με κεῖνος ἄνωγε μέγας θεός; αἰδέομαι δὲ
Μίσγεσθ' ἀθανάτοισιν, ἔχω δ' ἄχε' ἄκριτα θυμῷ.
Εἶμι μέν· οὐδ' ἅλιον ἔπος ἔσσεται, ὅ ττι κεν εἴπῃ.
Ὣς ἄρα φωνήσασα, κάλυμμ' ἕλε δῖα θεάων
Κυάνεον, τοῦ δ' οὔτι μελάντερον ἔπλετο ἔσθος.
Βῆ δ' ἰέναι, πρόσθεν δὲ ποδήνεμος ὠκέα Ἶρις
Ἡγεῖτ'· ἀμφὶ δ' ἄρα σφι λιάζετο κῦμα θαλάσσης·
Ἀκτὴν δ' εἰσαναβᾶσαι, ἐς οὐρανὸν ἀϊχθήτην·
Εὗρον δ' εὐρύοπα Κρονίδην, περὶ δ' ἄλλοι πάντες

μεῖς, ἀλλὰ τὴν μὲν περὶ τὸ κλέψαι βουλὴν ἐάσωμεν, οὐδ' ἔστι δυνατὸν κρύφα τοῦ Ἀχιλλέως, τὸν ἄτολμον Ἕκτορα. ὄντως που γὰρ ἀεὶ αὐτῷ παρακάθηται, ὁμοίως νύκτωρ καὶ μεθημέραν, ἀλλ' εἴ τις τῶν θεῶν καλέσειε τὴν Θέτιν πλησίον ἐμοῦ, ὅπως τι αὐτῇ εἴπω λόγον συνετὸν· ὡς ἂν ὁ Ἀχιλλεὺς δῶρα ἐκ τοῦ Πριάμου σχῇ, καὶ ἀπολύσῃ τὸν Ἕκτορα. Οὕτως εἶπεν· ἀνέστη δὲ ἡ ταχύπους Ἶρις μηνύσουσα, μεταξὺ δὲ τῆς Σάμου καὶ τῆς Ἴμβρου τῆς τραχείας κατεπήδησεν εἰς τὸν μέλανα πόντον, ἐπήχησε δὲ ἡ θάλασσα· αὕτη δὲ τῷ τοῦ ἀγκίστρου μολύβδῳ ὁμοία ὥρμησεν εἰς τὸν βυθὸν, ὃς δὴ προσκείμενος κατὰ τὸ κέρας τοῦ ἀγροδιαίτου βοὸς κατέρχεται, ἐπάγων μοῖραν θανατηφόρον τοῖς ὠμοβόροις ἰχθύσιν· εὗρε δὲ ἐν τῷ κοίλῳ σπηλαίῳ τὴν Θέτιν, περὶ αὐτὴν δὲ καὶ αἱ ἄλλαι καθῆντο συνηθροισμέναι αἱ θαλάσσιαι θεαὶ, αὕτη δὲ ἐν τῷ μέσῳ ἔκλαιε τὸν θάνατον τοῦ ἑαυτῆς ἀμέμπτου υἱοῦ, ὃς ἔμελλεν αὐτῇ τεθνήξεσθαι ἐν τῇ Τροίᾳ τῇ εὐγείῳ πόῤῥωθι τῆς πατρίδος· πλησίον δὲ στᾶσα εἶπε πρὸς αὐτὴν ἡ ταχύπους Ἶρις. Ἀνάστηθι, ὦ Θέτι, καλεῖ σε Ζεὺς ὁ τὰς ἀφθάρτους (ἀμεταβλήτους) βουλὰς ἐπιστάμενος. Πρὸς ταύτην δὲ ἀπεκρίνατο μετὰ ταῦτα ἡ θεὰ ἡ λευκόπους Θέτις. Τί δήποτέ με ἐκεῖνος κελεύει ὁ μέγας θεός; αἰσχύνομαι δὲ συμμίσγεσθαι καὶ παραβάλλειν τοῖς ἀθανάτοις θεοῖς· ἔχω δὲ θλίψεις πλείστας ἐν τῇ ψυχῇ· πορεύομαι μέντοι, οὐδὲ μάταιος λόγος ἔσται, ὃν ἂν εἴπῃ· Οὕτω δὴ εἰποῦσα ἔλαβε τὴν καλύπτραν ἡ ἐνδοξοτάτη τῶν θεῶν τὴν κυανῆν· ταύτης δὲ οὐδέν τι μᾶλλον μέλαν ὑπάρχει ἔνδυμα· ὥρμησε δὲ πορεύεσθαι, ἔμπροσθεν δὲ ἡ ἀνεμόπους ταχεῖα Ἶρις προσεχώρει, περὶ αὐτὰς δὲ τὸ κῦμα τῆς θαλάσσης ὑπεχωρίζετο· ἀναβᾶσαι δὲ εἰς τὴν ἀκτὴν ἐπὶ τὸν οὐρανὸν ὥρμησαν, εὗρον δὲ τὸν μεγαλόφωνον υἱὸν τοῦ Κρόνου, περὶ αὐτὸν δὲ πάντες οἱ ἄλλοι καθῆντο συνηθροισμέ-

Εἷαθ' ὁμηγερέες μάκαρες θεοὶ αἰὲν ἐόντες.
Ἡ δ' ἄρα πὰρ Διῒ πατρὶ καθέζετο, εἶξε δ' Ἀθήνη.
Ἥρη δὲ χρύσεον καλὸν δέπας ἐν χερὶ θῆκε,
Καί ῥ' εὔφρην' ἐπέεσσι· Θέτις δ' ὤρεξε πιοῦσα.
Τοῖσι δὲ μύθων ἦρχε πατὴρ ἀνδρῶν τε θεῶν τε·
Ἤλυθες Οὔλυμπόνδε, θεὰ Θέτι, κηδομένη περ,
Πένθος ἄλαστον ἔχουσα μετὰ φρεσίν· οἶδα καὶ αὐτός·
Ἀλλὰ καὶ ὡς ἐρέω, τοῦ σ' εἵνεκα δεῦρο κάλεσσα·
Ἐννῆμαρ δὴ νεῖκος ἐν ἀθανάτοισιν ὄρωρεν
Ἕκτορος ἀμφὶ νέκυϊ, καὶ Ἀχιλλῆϊ πτολιπόρθῳ·
Κλέψαι δ' ὀτρύνεσκον ἐΰσκοπον Ἀργειφόντην.
Αὐτὰρ ἐγὼ τόδε κῦδος Ἀχιλλῆϊ προτιάπτω,
Αἰδῶ καὶ φιλότητα τεὴν μετόπισθε φυλάσσων.
Αἶψα μάλ' ἐς στρατὸν ἐλθὲ, καὶ υἱέϊ σῷ ἐπίτειλον·
Σκύζεσθαί οἱ εἰπὲ θεοὺς, ἐμὲ δ' ἔξοχα πάντων
Ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ' ἔχει παρὰ νηυσὶ κορωνίσιν, οὐδ' ἀπέλυσεν·
Αἴκεν πώς ἐμέ τε δείσῃ, ἀπό θ' Ἕκτορα λύσῃ·
Αὐτὰρ ἐγὼ Πριάμῳ μεγαλήτορι Ἶριν ἐφήσω,
Λύσασθαι φίλον υἱὸν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
Δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε θεὰ Θέτις ἀργυρόπεζα.
Βῆ δὲ κατ' Οὐλύμποιο καρήνων ἀΐξασα.
Ἷξεν δ' ἐς κλισίην οὗ υἱέος, ἐν δ' ἄρα τόν γε
Εὗρ' ἀδινὰ στενάχοντα· φίλοι δ' ἀμφ' αὐτὸν ἑταῖροι
Ἐσσυμένως ἐπένοντο, καὶ ἐντύνοντο ἄριστον·
Τοῖσι δ' ὄϊς λάσιος μέγας ἐν κλισίῃ ἱέρευτο.
Ἡ δὲ μάλ' ἄγχ' αὐτοῖο καθέζετο πότνια μήτηρ,

νοι οἱ μακάριοι αἰώνιοι θεοί· αὕτη δὲ ἀεὶ παρὰ τῷ Διῒ τῷ πατρὶ ἐκάθισεν, ὑπεχώρησε δὲ ἡ Ἀθηνᾶ. ἡ Ἥρα δὲ χρυσοῦν περικαλλὲς ποτήριον ἔθηκεν ἐν τῇ χειρὶ, καὶ λόγοις ἔτερπεν αὐτὴν καὶ παρεμυθεῖτο, ἡ Θέτις δὲ ἐκτείνασα ἔπιεν. Ἐν τούτοις δὲ λόγων ἤρξατο ὁ πατὴρ τῶν ἀνδρῶν καὶ τῶν θεῶν. Ἦλθες εἰς τὸν Ὄλυμπον, ὦ θεὰ Θέτι, καίτοι λυπουμένη, πένθος δεινὸν καὶ ἀνεπίληστον ἔχουσα ἐν τῇ διανοίᾳ· ἐπίσταμαι καὶ ἐγὼ, ἀλλὰ καὶ οὕτως ἐρῶ, τίνος χάριν ἐνταῦθά σε μετεπεμψάμην· Ἐπὶ ἐννέα δὴ ἡμέρας φιλονεικία ἠγέρθη ἐν τοῖς ἀθανάτοις θεοῖς περὶ τοῦ νεκροῦ τοῦ Ἕκτορος καὶ Ἀχιλλέως τοῦ τὰς πόλεις πορθοῦντος, ὑφελέσθαι δὲ προέτρεπον Ἑρμῆν τὸν καλὸν κατάσκοπον, ἐγὼ δὲ ταύτην τὴν δόξαν τῷ Ἀχιλλεῖ προσάπτω καὶ παρέχομαι, τὴν σὴν φιλίαν καὶ τὸ ἀξίωμα τὸ μετὰ ταῦτα τηρῶν· ταχέως πάνυ ἐλθὲ εἰς τὸν στρατὸν καὶ τῷ σῷ υἱῷ ἐπίταξον· ὀργίζεσθαι αὐτῷ εἰπὲ τοὺς θεοὺς, ἐμὲ δὲ μάλιστα πάντων τῶν ἀθανάτων θεῶν ὀργισθῆναι, διότι παράφροσι λογισμοῖς κατέχει τὸν Ἕκτορα παρὰ ταῖς καμπυλοπρύμναις ναυσὶν, οὐδὲ ἠλευθέρωσεν· ἐάν πως (ὅπως) ἐμέ τε φοβηθῇ, καὶ τὸν Ἕκτορα ἀπολύσῃ· ἐγὼ δὲ Πριάμῳ τῷ μεγαλοψύχῳ τὴν Ἶριν ἐντολὰς δοὺς ἐπιπέμψω, λυτρώσασθαι τὸν ἀγαπητὸν υἱὸν, πορευθένθα ἐπὶ τὰς ναῦς τῶν Ἑλλήνων, χάριτας δὲ τῷ Ἀχιλλεῖ φέρειν, ἅπερ ἂν τὴν ψυχὴν αὐτοῦ εὐφράναι. Οὕτως εἶπεν. ὑπήκουσε δὲ ἡ θεὰ ἡ λευκόπους Θέτις. ἐπορεύθη δὲ ὁρμήσασα ἐκ τῶν ἐξοχῶν τοῦ ὀλύπου, ἀφίκετο δὲ εἰς τὴν σκηνὴν τοῦ ἑαυτῆς υἱοῦ, εὗρε δὲ αὐτὸν ἐν αὐτῇ ἀδιαλείπτως στενάζοντα, περὶ αὐτὸν δὲ οἱ ἀγαπητοὶ φίλοι σπουδαίως ἐνήργουν καὶ παρεσκεύαζον ἄριστον, τούτοις δὲ κριὸς μέγας δασύθριξ ἐν τῇ σκηνῇ ἔσφακτο, αὕτη δὲ πάνυ πλησίον αὐτοῦ ἐκάθισεν ἡ σεβαστὴ μήτηρ, χειρί τε αὐτὸν κατέψησεν καὶ λόγον

Χειρί τέ μιν κατέρεξεν, ἔπος τ' ἔφατ' ἔκ τ' ὀνόμαζε·
Τέκνον ἐμὸν, τέο μέχρις ὀδυρόμενος καὶ ἀχεύων,
Σὴν ἔδεαι κραδίην, μεμνημένος οὐδέ τι σίτου
Οὔτ' εὐνῆς; ἀγαθὸν δὲ γυναικί περ ἐν φιλότητι
Μίσγεσθ'· οὐ γάρ μοι δηρὸν βέῃ, ἀλλά τοι ἤδη
Ἄγχι παρέστηκεν θάνατος καὶ μοῖρα κραταιή.
Ἀλλ' ἐμέθεν ξύνες ὦκα, Διὸς δέ τοι ἄγγελός εἰμι·
Σκύζεσθαί σοι φησὶ θεοὺς, ἑὲ δ' ἔξοχα πάντων
Ἀθανάτων κεχολῶσθαι, ὅτι φρεσὶ μαινομένῃσιν
Ἕκτορ' ἔχεις παρὰ νηυσὶ κορωνίσιν, οὐδ' ἀπέλυσας.
Ἀλλ' ἄγε δὴ λῦσον, νεκροῖο δὲ δέξαι ἄποινα.
Τὴν δ' ἀπαμειβόμενος προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Τῇδ' εἴη ὃς ἄποινα φέροι, καὶ νεκρὸν ἄγοιτο,
Εἰ δὴ πρόφρονι θυμῷ Ὀλύμπιος αὐτὸς ἀνώγει.
Ὣς οἵγ' ἐν νηῶν ἀγύρει μήτηρ τε καὶ υἱὸς
Πολλὰ πρὸς ἀλλήλους ἔπεα πτερόεντ' ἀγόρευον.
Ἶριν δ' ὤτρυνε Κρονίδης εἰς Ἴλιον ἱρήν·
Βάσκ' ἴθι, Ἶρι, ταχεῖα λιποῦσ' ἕδος Οὐλύμποιο,
Ἄγγειλον Πριάμῳ μεγαλήτορι, Ἴλιον εἴσω,
Λύσασθαι φίλον υἱὸν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν·
Δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κεν θυμὸν ἰήνῃ,
Οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ·
Κῆρυξ τίς οἱ ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
Ἡμιόνους καὶ ἅμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτις
Νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς.
Μηδέ τί οἱ θάνατος μελέτω φρεσὶ, μηδέ τι τάρβος.
Τοῖον γάρ οἱ πομπὸν ὀπάσσομεν Ἀργειφόντην,
Ὃς ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.

εἶπε, καὶ ἐξ ὀνόματος ἐκάλει. Ὦ τέκνον ἐμὸν, μέχρι τίνος θρηνῶν καὶ λυπούμενος τὴν σαυτοῦ κατέδῃ καρδίαν, οὐδοτιοῦν μεμνημένος τροφῆς οὔτε κοίτης; ἀγαθὸν δὲ γυναικί γε ἐν ὀρέξει μίξεως μίγνυσθαι. οὐ γάρ μοι ἐπὶ πολὺ ζήσῃ· ἀλλ' ἤδη σοι ἐγγὺς πάρεστηκεν ὁ θάνατος, καὶ ἡ ἰσχυρὰ μοῖρα· Ἀλλά μου ἐπάκουσον ταχέως, Διὸς δέ σοι μηνυτὴς τυγχάνω· ὀργίζεσθαί σοι φησὶ τοὺς θεοὺς, ἑαυτὸν δὲ μάλιστα πάντων τῶν ἀθανάτων θεῶν ὀργισθῆναι, διότι παράφροσι λογισμοῖς τὸν Ἕκτορα κατέχεις παρὰ ταῖς καμπυλοπρύμναις ναυσὶν, οὐδὲ ἀπέδοσο· ἀλλ' ἄγε δὴ ἀπόλυσον, λύτρα δὲ τοῦ νεκροῦ λάβε. Πρὸς ταύτην δὲ ἀποκρινόμενος εἶπεν ὁ ταχύπους Ἀχιλλεὺς· Ἐνταῦθα παραγένοιτο ὃς ἂν τὰ λύτρα ἐνέγκαι καὶ τὸν νεκρὸν ἀγάγοι, ἐπειδὴ προθύμῳ ψυχῇ ὁ οὐράνιος αὐτὸς κελεύει. Οὕτως οὗτοι ἐν τῷ ἀθροίσματι τῶν νεῶν μήτηρ καὶ υἱὸς πολλοὺς πρὸς ἀλλήλους λέγους ταχεῖς ἔλεγον· Τὴν Ἶριν δὲ προὔτρεψεν ὁ υἱὸς τοῦ Κρόνου εἰς τὸ ἱερὸν Ἴλιον λέγων· Ἄγε πορεύου, ὦ Ἶρι, ταχέως καταλιποῦσα τὸ ἔδαφος τοῦ Ὀλύμπου, ἀπάγγειλον τῷ μεγαλοψύχῳ Πριάμῳ εἰς τὸ Ἴλιον, λυτρώσασθαι τὸν ἀγαπητὸν υἱὸν, πορευθέντα ἐπὶ τὰς ναῦς τῶν Ἑλλήνων, χάριτας δὲ τῷ Ἀχιλλεῖ φέρειν, αἳ ἂν εὐφράνωσι τὴν ψυχὴν αὐτοῦ, μόνον, μηδέ τις ἄλλος σὺν αὐτῷ τῶν Τρώων πορευθήτω ἀνήρ· κήρυξ τις αὐτῷ ἀκολουθείτω γέρων, ὃς ἂν εὐθύνοι τὰς ἡμιόνους καὶ τὴν καλῶς τρέχουσαν ἅμαξαν, καὶ αὖθις τὸν νεκρὸν κομίζοι πρὸς τὴν πόλιν, ὃν ἀπέκτεινεν ὁ ἐνδοξότατος Ἀχιλλεὺς· μηδέ τις αὐτῷ θάνατος ἐν φροντίδι ἔστω κατὰ διάνοιαν, μηδέ τις φόβος, τοιοῦτον αὐτῷ ὁδηγὸν παρέξομεν τὸν Ἑρμῆν, ὃς ἀπάξει ἕως ἂν ἄγων τῷ Ἀχιλλεῖ παραστήσῃ.

Αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλῆος,
Οὔτ' αὐτὸς κτανέει, ἀπό τ' ἄλλους πάντας ἐρύξει·
Οὔτε γάρ ἐστ' ἄφρων, οὔτ' ἄσκοπος, οὔτ' ἀλιτήμων·
Ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.
Ὣς ἔφατ'· ὦρτο δὲ Ἶρις ἀελλόπος ἀγγελέουσα·
Ἶξεν δ' ἐς Πριάμοιο· κίχεν δ' ἐνοπήν τε γόον τε,
Παῖδες μὲν πατέρ' ἀμφὶ καθήμενοι ἔνδοθεν αὐλῆς,
Δάκρυσιν εἵματ' ἔφυρον· ὁ δ' ἐν μέσσοισι γεραιὸς
Ἐντυπὰς ἐν χλαίνῃ κεκαλυμμένος, ἀμφὶ δὲ πολλὴ
Κόπρος ἔην κεφαλῇ τε καὶ αὐχένι τοῖο γέροντος,
Τήν ῥα κυλινδόμενος καταμήσατο χερσὶν ἑῇσι.
Θυγατέρες δ' ἀνὰ δώματ', ἰδὲ νυοὶ, ὠδύροντο,
Τῶν μιμνησκόμεναι, οἳ δὴ πολέες τε καὶ ἐσθλοὶ
Χερσὶν ὑπ' Ἀργείων κέατο ψυχὰς ὀλέσαντες.
Στῆ δὲ παρὰ Πρίαμον Διὸς ἄγγελος, ἠδὲ προσηύδα,
Τυτθὸν φθεγξαμένη, τὸν δὲ τρόμος ἔλλαβε γυῖα·
Θάρσει, Δαρδανίδη Πρίαμε, φρεσὶ, μηδέ τι τάρβει·
Οὐ μὲν γάρ τοι ἐγὼ κακὸν ὀσσομένη τόδ' ἱκάνω,
Ἀλλ' ἀγαθὰ φρονέουσα· Διὸς δέ τοι ἄγγελος εἰμι,
Ὅς σευ, ἄνευθεν ἐὼν, μέγα κήδεται, ἠδ' ἐλεαίρει·
Λύσασθαί σ' ἐκέλευσεν Ὀλύμπιος Ἕκτορα δῖον,
Δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ,
Οἶον, μηδέ τις ἄλλος ἅμα Τρώων ἴτω ἀνήρ.
Κῆρυξ τίς τοι ἕποιτο γεραίτερος, ὅς κ' ἰθύνοι
Ἡμιόνους καὶ ἄμαξαν ἐΰτροχον, ἠδὲ καὶ αὖτις
Νεκρὸν ἄγοι προτὶ ἄστυ, τὸν ἔκτανε δῖος Ἀχιλλεύς·
Μηδέ τί τοι θάνατος μελέτω φρεσὶ, μηδέ τι τάρβος·
Τοῖος γάρ τοι πομπὸς ἅμ' ἕψεται Ἀργειφόντης,

ἐπειδὰν δὲ ἀγάγῃ εἰς τὴν σκηνὴν τοῦ Ἀχιλλέως, οὔτε αὐτὸς ἀποκτενεῖ, καὶ τοὺς ἄλλους πάντας διακωλύσει, οὔτε ἔστιν ἀνόητος, οὔτε ἀπερίσκοπος, οὔτε ἀλιτάνευτος καὶ ἀπαράκλητος, ἀλλὰ πάνυ ἐπιμελῶς φείσεται ἀνδρὸς ἱκέτου. Οὕτως εἶπεν· ἀνέστη δὲ ἡ ἀνεμόπους Ἶρις μηνύσουσα· ἀφίκετο δὲ εἰς τὸν οἶκον τοῦ Πριάμου, εὗρε δὲ θόρυβόν τε καὶ θρῆνον. Παῖδες μὲν περὶ τὸν πατέρα καθήμενοι ἐν τῇ αὐλῇ δάκρυσι τὰ ἱμάτια ὕγραινον (ἔβρεχον), οὗτος δ' ἐν τῷ μέσῳ αὐτῶν ὁ γέρων ἐντυπωδῶς χλαίνῃ ἐγκεκαλυμένος, ὡς διὰ τῆς σκέπης μόνον τὸν τῶν μελῶν τύπον φαίνεσθαι· πολὺς δὲ περιῆν χοῦς τῇ τε κεφαλῇ καὶ τῷ τραχήλῳ τοῦ γέροντος, ὃν δὴ κυλιόμενος ἐπεσπάσατο ταῖς ἑαυτοῦ χερσὶν, αἱ θυγατέρες δὲ καὶ αἱ γυναῖκες τῶν υἱῶν κατὰ τὰ οἰκήματα ὠλοφύροντο τούτων ἀναμιμνησκόμεναι, οἳ δὴ πολλοί τε καὶ ἀγαθοὶ ἔκειντο ὑπὸ τῶν χειρῶν τῶν Ἑλλήνων τὰς ψυχὰς ἀπολέσαντες· ἔστη δὲ παρὰ τὸν Πρίαμον ἡ ἄγγελος τοῦ Διὸς καὶ ἔλεγε πρὸς αὐτὸν μικρὸν καὶ ἡσύχως λαλήσασα· τοῦτον δὲ τρόμος κατέλαβε κατὰ τὰ μέλη· Θάῤῥει κατὰ διάνοιαν, ὦ Πρίαμε ἔκγονε τοῦ Πριάμου, μηδέ τι φοβοῦ οὐδαμῶς γάρ σοι ἐγὼ κακὸν ἀπαγγέλλουσα ἐλήλυθα δεῦρο, ἀλλ' ἀγαθὰ διανουμένη· ἐκ τοῦ Διὸς δέ σοι ἄγγελος ἔρχομαι, ὅστις πόῤῥωθεν ὢν, μεγάλως σου φροντίζει καὶ ἐλεεῖ σε· λυτρώσασθαί σε ἐκέλευσεν ὁ οὐράνιος τὸν ἐνδοξότατον Ἕκτορα, χάριτας δὲ τῷ Ἀχιλλεῖ φέρειν, αἳ ἂν εὐφράνωσι τὴν ψυχὴν αὐτοῦ, μόνον, μηδέ τις ἄλλων τῶν Τρώων ἀνὴρ πορευθήτω σὺν σοί· κῆρυξ τις ἀκολουθείτω σοι γέρων, ὃς ἂν εὐθύνοι τὰς ἡμιόνους καὶ τὴν εὐκόλως τρέχουσαν ἅμαξαν· καὶ αὖθις τὸν νεκρὸν ἀγάγοι πρὸς τὴν πόλιν, ὃν ἀπέκτεινεν ὁ ἐνδοξότατος Ἀχιλλεύς· μηδέ σοι θάνατος διὰ φροντίδος ἔστω κατὰ διάνοιαν, μηδέ τις φόβος· τοιοῦτος γάρ σοι ὁδηγὸς συνέψεται ὁ Ἑρμῆς, ὅς σε ἀπάξει, ἕως ἂν ἄγων

Ὃς σ' ἄξει, εἵως κεν ἄγων Ἀχιλῆϊ πελάσσῃ.
Αὐτὰρ ἐπὴν ἀγάγῃσιν ἔσω κλισίην Ἀχιλλῆος,
Οὔτ' αὐτὸς κτενέει, ἀπό τ' ἄλλους πάντας ἐρύξει·
Οὔτε γὰρ ἔστ' ἄφρων, οὔτ' ἄσκοπος, οὔτ' ἀλιτήμων·
Ἀλλὰ μάλ' ἐνδυκέως ἱκέτεω πεφιδήσεται ἀνδρός.
Ἡ μὲν ἄρ ὣς εἰποῦσ' ἀπέβη πόδας ὠκέα Ἶρις.
Αὐτὰρ ὅγ' υἷας ἄμαξαν εὔτροχον ἡμιονείην
Ὁπλίσαι ἠνώγει, πείρινθα δὲ δῆσαι ἐπ' αὐτῆς·
Αὐτὸς δ' ἐς θάλαμον κατεβήσετο κηώεντα,
Κέδρινον, ὑψόροφον, ὃς γλήνεα πολλὰ κεχάνδη,
Ἐς δ' ἄλοχον Ἑκάβην ἐκαλέσσατο, φώνησέν τε·
Δαιμονίη, Διόθεν μοι Ὀλύμπιος ἄγγελος ἦλθε,
Λύσασθαι φίλον υἱὸν, ἰόντ' ἐπὶ νῆας Ἀχαιῶν,
Δῶρα δ' Ἀχιλλῆϊ φερέμεν, τά κε θυμὸν ἰήνῃ.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, τί τοι φρεσὶν εἴδεται εἶναι;
Αἰνῶς γάρ μ' αὐτόν γε μένος καὶ θυμὸς ἀνώγει,
Κεῖσ' ἰέναι, ἐπὶ νῆας ἔσω στρατὸν εὐρὺν Ἀχαιῶν.
Ὣς φάτο· κώκυσεν δὲ γυνὴ, καὶ ἀμείβετο μύθῳ·
Ὤ μοι· πῇ δή τοι φρένες οἴχονθ', ᾗς τὸ πάρος περ
Ἔκλε' ἐπ' ἀνθρώπους ξείνους, ἠδ' οἷσιν ἀνάσσεις;
Πῶς ἐθέλεις ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
Ἀνδρὸς ἐς ὀφθαλμοὺς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
Υἱέας ἐξενάριξε; σιδήρειόν νύ τοι ἦτορ·
Εἰ γάρ σ' αἱρήσει καὶ ἐσόψεται ὀφθαλμοῖσιν
Ὠμηστὴς καὶ ἄπιστος ἀνὴρ ὅδε, οὔ σ' ἐλεήσει,
Οὐδέ τί σ' αἰδέσεται· νῦν δὲ κλαίωμεν ἄνευθεν
Ἥμενοι ἐν μεγάρῳ· τῷ δ' ὥς ποθι Μοῖρα κραταιὴ
Γεινομένῳ ἐπένησε λίνῳ, ὅτε μιν τέκον αὐτή,

παραστήσῃ τῷ Ἀχιλλεῖ. ἐπειδὰν δὲ ἀγάγῃ εἰς τὴν σκηνὴν τοῦ Ἀχιλλέως, οὔτε αὐτὸς ἀποκτενεῖ, καὶ τοὺς ἄλλους πάντας διακωλύσει, οὔτε γὰρ ἀνόητός ἐςιν, οὔτε ἀπερίσκοπος, οὔτε ἀλιτάνευτος καὶ ἀπαράκλητος, ἀλλὰ πάνυ ἐπιμελῶς φείσεται ἀνδρὸς ἱκέτου καὶ παρακλήτορος. Αὕτη μὲν οὕτως εἰποῦσα ἀπῆλθεν ἡ ταχύπους Ἶρις· οὗτος δὲ τοὺς υἱοὺς τὴν εὐχερῶς τρέχουσαν ἡμιονείαν ἅμαξαν ἑτοιμᾶσαι ἐκέλευσεν, ὑπερτηρίαν (πλινθίον) δὲ ἐπ' αὐτῆς κατα(περι) δῆσαι· αὐτὸς δὲ εἰσῆλθεν εἰς τὸ εὐῶδες δῶμα, τὸ ἐκ κέδρων κατεσκευασμένον, ... ὃ δὴ πολλὰ λαμπρὰ καὶ ἀξιοθέατα ἐχώρει καὶ ἐμπεριεῖχε. ἐκάλεσε δὲ ἔνδον τὴν γαμετὴν Ἑκάβην καὶ εἶπεν. Ὦ μακαρία, ἐκ Διός μοι οὐράνιος μηνυτὴς ἀφίκετο λυτρώσασθαι τὸν υἱὸν, πορευθέντα ἐπὶ τὰς ναῦς τῶν Ἑλλήνων, χάριτας δὲ τῷ Ἀχιλλεῖ φέρειν, αἳ ἂν εὐφράνωσιν τὴν ψυχὴν αὐτοῦ. ἀλλ' ἄγε μοι τοῦτο εἰπὲ, τί σοι κατὰ διάνοιαν δοκεῖ εἶναι; ὑπερβαλλόντως γάρ με αὐτὸν ἡ προθυμία καὶ ἡ ψυχὴ κελεύει ἐκεῖσε πορευθῆναι ἐπὶ τὰς ναῦς, εἰς τὸν πλατὺν στρατὸν τῶν Ἑλλήνων. Οὕτως εἶπεν. ὠλόλυξε δὲ ἡ γυνὴ, καὶ ἀπεκρίνατο λόγῳ. Οἴμοι· ποῦ δή σοι ἡ διάνοια ᾤχετο· ᾗ τὸ πρόσθεν ἐδοξάζου παρὰ ξένοις ἀνθρώποις καὶ ὧν βασιλεύεις· πῶς βούλει ἀφικέσθαι εἰς τὰς ναῦς τῶν Ἑλλήνων μόνος εἰς ἀνδρὸς ὀφθαλμοὺς, ὃς δή σοι πολλοὺς καὶ ἀγαθοὺς υἱοὺς ἀπέκτεινε, σιδηρᾶ δή σοι ψυχὴ ὑπάρχει· εἰ γάρ σε θεάσεται τοῖς ὀφθαλμοῖς καὶ κρατήσει ὁ ἄγριος καὶ αἱμοπότης καὶ ἀβέβαιος ἀνὴρ οὗτος, οὐκ ἐλεήσει σε, οὐδέ τί σε αἰδεσθήσεται· νῦν δὲ κλαίωμεν πόῤῥωθεν καθήμενοι ἐν τῷδε τῷ οἴκῳ .... ὥσπερ που ἡ ἰσχυρὰ Μοῖρα γεννωμένῳ ἐπέκλωσε λίνῳ, ἡνίκα αὐτὸν ἔτεκον

Ἀργίποδας κύνας ἆσαι, ἑῶν ἀπάνευθε τοκήων,
Ἀνδρὶ παρὰ κρατερῷ, τοῦ ἐγὼ μέσον ἧπαρ ἔχοιμι
Ἐσθέμεναι προσφῦσα· τότ' ἄντιτα ἔργα γένοιτο
Παιδὸς ἐμοῦ· ἐπεὶ οὔ ἑ κακιζόμενόν γε κατέκτα,
Ἀλλὰ πρὸ Τρώων καὶ Τρωϊάδων βαθυκόλπων
Ἑσταότ', οὔτε φόβου μεμνημένον, οὔτ' ἀλεωρῆς.
Τὴν δ' αὖτε προσέειπε γέρων Πρίαμος θεοειδής·
Μή μ' ἐθέλοντ' ἰέναι κατερύκανε, μηδέ μοι αὐτὴ
Ὄρνις ἐνὶ μεγάροισι κακὴ πέλευ· οὐδέ με πείσεις.
Εἰ μὲν γάρ τις μ' ἄλλος ἐπιχθονίων ἐκέλευεν,
Ἠ, οἳ μάντιές εισι, θυοσκόοι, ἢ ἱερῆες,
Ψεῦδός κεν φαῖμεν, καί νοσφιζοίμεθα μᾶλλον·
Νῦν δ', αὐτὸς γὰρ ἄκουσα θεοῦ, καὶ ἐσέδρακον ἄντην
Εἶμι, καὶ οὐχ ἅλιον ἔπος ἔσσεται· εἰ δέ μοι αἶσα
Τεθνάμεναι παρὰ νηυσὶν Ἀχαιῶν χαλκοχιτώνων,
Βούλομαι· αὐτίκα γάρ με κατακτείνειεν Ἀχιλλεὺς,
Ἀγκὰς ἑλόντ' ἐμὸν υἱὸν, ἐπὴν γόου ἐξ ἔρον εἵην.
Ἦ, καὶ φωριαμῶν ἐπιθήματα κάλ' ἀνέῳγεν·
Ἔνθεν δώδεκα μὲν περικαλλέας ἔξελε πέπλους,
Δώδεκα δ' ἁπλοΐδας χλαίνας, τόσσους δὲ τάπητας,
Τόσσα δὲ φάρεα καλὰ, τόσους δ' ἐπὶ τοῖσι χιτῶνας·
Χρυσοῦ δὲ στήσας ἔφερεν δέκα πάντα τάλαντα·
Ἐκ δὲ δύ' αἴθωνας τρίποδας, πίσυρας δὲ λέβητας,
Ἐκ δὲ δέπας περικαλλὲς, ὅ οἱ Θρῇκες πόρον ἄνδρες
Ἐξ ἐσίην ἐλθόντι, μέγα κτέρας· οὐδέ νυ τοῦ περ
Φείσατ' ἐνὶ μεγάροις ὁ γέρων· περὶ δ' ἤθελε θυμῷ
Λύσασθαι φίλον υἱόν· ὁ δὲ Τρῶας μὲν ἅπαντας
Αἰθούσης ἀπέεργεν, ἔπεσσ' αἰσχροῖσιν ἐνίσσων·

ἐγὼ ταχύποδας κύνας κορέσαι πόῤῥωθεν τῶν ἑαυτοῦ γονέων, παρ' ἀνδρὶ ἀποτόμῳ καὶ σκληρῷ, οὗ δὴ ἐγὼ εἶθε ἔχοιμι τὸ μέσον τοῦ ἥπατος ἐσθίειν προσβαλλοῦσα τὸ στόμα· τότε γένοιτο ἂν ἔργα ἀντιτιμώρητα τοῦ ἐμοῦ υἱοῦ ἐπειδὴ οὐκ ἀπέκτεινεν αὐτὸν δειλιῶντα, ἀλλὰ πρὸ τῶν Τρώων καὶ τῶν Τρωάδων τῶν μεγαλοκόλπων ἑστῶτα καὶ προπολεμοῦντα, οὔτε φυγῆς μεμνημένον, οὔτε ἀναχωρήσεως. Πρὸς ταύτην δὲ εἶπε γέρων Πρίαμος ὁ θεῖον εἶδος ἔχων· Μή με βουλόμενον πορεύεσθαι κάτεχε, μηδὲ σή μοι ὄρνις κακὴ ἐν τοῖς οἴκοις ἔσο, οὐδὲ (γὰρ) καταπείσεις με· εἰ μὲν γάρ τις ἄλλος με τῶν ἐπιγείων ἐκέλευεν, ἢ οἵτινες μάντεις εἰσὶ τοῖς θυμιάμασι προσέχοντες· ἢ ἱερεῖς καὶ διὰ σπλάγχνων μαντευόμενοι· ψεύδεσθαι ἂν αὐτὸν ἔφημεν καὶ ἀφιστάμεθα μάλιστα. νῦν δὲ, αὐτὸς γὰρ ἤκουσα θεοῦ, καὶ φανερῶς ἑώρακα, πορεύομαι, καὶ οὐ μάταιος ἔσται ὁ λόγος· εἰ δέ μοι μοῖρα ἀποθανεῖν παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων τῶν σιδηροθωράκων, ἐθέλω δή· παραχρῆμα γάρ με ἀποτείνειεν Ἀχιλλεὺς λαβόντα εἰς τὰς ἀγκάλας τὸν ἐμὸν υἱὸν, ἐπὰν τὸν τοῦ θρήνου ἔρωτα πληρώσαιμι. Εἶπε· καὶ τῶν κιβωτίων τὰ περικαλλῆ σκεπάσματα ἤνοιξε, ὅθεν δώδεκα μὲν ὡραῖα περιβλήματα γυναικῶν ἐξέβαλε, δώδεκα δὲ ἁπλᾶ περιβλήματα κλίνης· τόσους δὲ τάπητας, τοσαύτας δὲ ἐσθῆτας περικαλεῖς. ἐπὶ τούτοις δὲ τοσαῦτα ἐνδύματα ἀνδρῶν· χρυσοῦ δὲ ζυγοστατήσας τάλαντα δέκα τὰ πάντα ἔφερεν. ἐξέβαλε δὲ δύο τρίποδας πυροειδεῖς τέσσαρας δὲ λέβητας, ἐξέβαλε δὲ ποτήριον ὡραῖον, ὅπερ ἔδωκαν αὐτῷ ἄνδρες Θρᾶκες ἐπὶ δημοσίαν ἐκπομπὴν, ἤτοι πρεσβείαν, πορευθέντι (ἀφικομένῳ), κτῆμα μέγα, οὐδὲ τούτου γε ἐφείσατο (κεῖσθαι) ἐν τοῖς οἴκοις ὁ γέρων· πάνυ δ' ἐβούλετο κατὰ ψυχὴν λυτρώσασθαι τὸν ἀγαπητὸν υἱόν· οὗτος δὲ πάντας μὲν τοὺς Τρῶας τῆς προστῴου ἀπήλασε, λόγοις κακοῖς ἐπιπλήττων, καὶ

Ἔρρετε, λωβητῆρες, ἐλεγχέες· οὔ νυ καὶ ὑμῖν
Οἴκοι ἔνεστι γόος, ὅτι μ' ἤλθετε κηδήσοντες;
Ἦ οὔνεσθ', ὅτι μοι Κρονίδης Ζεὺς ἄλγε' ἔδωκε,
Παῖδ' ὀλέσαι τὸν ἄριστον; ἀτὰρ γνώσεσθε καὶ ὔμμες·
Ῥηΐτεροι γὰρ μᾶλλον Ἀχαιοῖσιν δὴ ἔσεσθε,
Κείνου τεθνειῶτος, ἐναιρέμεν· αὐτὰρ ἔγωγε,
Πρὶν ἀλαπαζομένην τε πόλιν, κεραϊζομένην τε,
Ὀφθαλμοῖσιν ἰδεῖν, βαίην δόμον Ἄϊδος εἴσω,
Ἦ, καὶ σκηπανίῳ δίεπ' ἀνέρας· οἱ δ' ἴσαν ἔξω,
Σπερχομένοιο γέροντος. ὁ δ' υἱάσιν οἷσιν ὁμόκλα
Νεικείων, Ἕλενόν τε, Πάριν τ'· Ἀγάθωνά τε δῖον,
Πάμμονά τ', Ἀντίφονόν τε, βοὴν ἀγαθόν τε Πολίτην,
Δηΐφοβόν τε, καὶ Ἱππόθοον, καὶ δῖον Ἀγαυόν.
Ἐννέα τοῖς ὁ γεραιὸς ὁμοκλήσας ἐκέλευσε· (τες
Σπεύσατέ μοι, κακὰ τέκνα, κατηφόνες· αἴθ' ἅμα πάν-
Ἕκτορος ὠφέλετ' ἀντὶ, θοῇς ἐπὶ νηυσὶ πεφάσθαι·
Ὤ μοι ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔτινα φημὶ λελεῖφθαι·
Μήστορά τ' ἀντίθεον, καὶ Τρωΐλον ἱππιοχάρμην,
Ἕκτορά θ', ὃς θεὸς ἔσκε μετ' ἀνδράσιν, οὐδὲ ἐῴκει
Ἀνδρός γε θνητοῦ πάϊς ἔμμεναι, ἀλλὰ θεοῖο·
Τοὺς μὲν ἀπώλεσ' Ἄρης, τὰ δ' ἐλέγχεα πάντα λέλειπται
Ψεῦσταί τ', ὀρχησταί τε, χοροιτυπίῃσιν ἄριστοι,
Ἀρνῶν ἠδ' ἐρίφων ἐπιδήμιοι ἁρπακτῆρες.
Οὐκ ἂν δή μοι ἅμαξαν ἐφοπλίσσαιτε τάχιστα,
Ταῦτά τε πάντ' ἐπιθεῖτε, ἵνα πρήσσωμεν ὁδοῖο;
Ὣς ἔφαθ'· οἱ δ' ἄρα πατρὸς ὑποδδείσαντες ὁμοκλὴν
Ἐκ μὲν ἅμαξαν ἄειραν ἐΰτροχον ἡμιονείην,

λοιδορῶν· Ἀπέλθετε μετὰ φθορᾶς ψεῦσται ἐπονείδιςοι· οὔτι δὴ καὶ ὑμῖν θρῆνος ἐν τοῖς οἴκοις ἐστὶν, ἀλλ' ἥκετε ἐμοὶ συμπεισόμενοι καὶ παραμυθησόμενοι, ἢ ὠφελεῖσθε διότι μοι Ζεὺς ὁ τοῦ Κρόνου λύπας ἔδωκε ἀπολέσαι τὸν ἄριστον υἱὸν; ἀλλὰ μαθήσεσθε καὶ ὑμεῖς πάσχοντες, εὐκαταγωνιστότεροι γὰρ μᾶλλον τοῖς Ἕλλησι νῦν ἔσεσθε, ἐκείνου ἀποθανόντος, πρὸς ἀναίρεσιν· ἐγὼ δὲ πρὸ τοῦ τὴν πόλιν ἐκπορθουμένην καὶ κατατεμνομένην θεάσασθαι τοῖς ὀφθαλμοῖς, ἀπέλθομι ἂν εἰς τὸν οἶκον τοῦ Ἅιδου. Εἶπε, καὶ τῷ σκήπτρῳ διεῖργε καὶ διίστα τοὺς ἄνδρας, οὗτοι δὲ ἐπορεύοντο ἔξω ἐπείγοντος τοῦ γέροντος, αὐτὸς δὲ τοῖς ἑαυτοῦ υἱοῖς παρεκελεύετο ὀνειδίζων τόν τε Ἕλενον καὶ τὸν Πάριν, καὶ τὸν ἔνδοξον Ἀγάθονα, καὶ τὸν Πάμμονα καὶ τὸν Ἀντίφονον, καὶ τὸν κατὰ πόλεμον ἀγαθὸν Πολίτην, καὶ τὸν Δηΐφοβον καὶ Ἱππόθοον, καὶ τὸν ἔνδοξον Ἀγαυὸν· ἐννέα τούτοις ὁ γέρων παρακελευσάμενος ἐπέταξε· Ἐπιταχύνεσθέ μοι, ὦ τέκνα κακὰ, μαλακοί τε καὶ ἐπονείδιστοι, εἴθε ὁμοῦ σύμπαντες ὤφλετε ἀναιρεθῆναι παρὰ ταῖς ταχείαις ναυσὶν ἀντὶ τοῦ Ἕκτορος. Οἴ μοι, ἐγὼ ὁ δυστυχέςατος, ἐπειδὴ ἐγέννησα υἱοὺς ἀρίστους ἐν τῇ εὐρυχώρῳ Τροίᾳ, τούτων δὲ οὐδένα οἴομαι ὑπολελεῖφθαι· Μήστορα τὸν ἰσόθεον, καὶ Τρωΐλον τὸν ἔφιππον πολεμιστὴν, καὶ Ἕκτορα ὃς ἦν θεὸς ἐν τοῖς ἀνδράσιν, οὐδὲ ἐδόκει εἶναι υἱὸς ἀνδρὸς θνητοῦ, ἀλλὰ θεοῦ, τούτους μὲν ἔφθειρεν ὁ Ἄρης (πόλεμος), ταῦτα δὲ ὀνείδη πάντα ὑπολέλειπται, ψεῦσται καὶ κωμασταὶ καὶ χορείαις βέλτισοι, ἀρνῶν καὶ ἐρίφων δημόσιοι ἅρπαγες. οὐκ ἂν νῦν μοι ἅμαξαν εὐτρεπίσαιτε ὡς τάχος, καὶ ταῦτα πάντα ἐπιθείντε, ἵνα διερχώμεθα τὴν ὁδόν; Οὕτως εἶπεν· οὗτοι δὲ πάντες τὴν τοῦ πατρὸς φοβηθέντες ἀπειλὴν, ἅμαξαν μὲν ἀναλαβόντες ἐξήνεγκαν, εὐπετῶς τρέχουσαν, ἡμιονείαν, περικαλλῆ,

Καλὴν, πρωτοπαγῆ· πείρινθα δὲ δῆσαν ἐπ' αὐτῆς,
Κὰδ δ' ἀπὸ πασσαλόφιν ζυγὸν ᾕρεον ἡμιόνειον,
Πύξινον, ὀμφαλόεν τ', εὖ οἰήκεσσιν ἀρηρός.
Ἐκ δ' ἔφερον ζυγόδεσμον ἅμα ζυγῷ ἐννεάπηχυ·
Καὶ τὸ μὲν εὖ κατέθηκαν ἐϋξέστῳ ἐπὶ ῥυμῷ,
Πέζῃ ἐπὶ πρώτῃ, ἐπὶ δὲ κρίκον ἕστορι βάλλον·
Τρὶς δ' ἑκάτερθεν ἔδησαν ἐπ' ὀμφαλόν· αὐτὰρ ἔπειτα
Ἑξείης κατέδησαν, ὑπὸ γλωχῖνα δ' ἔκαμψαν.
Ἐκ θαλάμου δὲ φέροντες ἐϋξέστης ἐπ' ἀπήνης,
Νήεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
Ζεῦξαν δ' ἡμιόνους κρατερώνυχας, ἐντεσιουργούς,
Τούς ῥά ποτε Πριάμῳ Μυσοὶ δόσαν ἀγλαὰ δῶρα.
Ἵππους δὲ Πριάμῳ ὕπαγον ζυγὸν, οὓς ὁ γεραιὸς
Αὐτὸς ἔχων ἀτίταλλεν ἐϋξέστῃ ἐπὶ φάτνῃ.
Τὼ μὲν ζευγνύσθην ἐν δώμασιν ὑψηλοῖσι
Κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες.
Ἀγχίμολον δέ σφ' ἦλθ' Ἑκάβη τετιηότι θυμῷ,
Οἶνον ἔχουσ' ἐν χειρὶ μελίφρονα δεξιτερῆφι,
Χρυσέῳ ἐν δέπαϊ, ὄφρα λείψαντε κιοίτην·
Στῆ δ' ἵππων προπάροιθεν, ἔπος τ' ἔφατ', ἔκ τ' ὀνόμαζε·
Τῆ, σπεῖσον Διῒ πατρὶ, καὶ εὔχεο οἴκαδ' ἱκέσθαι
Ἂψ ἐκ δυσμενέων ἀνδρῶν· ἐπεὶ ἆρ σέ γε θυμὸς
Ὀτρύνει ἐπὶ νῆας, ἐμεῖο μὲν οὐκ ἐθελούσης.
Ἀλλ' εὔχευ σύ γ' ἔπειτα κελαινεφέϊ Κρονίωνι
Ἰδαίῳ, ὅστε Τροίην κατὰ πᾶσαν ὁρᾶται·
Αἴτει δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅστε οἱ αὐτῷ
Φίλτατος οἰωνῶν, καὶ εὖ κράτος ἐστὶ μέγιστον,
Δεξιόν· ὄφρα μιν αὐτὸς, ἐν ὀφθαλμοῖσι νοήσας,

νεωστὶ κατεσκευασμένην, πλινθίον δὲ ἐπ' αὐτῆς περιέδησαν, ἔλαβον δὲ ἀπὸ τοῦ πασσάλου, τὸν τῶν ἡμιόνων ζυγὸν ἐκ πύξου ὄντα ὀμφαλοὺς ἔχοντα (ὀμφαλὸν ἔχοντα ᾧ προσδεῖται ὁ ῥυμὸς, ὑπεροχάς τινας ἐν μέσῳ), καλῶς τοῖς κρίκοις ἐφηρμοσμένον, δι' ὧν διείρονται αἱ ἡνίαι· ἐξήνεγκαν δὲ σὺν τῷ ζυγῷ ζυγόδεσμον ἐννέα πήχεων, καὶ τοῦτον μὲν καλῶς κατέθηκαν ἐπὶ τῷ εὖ ἐξεσμένῳ ῥυμῷ ἐπὶ τῷ πρώτῳ ἄκρῳ. ἐπέβαλον δὲ τῷ κατὰ τὸ ἄκρον τοῦ ῥυμοῦ ἐμπεπηγότι πασσάλῳ τὸν κρίκον· τρὶς δὲ ἑκατέρωθεν περιέδησαν παρὰ τὸν ὀμφαλὸν (ἐν μέσῳ τοῦ ζυγοῦ)· μετὰ ταῦτα δὲ εφεξῆς κατέδησαν, ὑπὸ δὲ τὴν γωνίαν τὴν γεγονυῖαν ἐκ τοῦ ῥυμοῦ καὶ τοῦ ζυγοῦ ἀπετερμάτισαν τὰ ἄκρα τοῦ ἱμάντος· ἐξενέγκαντες δὲ τοῦ δώματος ἐπὶ τῆς καλῶς κατεσκευασμένης ἀμάξης ἐπεσώρευσαν τὰ πλεῖστα λύτρα τῆς κεφαλῆς τοῦ Ἕκτορος. ἔζευσαν δὲ τὰς (οὺς) ἰσχυρώνυχας ὑποζυγίους ἡμιόνους, τὰς ἑτοίμους πρὸς τὰ ἔργα, ἃς (οὓς) δήποτε τῷ Πριάμῳ οἱ Μυσοὶ ἔδωκαν δῶρα λαμπρᾶ, ἵππους δὲ τῷ Πριάμῳ ἤγαγον ὑπὸ τὸν ζυγὸν, οὓς ὁ γέρων αὐτὸς ἔχων ἀνέτρεφε παρὰ τῇ καλῶς κατεσκευασμένῃ φάτνῃ· οὗτοι μὲν οὖν ἐζέγνυντο (τούτοις μὲν οὖν διὰ τῶν Πριαμιδῶν τὸ ζεῦγμα παρακατεσκευάζετο) ἐν τοῖς ὑψηλοῖς οἰκήμασιν, ὅτε κῆρυξ καὶ Πρίαμος πυκνὰς καὶ συνετὰς βουλὰς κατὰ διάνοιαν ἔχοντες· πλησίον δὲ αὐτοῦ ἦκεν ἡ Ἑκάβη τεθλιμένη καὶ λελυπημένη ψυχῇ, οἶνον κατέχουσα προσηνῆ ἐν τῇ δεξιᾷ χειρὶ ποτηρίῳ χρυσῷ, ἵνα σπείσαντες πορεύοιντο. ἔστη δὲ ἔμπροσθεν τῶν ἵππων, καὶ λόγον εἶπε καὶ ἐξ ὀνόματος ἐλάλει. Λάβε δὴ σπεῖσον Διῒ τῷ πατρὶ, καὶ εὔχου εἰς οἶκον ἀφικέσθαι ὀπίσω ἐκ τῶν πολεμίων ἀνδρῶν, ἐπειδή σε ἡ ψυχὴ προτρέπει ἐπὶ τὰς ναῦς ἐμοῦ γε μὴ βουλομένης, ἀλλ' εὔχου σύ γε τῷ σκοτεινεφεῖ υἱῷ τοῦ Κρόνου τῷ τιμωμένῳ ἐν Ἴδῃ· ὅς γε κατὰ πᾶσαν τὴν Τροίαν ὁρᾶται· αἴτει δὲ οἰωνὸν ἀγγελιαφόρον ταχὺν ὅς γε αὐτῷ προσφιλέστατος τῶν ὀρνέων ἐστὶ, καὶ

Τῷ πίσυνος ἐπὶ νῆας ἴῃς Δαναῶν ταχυπώλων.
Εἰ δέ τοι οὐ δώσει ἑὸν ἄγγελον εὐρύοπα Ζεὺς,
Οὐκ ἂν ἔγωγέ σ' ἔπειτα ἐποτρύνουσα κελοίμην
Νῆας ἐπ' Ἀργείων ἰέναι, μάλα περ μεμαῶτα.
Τὴν δ' ἀπαμειβόμενος προσέφη Πρίαμος θεοειδής·
Ὦ γύναι, οὐ μέν τοι τόδ' ἐφιεμένῃ ἀπιθήσω·
Ἐσθλὸν γὰρ Διῒ χεῖρας ἀνασχέμεν, αἴκ' ἐλεήσῃ.
Ἦ ῥα, καὶ ἀμφίπολον ταμίην ὤτρυν' ὁ γεραιὸς
Χερσὶν ὕδωρ ἐπιχεῦαι ἀκήρατον· ἡ δὲ παρέστη,
Χέρνιβον ἀμφίπολος, πρόχοόν θ' ἅμα, χερσὶν ἔχουσα,
Νιψάμενος δὲ, κύπελλον ἐδέξατο ἧς ἀλόχοιο·
Εὔχετ' ἔπειτα στὰς μέσῳ ἕρκεϊ, λεῖβε δὲ οἶνον,
Οὐρανὸν εἰσανιδών. καὶ φωνήσας ἔπος ηὔδα·
Ζεῦ πάτερ, Ἴδηθεν μεδέων, κύδιστε, μέγιστε,
Δός μ' ἐς Ἀχιλλῆος φίλον ἐλθεῖν, ἠδ' ἐλεεινόν·
Πέμψον δ' οἰωνὸν ταχὺν ἄγγελον, ὅστε σοὶ αὐτῷ
Φίλτατος οἰωνῶν, καί οἱ κράτος ἐστὶ μέγιστον,
Δεξιόν· ὄφρα μιν αὐτὸς, ἐν ὀφθαλμοῖσι νοήσας,
Τῷ πίσυνος ἐπὶ νῆας ἴω Δαναῶν ταχυπώλων.
Ὣς ἔφατ' εὐχόμενος· τοῦ δ' ἔκλυε μητίετα Ζεύς·
Αὐτίκα δ' αἰετὸν ἧκε, τελειότατον πετεηνῶν,
Μορφνὸν, θηρητῆρ', ὃν καὶ Περκνὸν καλέουσιν.
Ὅσση δ' ὑψορόφοιο θύρη θαλάμοιο τέτυκται
Ἀνέρος ἀφνειοῖο ἐϋκλήϊς ἀραρυῖα·
Τόσσ' ἄρα τοῦ ἑκάτερθεν ἔσαν πτερά· εἴσατο δέ σφι
Δεξιὸς ἀΐξας ὑπὲρ ἄστεος· οἱ δὲ ἰδόντες
Γήθησαν, καὶ πᾶσιν ἐνὶ φρεσὶ θυμὸς ἰάνθη.
Σπερχόμενος δ' ὁ γέρων ξεστοῦ ἐπεβήσετο δίφρου

μεγίςη δύναμις ὑπάρχει αὐτῷ, αἴσιον καὶ ἐπιτήδειον· ὅπως σὺ θεασάμενος αὐτὸν τοῖς ὀφθαλμοῖς, τούτῳ θαρσῶν, ἐπὶ τὰς ναῦς πορεύῃ τῶν ταχεῖς ἵππους ἐχόντων Ἑλλήνων· εἰ δέ σοι οὐ δώσει ἄγγελον ἑαυτοῦ ὁ μεγαλόφωνος Ζεὺς, οὐκ ἂν ἔγωγέ σε μετὰ ταῦτα προτρέπουσα κελεύοιμι πορευθῆναι ἐπὶ τὰς ναῦς τῶν Ἑλλήνων καίπερ προθυμούμενον πάνυ. Πρὸς ταύτην δὲ ἀποκρινόμενος εἶπε Πρίαμος ὁ θεοῦ εἶδος ἔχων. Ὦ γύναι, οὐδαμῶς σοι τοῦτο ἐντελλομένῃ ἀπειθήσω· ἀγαθὸν γὰρ ἆραι τὰς χεῖρας τῷ Διῒ, ὅπως οἰκτείρῃ· Εἶπε δὴ καὶ τὴν ταμίαν θεράπαιναν προὔτρεψεν ὁ γέρων ὕδωρ ταῖς χερσὶν ἐπιχέαι καθαρὸν καὶ διειδὲς, αὕτη δὲ παρεγένετο ἡ θεράπαινα χερνίβιον καὶ ξέςην ἅμα ἐν ταῖς χερσὶν ἔχουσα, νιψάμενος δὲ τὸ ποτήριον ἐδέξατο παρὰ τῆς ἑαυτοῦ γυναικὸς, εὔχετο δὲ μετὰ ταῦτα στὰς ἐν τῷ μέσῳ τοῦ περιφράγματος τῆς αὐλῆς, ἔσπενδε δὲ οἶνον, εἰς τὸν οὐρανὸν ἀναβλέψας, καὶ λαλήσας λόγον ἔλεγεν· Ὦ Ζεῦ πάτερ, ἐκ τῆς Ἴδης βασιλεύων ἐνδοξότατε, ὑψηλότατε, δὸς ἀφικέσθαι με πρὸς Ἀχιλλέα προσφιλῆ καὶ οἰκτρὸν, ἀπόστειλον δὲ οἰωνὸν ἀγγελιαφόρον ταχὺν, ὅς γε σοὶ προσφιλέστατος ὀρνέων ἐστὶ, καὶ δύναμις μεγίςη αὐτῷ ὑπάρχει . . . . ὅπως θαῤῥῶν πορεύωμαι ἐπὶ τὰς ναῦς τῶν ταχεῖς ἵππους ἐχόντων Ἑλλήνων. Οὕτως εἶπεν εὐχόμενος· τούτου δὲ ἐπήκουσεν ὁ βουλευτικὸς Ζεὺς· παραχρῆμα δὲ αετὸν ἔπεμψε τελεώτατον πάντων τῶν ὀρνέων, μέλανα, κυνηγετικὸν, ὃν καὶ Μελαναίετον καλοῦσιν· ὅση δὲ κατασκευάζεται ἡ θύρα τοῦ ὑψοσέγου θαλάμου τοῦ πλουσίου ἀνδρὸς, ἡ εὐαρμόστως κλειομένη, τόσα δὴ ἑκατέρωθεν ἦσαν αὐτοῦ τὰ πτερὰ (αἱ πτέρυγες). ἐπῆλθε δ' αὐτοῖς ἐκ δεξιῶν ὁρμήσας ὑπεράνω τῆς πόλεως, οὗτοι δὲ θεασάμενοι ἐχάρησαν, καὶ πᾶσιν ἐν τῇ διανοίᾳ ἡ ψυχὴ εὐφράνθη, σπεύδων δὲ ὁ γέρων ἐπέβη τοῦ ἐξεσμένως κατεσκευασμένου ὀχήματος, ἐξέλασε δὲ τῶν

Ἐκ δ' ἔλασε προθύροιο καὶ αἰθούσης ἐριδούπου.
Πρόσθε μὲν ἡμίονοι ἕλκον τετράκυκλον ἀπήνην,
Τὰς Ἰδαῖος ἔλαυνε δαΐφρων· αὐτὰρ ὄπισθεν
Ἵπποι, τοὺς ὁ γέρων ἐφέπων μάστιγι κέλευε
Καρπαλίμως κατὰ ἄστυ· φίλοι δ' ἅμα πάντες ἕποντο,
Πόλλ' ὀλοφυρόμενοι, ὡσεὶ θάνατόνδε κιόντα.
Οἱ δ' ἐπεὶ οὖν πόλιος κατέβαν, πεδίον δ' ἀφίκοντο,
Οἱ μὲν ἄρ ἄψοῤῥοι ποτὶ Ἴλιον ἀπονέοντο,
Παῖδες καὶ γαμβροί· τὼ δ' οὐ λάθον εὐρύοπα Ζῆν
Ν' ἐς πεδίον προφανέντε· ἰδὼν δ' ἐλέησε γέροντα.
Αἶψα δ' ἄρ Ἑρμείαν, υἱὸν φίλον, ἀντίον ηὔδα·
Ἑρμεία, σοὶ γάρ τε μάλιστά γε φίλτατόν ἐστιν
Ἀνδρὶ ἑταιρίσσαι. καί τ' ἔκλυες, ᾧ κ' ἐθέλῃσθα,
Βάσκ' ἴθι, καὶ Πρίαμον κοίλας ἐπὶ νῆας Ἀχαιῶν
Ὣς ἄγαγ', ὡς μήτ' ἄρ τις ἴδῃ, μήτ' ἄρ τι νοήσῃ
Τῶν ἄλλων Δαναῶν, πρὶν Πηλείωνάδ' ἱκέσθαι.
Ὣς ἔφατ'· οὐδ' ἀπίθησε διάκτορος Ἀργειφόντης·
Αὐτίκ' ἔπειθ' ὑπὸ ποσσὶν ἐδήσατο καλὰ πέδιλα,
Ἀμβρόσια, χρύσεια, τά μιν φέρον ἠμὲν ἐφ' ὑγρὴν,
Ἠδ' ἐπ' ἀπείρονα γαῖαν, ἅμα πνοιῇς ἀνέμοιο·
Εἵλετο δὲ ῥάβδον, τῇ τ' ἀνδρῶν ὄμματα θέλγει,
Ὧν ἐθέλει, τοὺς δ' αὖτε καὶ ὑπνώοντας ἐγείρει·
Τὴν μετὰ χερσὶν ἔχων πέτετο κρατὺς Ἀργειφόντης.
Αἶψα δ' ἄρα Τροίην τε καὶ Ἑλλήσποντον ἵκανε·
Βῆ δ' ἰέναι, κούρῳ αἰσυμνητῆρι ἐοικὼς,
Πρῶτον ὑπηνήτῃ, τοῦπερ χαριεστάτη ἥβη.
Οἱ δ' ἐπεὶ οὖν μέγα σῆμα παρὲξ Ἴλοιο ἔλασσαν,
Στῆσαν ἄρ ἡμιόνους τε καὶ ἵππους, ὄφρα πίοιεν

προθύρων, καὶ τῆς μεγαλοκτύπου προστώου· Ἔμπροσθεν μὲν οὖν αἱ ἡμιόνοι εἷλκον τὴν τετράτροχον ἅμαξαν, ἃς ὁ Ἰδαῖος ἤλαυνεν ὁ συνετὸς, ὄπισθεν δὲ οἱ ἵπποι, οὓς ὁ γέρων ἐλαύνων τῇ μάστιγι προὔτρεπε ταχέως διὰ τῆς πόλεως· ἅμα δὲ πάντες οἱ φίλοι καὶ οἰκεῖοι ἠκολούθουν πολλὰ ὀδυρόμενοι αὐτὸν, ὥσπερ εἰς θάνατον ἀπιόντα· Ἐπεὶ οὖν οὗτοι κατέβησαν ἐκ τῆς πόλεως, καὶ εἰς τὸ πεδίον παρεγένοντο· οἱ μὲν δὴ ὀπισθόρμητοι πρὸς τὸ Ἴλιον ὑπέστρεψαν οἱ υἱοὶ καὶ γαμβροί. Οὗτοι δὲ οὐκ ἔλαθον τὸν μεγαλόφωνον Δία, κατὰ τὸ πεδίον φανέντες, θεασάμενος δὲ ᾤκτειρε τὸν γέροντα, ταχέως δὲ ἔλεγεν ἐναντίον πρὸς Ἑρμῆν τὸν ἀγαπητὸν υἱόν· Ὦ Ἑρμῆ, σοὶ γὰρ μάλιστα προσφιλέστερον ὑπάρχει ἀνδρὶ συνοδοιπορῆσαι, καὶ ἤκουσας ᾧ ἂν ἐθέλῃς, ἄγε πορεύου, καὶ Πρίαμον ἐπὶ τὰς βαθείας ναῦς τῶν Ἑλλήνων οὕτως ἄγαγε, ὡς μήτε τινὰ ἰδεῖν, μήτε τι νοῆσαι τῶν ἄλλων Ἑλλήνων πρὶν ἀφικέσθαι πρὸς τὸν υἱὸν τοῦ Πηλέως. Οὕτως εἶπεν· ὑπήκουσε δὲ ὁ καθαρὸς φόνου ἄγγελος Ἑρμῆς, παραχρῆμα δὲ ὑπεδήσατο τοῖς ποσὶ τὰ περικαλλῆ ὑποδήματα τὰ θεῖα καὶ χρυσᾶ, ἅπερ αὐτὸν ἔφερον κατά τε θάλασσαν, καὶ κατὰ τὴν ἄπειρον γῆν, ἴσα καὶ πνοαῖς ἀνέμου, ἤγουν ὡς τάχιστα. ἔλαβε δὲ τὴν ῥᾶβδον, ᾗ ἐξαπατᾷ τοὺς ὀφθαλμοὺς τῶν ἀνθρώπων ὧν βούλεται, τινὰς δὲ καὶ ὑπνοῦντας ἀνίστησι, ταύτην ἐν ταῖς χερσὶ κατέχων, ἐπέτετο ὁ δυνάστης Ἑρμῆς, ταχέως δὲ εἰς τὴν Τροίαν καὶ τὸν Ἑλλήσποντον ἀφίκετο, ὥρμησε δὲ πορεύεσθαι ὅμοιος νέῳ, φυλακικῷ τοῦ δικαίου, νῦν πρῶτον πωγωνοφυοῦντι· οὗ δή γε ἡδίστη ἡ ἡλικία ἐστίν. Ἐπεὶ οὖν οὗτοι τὸ μέγα μνῆμα τοῦ Ἴλου παρήλλαξαν, ἔστησαν δὴ τὰς ἡμιόνους καὶ τοὺς ἵππους ἵνα πίωσιν ἐν τῷ ποταμῷ· ἤδη γὰρ καὶ σκό-

Ἐν ποταμῷ· δὴ γάρ καὶ ἐπὶ κνέφας ἤλυθε γαῖαν·
Τὸν δ' ἐξ ἀγχιμόλοιο ἰδὼν ἐφράσσατο κῆρυξ
Ἑρμείαν, ποτὶ δὲ Πρίαμον φάτο, φώνησέν τε·
Φράζεο, Δαρδανίδη· φραδέος νόου ἔργα τέτυκται·
Ἄνδρ' ὁρόω, τάχα δ' ἄμμε διαῤῥαίσεσθαι ὀΐω·
Ἀλλ' ἄγε δὴ φεύγωμεν ἐφ' ἵππων· ἤ μιν ἔπειτα
Γούνων ἁψάμενοι λιτανεύσομεν, αἴκ' ἐλεήσῃ.
Ὡς φάτο· σὺν δὲ γέροντι νόος χύτο, δείδιε δ' αἰνῶς·
Ὀρθαὶ δὲ τρίχες ἔσταν ἐνὶ γναμπτοῖσι μέλεσσι·
Στῆ δὲ ταφών. αὐτὸς δ' Ἐριούνιος ἐγγύθεν ἐλθὼν.
Χεῖρα γέροντος ἑλὼν, ἐξείρετο καὶ προσέειπεν·
Πῆ, πάτερ, ὧδ' ἵππους τε καὶ ἡμιόνους ἰθύνεις
Νύκτα δι' ἀμβροσίην, ὅτε θ' εὕδουσι βροτοὶ ἄλλοι;
Οὐδὲ σύ γ' ἔδδεισας μένεα πνείοντας Ἀχαιοὺς,
Οἵ τοι δυσμενέες καὶ ἀνάρσιοι ἐγγὺς ἔασιν;
Τῶν εἴτις σε ἴδοιτο, θοὴν διὰ νύκτα μέλαιναν,
Τοσσάδ' ὀνείατ' ἄγοντα, τίς ἂν δή τοι νόος εἴη;
Οὔτ' αὐτὸς νέος ἐσσὶ, γέρων δέ τοι οὗτος ὀπηδεῖ,
Ἄνδρ' ἀπαμύνασθαι, ὅτε τις πρότερος χαλεπήνῃ·
Ἀλλ' ἐγὼ οὐδέν σε ῥέξω κακὸν, καὶ δέ κεν ἄλλον
Σεῦ ἀπαλεξήσαιμι· φίλῳ δέ σε πατρὶ ἐΐσκω.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Οὕτω πῆ τάδε γ' ἐστὶ, φίλον τέκος, ὡς ἀγορεύεις·
Ἀλλ' ἔτι τις καὶ ἐμεῖο θεῶν ὑπερέσχεθε χεῖρα,
Ὅς μοι τοιόνδ' ἧκεν ὁδοιπόρον ἀντιβολῆσαι,
Αἴσιον, οἷος δὴ σὺ δέμας καὶ εἶδος ἀγητὸς,
Πέπνυσαί τε νόον, μακάρων δ' ἐξ ἐσσὶ τοκήων.
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·

τος ἐπῆλθε τὴν γῆν· Τοῦτον δὲ ἐκ τοῦ σύνεγγυς θεασάμενος κατενόησεν ὁ κῆρυξ τὸν Ἑρμῆν. εἶπε δὲ πρὸς τὸν Πρίαμον, καὶ ἐφώνησε. Κατανόει, ὦ ἔκγονε τοῦ Δαρδάνου, συνετοῦ νοῦ ἔργα γέγονεν (γίνεσθαι δεῖ), ἄνδρα ὁρῶ, ταχέως δὲ ἡμᾶς ἀναιρήσεσθαι ὑπολαμβάνω. ἀλλ' ἄγε δὴ φεύγωμεν ἔφιπποι, ἢ αὐτοῦ λαβόμενοι τῶν γονάτων ἱκετεύσωμεν ὅπως οἰκτείρῃ. Οὕτως εἶπεν. τῷ γέροντι δὲ συνεχύθη καὶ ἐταράχθη ὁ νοῦς, ἐφοβεῖτο δὲ σφόδρα, ὀρθαὶ δὲ αἱ τρίχες ἔστησαν ἐν τοῖς καμπτοῖς αὐτοῦ μέλεσι, ἔστη δὲ ἐκπλαγεὶς, αὐτὸς δὲ ὁ Ἑρμῆς πλησίον γενόμενος, τὴν χεῖρα τοῦ γέροντος λαβὼν, ἠρώτησε. καὶ εἶπε πρὸς αὐτὸν· Ποῦ, ὦ πάτερ, οὕτως εὐθύνεις τούς τε ἵππους καὶ ἡμιόνους κατὰ τὸν καιρὸν τῆς θείας νυκτὸς, ἡνίκα ὑπνώττουσιν οἱ ἄλλοι ἄνθρωποι. οὐδὲ σύ γε ἐφοβήθης τοὺς εὐτόλμου ἰσχύος πνέοντας Ἕλληνας, οἵ σοι ἐχθροὶ καὶ ἀνάρμοστοι τὴν γνώμην, ἤγουν ἐναντίοι, πλησίον εἰσίν. τούτων εἴ τις σε θεάσαιτο κατὰ τὸν καιρὸν τῆς ταχείας μελαίνης νυκτὸς, τοσαῦτα ἐπωφελῆ ἄγοντα, τίς ἂν δή σοι νοῦς εἴη; καὶ τί διανοήσῃ καὶ πράξεις; οὔτε σὺ νέος εἶ, γέρων δέ σοι καὶ οὗτος ἀκολουθεῖ, ἀνδρὶ ἀντιμάχεσθαι, ὅταν τι πρότερος ἐνοχλήσῃ καὶ βλάψῃ. ἀλλὰ ἐγὼ οὐδὲν κακόν σε ποιήσω· καὶ δὴ καὶ ἄλλον σοῦ ἀποσοβήσαιμι ἂν, ἀφομοιῶ γάρ σε τῷ ἀγαπητῷ πατρί. Πρὸς τοῦτον δὲ μετὰ ταῦτ' ἀπεκρίνατο ὁ θεοειδὴς γέρων Πρίαμος. Οὕτω που ταῦτα ἔχει, ὦ προσφιλέστατον τέκνον, ὥσπερ λέγεις, ἀλλ' ὄντως καὶ ἐμοῦ χεῖρα ὑπερέσχε τὶς τῶν θεῶν, ὅς μοι τοιοῦτον ὁδοιπόρον ἔπεμψεν ὥστ' ἀπαντῆσαι, δεξιὸν καὶ ὠφέλιμον, οἷος δὴ σὺ τὸ σῶμα καὶ τὴν μορφὴν θαυμαστὸς εἶ, καὶ νῷ ἐφρενωμένος, ἐκ μακαρίων δὲ γονέων ὑπάρχεις. Πρὸς τοῦτον δὲ εἶπεν ὁ φόνου καθαρὸς ἄγγελος Ἑρμῆς. Ναὶ

Ναὶ δὴ ταῦτά γε πάντα, γέρον, κατὰ μοῖραν ἔειπες·
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Ἠέ πῃ ἐκπέμπεις κειμήλια πολλὰ καὶ ἐσθλὰ
Ἄνδρας ἐς ἀλλοδαπούς, ἵνα περ τάδε τοι σόα μίμνῃ;
Ἦ ἤδη πάντες καταλείπετε Ἴλιον ἱρὴν
Δειδιότες; τοῖος γὰρ ἀνὴρ ὤριστος ὄλωλεν
Σὸς παῖς· οὐ μὲν γάρ τι μάχης ἐπεδεύετ' Ἀχαιῶν·
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Τίς δὲ σύ ἐσσι, φέριστε, τέων δ' ἐξ ἐσσὶ τοκήων,
Ὅς μοι καλὰ τὸν οἶτον ἀπότμου παιδὸς ἔνισπες;
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Πειρᾷ ἐμεῖο, γεραιὲ, καὶ εἴρεαι Ἕκτορα δῖον·
Τὸν μὲν ἐγὼ μάλα πολλὰ μάχῃ ἔνι κυδιανείρῃ
Ὀφθαλμοῖσιν ὄπωπα· καὶ εὖτ' ἐπὶ νηυσὶν ἐλάσσας
Ἀργείους κτείνεσκε, δαΐζων ὀξέϊ χαλκῷ·
Ἡμεῖς δ' ἑσταότες θαυμάζομεν· οὐ γὰρ Ἀχιλλεὺς
Εἴα μάρνασθαι, κεχολωμένος Ἀτρείωνι.
Τοῦ γὰρ ἐγὼν θεράπων, μία δ' ἤγαγε νηῦς εὐεργής·
Μυρμιδόνων δ' ἐξ εἰμί· πατὴρ δέ μοι ἐστὶ Πολυήτωρ·
Ἀφνειὸς μὲν ὅδ' ἐστί· γέρων δὲ, ὡς σύ περ ὧδε·
Ἓξ δέ οἱ υἷες ἔασιν, ἐγὼ δέ οἱ ἕβδομός εἰμι·
Τῶν μέτα παλλόμενος, κλήρῳ λάχον ἐνθάδ' ἕπεσθαι·
Νῦν δ' ἦλθον πεδίονδ' ἀπὸ νηῶν· ἠῶθεν γὰρ
Θήσονται περὶ ἄστυ μάχην ἑλίκωπες Ἀχαιοί.
Ἀσχαλόωσι γὰρ οἵγε καθήμενοι, οὐδὲ δύνανται
Ἴσχειν ἐσσυμένους πολέμου βασιλῆες Ἀχαιῶν.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Εἰ μὲν δὴ θεράπων Πηληϊάδεω Ἀχιλῆος

δὴ ταῦτα πάντα, ὦ γέρον, κατὰ τὸ πρέπον εἶπες, ἀλλ' ἄγε τοῦτό μοι εἰπὲ, καὶ ἀληθῶς ἑρμήνευσον. ἆρά που ἐκπέμπεις κτήματα πολλὰ καὶ ἀγαθὰ εἰς ἄνδρας ἑτέρας γῆς, ἵνα σοι ταῦτα σῶα μένωσιν, ἢ πάντες ἤδη καταλείπετε τὸ ἱερὸν Ἴλιον φοβούμενοι; τοιοῦτος γὰρ ἀνὴρ ἄριστος ἀπώλετο ὁ σὸς υἱὸς, οὐ μὴν γάρ τι ἐν τῇ μάχῃ ἡττᾶτο τῶν Ἑλλήνων. πρὸς τοῦτον δὲ ἀπεκρίνετο μετὰ ταῦτα ὁ τὴν μορφὴν ὅμοιος τοῖς θεοῖς γέρων Πρίαμος· Τίς δὲ σὺ εἶ, βέλτιστε; ἐκ τίνων δὲ γονέων ὑπάρχεις, ὅς μοι καλῶς τὸν ὄλεθρον τοῦ δυστυχοῦς υἱοῦ εἶπες; Πρὸς τοῦτον δὲ εἶπεν ὁ φόνου καθαρὸς ἄγγελος Ἑρμῆς· Ἀποπειρᾷ ἐμοῦ, γέρον, καὶ ἐρωτᾷς περὶ τοῦ ἐνδοξοτάτου Ἕκτορος. τοῦτον μέν τοι ἐγὼ πάνυ πολλάκις ἐν τῷ τοὺς ἄνδρας δοξάζοντι πολέμῳ ἐθεασάμεν τοῖς ὀφθαλμοῖς, καὶ ἡνίκα παρὰ τὰς ναῦς ἐπιδιώξας τοὺς Ἕλληνας ἀπέκτεινε διχοτομῶν σιδήρῳ ὀξεῖ, ἡμεῖς δὲ ἱστάμενοι ἐθαυμάζομεν, οὐ γάρ τοι ὁ Ἀχιλλεὺς ἀφίει(η) πολεμεῖν ὀργιζόμενος τῷ υἱῷ τοῦ Ἀτρέως. τούτου γὰρ ἐγὼ θεράπων εἰμὶ, μία δὲ ναῦς εὖ κατεσκευασμένη ἤγαγεν, ἐκ τῶν Μυρμιδόνων δὲ εἰμὶ, πάτηρ δέ μοι ἐστὶ Πολυήτωρ, πλούσιος μὲν οὗτος ὑπάρχει, γέρων δὲ οὕτως, ὥσπερ σύ· ἓξ δὲ αὐτῷ υἱοὶ ὑπάρχουσιν, ἐγὼ δὲ αὐτῷ ἕβδομος τυγχάνω, μεθ' ὧν κληρούμενος, ἔλαχον κλήρῳ πορευθῆναι ἐνταῦθα, νυνὶ δὲ ἀφικόμην εἰς τὸ πεδίον ἀπὸ τῶν νεῶν· ἕωθεν γὰρ ποιήσονται περὶ τὴν πόλιν μάχην οἱ εὐόφθαλμοι Ἕλληνες, δυσχεραίνουσι γὰρ καὶ ἀγανακτοῦσιν οὗτοι καθήμενοι οὐδὲ δύνανται κατ(επ)έχειν αὐτοὺς ἐφορμῶντας, ἀπὸ τοῦ πολέμου οἱ βασιλεῖς τῶν Ἑλλήνων· Πρὸς τοῦτον δὲ ἀπεκρίνετο μετὰ ταῦτα ὁ θεοειδὴς γέρων Πρίαμος· Ἐπειδὴ θεράπων Ἀχιλλέως τοῦ υἱοῦ τοῦ Πηλέως ὑπάρχεις,

Εἴς, ἄγε δή μοι πᾶσαν ἀληθείην κατάλεξον,
Ἢ ἔτι πὰρ νήεσσιν ἐμὸς πάϊς, ἦέ μιν ἤδη
Ἧισι κυσὶν μελεϊστὶ ταμὼν προὔθηκεν Ἀχιλλεύς;
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Ὦ γέρον, οὔπω τόνδε κύνες φάγον, οὐδ' οἰωνοί·
Ἀλλ' ἔτι κεῖνος κεῖται Ἀχιλλῆος παρὰ νηῒ
Αὔτως ἐν κλισίῃσι· δυωδεκάτη δέ οἱ ἠὼς
Κειμένῳ, οὐδέ τι οἱ χρὼς σήπεται, οὐδέ μιν εὐλαὶ
Ἔσθουσ', αἵ ῥά τε φῶτας ἀρηϊφάτους κατέδουσιν.
Ἦ μέν μιν περὶ σῆμα ἑοῦ ἑτάροιο φίλοιο
Ἕλκει ἀκηδέστως, ἠὼς ὅτε δῖα φανείη·
Οὐδὲ μιν αἰχύνει· θειοῖό κεν αὐτὸς ἐπελθὼν,
Οἷον ἐερσήεις κεῖται, περὶ δ' αἷμα νένιπται,
Οὐδέ ποθι μιαρός· σὺν δ' ἕλκεα πάντα μέμυκεν,
Ὅσσ' ἐτύπη· πολέες γὰρ ἐπ' αὐτῷ χαλκὸν ἔλασσαν·
Ὥς τοι κήδονται μάκαρες θεοὶ υἷος ἑῆος,
Καὶ νέκυός περ ἐόντος· ἐπεί σφι φίλος πέρι κῆρι.
Ὣς φάτο· γήθησεν δ' ὁ γέρων, καὶ ἀμείβετο μύθῳ·
Ὦ τέκος, ἦ ῥ' ἀγαθὸν καὶ ἐναίσιμα δῶρα διδοῦναι
Ἀθανάτοις· ἐπεὶ οὔποτ' ἐμὸς πάϊς, εἴποτ' ἔην γε,
Λήθετ' ἐνὶ μεγάροισι θεῶν, οἳ Ὄλυμπον ἔχουσι·
Τῷ οἱ ἀπεμνήσαντο καὶ ἐν θανάτοιό περ αἴσῃ.
Ἀλλ' ἄγε δὴ τόδε δέξαι ἐμεῦ πάρα καλὸν ἄλεισον·
Αὐτόν τε, ῥῦσαι, πέμψον δέ με, σύν γε θεοῖσιν,
Ὄφρα κεν ἐς κλισίην Πηληϊάδεω ἀφίκωμαι.
Τὸν δ' αὖτε προσέειπε διάκτορος Ἀργειφόντης·
Πειρᾷ ἐμεῖο, γεραιὲ, νεωτέρου, οὐδέ με πείσεις·
Ὅς με κέλῃ σέο δῶρα παρὲξ Ἀχιλλῆος δέχεσθαι.

φέρε δή μοι πᾶσαν τὴν ἀλήθειαν κάτειπε. ἆρ' ἔτι παρὰ ταῖς ναυσὶν ὁ ἐμὸς υἱὸς μένει· ἢ ἤδη αὐτὸν ταῖς ἑαυτοῦ κυσὶ κατὰ μέλος διακόψας προέθηκεν ὁ Ἀχιλλεύς. Πρὸς τοῦτον δὲ εἶπεν ὁ φόνου καθαρὸς ἄγγελος Ἑρμῆς· Ὦ γέρον, οὔπω τοῦτόν γε κύνες ἔφαγον οὐδὲ ὄρνεα· ἀλλ' ἔτι ἐκεῖνος κεῖται παρὰ τῇ νηῒ τοῦ Ἀχιλλέως, οὕτως ἐν ταῖς σκηναῖς, δωδεκάτη δὲ αὐτῷ ἡμέρα κειμένῳ, οὐδέ τι αὐτῷ σήπεται καὶ διαρρεῖ τὸ σῶμα, οὐδὲ σκώληκες αὐτὸν ἐσθίουσιν, οἳ δὴ τοὺς ἐν πολέμῳ πεφονευμένους ἄνδρας κατατρώγουσιν. ὄντως μὲν αὐτὸν περὶ τὸ μνῆμα τοῦ ἑαυτοῦ ἀγαπητοῦ φίλου ἐπισύρει ἀνηλεῶς, ἡνίκα φανῇ ἡ ἐνδοξοτάτη ἡμέρα, οὐ καταισχύνει δ' αὐτόν. Θαυμάσειας ἂν καὶ αὐτὸς παραγενόμενος, ὅπως δεδροσισμένος καὶ διερρὸς κεῖται, περιένιπται δὲ καὶ περιῃρέθη τὸ αἷμα, οὐδέ ποι μεμολυμένος ἐστί· πάντα δὲ τὰ τραύματα περιεστάλη καὶ συνεκλείσθη ὅσα ἐβλήθη· πολλοὶ γὰρ ἐν αὐτῷ σίδηρον διεπέρασαν· οὕτως σοι φροντίζουσιν οἱ μακάριοι θεοὶ τοῦ ἀγαθοῦ υἱοῦ, καὶ νεκροῦ γε ὄντος· ἐπειδὴ αὐτοῖς ἀγαπητὸς ἦν ὡς μάλιστα κατὰ ψυχήν. Οὕτως εἶπεν· ἐχάρη δὲ ὁ γέρων καὶ ἀπεκρίνατο λόγῳ· Ὦ τέκνον, ὄντως δὴ ἀγαθὸν καὶ τὸ ἐναισίμως καὶ εὐσεβῶς δῶρα διδόναι τοῖς ἀθανάτοις θεοῖς, ἐπειδὴ οὐδεπώποτε ὁ ἐμὸς υἱὸς, εἴποτε ἦν, ἐπελάθετο ἐν τοῖς οἴκοις τῶν θεῶν, οἳ τὸν Ὄλυμπον οἰκοῦσι· δι' ὃ αὐτῷ ἀπεμνημόνευσαν καὶ ἐν τῇ τοῦ θανάτου γε μοίρᾳ. Ἀλλ' ἄγε δὴ τοῦτο ἀπόδεξαι παρ' ἐμοῦ τὸ περικαλλὲς ποτήριον, ἐμέ τε σῶσον, πέμψον δέ με σὺν τοῖς θεοῖς ὅπως ἂν εἰς τὴν σκηνὴν ἀφίκωμαι τοῦ υἱοῦ τοῦ Πηλέως. Πρὸς τοῦτον δὲ εἶπεν ὁ φόνου καθαρὸς ἄγγελος Ἑρμῆς. Ἀποπειρᾷ ἐμοῦ, ὦ γέρον, νεωτέρου· οὐ καταπείσεις δέ με, ὅς με κελεύεις σὰ δῶρα δέχεσθαι παρὰ γνώμην τοῦ Ἀχιλλέως. Τοῦτον μὲν οὖν ἐγὼ φοβοῦμαι,

Τὸν μὲν ἐγὼ δείδοικα, καὶ αἰδέομαι πέρι κῆρι
Συλεύειν, μή μοί τι κακὸν μετόπισθε γένηται.
Σοὶ δ' ἂν ἐγὼ πομπὸς καί κε κλυτὸν Ἄργος ἱκοίμην,
Ἐνδυκέως ἐν νηῒ θοῇ, ἢ πεζὸς ὁμαρτέων·
Οὐκ ἄν τίς τοι, πομπὸν ὀνοσσάμενος, μαχέσαιτο.
Ἦ, καὶ ἀναΐξας Ἐριούνιος ἅρμα καὶ ἵππους,
Καρπαλίμως μάστιγα καὶ ἡνία λάζετο χερσίν·
Ἐν δ' ἔπνευσ' ἵπποισι καὶ ἡμιόνοις μένος ἠΰ.
Ἀλλ' ὅτε δὴ πύργους τε νεῶν καὶ τάφρον ἵκοντο,
Οἱ δὲ νέον περὶ δόρπα φυλακτῆρες πονέοντο,
Τοῖσι δ' ἐφ' ὕπνον ἔχευε διάκτορος Ἀργειφόντης
Πᾶσιν· ἄφαρ δ' ὤϊξε πύλας, καὶ ἀπῶσεν ὀχῆας,
Ἐς δ' ἄγαγε Πρίαμόν τε καὶ ἀγλαὰ δῶρ' ἐπ' ἀπήνης.
Ἀλλ' ὅτε δὴ κλισίην Πηληϊάδεω ἀφίκοντο
Ὑψηλὴν, τὴν Μυρμιδόνες ποίησαν ἄνακτι,
Δοῦρ' ἐλάτης κέρσαντες· ἀτὰρ καθύπερθεν ἔρεψαν
Λαχνήεντ' ὄροφον, λειμωνόθεν ἀμήσαντες·
Ἀμφὶ δέ οἱ μεγάλην αὐλὴν ποίησαν ἄνακτι
Σταυροῖσιν πυκινοῖσι· θύρην δ' ἔχε μοῦνος ἐπιβλὴς
Εἰλάτινος, τὸν τρεῖς μὲν ἐπιῤῥήσσεσκον Ἀχαιοὶ,
Τρεῖς δ' ἀναοίγεσκον μεγάλην κληῗδα θυράων
Τῶν ἄλλων· Ἀχιλεὺς δ' ἄρ ἐπιῤῥήσσεσκε καὶ οἶος.
Δή ῥα τόθ' Ἑρμείας ἐριούνιος ὦξε γέροντι,
Ἐς δ' ἄγαγε κλυτὰ δῶρα ποδώκεϊ Πηλείωνι,
Ἐξ ἵππων δ' ἀπέβαινεν ἐπὶ χθονὶ, φώνησέν τε·
Ὦ γέρον, ἤτοι ἐγὼ θεὸς ἄμβροτος εἰλήλουθα
Ἑρμείας· σοὶ γάρ με πατὴρ ἅμα πομπὸν ὄπασσεν·
Ἀλλ' ἤτοι μὲν ἐγὼ πάλιν εἴσομαι, οὐδ' Ἀχιλῆος

καὶ αἰδοῦμαι τὰ μάλιστα κατὰ ψυχὴν συλᾶν καὶ ὑφαιρεῖσθαι μή τι κακὸν μετὰ ταῦτά μοι γένηται, σοί δὲ ἐγὼ ὁδηγὸς καὶ μέχρι τοῦ ἐνδόξου Ἄργους ἀφικοίμην ἂν ἐπιμελῶς ἐν ταχείᾳ νηῒ, ἢ πεζὸς συνοδοιπορῶν· οὐκ ἄν τίς σοι τὸν ὁδηγὸν μεμψάμενος εἰς μάχην κατασταίη. Εἶπε, καὶ ἀναπηδήσας εἰς τὸ ἅρμα (ὄχημα) καὶ τοὺς ἵππους ὁ πολυωφελὴς Ἑρμῆς, ταχέως τὴν μάστιγα καὶ τὰς ἡνίας ἔλαβε ταῖς χερσὶν, ἐνέπνευσε δὲ τοῖς ἵπποις καὶ τοῖς ἡμιόνοις προθυμίαν ἀγαθὴν. ἀλλ' ὁπηνίκα δὴ εἰς τοὺς πύργους (τὸ τεῖχος τῶν νεῶν), καὶ τὴν τάφρον ἀφίκοντο· οἱ φύλακες δὲ νεωστὶ περὶ τὸ δεῖπνον ἐπονοῦντο, καὶ ἐδειπνοποιήσαντο, τούτοις ἐπέχεεν ὕπνον ὁ φόνου καθαρὸς ἄγγελος Ἑρμῆς, πᾶσι, ταχέως δὲ τὰς πύλας ἀνέωξε, καὶ ἀπέρριψε τοὺς μοχλοὺς, εἰσήγαγε δὲ τόν τε Πρίαμον καὶ τὰ λαμπρὰ δῶρα ἐπὶ ἁμάξης. Ἀλλ' ὁπηνίκα δὴ ἀφίκοντο εἰς τὴν σκηνὴν τοῦ υἱοῦ τοῦ Πηλέως, τὴν ὑψηλὴν, ἣν οἱ Μυρμιδόνες κατεσκεύασαν τῷ βασιλεῖ ξύλα ἐλάτης κόψαντες, ὑπεράνωθεν δὲ ἐπέθηκαν καὶ ἐστέγασαν ὀροφὴν δασεῖαν, ἐκ λειμῶνος θερίσαντες, πέριξ δὲ μεγάλην αὐλὴν ἐποίησαν αὐτῷ τῷ βασιλεῖ, πυκνοῖς ξύλοις ὀρθοῖς καὶ ὀξέσιν, τὴν θύραν δὲ συνεῖχεν μόνος μοχλὸς ἐξ ἐλάτης, τοῦτον τρεῖς μὲν Ἕλληνες ἐπέκλειον, τρεῖς δὲ ἤνοιγον τὸν μέγαν μοχλὸν τῶν θυρῶν, ἀπὸ τῶν ἄλλων, Ἀχιλλεὺς δὲ καὶ μόνος ἐπέκλειε. Τότε δὴ οὖν ὁ πολυωφελὴς Ἑρμῆς ἤνοιξε τῷ γέροντι, εἰσήγαγε δὲ τὰ ἔνδοξα δῶρα τῷ ταχύποδι Ἀχιλλεῖ, ἀπέβη δὲ ἐκ τῶν ἵππων εἰς γῆν καὶ εἶπεν. Ὦ γέρον, ἐγὼ μὲν θεὸς ἄφθαρτος ἐλήλυθα Ἑρμῆς, σοὶ γάρ με ὁ πατὴρ ὁδηγὸν παρέσχετο· ἀλλ' ἐγὼ μέντοι εἰς τοὐπίσω πορεύσομαι, οὐδὲ εἰς τοὺς Ἀχιλλέως ὀφθαλ-

Ὀφθαλμοὺς εἴσειμι· νεμεσσητὸν δέ κεν εἴη,
Ἀθάνατον θεὸν ὧδε βροτοὺς ἀγαπαζέμεν ἄντην.
Τύνη δ' εἰσελθὼν λάβε γούνατα Πηλείωνος,
Καί μιν ὑπὲρ πατρὸς καὶ μητέρος ἠϋκόμοιο
Λίσσεο, καὶ τέκεος· ἵνα οἱ σὺν θυμὸν ὀρίνῃς.
Ὣς ἄρα φωνήσας ἀπέβη πρὸς μακρὸν Ὄλυμπον
Ἑρμείας· Πρίαμος δ' ἐξ ἵππων ἆλτο χαμᾶζε,
Ἰδαῖον δὲ κατ' αὖθι λίπεν· ὁ δὲ μίμνεν ἐρύκων
Ἵππους ἡμιόνους τε· γέρων δ' ἰθὺς κίεν οἴκου,
Τῇ ῥ' Ἀχιλεὺς ἵζεσκε, Διῒ φίλος· ἐν δέ μιν αὐτὸν
Εὗρ'· ἕταροι δ' ἀπάνευθε καθείατο· τὼ δὲ δύ' οἴω
Ἥρως Αὐτομέδων τε, καὶ Ἄλκιμος ὄζος Ἄρηος,
Ποίπνυον παρεόντε· νέον δ' ἀπέληγεν ἐδωδῆς
Ἔσθων καὶ πίνων, ἔτι καὶ παρέκειτο τράπεζα.
Τοὺς δ' ἔλαθ' εἰσελθὼν Πρίαμος μέγας ἄγχι δ' ἄρα στὰς,
Χερσὶν Ἀχιλλῆος λάβε γούνατα, καὶ κύσε χεῖρας
Δεινὰς, ἀνδροφόνους, αἵ οἱ πολέας κτάνον υἷας.
Ὡς δ' ὅταν ἄνδρ' ἄτη πυκινὴ λάβῃ, ὅστ' ἐνὶ πάτρῃ
Φῶτα κατακτείνας, ἄλλον ἐξίκετο δῆμον,
Ἀνδρὸς ἐς ἀφνειοῦ, θάμβος δ' ἔχει εἰσορόωντας·
Ὣς Ἀχιλεὺς θάμβησεν, ἰδὼν Πρίαμον θεοειδέα·
Θάμβησαν δὲ καὶ ἄλλοι, ἐς ἀλλήλους δὲ ἴδοντο
Τὸν καὶ λισσόμενος Πρίαμος πρὸς μῦθον ἔειπε·
Μνῆσαι πατρὸς σεῖο, θεοῖς ἐπιείκελ' Ἀχιλλεῦ,
Τηλίκου, ὥσπερ ἐγὼν, ὀλοῷ ἐπὶ γήραος οὐδῷ.
Καὶ μέν που κεῖνον περιναιέται ἀμφὶς ἐόντες
Τείρουσ', οὐδέ τις ἐστὶν, ἀρὴν καὶ λοιγὸν ἀμῦναι·
Ἀλλ' ἤτοι κεῖνός γε, σέθεν ζώοντος ἀκούων,

μους ἀφίξομαι, μεμπτὸν γὰρ ἂν εἴη καὶ ἀνάξιον, ἀθάνατον θεὸν οὕτως ἀνθρώπους θνητοὺς ἀγαπᾷν φανερῶς· σὺ δὲ εἰσελθὼν, λαβοῦ τῶν γονάτων τοῦ υἱοῦ τοῦ Πηλέως, καὶ πρὸς πατρὸς καὶ μητρὸς καλλικόμου αὐτὸν ἱκέτευσον, καὶ τοῦ τέκνου, ὅπως αὐτοῦ τὴν ψυχὴν συνταράξῃς. Οὕτω δὴ εἰπὼν ἀπῆλθεν ἐπὶ τὸν ὑψηλὸν Ὄλυμπον ὁ Ἑρμῆς· ὁ Πρίαμος δὲ κατεπέδησεν ἐκ τῶν ἵππων ἐπὶ τὴν γῆν, τὸν Ἰδαῖον δὲ κατέλιπεν αὐτόθι, οὗτος δὲ ἔμενε κατέχων τοὺς ἵππους καὶ τοὺς ἡμιόνους· ὁ γέρων δὲ εὐθὺ τοῦ οἴκου ἐπορεύετο, ἔνθα δὴ Ἀχιλλεὺς καθῆστο ὁ φίλος τοῦ Διὸς, ἔνδον δὲ αὐτὸν εὗρεν, οἱ φίλοι δὲ πόῤῥωθεν καθῆντο· οὗτοι δὲ οἱ δύο μόνοι ὁ ἥρως Αὐτομέδων, καὶ Ἀλκιμέδων ὁ τοῦ Ἄρεος κλάδος ὑπηρέτουν παρόντες (ἔνδον ὄντες), νεωστὶ δὲ ἀπεπαύετο τῆς τροφῆς ἐσθίων καὶ πίνων, ἔτι καὶ ἡ τράπεζα παρέκειτο· τούτους δὲ ἔλαθεν εἰσελθὼν ὁ μέγας Πρίαμος, πλησίον δὲ στὰς ἐλάβετο ταῖς χερσὶ τῶν γονάτων τοῦ Ἀχιλλέως καὶ ἐφίλησε τὰς χεῖρας τὰς φοβερὰς καὶ ἀποκτεινούσας τοὺς ἄνδρας· αἳ δὴ ἀνεῖλον πολλοὺς υἱοὺς αὐτοῦ. Ὥσπερ δὲ ὅταν ἄνδρα βλάβη πυκνὴ καὶ μεγάλη καταλαβῇ, ὅστις ἐν τῇ πατρίδι ἄνδρα φονεύσας ἀφίκετο εἰς δῆμον ἄλλων, εἰς οἰκίαν ἀνδρὸς πλουσίου, ἔκπληξις δὲ πάντας κατέχει τοὺς θεωμένους· οὕτως ἐξεπλάγη ὁ Ἀχιλλεὺς θεασάμενος Πρίαμον τὸν ἔχοντα θεῖον εἶδος, ἐξεπλάγησαν δὲ καὶ οἱ ἄλλοι. πρὸς ἀλλήλους δὲ ἀπέβλεψαν· πρὸς τοῦτον δὲ καὶ ἱκετεύων ὁ Πρίαμος εἶπε λόγον. Μνήσθητι τοῦ σοῦ πατρὸς, ὦ ὅμοιε τοῖς θεοῖς Ἀχιλλεῦ, τοιούτου, οἷός περ ἐγὼ τυγχάνω ἐν τῷ βατῆρι τοῦ γήρως, καὶ μήν που κἀκεῖνον οἱ περίοικοι κύκλωθεν (κεχωρισμένοι τῇ γνώμῃ καὶ ἐναντίοι) ὄντες καταπονοῦσιν, οὐδέ τις ὑπάρχει ἀποσβῆσαι τὴν κατάραν καὶ τὸν ὄλεθρον, ἀλλ᾽ ἐκεῖνός γε μὲν σοῦ ζῶντος ἀκούων, ἀγάλλεται ἐν τῇ ψυχῇ καὶ ἐλπίζει

Χαίρει τ' ἐν θυμῷ, ἐπί τ' ἔλπεται ἤματα πάντα
Ὄψεσθαι φίλον υἱὸν, ἀπὸ Τροίηθεν ἰόντα·
Αὐτὰρ ἐγὼ πανάποτμος, ἐπεὶ τέκον υἷας ἀρίστους
Τροίῃ ἐν εὐρείῃ, τῶν δ' οὔτινα φημὶ λελεῖφθαι.
Πεντήκοντά μοι ἦσαν, ὅτ' ἤλυθον υἷες Ἀχαιῶν·
Ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν,
Τοὺς δ' ἄλλους μοι ἔτικτον ἐνὶ μεγάροισι γυναῖκες.
Τῶν μὲν πολλῶν θοῦρος Ἄρης ὑπὸ γούνατ' ἔλυσεν·
Ὃς δέ μοι οἶος ἔην, εἴρυτο δὲ ἄστυ καὶ αὐτοὺς,
Τὸν σὺ πρώην κτεῖνας, ἀμυνόμενον περὶ πάτρης,
Ἕκτορα· τοῦ νῦν εἵνεχ' ἱκάνω νῆας Ἀχαιῶν,
Λυσόμενος παρὰ σεῖο, φέρω δ' ἀπερείσι' ἄποινα.
Ἀλλ' αἰδεῖο θεοὺς, Ἀχιλεῦ, αὐτόν τ' ἐλέησον,
Μνησάμενος σοῦ πατρός· ἐγὼ δ' ἐλλεεινότερός περ,
Ἔτλην δ', οἷ' οὔπω τις ἐπιχθόνιος βροτὸς ἄλλος,
Ἀνδρὸς παιδοφόνοιο ποτὶ στόμα χεῖρ' ὀρέγεσθαι.
Ὣς φάτο· τῷ δ' ἄρα πατρὸς ὑφ' ἵμερον ὦρσε γόοιο,
Ἁψάμενος δ' ἄρα χειρὸς, ἀπώσατο ἦκα γέροντα.
Τὼ δὲ μνησαμένω, ὁ μὲν Ἕκτορος ἀνδροφόνοιο,
Κλαῖ' ἀδινὰ, προπάροιθε ποδῶν Ἀχιλῆος ἐλυσθείς·
Αὐτὰρ Ἀχιλλεὺς κλαῖεν ἑὸν πατέρ', ἄλλοτε δ' αὖτε
Πάτροκλον· τῶν δὲ στοναχὴ κατὰ δώματ' ὀρώρει.
Αὐτὰρ ἐπεί ῥα γόοιο τετάρπετο δῖος Ἀχιλλεὺς,
Καί οἱ ἀπὸ πραπίδων ἦλθ' ἵμερος, ἠδ' ἀπὸ γυίων,
Αὐτίκ' ἀπὸ θρόνου ὦρτο, γέροντα δὲ χειρὸς ἀνίστη,
Οἰκτείρων πολιόν τε κάρη, πολιόν τε γένειον·
Καί μιν φωνήσας ἔπεα πτερόεντα προσηύδα·
Ἆ δείλ', ἦ δὴ πολλὰ κάκ' ἄνσχεο σὸν κατὰ θυμόν.

πάσας τὰ ἡμέρας θεάσασθαι τὸν ἀγαπητὸν υἱὸν παραγειόμενον ἐκ τῆς Τροίας· ἐγὼ δὲ δυστυχέστατος, ἐπειδὴ ἐγέννησα υἱοὺς βελτίστους ἐν τῇ εὐρυχώρῳ Τροίᾳ, τούτων δὲ οὐδένα ὑπολελεῖφθαι ὑπολαμβάνω· πεντήκοντά μοι ἦσαν υἱοὶ, ὅτε ἦλθον οἱ υἱοὶ τῶν Ἑλλήνων δέκα καὶ ἐννέα μέν μοι ἦσαν ἐκ μιᾶς κοιλίας, τοὺς ἄλλους δέ μοι, ἔτεκον ἐν τοῖς οἴκοις αἱ γυναῖκες· τούτων μὲν τῶν πολλῶν ὁ ὁρμητίας Ἄρης διέλυσε καὶ ἐνέκρωσε τὰ γόνατα· ὃς δέ μοι μόνος ἦν, ἔσωζε δὲ τὴν πόλιν καὶ τοὺς πολίτας, τοῦτον σὺ πρὸ μικροῦ ἀνεῖλες ἀντιμαχόμενον ὑπὲρ τῆς πατρίδος, τὸν Ἕκτορα· τούτου ἕνεκα νῦν παρεγενόμην εἰς τὰς ναῦς τῶν Ἑλλήνων λυτρωσόμενος αὐτὸν παρὰ σοῦ, φέρω δὲ ἄπειρα λύτρα· ἀλλ᾽ αἰδοῦ καὶ σέβου τοὺς θεοὺς, ὦ Ἀχιλλεῦ, καὶ ἐμὲ οἴκτειρον, μνησθεὶς τοῦ σοῦ πατρός· ἐγὼ δὲ οἰκτρότερος καὶ ἀθλιώτερός εἰμι· πέπονθα δὲ, οἷα οὐδείς πω ἐπίγειος ἄλλος ἀνήρ· ἐκτείνειν τὴν χεῖρα πρὸς στόμα ἀνδρὸς ἀποκτείναντος τὸν ἐμὸν παῖδα (υἱόν)· Οὕτως εἶπε, τούτῳ δὲ διήγειρεν ἐπιθυμίαν θρήνου χάριν τοῦ πατρὸς· λαβόμενος δὲ τῆς χειρὸς ἀπεωθήσατο ἠρέμα τὸν γέροντα· οὗτοι δὲ ἀναμνησθέντες, ὁ μὲν Ἕκτορος τοῦ τοὺς ἄνδρας ἀποκτείνοντος, ἔκλαιεν ἀδιαλείπτως, ἔμπροσθεν τῶν ποδῶν τοῦ Ἀχιλλέως παραλυθεὶς (κουφισθεὶς) καὶ πεσών· ὁ Ἀχιλλεὺς δὲ ἔκλαιε τὸν ἑαυτοῦ πατέρα, ἄλλοτε δὲ πάλιν τὸν Πάτροκλον, τούτων δὲ στόνος κατὰ τὰ οἰκήματα ἠγέρθη· ἐπεὶ δὲ θρήνου ἀπέλαυσεν ὁ ἐνδοξότατος Ἀχιλλεὺς καὶ αὐτῷ ἀπὸ τῆς διανοίας ἀνεχώρησεν ἡ ἐπιθυμία, καὶ ἀπὸ τῶν μελῶν· παραχρῆμα ἀπανέστη τοῦ θρόνου. τὸν γέροντα δὲ ἀπὸ τῆς χειρὸς ἀνέστησεν ἐλεῶν τήν τε λευκὴν κεφαλὴν, καὶ τὸν λευκὸν πώγωνα, καὶ φωνήσας πρὸς αὐτὸν ἔλεγε λόγους ταχεῖς. Ὦ ἄθλιε, οὕτως δὴ πολλὰ δεινὰ ὑπέμεινας κατὰ τὴν σαυτοῦ ψυχήν· πῶς

Πῶς ἔτλης ἐπὶ νῆας Ἀχαιῶν ἐλθέμεν οἶος,
Ἀνδρὸς ἐς ὀφθαλμοὺς, ὅς τοι πολέας τε καὶ ἐσθλοὺς
Υἱέας ἐξενάριξα; σιδήρειόν νύ τοι ἦτορ.
Ἀλλ' ἄγε δὴ κατ' ἄρ' ἕζευ ἐπὶ θρόνου· ἄλγεα δ' ἔμπης
Ἐν θυμῷ κατακεῖσθαι ἐάσσομεν, ἀχνύμενοί περ·
Οὐ γάρ τις πρῆξις πέλεται κρυεροῖο γόοιο.
Ὡς γὰρ ἐπεκλώσαντο θεοὶ δειλοῖσι βροτοῖσι,
Ζώειν ἀχνυμένους· αὐτοὶ δέ τ' ἀκηδέες εἰσί.
Δοιοὶ γάρ τε πίθοι κατακείαται ἐν Διὸς οὔδει
Δώρων, οἷα δίδωσι, κακῶν· ἕτερος δὲ, ἐάων·
Ὧι μὲν καμμίξας δώη Ζεὺς τερπικέραυνος,
Ἄλλοτε μέν τε κακῷ ὅγε κύρεται, ἄλλοτε δ' ἐσθλῷ·
Ὧι δέ κε τῶν λυγρῶν δώη, λωβητὸν ἔθηκε·
Καί ἑ κακὴ βούβρωστις ἐπὶ χθόνα δῖαν ἐλαύνει·
Φοιτᾷ δ' οὔτε θεοῖσι τετιμημένος, οὔτε βροτοῖσιν.
Ὣς μὲν καὶ Πηλῆϊ θεοὶ δόσαν ἀγλαὰ δῶρα
Ἐκ γενετῆς· πάντας γὰρ ἐπ' ἀνθρώπους ἐκέκαστο
Ὄλβῳ τε, πλούτῳ τε, ἄνασσε δὲ Μυρμιδόνεσσι,
Καί οἱ θνητῷ ἐόντι θεὰν ποίησαν ἄκοιτιν·
Ἀλλ' ἐπὶ καὶ τῷ θῆκε θεὸς κακὸν, ὅττι οἱ οὔτε
Παίδων ἐν μεγάροισι γονὴ γένετο κρειόντων,
Ἀλλ' ἕνα παῖδα τέκεν παναώριον· οὐδέ νυ τόν γε
Γηράσκοντα κομίζω, ἐπεὶ μάλα τηλόθι πάτρης
Ἧμαι ἐνὶ Τροίῃ, σέ τε κήδων, ἠδὲ σὰ τέκνα.
Καί σε, γέρον, τὸ πρὶν μὲν ἀκούομεν ὄλβιον εἶναι,
Ὅσσον Λέσβος ἄνω, Μάκαρος ἕδος ἐντὸς ἐέργει,
Καὶ Φρυγίη καθύπερθε, καὶ Ἑλλήσποντος ἀπείρων·
Τῶν σε, γέρον, πλούτῳ τε καὶ υἱάσι φασὶ κεκάσθαι.

ἠνέσχου παρεγενέσθαι μόνος εἰς τὰς ναῦς τῶν Ἑλλήνων εἰς ἀνδρὸς ὀφθαλμοὺς, ὅς σοι πολλοὺς καὶ ἀγαθοὺς υἱοὺς ἀπέκτεινα; σιδηρᾶ δή σοι ψυχὴ ἔνεστιν. ἀλλ' ἄγε δὴ κάθισον ἐπὶ τοῦ θρόνου, τὰς λύπας δὲ ὁμοίως ἐν ψυχῇ μένειν καταλίπωμεν καίπερ ἀλγοῦντες καὶ πάσχοντες· οὐ γάρ τις πρᾶξις καὶ μηχανὴ (ἄνυσις) ὑπάρχει τοῦ χαλεποῦ θρήνου· οὕτω γὰρ ἐπεμοίρησαν καὶ εἱμαρμένον ἐποίησαν οἱ θεοὶ τοῖς ἀθλίοις ἀνθρώποις, ζῆν λυπουμένους καὶ ἀλγοῦντας· αὐτοὶ δὲ ἄλυποι καὶ εὔθυμοι τυγχάνουσιν. δύο γὰρ πίθοι κατάκεινται ἐν τῷ οἰκήματι τοῦ Διὸς δομάτων, ὧν ὁ μὲν ἐνέχυρα δίδωσι κακῶν, ὁ ἕτερος δὲ ἀγαθῶν· ᾧ τινι μὲν οὖν καταμίξας καὶ ἑνώσας δῷ ὁ Ζεὺς ὁ τρέπων τοὺς ἐναντίους τῷ κεραυνῷ ποτὲ μὲν οὗτός γε κακοῖς διατρίβεται ποτὲ δὲ ἀγαθοῖς· ᾧ τινι δ' ἂν ἀπὸ τῶν δεινῶν μόνον δῷ βεβλαμμένον ἐποίησε, καὶ μεγάλη ἀνία καὶ λύπη αὐτὸν διώκει κατὰ τὴν ἔνδοξον γῆν, περιέρχεται δὲ οὔτε ὑπὸ θεῶν τιμώμενος, οὔτε ὑπὸ ἀνθρώπων· οὕτω δὴ καὶ τῷ Πηλεῖ ἔδωκαν οἱ θεοὶ δῶρα λαμπρὰ ἐκ γενέσεως· ὑπὲρ (εἰς) πάντας γὰρ τοὺς ἀνθρώπους ἐκεκόσμητο (ἐδοξάζετο) φρονήσει τε καὶ παιδεύσει καὶ πλούτῳ, ἐβασίλευσε δὲ τῶν Μυρμιδόνων καὶ θνητῷ ὄντι αὐτῷ, θεὰν ἐποίησαν γαμετὴν, τὴν Θέτιν δηλονότι. ἀλλ' ἐπέθηκεν αὐτῷ ὁ θεὸς δεινὸν, ὅτι αὐτῷ οὔτε τέκνων ἐν τοῖς οἴκοις γόνος ἐγένετο ἡγεμονευόντων. ἀλλ' ἕνα υἱὸν ἐγέννησε παντελῶς ἄωρον, οὐδέ γε αὐτὸν γηρῶντα γηροτροφῶ· ἐπειδὴ πάνυ πόῤῥωθεν τῆς πατρίδος κάθημαι ἐν τῇ Τροίᾳ σέ τε λυπῶν (κακῶν) καὶ τοὺς σοὺς παῖδας· καὶ δὴ καὶ σὲ, ὦ γέρον, τὸ πρότερον μὲν ἀκούομεν εὐδαίμονα εἶναι, καθ' ὅσον ἡ Λέσβος ἀνείργει καὶ δι(περι)ορίζει ἐντὸς τὸ ἔδαφος τοῦ Μάκαρος. καὶ ἡ Φρυγία ὑπεράνωθεν καὶ ὁ ἐπιμήκης Ἑλλήσποντος· τούτων πάντων, ὦ γέρον, πλούτῳ καὶ υἱοῖς φασί σε προέχειν· ἐπεὶ δέ σοι τήνδε τὴν βλάβην ἐπήνεγκαν

Αὐτὰρ ἐπεί τοι πῆμα τόδ' ἤγαγον οὐρανίωνες,
Αἰεί τοι περὶ ἄστυ μάχαι τ' ἀνδροκτασίαι τε·
Ἄνσχεο, μηδ' ἀλίαστον ὀδύρεο σὸν κατὰ θυμόν.
Οὐ γάρ τι πρήξεις ἀκαχήμενος υἷος ἑῆος,
Οὐδέ μιν ἀνστήσεις, πρὶν καὶ κακὸν ἄλλο πάθησθα.
Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων, Πρίαμος θεοειδής·
Μή με πω ἐς θρόνον ἷζε, διοτρεφὲς, ὄφρα κεν Ἕκτωρ
Κεῖται ἐνὶ κλισίῃσιν ἀκηδής· ἀλλὰ τάχιστα
Λῦσον, ἵν' ὀφθαλμοῖσιν ἴδω· σὺ δὲ δέξαι ἄποινα
Πολλὰ, τά τοι φέρομεν· σὺ δὲ τῶνδ' ἀπόναιο, καὶ ἔλθοις
Σὴν ἐς πατρίδα γαῖαν, ἐπεί με πρῶτον ἔασας
Αὐτόν τε ζώειν καὶ ὁράειν φάος ἠελίοιο.
Τὸν δ' ἄρ ὑπόδρα ἰδὼν προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Μηκέτι νῦν μ' ἐρέθιζε, γέρον, νοέω δὲ καὶ αὐτὸς
Ἕκτορά τοι λῦσαι· Διόθεν δέ μοι ἄγγελος ἦλθε,
Μήτηρ, ἥ μ' ἔτεκεν, θυγάτηρ ἁλίοιο γέροντος·
Καὶ δέ σε γινώσκω, Πρίαμε, φρεσὶν, οὐδέ με λήθεις,
Ὅττι θεῶν τίς σ' ἦγε θοὰς ἐπὶ νῆας Ἀχαιῶν·
Οὐ γάρ κεν τλαίη βροτὸς ἐλθέμεν, οὐδὲ μάλ' ἡβῶν,
Ἐς στρατόν· οὐδὲ γὰρ ἂν φυλάκους λάθη, οὐδέ κ' ὀχῆας
Ῥεῖα μετοχλίσσειε θυράων ἡμετεράων.
Τῷ νῦν μή μοι μᾶλλον ἐν ἄλγεσι θυμὸν ὀρίνῃς,
Μή σε, γέρον, οὐδ' αὐτὸν ἐνὶ κλισίῃσιν ἐάσω,
Καὶ ἱκέτην περ ἐόντα, Διὸς δ' ἀλίτωμαι ἐφετμάς.
Ὡς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, καὶ ἐπείθετο μύθῳ.
Πηλείδης δ' οἴκοιο, λέων ὣς, ἆλτο θύραζε,
Οὐκ οἶος· ἅμα τῷ γε δύω θεράποντες ἕποντο,
Ἥρως Αὐτομέδων τε καὶ Ἄλκιμος, οὕς ῥα μάλιστα

οἱ ἐπουράνιοι, ἀεί σοι περὶ τὴν πόλιν πόλεμοι καὶ φόνοι ἀνδρῶν· ὑπόμενε, μηδὲ ἀπαύστως οδύρου καὶ θρήνει κατὰ τὴν σαυτοῦ ψυχήν· οὐ γάρ τι πράξεις λυπούμενος ἕνεκα τοῦ ἀγαθοῦ υἱοῦ, οὐδὲ ἀναστήσεις αὐτὸν πρὶν ἂν καὶ ἄλλο κακὸν πάθῃς. Πρὸς τοῦτον δὲ ἀπεκρίνατο μετὰ ταῦτα ὁ θεοειδὴς γέρων Πρίαμος· Μή πω με εἰς θρόνον κάθιζε, ὦ ἐνδοξότατα τέθραμμένε, ἕως ἂν ὁ Ἕκτωρ κέηται ἐν ταῖς σκηναῖς ἄμοιρος κηδείας καὶ ἐνταφιασμοῦ, ἀλλ' ὡς τάχος ἐλευθέρωσον, ὅπως αὐτὸν θεάσωμαι τοῖς ὀφθαλμοῖς· σὺ δὲ ἀπόδεξαι τὰ λύτρα πολλὰ ἅ σοι φέρομεν· σὺ δὲ τούτων ἀπολαύσειας εἰς ὠφέλειαν, καὶ παραγένοιο εἰς τὴν σὴν πατρίδα γῆν, ἐπειδή με τὴν ἀρχὴν εἴασας ζῆν τε καὶ ὁρᾷν τὸ φῶς τοῦ ἡλίου· Πρὸς τοῦτον δὲ δεινῶς ὑποβλεψάμενος εἶπεν ὁ τάχύπους Ἀχιλλεύς· Μηκέτι νῦν με παρόξυνε, ὦ γέρον, διανοοῦμαι δὲ καὶ ἐγὼ ἐλευθερῶσαί σοι τὸν Ἕκτορα, ἐκ Διὸς δέ μοι ἄγγελος παρεγένετο ἡ μήτηρ, ἥτις με ἔτεκεν, ἡ θυγάτηρ τοῦ θαλασσίου γέροντος· καὶ δὴ καὶ σὲ ἐπίσταμαι, ὦ Πρίαμε, κατὰ διάνοιαν, οὐδὲ λανθάνεις με ὅτι σέ τις τῶν θεῶν ἤγαγεν ἐπὶ τὰς ταχείας ναῦς τῶν Ἑλλήνων, οὐ γὰρ ἂν ἀνάσχοιτό τις ἄνθρωπος ἐλθεῖν, οὐδὲ πάνυ ἀκμάζων, εἰς τὸν στρατόν· οὐ γὰρ ἂν δὴ τοὺς φύλακας λάθοι, οὐδ' ἂν τοὺς μοχλοὺς ῥαδίως παρακινήσειε τῶν θυρῶν τῶν ἡμετέρων· δι' ὃ νῦν μή μοι μᾶλλον ἐν λύπαις τὴν ψυχὴν ταράξῃς, μήποτε, ὦ γέρον, οὐδὲ σὲ αὐτὸν ἐν ταῖς σκηναῖς καταλίπω, καίπερ ὄντα παρακλήτορα, τοῦ Διὸς δὲ ἀθετήσω τὰς ἐντολάς Οὕτως εἶπεν· ἐφοβήθη δὲ ὁ γέρων καὶ ἐπείσθη τῷ λόγῳ· ὁ υἱὸς δὲ τοῦ Πηλέως ὥσπερ λέων ἐκ τοῦ οἴκου ἐπήδησεν ἔξω οὐ μόνος, σὺν αὐτῷ δύο θεράποντες εἵποντο, ὁ ἥρως Αὐτομέδων καὶ Ἄλκιμος, οὓς δὴ μάλιστα τῶν ἑταίρων ἐτίμα καὶ ἐφίλει ὁ

Τῖ' Ἀχιλεὺς ἑτάρων, μετὰ Πάτροκλόν γε θανόντα.
Οἳ τόθ' ὑπὸ ζυγόφιν λύον ἵππους ἡμιόνους τε,
Ἐς δ' ἄγαγον κήρυκα καλήτορα τοῖο γέροντος·
Κὰδδ' ἐπὶ δίφρου εἷσαν· ἐϋξέστου δ' ἀπ' ἀπήνης
Ἥρεον Ἑκτορέης κεφαλῆς ἀπερείσι' ἄποινα.
Κὰδδ' ἔλιπον δύο φάρε', ἐΰννητόν τε χιτῶνα,
Ὄφρα νέκυν πυκάσας δώῃ οἶκόνδε φέρεσθαι.
Δμωὰς δ' ἐκκαλέσας λοῦσαι κέλετ', ἀμφί τ' ἀλεῖψαι,
Νόσφιν ἀειράσας, ὡς μὴ Πρίαμος ἴδῃ υἱόν·
Μὴ ὁ μὲν ἀχνυμένῃ κραδίᾳ χόλον οὐκ ἐρύσαιτο.
Παῖδα ἰδὼν, Ἀχιλῆϊ δ' ὀρινθείη φίλον ἦτορ,
Καί ἑ κατακτείνειε, Διὸς δ' ἀλίτηται ἐφετμάς.
Τὸν δ' ἐπεὶ οὖν δμωαὶ λοῦσαν καὶ χρῖσαν ἐλαίῳ,
Ἀμφὶ δέ μιν φᾶρος καλὸν βάλον, ἠδὲ χιτῶνα,
Αὐτὸς τόνγ' Ἀχιλεὺς λεχέων ἐπέθηκεν ἀείρας,
Σὺν δ' ἕταροι ἤειραν ἐϋξέστην ἐπ' ἀπήνην.
Ὤιμωξέν τ' ἄρ ἔπειτα, φίλον δ' ὀνόμηνεν ἑταῖρον·
Μή μοι, Πάτροκλε, σκυδμαινέμεν, αἴκε πύθηαι
Εἰν Ἀΐδαός περ ἐὼν, ὅτι Ἕκτορα δῖον ἔλυσα
Πατρὶ φίλῳ· ἐπεὶ οὔ μοι ἀεικέα δῶκεν ἄποινα·
Σοὶ δ' αὖ ἐγὼ καὶ τῶνδ' ἀποδάσσομαι, ὅσσ' ἐπέοικεν.
Ἦ ῥα, καὶ ἐς κλισίην, πάλιν ἤϊε δῖος Ἀχιλλεύς·
Ἕζετο δ' ἐν κλισμῷ πολυδαιδάλῳ, ἔνθεν ἀνέστη,
Τοίχου τοῦ ἑτέρου, ποτὶ δὲ Πρίαμον φάτο μῦθον·
Υἱὸς μὲν δή τοι λέλυται, γέρον, ὡς ἐκέλευες·
Κεῖται δ' ἐν λεχέεσσ', ἅμα δ' ἠοῖ φαινομένηφι
Ὄψεαι αὐτὸς ἄγων· νῦν δὲ μνησώμεθα δόρπου.
Καὶ γάρ τ' ἠΰκομος Νιόβη ἐμνήσατο σίτου,

Ἀχιλλεὺς μετὰ τὸν ἀποθανόντα Πάτροκλον, οἳ τότε ὑπὸ τὸν ζυγὸν ἔλυον τοὺς ἵππους καὶ τὰς(οὺς) ἡμιόνους, εἰσήγαγον δὲ τὸν εὔψυχον κήρυκα τοῦ γέροντος, ἐκάθισαν δὲ ἐπὶ τοῦ δίφρου, ἀπὸ δὲ τῆς ευξέστου καὶ καλῶς εἰργασμένης ἀμάξης ἐλάμβανον τὰ τῆς κεφαλῆς τοῦ Ἕκτορος πλεῖστα λύτρα, κατέλιπον δὲ δύο ἱμάτια, καὶ καλῶς εἰργασμένον χιτῶνα, ὅπως τὸν νεκρὸν εἰλύσας καὶ (περι)καλύψας δῶ ἐνεγκεῖν εἰς τὸν οἶκον, τὰς δούλας δὲ καλέσας ἔξω, λοῦσαι προσέταξε καὶ περιαλεῖψαι πορρωτέρω ἐνεγκούσας ἵνα μὴ ὁ Πρίαμος θεάσηται τὸν υἱὸν, μὴ οὗτος μὲν λελυπημένῃ καρδίᾳ τὸν θρῆνον οὐκ ἐπίσχοι θεασάμενος τὸν υἱὸν, τῷ Ἀχιλλεῖ δὲ ταραχθείη ἡ προσφιλὴς ψυχὴ καὶ φονεύσειεν αὐτὸν, τοῦ Διὸς δὲ ἀθετήσειε τὰς ἐντολάς. Τοῦτον δὲ ἐπειδὴ αἱ δοῦλαι ἔλουσαν καὶ ἔχρισαν ἐλαίῳ, περιέβαλον δὲ αὐτὸν φᾶρος περικαλὲς καὶ χιτῶνα, αὐτὸς ὁ Ἀχιλλεὺς τοῦτον ἐπὶ τῶν(ῆς) δεμνίων (στρωμνῆς) ἔθηκε κουφίσας (ἄρας), συνανεκούφισαν δὲ καὶ οἱ ἑταῖροι, ἐπὶ τὴν καλῶς εἰργασμένην ἅμαξαν. στενάξας δὲ ἐβόησε μετὰ ταῦτα, καὶ τὸν ἀγαπητὸν φίλον ὠνόμασε λέγων. Μή μοι, ὦ Πάτροκλε, ὀργίζου ἐὰν ἀκούσῃς, καίπερ ἐν Ἅιδου γε ὢν, ὅτι τὸν ἐνδοξότατον Ἕκτορα ἠλευθέρωσα τῷ ἀγαπητῷ πατρί· ἐπειδὴ οὐκ ἀπρεπῆ λύτρα μοι ἔδωκε, σοὶ δὲ ἐγὼ καὶ τούτων ἀπομερίσομαι, ὅσα προσήκει. Εἶπε δὴ καὶ εἰς τὴν σκηνὴν ὀπίσω ἐπορεύθη ὁ ἐνδοξότατος Ἀχιλλεὺς, ἐκάθισε δὲ ἐν καθέδρᾳ ποικιλωτάτῃ, ὅθεν ἀνέστη, ἀπὸ τοῦ ἐξ ἐναντίας τοίχου· εἶπε δὲ πρὸς τὸν Πρίαμον λόγον· Ὁ υἱὸς μὲν οὖν σοι ἠλευθέρωται, ὦ γέρον, καθάπερ παρεκάλεις, κεῖται δὲ ἐν τῇ στρωμνῇ, ἅμα δὲ τῇ ἡμέρᾳ φαινομένῃ θεάσῃ συ ἄγων· νυνὶ δὲ μνημονεύσωμεν δείπνου, καὶ δειπνήσωμεν, καὶ γὰρ καὶ ἡ καλλίκομος Νιόβη ἐμνήσθη τροφῆς καὶ ἔφαγε, ᾗγε δώδεκα παῖδες ἐν τοῖς

Τῇ περ δώδεκα παῖδες ἐνὶ μεγάροισιν ὄλοντο,
Ἓξ μὲν θυγατέρες, ἓξ δ' υἱέες ἡβώοντες·
Τοὺς μὲν Ἀπόλλων πέφνεν ἀπ' ἀργυρέοιο βιοῖο,
Χωόμενος Νιόβῃ, τὰς δ' Ἄρτεμις ἰοχέαιρα,
Οὕνεκ' ἄρα Λητοῖ ἰσάσκετο καλλιπαρῄῳ.
Φῆ δοιὼ τεκέειν, ἡ δ' αὐτὴ γείνατο πολλούς·
Τὼ δ' ἄρα, καὶ δοιώ περ ἐόντ', ἀπὸ πάντας ὄλεσσαν.
Οἱ μὲν ἄρ ἐννῆμαρ κέατ' ἐν φόνῳ, οὐδέ τις ἦεν
Κατθάψαι· λαοὺς δὲ λίθους ποίησε Κρονίων.
Τοὺς δ' ἄρα τῇ δεκάτῃ θάψαν θεοὶ οὐρανίωνες.
Ἡ δ' ἄρα σίτου μνήσατ', ἐπεὶ κάμε δακρυχέουσα.
Νῦν δέ που ἐν πέτρῃσιν, ἐν οὔρεσιν οἰοπόλοισιν,
Ἐν Σιπύλῳ, ὅθι φασὶ θεάων ἔμμεναι εὐνὰς
Νυμφάων, αἵτ' ἀμφ' Ἀχελώϊον ἐῤῥώσαντο,
Ἔνθα, λίθος περ ἐοῦσα, θεῶν ἐκ κήδεα πέσσει.
Ἀλλ' ἄγε δὴ καὶ νῶϊ μεδώμεθα, δῖε γεραιὲ,
Σίτου, ἔπειτά κεν αὖτε φίλον παῖδα κλαίοισθα,
Ἴλιον εἰσαγαγών· πολυδάκρυτος δέ τοι ἔσται.
Ἦ καὶ ἀναΐξας ὄϊν ἄργυφον ὠκὺς Ἀχιλλεὺς
Σφάξ'· ἕταροι δ' ἔδερόν τε καὶ ἄμφεπον εὖ κατὰ κόσμον,
Μίστυλλόν τ' ἄρ ἐπισταμένως, πεῖράν τ' ὀβελοῖσιν,
Ὤπτησάν τε περιφραδέως, ἐρύσαντό τε πάντα,
Αὐτομέδων δ' ἄρα σῖτον ἑλὼν ἐπένειμε τραπέζῃ
Καλοῖς ἐν κανέοισιν· ἀτὰρ κρέα νεῖμεν Ἀχιλλεύς.
Οἱ δ' ἐπ' ὀνείαθ' ἑτοῖμα προκείμενα χεῖρας ἴαλλον.
Αὐτὰρ ἐπεὶ πόσιος καὶ ἐδητύος ἐξ ἔρον ἕντο,
Ἤτοι Δαρδανίδης Πρίαμος θαύμαζ' Ἀχιλῆα,
Ὅσσος ἔην, οἷός τε· θεοῖσι γὰρ ἄντα ἐῴκει·

οἴκοις ἀπέθανον· ἓξ μὲν θυγατέρες, ἓξ δὲ υἱοὶ ἀκμάζοντες, τούτους μὲν ὁ Ἀπόλλων ἐφόνευσεν ἀπὸ τοῦ ἀργυροῦ τόξου, ὀργισθεὶς τῇ Νιόβῃ, ταύτας δὲ, ἡ τοῖς οἰστοῖς χαίρουσα Ἄρτεμις, διότι δὴ τῇ Λητοῖ ἐξισοῦτο τῇ ὡραιοτάτῃ· ἔφη γὰρ δύο τεκεῖν, αὐτὴ δὲ ἔτεκε πολλοὺς, οὗτοι δὲ καίπερ ὄντες δύω, ἀπώλεσαν ἅπαντας· Οὗτοι μὲν οὖν ἐννέα ἡμέρας ἔκειντο ἐν ᾧ τόπῳ ἐφονεύθησαν, οὐδέ τις ἦν καταθάψαι, τὸν δῆμον δὲ λίθους ἐποίησεν ὁ υἱὸς τοῦ Κρόνου, τούτους δὲ τῇ δεκάτῃ ἔθαψαν οἱ ἐπουράνιοι θεοὶ, αὕτη δὲ τροφῆς ἐμνήσθη, ἐπειδὴ κέκμηκε δακρυῤῥοῦσα· νῦν δέ που ἐν πέτραις ἐν ὄρεσιν, ἐρήμοις ἀνθρώπων, καὶ ἐν οἷς μόνος τις ἀναστρέφεται, ἐν Σιπύλῳ πόλει τῆς Λυδίας, ὅπου φασὶν εἶναι τὰς κοίτας (διατριβὰς) τῶν θεῶν τῶν νυμφῶν, αἵτινες περὶ τὸ ὕδωρ τοῦ Ἀχελῴου ποταμοῦ ὠρχήσαντο ἐῤῥωμένως. ἔνθα καίπερ οὖσα λίθος, ἐκ θεῶν λύπας πεπαίνει καὶ διαφέρει· Ἀλλ' ἄγε δὴ καὶ ἡμεῖς φροντίσωμεν, ἐνδοξότατε γέρον, τροφῆς· μετὰ ταῦτα δ' ἂν κλαύσειας τὸν ἀγαπητὸν υἱὸν ἀγαγὼν εἰς τὸ Ἴλιον, πολύκλαυστος δέ σοι ἔσται· Εἶπε καὶ ἀναστὰς κριὸν λευκὸν ὁ ταχὺς Ἀχιλλεὺς ἔσφαξε, οἱ ἑταῖροι δὲ ἐξέδερόν τε καὶ ἐνήργουν καλῶς καὶ κοσμίως, ἔκοψάν τε δὴ εἰς μικρὰ ἐμπείρως καὶ διεπερόνησαν τοῖς ὀβελοῖς, καὶ ὤπτησαν συνετῶς, καὶ ἐξείλκυσαν ἅπαντα· ὁ Αὐτομέδων δὲ ἄρτους λαβὼν, διαμερίσας ἐπέθηκε τῇ τραπέζῃ ἐν περικαλλέσι κανισκίοις, τὰ κρέατα δὲ διεμέρισεν ὁ Ἀχιλλεύς· οὗτοι δὲ ἐπὶ τὰ πρόχειρα(ως) κείμενα βρώματα τὰς χεῖρας ἔβαλλον· ἐπεὶ δὲ τῆς πόσεως καὶ βρώσεως τὸν ἔρωτα ἐπλήρωσαν, ὁ μὲν ἔκ(ἀπό)γονος τοῦ Δαρδάνου Πρίαμος ἐθαύμαζε τὸν Ἀχιλλέα ὅσος ἦν, καὶ οἷος· ἄντικρυς γὰρ θεοῖς ἦν

Αὐτὰρ Δαρδανίδην Πρίαμον θαύμαζεν Ἀχιλλεὺς,
Εἰσορόων ὄψιν τ' ἀγαθὴν, καὶ μῦθον ἀκούων.
Αὐτὰρ ἐπεὶ τάρπησαν ἐς ἀλλήλους ὁρόωντες,
Τὸν πρότερος προσέειπε γέρων Πρίαμος θεοειδής·
Λέξον νῦν με τάχιστα, διοτρεφὲς, ὄφρα καὶ ἤδη
Ὕπνῳ ὑπὸ γλυκερῷ ταρπώμεθα κοιμηθέντες·
Οὐ γάρ πω μῦσαν ὄσσε ὑπὸ βλεφάροισιν ἐμοῖσιν,
Ἐξ οὗ σῆς ὑπὸ χερσὶν ἐμὸς πάϊς ὤλεσε θυμόν·
Ἀλλ' αἰεὶ στενάχω καὶ κήδεα μυρία πέσσω,
Αὐλῆς ἐν χόρτοισι κυλινδόμενος κατὰ κόπρον.
Νῦν δὴ καὶ σίτου πασάμην, καὶ αἴθοπα οἶνον
Λαυκανίης καθέηκα· πάρος γε μὲν οὔτι πεπάσμην.
Ἦ ῥ'· Ἀχιλεὺς δ' ἑτάροισιν, ἰδὲ δμωῇσι κέλευσε,
Δέμνι' ὑπ' αἰθούσῃ θέμεναι, καὶ ῥήγεα καλὰ,
Πορφύρε' ἐμβαλέειν, στορέσαι τ' ἐφύπερθε τάπητας,
Χλαίνας τ' ἐνθέμεναι· οὔλας καθύπερθεν ἕσασθαι.
Αἱ δ' ἴσαν ἐκ μεγάροιο, δάος μετὰ χερσὶν ἔχουσαι·
Αἶψα δ' ἄρ ἐστόρεσαν δοιὼ λέχε' ἐγκονέουσαι.
Τὸν δ' ἐπικερτομέων προσέφη πόδας ὠκὺς Ἀχιλλεύς·
Ἐκτὸς μὲν δὴ λέξο, γέρον φίλε· μήτις Ἀχαιῶν
Ἐνθάδ' ἐπέλθῃσιν βουληφόρος, οἵ τέ μοι αἰεὶ
Βουλὰς βουλεύουσι παρήμενοι, ἣ θέμις ἐστί·
Τῶν εἴτις σε ἴδοιτο θοὴν διὰ νύκτα μέλαιναν,
Αὐτίκ' ἂν ἐξείποι Ἀγαμέμνονι ποιμένι λαῶν,
Καί κεν ἀνάβλησις λύσιος νεκροῖο γένηται.
Ἀλλ' ἄγε μοι τόδε εἰπὲ, καὶ ἀτρεκέως κατάλεξον,
Ποσσῆμαρ μέμονας κτερεϊζέμεν Ἕκτορα δῖον,
Ὄφρα τέως αὐτός τε μένω καὶ λαὸν ἐρύκω.

ὅμοιος· τὸν ἔκγονον δὲ τοῦ Δαρδάνου Πρίαμον ἐθαύμαζεν ὁ Ἀχιλλεὺς θεώμενος αὐτὸν καὶ κατὰ ὄψιν ἀγαθὸν, καὶ τὸν λόγον αὐτοῦ ἀκούων· Ἐπεὶ δὲ εὐφράνθησαν πρὸς ἀλλήλους ὁρῶντες, πρὸς τοῦτον πρότερον εἶπεν ὁ θεοειδὴς γέρων Πρίαμος. Κοίμησον νῦν με ὡς τάχος, ὦ ἐνδοξότατα τεθραμμένε, ὅπως ἂν ἤδη καὶ ὕπνῳ ἡδίστῳ εὐφρανθῶμεν ὑπνώσαντες, οὔπω γὰρ ἐκάμυσαν οἱ ὀφθαλμοὶ ὑπὸ τοῖς ἐμοῖς βλεφάροις, ἐξ οὗ ὑπὸ τῶν σῶν χειρῶν ἀπώλεσε τὴν ψυχὴν ὁ ἐμὸς υἱός· ἀλλ' ἀεὶ στενάζω καὶ λύπας ἀναριθμήτους πεπαίνω ἐν τῇ τῆς αὐλῆς εὐρυχωρίᾳ κυλιόμενος κατὰ τὴν γῆν. νυνὶ δὲ καὶ τροφῆς ἐγευσάμην, καὶ οἶνον θερμὸν διὰ τοῦ λαιμοῦ καθῆκα καὶ ἐνέβαλον· πρότερόν γε μὴν οὐδὲν προσηνεγκάμην. Εἶπε δή· ὁ Ἀχιλλεὺς δὲ τοῖς ἑταίροις καὶ ταῖς δούλαις προσέταξε, στρωμνὴν ὑπὸ τῇ προστώῳ ποιῆσαι, καὶ περικαλλῆ ἱμάτια (στρώματα) βεβαμμένα πορφυρᾷ ἐμβαλεῖν, καὶ στρῶσαι τάπητας ἄνωθεν, καὶ καλύπτρας ἐνθεῖναι ἁπαλὰς ἄνωθεν ὥστε εἰληθῆναι, καὶ περιβληθῆναι, αὗται δὲ ἐξῆλθοσαν τοῦ οἴκου, φῶς ἐν χερσὶ κατέχουσαι, ταχέως δὲ ἔστρωσαν δύο κοίτας ἐνεργοῦσαι καὶ πονοῦσαι. Πρὸς τοῦτον δὲ παραλογιζόμενος εἶπεν ὁ ταχύπους Ἀχιλλεύς· Ἔξω μὲν οὖν κοιμήθητι, ἀγαπητὲ γέρον· μή τις τῶν Ἑλλήνων ἐνταῦθα ἀφίκηται γνωμοδότης, οἵ δή μοι ἀεὶ βουλὰς ποιοῦνται παρακαθήμενοι, οἷα πρέπον ἐστί· τούτων εἴ τις σε θεάσαιτο κατὰ τὴν ταχεῖαν σκοτεινὴν νύκτα, παραχρῆμα ἂν ἀναγγείλας Ἀγαμέμνονι τῷ βασιλεῖ τοῦ στρατοῦ, καὶ γένοιτ' ἂν ἀναβολὴ καὶ ὑπέρθεσις τῆς ἐλευθερίας τοῦ νεκροῦ. ἀλλ' ἄγε εἰπέ μοι τοῦτο, καὶ ἀληθῶς ἑρμήνευσον· πόσας ἡμέρας προθυμῇ ἐνταφιάζειν τὸν ἐνδοξότατον Ἕκτορα· ἵν' ἐν τούτῳ ἐγώ τε παραμένω καὶ τὸν στρατὸν διακωλύω καὶ κατέχω. Πρὸς τοῦτον δὲ μετὰ ταῦτα ἀπεκρί-

Τὸν δ' ἠμείβετ' ἔπειτα γέρων Πρίαμος θεοειδής·
Εἰ μὲν δή μ' ἐθέλεις τελέσαι τάφον Ἕκτορι δίῳ,
Ὧδέ κέ μοι ῥέζων, Ἀχιλεῦ, κεχαρισμένα θείης.
Οἶσθα γὰρ, ὡς κατὰ ἄστυ ἐέλμεθα, τηλόθι δ' ὕλη,
Ἀξέμεν ἐξ ὄρεος· μάλα δὲ Τρῶες δεδίασιν,
Ἐννῆμαρ μέν κ' αὐτὸν ἐνὶ μεγάροις γοάοιμεν,
Τῇ δεκάτῃ δέ κε θάπτοιμεν, δαινῦτό τε λαός·
Ἑνδεκάτῃ δέ κε τύμβον ἐπ' αὐτῷ ποιήσαιμεν,
Τῇ δὲ δυωδεκάτῃ πολεμίζομεν, εἴπερ ἀνάγκη.
Τὸν δ' αὖτε προτέειπε ποδάρκης δῖος Ἀχιλλεύς·
Ἔσται τοι καὶ ταῦτα, γέρον Πρίαμ', ὡς σὺ κελεύεις·
Σχήσω γὰρ τόσσον πόλεμον χρόνον, ὅσσον ἄνωγας.
Ὣς ἄρα φωνήσας, ἐπὶ καρπῷ χεῖρα γέροντος
Ἔλλαβε δεξιτερὴν, μήπως δείσῃ ἐνὶ θυμῷ.
Οἱ μὲν ἄρ ἐν προδόμῳ δόμου αὐτόθι κοιμήσαντο
Κῆρυξ καὶ Πρίαμος, πυκινὰ φρεσὶ μήδε' ἔχοντες·
Αὐτὰρ Ἀχιλλεὺς εὗδε μυχῷ κλισίης εὐπήκτου·
Τῷ δὲ Βρισηῒς παρελέξατο καλλιπάρῃος.
Ἄλλοι μέν ῥα θεοί τε καὶ ἀνέρες ἱπποκορυσταὶ
Εὗδον παννύχιοι, μαλακῷ δεδμημένοι ὕπνῳ·
Ἀλλ' οὐχ Ἑρμείαν ἐριούνιον ὕπνος ἔμαρπτεν,
Ὁρμαίνοντ' ἀνὰ θυμὸν, ὅπως Πρίαμον βασιλῆα
Νηῶν ἐκπέμψειε, λαθὼν ἱεροὺς πυλαωρούς.
Στῆ δ' ἄρ ὑπὲρ κεφαλῆς, καί μιν πρὸς μῦθον ἔειπεν·
Ὦ γέρον, οὔ νύ τι σοί γε μέλει κακόν· οἷον ἔθ' εὕδεις
Ἀνδράσιν ἐν δηΐοισιν, ἐπεί σ' εἴασεν Ἀχιλλεύς·
Καὶ νῦν μὲν φίλον υἱὸν ἐλύσαο, πολλὰ δ' ἔδωκας·
Σεῖο δέ κεν ζωοῦ καὶ τρὶς τόσα δοῖεν ἄποινα

νατο ὁ θεοειδὴς γέρων Πρίαμος· εἴ με δὴ βούλει ἐκτελέσαι ἐπιτάφια τῷ ενδοξοτάτῳ Ἕκτορι, οὕτως ἄν μοι πράττων, ὦ Ἀχιλλεῦ, τὰ πρὸς χάριν ποιήσειας· οἶδας γὰρ ὅτι κατὰ τὴν πόλιν ἐγκεκλείσμεθα· πόῤῥωθι δὲ ὁ δρυμὸς ὥστε ἀγαγεῖν ἐκ τοῦ ὄρους· πάνυ δὲ οἱ Τρῶες φοβοῦνται· Ἐννέα μὲν οὖν ἡμέρας αὐτὸν ἐν τοῖς οἴκοις κλαίοιμεν ἄν, τῇ δεκάτῃ δὲ θάπτοιμεν ἄν, καὶ ὁ λαὸς εὐωχοῖτο· τῇ ἑνδεκάτῃ δὲ μνῆμα ἐπ' αὐτῷ ποιήσαιμεν ἄν, τῇ δωδεκάτῃ δὲ πολεμήσομεν εἰ ἔστιν ἀνάγκη· Πρὸς τοῦτον δὲ εἶπεν ὁ ταχύπους ἐνδοξότατος Ἀχιλλεύς· Ἔσαι σοι καὶ ταῦτα, ὦ γέρον Πρίαμε, καθάπερ σὺ λέγεις· ἐπισχήσω γὰρ καὶ διακωλύσω ἐπὶ τοσοῦτον χρόνον τὸν πόλεμον, ὅσον ἐκέλευσας. Οὕτω δὴ εἰπὼν τὴν χεῖρα τοῦ γέροντος παρὰ τῷ καρπῷ ἐκράτησε τὴν δεξιὰν, ἵνα μὴ φοβηθῇ ἐν τῇ ψυχῇ. οὗτοι μὲν οὖν ἐν τῇ προστῴῳ τοῦ οἴκου αὐτόθι ἐκοιμήθησαν ὅτε κῆρυξ καὶ ὁ Πρίαμος πυκνὰ καὶ συνετὰ βουλεύματα κατὰ διάνοιαν ἔχοντες. ὁ Ἀχιλλεὺς δὲ ὕπνωσεν ἐν τῷ ἐνδοτέρῳ τῆς καλῶς εἰργασμένης σκηνῆς. παρ' αὐτῷ δὲ ἡ τοῦ Βρισέως θυγάτηρ ἡ περικαλλὴς κατεκλίθη. Οἱ ἄλλοι μὲν οὖν θεοὶ καὶ πολεμισταὶ ἄνδρες ὕπνωττον δι' ὅλης τῆς νυκτὸς, ἁπαλῷ ὕπνῳ κεκρατημένοι· ἀλλ' οὐ τὸν πολυωφελῆ Ἑρμῆν ὕπνος κατελάμβανε, διανούμενον κατὰ ψυχὴν ὅπως Πρίαμον τὸν βασιλέα, τῶν νεῶν ἐκπέμψειε καὶ ἀπαγάγοιεν, λαθὼν τοὺς ἱεροὺς φύλακας τῶν πυλῶν, ἔστη δὲ ὑπεράνω τῆς κεφαλῆς καὶ εἶπε πρὸς αὐτὸν λόγον· Ὦ γέρον, οὐδέν σοι ἐν φροντίδι ἐστὶ τὸ δεινόν· ὦ πῶς ἔτι καθεύδεις ἐν πολεμίοις ἀνδράσιν, ἐπειδή σε εἴασε ζῆν ὁ Ἀχιλλεὺς, καὶ νῦν μὲν τὸν ἀγαπητὸν υἱὸν ἐλυτρώσω, πολλὰ δὲ ἔδωκας, σοῦ δὲ ζῶντος, καὶ τρὶς τοσαῦτα δοῖεν ἂν λύτρα οἱ μετὰ ταῦτά σοι ὑπο-

Παῖδες τοὶ μετόπισθε λελειμμένοι, αἴ κ' Ἀγαμέμνων
Γνοίη σ' Ἀτρείδης, γνώωσι δὲ πάντες Ἀχαιοί.
Ὣς ἔφατ'· ἔδδεισεν δ' ὁ γέρων, κήρυκα δ' ἀνίστη·
Τοῖσι δ' Ἑρμείας ζεῦξ' ἵππους ἡμιόνους τε·
Ῥίμφα δ' ἄρ αὐτὸς ἔλαυνε κατὰ στρατὸν, οὐδέ τις ἔγνω·
Ἀλλ' ὅτε δὴ πόρον ἶξον ἐϋῤῥεῖος ποταμοῖο
Ἑρμείας μὲν ἔπειτ' ἀπέβη πρὸς μακρὸν Ὄλυμπον,
Ἠὼς δὲ κροκόπεπλος ἐκίδνατο πᾶσαν ἐπ' αἶαν·
Οἱ δ' εἰς ἄστυ ἔλων οἰμωγῇ τε στοναχῇ τε
Ἵππους, ἡμίονοι δὲ νέκυν φέρον· οὐδέ τις ἄλλος
Ἔγνω πρόσθ' ἀνδρῶν καλλιζώνων τε γυναικῶν·
Ἀλλ' ἄρα Κασσάνδρα, ἰκέλη χρυσῇ Ἀφροδίτῃ,
Πέργαμον εἰσαναβᾶσα, φίλον πατέρ' εἰσενόησεν
Ἑσταότ' ἐν δίφρῳ, κήρυκά τε ἀστυβοώτην·
Τὸν δ' ἄρ ἐφ' ἡμιόνων ἴδε κείμενον ἐν λεχέεσσι·
Κώκυσέν τ' ἄρ ἔπειτα, γέγωνέ τε πᾶν κατὰ ἄστυ·
Ὄψεσθε, Τρῶες, καὶ Τρωϊάδες, Ἕκτορ' ἰόντες,
Εἴ ποτε καὶ ζώοντι μάχης ἐκνοστήσαντι
Χαίρετ'· ἐπεὶ μέγα χάρμα πόλει τ' ἦν, παντί τε δήμῳ.
Ὣς ἔφατ'· οὐδέ τις αὐτόθ' ἐνὶ πτόλεϊ λίπετ' ἀνὴρ,
Οὐδὲ γυνή· πάντας γὰρ ἀάσχετον ἵκετο πένθος·
Ἀγχοῦ δὲ ξύμβληντο πυλάων νεκρὸν ἄγοντι.
Πρῶται τῷ γ' ἄλοχός τε φίλη καὶ πότνια μήτηρ
Τιλλέσθην ἐφ' ἄμαξαν ἐΰτροχον ἀΐξασαι,
Ἁπτόμεναι κεφαλῆς· κλαίων δ' ἀμφίσταθ' ὅμιλος.
Καί νύ κε δὴ πρόπαν ἦμαρ ἐς ἠέλιον καταδύντα
Ἕκτορα δακρυχέοντες ὀδύροντο πρὸ πυλάων,
Εἰ μὴ ἄρ ἐκ δίφροιο γέρων λαοῖσι μετηύδα·

λειφθέντες υἱοὶ, ἐὰν Ἀγαμέμνων ἐπίστηταί σε ὁ τοῦ Ἀτρέως, γνῶσι δὲ καὶ πάντες οἱ Ἕλληνες. Οὕτως εἶπεν· ἐφοβήθη δὲ ὁ γέρων, τὸν κήρυκα δὲ ἀνέστησε, τούτοις δὲ Ἑρμῆς ἔζευξε τοὺς ἵππους καὶ τὰς ἡμιόνας, ταχέως δὲ αὐτὸς ἦγε κατὰ τὸν στρατὸν, οὐδέ τις ἐνόησεν, ἀλλ᾽ ὁπηνίκα δὴ ἀφίκοντο εἰς τὴν διάβασιν τοῦ καλῶς ῥέοντος ποταμοῦ, ὁ μὲν Ἑρμῆς μετὰ ταῦτα ἀπῆλθεν εἰς τὸν ὑψηλὸν οὐρανόν· Ἡ ἡμέρα δὲ ἡ τὸ κροκοειδὲς ἱμάτιον ἔχουσα διεχύθη ἐπὶ πᾶσαν τὴν γῆν, οὗτοι δὲ εἰς τὴν πόλιν ἤλαυνον σὺν στεναγμῷ καὶ θρήνῳ τοὺς ἵππους, αἱ ἡμίονοι δὲ τὸν νεκρὸν ἔφερον, οὐδέ τις ἄλλος ἐνόησε πρότερον τῶν τε ἀνδρῶν καὶ τῶν περικαλλεῖς ζώνας ἐχουσῶν γυναικῶν, ἀλλὰ ἡ Κασσάνδρα ἡ ὁμοία τῇ χρυσῇ Ἀφροδίτῃ, ἀναβᾶσα εἰς τὴν ἀκρόπολιν τὸν ἀγαπητὸν πατέρα ἐθεάσατο ἑστῶτα ἐπὶ τοῦ ὀχήματος, καὶ τὸν κήρυκα τὸν κατὰ τὴν πόλιν βοῶντα, τοῦτον δὲ ἐπὶ τῶν ἡμιόνων ἐθεάσατο κείμενον ἐν τῇ στρωμνῇ ὠλόλυξε γοῦν μετὰ ταῦτα καὶ ἐφώνησε κατὰ πᾶσαν τὴν πόλιν. Ἴδετε, ὦ Τρῶες, καὶ Τρῳάδες, τὸν Ἕκτορα ἐλθόντες, εἴποτε καὶ ζῶντι ἐκ τῆς μάχης ὑποστρέψαντι ἐχαίρετε· ἐπειδὴ μεγάλη χαρὰ τῇ τε πόλει ἦν καὶ παντὶ τῷ δήμῳ. Οὕτως εἶπεν οὐδέ τις αὐτόθι ἐν τῇ πόλει ἀνὴρ ὑπελείφθη οὐδὲ γυνή· πάντας γὰρ ἀκάθεκτον πένθος κατέλαβε, ἐγγὺς δὲ τῶν πυλῶν συνέβαλον ἄγοντι τὸν νεκρόν· πρῶται αὐτῷ ἡ ἀγαπητὴ γαμετὴ καὶ σεβαστὴ μήτηρ τὰς τρίχας ἀνέσπων, ἐπὶ τὴν εὐπετῶς τρέχουσαν (καλοὺς τροχοὺς ἔχουσαν) ἅμαξαν ὁρμήσασαι, ἁπτόμεναι τῆς κεφαλῆς, κλαίων δὲ περιίστατο ὁ λαός. Καὶ δὴ ἂν πᾶσαν τὴν ἡμέραν μέχρι τῆς καταδύσεως τοῦ ἡλίου τὸν Ἕκτορα κλαίοντες ἐθρήνουν, ἔμπροσθεν τῶν πυλῶν,

Εἶξατέ μοι οὐρεῦσι διελθέμεν· αὐτὰρ ἔπειτα
Ἄσεσθε κλαυθμοῖο, ἐπὴν ἀγάγοιμι δόμονδε.
Ὣς ἔφαθ᾽· οἱ δὲ διέστησαν, καὶ εἶξαν ἀπήνῃ·
Οἱ δ᾽ ἐπεὶ εἰσάγαγον κλυτὰ δώματα, τὸν μὲν ἔπειτα
Τρητοῖς ἐν λεχέεσσι θέσαν, παρὰ δ᾽ εἷσαν ἀοιδοὺς
Θρήνων ἐξάρχουσ᾽, οἵτε στονόεσσαν ἀοιδὴν
Οἱ μὲν ἄρ ἐθρήνεον, ἐπὶ δὲ στενάχοντο γυναῖκες.
Τῇσιν δ᾽ Ἀνδρομάχη λευκώλενος ἦρχε γόοιο,
Ἕκτορος ἀνδροφόνοιο κάρη μετὰ χερσὶν ἔχουσα·
Ἆνερ, ἀπ᾽ αἰῶνος νέος ὤλεο, κὰδ δέ με χήρην
Λείπεις ἐν μεγάροισι· πάϊς δ᾽ ἔτι νήπιος αὔτως,
Ὃν τέκομεν σύ τ᾽ ἐγώ τε δυσάμμοροι, οὐδέ μιν οἴω
Ἥβην ἵξεσθαι· πρὶν γὰρ πόλις ἥδε κατ᾽ ἄκρης
Πέρσεται· ἦ γὰρ ὤλωλας ἐπίσκοπος, ὅστε μιν αὐτὴν
Ῥύσκευ, ἔχες δ᾽ ἀλόχους κεδνὰς, καὶ νήπια τέκνα,
Αἳ δή τοι τάχα νηυσὶν ὀχήσονται γλαφυρῇσι,
Καὶ μὲν ἐγὼ μετὰ τῇσι· σὺ δ᾽ αὖ, τέκος, ἢ ἐμοὶ αὐτῇ
Ἕψεαι, ἔνθα κεν ἔργα ἀεικέα ἐργάζοιο,
Ἀθλεύων πρὸ ἄνακτος ἀμειλίχου· ἤ τις Ἀχαιῶν
Ῥίψει, χειρὸς ἑλὼν, ἀπὸ πύργου, λυγρὸν ὄλεθρον
Χωόμενος· ᾧ τινι δήπου ἀδελφεὸν ἔκτανεν Ἕκτωρ,
Ἢ πατέρ᾽, ἠὲ καὶ υἱόν· ἐπεὶ μάλα πολλοὶ Ἀχαιῶν
Ἕκτορος ἐν παλάμῃσιν ὀδὰξ ἕλον ἄσπετον οὖδας·
Οὐ γὰρ μείλιχος ἔσκε πατὴρ τεὸς ἐν δαῒ λυγρῇ·
Τῷ καί μιν λαοὶ μὲν ὀδύρονται κατὰ ἄστυ.
Ἀρητὸν δὲ τοκεῦσι γόον καὶ πένθος ἔθηκας,
Ἕκτορ, ἐμοὶ δὲ μάλιστα λελείψεται ἄλγεα λυγρά.
Οὐ γάρ μοι θνήσκων λεχέων ἐκ χεῖρας ὄρεξας·

εἰ μὴ ἄρα ἐκ τοῦ ὀχήματος ὁ γέρων ἐν τῷ πλήθει εἶπεν· Ὑποχωρήσατέ μοι τοῖς ἡμίοσι διελθεῖν, μετὰ ταῦτα δὲ ἐμπλησθήσεσθε κλαυθμοῦ, ἐπὰν ἀγάγοιμι αὐτὸν εἰς τὸν οἶκον. Οὕτως εἶπεν· οὗτοι δὲ διεχωρίσθησαν καὶ ὑπεχώρησαν τῇ ἁμάξῃ, οὗτοι δὲ ἐπειδὴ εἰσήγαγον εἰς τὰ ἔνδοξα οἰκήματα, τοῦτον μὲν μετὰ ταῦτα ἐν τοῖς τετρημένοις λέχεσιν ἔθηκαν· παρεκάθισαν δὲ θρηνῳδοὺς, οἳ τῶν θρήνων ἡγοῦνται καὶ τῆς τῶν στεναγμῶν ᾠδῆς· Οὗτοι μὲν οὖν ἐθρήνουν, ἐπεστέναζον δὲ αἱ γυναῖκες· ταύταις δὲ ἡ λευκοβραχίων Ἀνδρομάχη ἡγεῖτο τοῦ θρήνου, τοῦ ἀνδροκτόνου Ἕκτορος τὴν κεφαλὴν ἐν ταῖς χερσὶν ἔχουσα. Ὦ ἄνερ, νέος ἐξεκόπης τῆς ζωῆς, ἐμὲ δὲ χήραν καταλείπεις ἐν τοῖς οἴκοις, ὁ παῖς δ' ἔτι βρέφος οὕτως ἐστὶν, ὃν ἐγεννήσαμεν σύ τε καὶ ἐγὼ οἱ δυστυχεῖς καὶ ἄθλιοι, οὐδὲ οἴομαι αὐτὸν εἰς ἡλικίαν ἐλεύσεσθαι· πρότερον γὰρ ἥδε ἡ πόλις κατὰ κορυφῆς (καταχράτος) ἐκπορθήσεται. ὄντως γὰρ ἐφθάρης ὁ ἔφορος καὶ φύλαξ σὺ, ὃς αὐτὴν ἔσωζες, κατεῖχες δὲ καὶ συνετήρεις τὰς σεμνὰς γαμετὰς καὶ τὰ νεογνὰ τέκνα αἳ δή σοι ταχέως ἐν ταῖς κοίλαις ναυσὶν ἐποιχήσονται καὶ ἐν αὐτοῖς πορεύσονται, καὶ δὴ καὶ ἐγὼ μετὰ τούτων· σὺ δὲ, ὦ τέκνον, ἢ ἐμοὶ αὐτῇ ἀκολουθήσεις, ὅπου ἔργα ἀπρεπῆ ἐργάζοιο ἂν ταλαιπωρῶν ἔμπροσθεν κυρίου ἀπηνοῦς, ἤ τις τῶν Ἑλλήνων ῥιπτήσει, ἀπὸ τῆς χειρὸς κρατήσας, ἐκ τοῦ πύργου (τείχους) θάνατον χαλεπὸν ὀργιζόμενος· ᾧτινι δή που ἢ ἀδελφὸν ἀπέκτεινεν ὁ Ἕκτωρ ἢ πατέρα ἢ καὶ υἱόν· ἐπειδὴ πάνυ πολλοὶ τῶν Ἑλλήνων ἐν ταῖς παλάμαις τοῦ Ἕκτορος τοῖς ὀδοῦσιν ἔλαβον τὸ μέγα ἔδαφος, οὐ γὰρ προσηνὴς καὶ ἥμερος ἦν ὁ σὸς πατὴρ ἐν τῇ χαλεπῇ μάχῃ, δι' ὃ καὶ οἱ λαοὶ μὲν θρηνοῦσιν αὐτὸν ἐν τῇ πόλει, ἐπιβλαβὲς δὲ καὶ ἐπάρατον πένθος καὶ θρῆνον ἐποίησας τοῖς γονεῦσιν, ὦ Ἕκτωρ, ἐμοὶ δὲ μᾶλλον καταλειφθήσονται λῦπαι χαλεπαί· οὐ γὰρ

Οὐδέ τί μοι εἶπες πυκινὸν ἔπος, οὗ τέ κεν αἰεὶ
Μεμνήμην νύκτας τε καὶ ἤματα δακρυχέουσα.
Ὣς ἔφατο κλαίουσ᾽· ἐπὶ δὲ στενάχοντο γυναῖκες.
Τῇσιν δ᾽ αὖθ᾽ Ἑκάβη ἀδινοῦ ἐξῆρχε γόοιο·
Ἕκτορ, ἐμῷ θυμῷ πάντων πολὺ φίλτατε παίδων,
Ἦ μέν μοι ζωός περ ἐὼν, φίλος ἦσθα θεοῖσιν,
Οἱ δ᾽ ἄρα σεῦ κήδοντο καὶ ἐν θανάτοιό περ αἴσῃ·
Ἄλλους μὲν γὰρ παῖδας ἐμοὺς πόδας ὠκὺς Ἀχιλλεὺς
Πέρνασχ᾽, ὅντιν᾽ ἕλεσκε, πέρην ἁλὸς ἀτρυγέτοιο,
Ἐς Σάμον, ἔς τ᾽ Ἴμβρον καὶ Λῆμνον ἀμιχθαλόεσσαν·
Σεῦ δ᾽ ἐπεὶ ἐξέλετο ψυχὴν τανακέϊ χαλκῷ,
Πολλὰ ῥυτάζεσκεν ἑοῦ περὶ σῆμ᾽ ἑτάροιο,
Πατρόκλου, τὸν ἔπεφνες· ἀνέστησεν δέ μιν οὐδ᾽ ὥς.
Νῦν δέ μοι ἑρσήεις καὶ πρόσφατος ἐν μεγάροισι
Κεῖσαι, τῷ ἴκελος, ὅν τ᾽ ἀργυρότοξος Ἀπόλλων
Οἷς ἀγανοῖς βελέεσσιν ἐποιχόμενος κατέπεφνεν.
Ὣς ἔφατο κλαίουσα, γόον δ᾽ ἀλίαστον ὄρινε.
Τῇσι δ᾽ ἔπειθ᾽ Ἑλένη τριτάτη ἐξῆρχε γόοιο·
Ἕκτορ, ἐμῷ θυμῷ δαέρων πολὺ φίλτατε πάντων
Ἦ μέν μοι πόσις ἐστὶν Ἀλέξανδρος θεοειδὴς,
Ὅς μ᾽ ἄγαγε Τροίηνδ᾽· ὡς πρὶν ὤφελλ᾽ ἀπολέσθαι·
Ἤδη γὰρ νῦν μοι τόδε εἰκοστὸν ἔτος ἐστὶν,
Ἐξ οὗ κεῖθεν ἔβην, καὶ ἐμῆς ἀπελήλυθα πάτρης·
Ἀλλ᾽ οὔπω σεῦ ἄκουσα κακὸν ἔπος, οὐδ᾽ ἀσύφηλον·
Ἀλλ᾽ εἴτις με καὶ ἄλλος ἐνὶ μεγάροισιν ἐνίπτοι
Δαέρων, ἢ γαλόων, ἢ εἰνατέρων εὐπέπλων,
Ἢ ἑκυρή· ἑκυρὸς δὲ πατὴρ ὥς, ἤπιος αἰεὶ,
Ἀλλὰ σὺ τόνγ᾽ ἐπέεσσι παραιφάμενος κατέρυκες,

μοι ἀποθνήσκων ἐκ τῆς στρωμνῆς τὰς χεῖρας ἐξέτεινας, οὐδέ τινά μοι εἶπας λόγον πυκνὸν καὶ συνετὸν οὗ γ᾽ ἂν ἀεὶ ἐν μνήμῃ ἔχοιμι, νύκτωρ καὶ μεθημέραν δακρύουσα· Οὕτως εἶπε κλαίουσα, ἐπεστέναζον δὲ αἱ γυναῖκες· ταύταις δὲ πάλιν Ἑκάβη συχνοῦ θρήνου ἡγεῖτο· Ὦ Ἕκτορ, πολλῷ προσφιλέστατε πάντων τῶν υἱῶν τῇ ἐμῇ ψυχῇ, ὄντως μέν μοι ὅτε ἔζης προσφιλὴς ἐτύγχανες τοῖς θεοῖς· οὗτοι δέ σου ἐφρόντιζον καὶ ἐν τῇ μοίρᾳ γε τοῦ θανάτου· τοὺς ἄλλους μὲν γὰρ ἐμοὺς υἱοὺς ὁ ταχύπους Ἀχιλλεὺς ἐπέρα καὶ διεβίβαζεν ὅντινα ἐλάμβανεν, πέραν τῆς ἀκαταπονήτου (ἀκάρπου) θαλάσσης εἰς τὴν Σάμον, καὶ εἰς τὴν Ἴμβρον, καὶ τὴν Λῆμνον τὴν ἀπόσμικτον (ὀμιχλώδη)· σοῦ δὲ ἐπειδὴ ἐξείλετο τὴν ψυχὴν ἐπιμήκει σιδήρῳ, πολλάκις ἐπέσυρε περὶ τὸ μνῆμα τοῦ ἑαυτοῦ ἑταίρου Πατρόκλου, ὃν ἀπέκτεινας, οὐδὲ οὕτως δὲ αὐτὸν ἀνέστησε· νυνὶ δέ μοι ἔνδροσος καὶ χλωρὸς ἐν τοῖς οἴκοις κεῖσαι, τούτῳ ὅμοιος, ὃν ὁ καλλίτοξος Ἀπόλλων τοῖς ἑαυτοῦ πραέσι βέλεσιν ἐπελθὼν ἐφόνευσεν. Οὕτως εἶπε κλαίουσα, θρῆνον δὲ ἄπαυστον ἤγειρε· Ταύταις δὲ πάλιν Ἑλένη τρίτη θρήνου ἡγεῖτο· Ὦ Ἕκτορ· τῇ ἐμῇ ψυχῇ πολλῷ προσφιλέστατε πάντων τῶν ἀνδραδέλφων, ὄντως μέν μοι ἀνήρ ἐστιν Ἀλέξανδρος ὁ θείαν μορφὴν ἔχων, ὅς με ἤγαγεν εἰς τὴν Τροίαν, ὡς εἴθε πρὶν ὦφλε φθαρῆναι, ἤδη γάρ μοι νῦν τοῦτο εἰκοστὸν ἔτος ἐστὶν, ἐξ οὗ ἐκεῖθεν ἀνεχώρησα, καὶ τῆς ἐμῆς ἀπῆλθον πατρίδος· ἀλλ᾽ οὐδαμῶς σοῦ γε ἤκουσα λόγον κακὸν, οὐδὲ ἀπαίδευτον, ἀλλ᾽ εἴ τις μὲν καὶ ἄλλος ἐν τοῖς οἴκοις ἐλοιδώρει τῶν ἀνδραδέλφων, ἢ τῶν ἀνδραδέλφων, ἢ τῶν εὐειματουσῶν συνύμφων, ἢ ἡ πενθερά· ὁ γάρ τοι πενθερὸς ἀεὶ προσηνὴς καὶ πρᾶός ἐστιν, ὥσπερ πατὴρ, ἀλλὰ σὺ τοῦ-

Σῇ τ' ἀγανοφροσύνῃ, καὶ σοῖς ἀγανοῖς ἐπέεσσι.
Τῷ σέ θ' ἅμα κλαίω καὶ ἔμ' ἄμμορον, ἀχνυμένη κῆρ.
Οὐ γάρ τίς μοι ἔτ' ἄλλος ἐνὶ Τροίῃ εὐρείῃ
Ἤπιος, οὐδὲ φίλος, πάντες δέ με πεφρίκασιν.
Ὣς ἔφατο κλαίουσ'· ἐπὶ δ' ἔστενε δῆμος ἀπείρων.
Λαοῖσιν δὲ γέρων Πρίαμος μετὰ μῦθον ἔειπεν·
Ἄξετε νῦν, Τρῶες, ξύλα ἄστυδε, μηδέ τι θυμῷ
Δείσητ' Ἀργείων πυκινὸν λόχον. ἦ γὰρ Ἀχιλλεὺς
Πέμπων μ' ὧδ' ἐπέτελλε μελαινάων ἀπὸ νηῶν,
Μὴ πρὶν πημανέειν, πρὶν δωδεκάτη μόλῃ ἠώς.
Ὣς ἔφαθ'· οἱ δ' ὑπ' ἀμάξῃσιν βόας ἡμιόνους τε
Ζεύγνυσαν· αἶψα δ' ἔπειτα πρὸ ἄστεος ἠγερέθοντο.
Ἐννῆμαρ μὲν τοί γε ἀγίνεον ἄσπετον ὕλην·
Ἀλλ' ὅτε δὴ δεκάτη ἐφάνη φαεσίμβροτος ἠώς.
Καὶ τότ' ἄρ ἐξέφερον θρασὺν Ἕκτορα δακρυχέοντες
Ἐν δὲ πυρῇ ὑπάτῃ νεκρὸν θέσαν, ἐν δ' ἔβαλον πῦρ·
Ἦμος δ' ἠριγένεια φάνη ῥοδοδάκτυλος ἠώς,
Τῆμος ἄρ ἀμφὶ πυρὴν κλυτοῦ Ἕκτορος ἔγρετο λαός.
Αὐτὰρ ἐπεί ῥ' ἤγερθεν, ὁμηγερέες τ' ἐγένοντο,
Πρῶτον μὲν κατὰ πυρκαϊὴν σβέσαν αἴθοπι οἴνῳ
Πᾶσαν, ὁπόσσον ἐπέσχε πυρὸς μένος· αὐτὰρ ἔπειτα.
Ὀστέα λευκὰ λέγοντο κασίγνητοι ἕταροί τε,
Μυρόμενοι, θαλερὸν δὲ κατείβετο δάκρυ παρειῶν,
Καὶ τὰ χρυσείην ἐς λάρνακα θῆκαν ἑλόντες.
Πορφυρέοις πέπλοισι καλύψαντες μαλακοῖσιν·
Αἶψα δ' ἄρ ἐς κοίλην κάπετον θέσαν· αὐτὰρ ὕπερθε
Πυκνοῖσιν λάεσσι κατεστόρησαν μεγάλοισι.
Ῥίμφα δὲ σῆμ' ἔχεαν, περὶ δὲ σκοποὶ εἵατο πάντη,

τον λόγοις παραινέσας διεκώλυες καὶ κατεῖχες τῇ σῇ φιλοφροσύνῃ καὶ τοῖς σοῖς ἡμέροις καὶ προσηνέσι λόγοις. δι' ὃ σέ τε ἅμα κλαίω καὶ ἐμὲ τὴν δυστυχῆ, λυπουμένη κατὰ ψυχήν· οὐδεὶς γάρ μοι ἔτι ἄλλος ἐν τῇ εὐρυχώρῳ Τροίᾳ πρᾶος, οὐδὲ φίλος, πάντες δέ με μισοῦσι καὶ ἀπεχθῶς ὁρῶσιν. Οὕτως εἶπε κλαίουσα, ἐπεστέναζε δὲ ὁ πλεῖστος λαὸς, ἐν τῷ πλήθει δὲ Πρίαμος ὁ γέρων εἶπε λόγον· Ἀγάγετε νῦν, ὦ Τρῶες, ξύλα εἰς τὴν πόλιν, μηδέ τι ἐν τῇ ψυχῇ φοβηθῆτε λόχον πυκνὸν τῶν Ἑλλήνων· ὄντως γὰρ ὁ Ἀχιλλεὺς ἀποπέμπων μὲν δεῦρο ἀπὸ τῶν μελαίνων νεῶν ὑπισχνεῖτο μὴ πρότερον βλάψειν, πρὶν ἂν δωδεκάτη ἡμέρα ἀφίκηται· Οὕτως εἶπεν. οὗτοι δὲ ὑπὸ ταῖς ἁμάξαις τοὺς βόας καὶ τοὺς ἡμιόνους ἐζεύγνυσαν· ταχέως δὲ μετὰ ταῦτα πρὸ τῆς πόλεως συνηθροίσθησαν· ἐννέα μὲν οὖν ἡμέρας οὗτοι συνῆγον πολλὰ ξύλα, ἀλλ' ὁπηνίκα δὴ ἐφάνη ἡ δεκάτη ἡμέρα ἡ τὸ φῶς τοῖς ἀνθρώποις παρεχομένη, καὶ τότε δὴ ἐξήνεγκαν τὸν εὔτολμον Ἕκτορα δακρύοντες, ἐν τῷ ἐσχάτῳ (μέσῳ) δὲ τῆς πυρᾶς τὸν νεκρὸν κατέθηκαν, ἐνέβαλον δὲ πῦρ· ἡνίκα δὲ ἐφάνη ἡ τὸν ὄρθρον γεννῶσα ῥοδόχρους καὶ περικαλλὴς ἡμέρα, τηνικαῦτα δὴ περὶ τὴν πυρκαϊὰν τοῦ ἐνδόξου Ἕκτορος ἠθροίσθη ὁ λαός· ἐπεὶ δὲ συνήλθοσαν καὶ ἀθρόοι ἐγένοντο, πρῶτον μὲν τὴν πυρκαϊὰν κατέσβεσαν οἴνῳ θερμῷ πᾶσαν, ὅσον περιέσχεν ἡ δύναμις τοῦ πυρὸς, μετὰ ταῦτα δὲ τὰ λευκὰ ὀστᾶ συνέλεγον οἱ ἀδελφοὶ καὶ ἑταῖροι κλαίοντες, ἀκμαῖον δὲ δάκρυον κατεχεῖτο ἐκ τῶν παρειῶν (γνάθων). καὶ ταῦτα μὲν εἰς χρυσῆν θήκην ἔθηκαν λαβόντες, πέπλοις (ἱματίοις) πορφυροῖς μαλακοῖς περικαλύψαντες· ταχέως δὲ εἰς βαθὺ ὄρυγμα κατέθηκαν, ἄνωθεν δὲ λίθοις πυκνοῖς κατέστρωσαν εὐμεγέθεσιν, εὐθέως δὲ μνῆμα ἔχεαν,

Μὴ πρὶν ἐφορμηθεῖεν ἐϋκνήμιδες Ἀχαιοί.
Χεύαντες δὲ τὸ σῆμα, πάλιν κίον· αὐτὰρ ἔπειτα
Εὖ τ᾽ ἀναγειρόμενοι, δαίνυντ᾽ ἐρικυδέα δαῖτα,
Δώμασιν ἐν Πριάμοιο διοτρεφέος βασιλῆος.
Ὣς οἵγ᾽ ἀμφίεπον τάφον Ἕκτορος ἱπποδάμοιο.

πανταχοῖ δὲ κατάσκοποι περικαθῆντο ἵνα μὴ πρότερον ἐφορμήσειαν οἱ εὔοπλοι Ἕλληνες· χέαντες δὲ τὸ μνῆμα εἰς τοὐπίσω ἐπορεύθησαν· μετὰ ταῦτα δὲ καλῶς συναθροισθέντες εὐωχοῦντο πολυτελῆ καὶ περίδοξον εὐωχίαν ἐν τοῖς οἴκοις τοῦ Πριάμου, τοῦ ἐνδοξότατα τεθραμμένου βασιλέως. Οὕτως οὗτοι περιεῖπον, καὶ διενήργουν τὸ ἐπιτάφιον δεῖπνον τοῦ ἱππικοῦ καὶ πολεμικοῦ Ἕκτορος.

ΟΜΗΡΟΥ

ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ

Ἀρχόμενος πρώτως, Μουσῶν χορὸν ἐξ Ἑλικῶνος
Ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι, εἵνεκ' ἀοιδῆς·
Ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα,
Δῆριν ἀπειρεσίην, πολεμόκλονον ἔργον Ἄρηος,
Εὐχόμενος μερόπεσσιν ἐς οὔατα πᾶσι βαλέσθαι·
Πῶς μύες ἐν βατράχοισιν ἀριστεύσαντες ἔβησαν,
Γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα γιγάντων,
Ὡς λόγος ἐν θνητοῖσιν ἔην· Τοίην δ' ἔχον ἀρχήν.
Μῦς ποτε διψαλέος, γαλέης κίνδυνον ἀλύξας,
Πλησίον ἐν λίμνῃ πίνων παρέθηκε γένειον,
Ὕδατι τερπόμενος μελιηδέϊ, τὸν δὲ κατεῖδε
Λιμνόχαρις πολύφημος, ἔπος δ' ἐφθέγξατο τοῖον·
Ξεῖνε, τίς εἶ; πόθεν ἦλθες ἐπ' ἠϊόνα; τίς δὲ σ' ὁ φύσας;
Πάντα δ' ἀλήθευσον, μὴ ψευδόμενόν σε νοήσω.

ΤΗΣ ΟΜΗΡΟΥ

ΒΑΤΡΑΧΟΜΥΟΜΑΧΙΑ

ΠΑΡΑΦΡΑΣΙΣ.

Ἀρχὴν τήνδε ποιούμενος, προηγουμένως τὸν τῶν Μουσῶν σύλλογον ἐκ τοῦ Ἑλικῶνος ἀφικέσθαι εἰς τὴν ἐμὴν ψυχὴν εὔχομαι, χάριν ᾠδῆς καὶ ἐμμελείας ποιητικῆς· ἣν νωστὶ ἐν πινακιδίοις καὶ χάρταις ἐπὶ τοῖς ἐμοῖς γόνασιν ἔθηκα, μάχην ἄπειρον, καὶ πλείστην, ἔργον πολυτάραχον πολέμου, δεόμενος εἰς τὰ ὦτα πάντων ἀνθρωπῶν ἐμβαλλεῖν κατὰ τίνα τρόπον οἱ μῦες κατὰ βατράχων ἀνδραγαθήσαντες ἀπήλλαξαν, τὰς τῶν ἐκ Γῆς γεννηθέντων ἀνδρῶν Γιγάντων πράξεις μιμούμενοι, ὥσπερ ἐν τοῖς ἀνθρώποις λόγος ἐστί. Τοιαύτην ἀρχὴν εἶχεν ἡ μάχη. Μῦς ποτὲ ὑπερδηψῶν γαλῆς κίνδυνον διαφυγὼν, καὶ διασωθεὶς, πλησίον ἐν λίμνῃ πίνων ἐνέβαλε τὴν σιαγόνα, ὕδατι εὐφραινόμενος ἡδεῖ καὶ χαρίεντι· τοῦτον δὲ ἐθεάσατο ὁ κατὰ λίμνην χαίρων πολύφημος, λόγον δ' εἶπε τοιοῦτον. Ὦ φίλε, τίς εἶ; πόθεν ἐλήλυθας ἐπὶ τὸν αἰγιαλὸν; τίς δ' ἐστὶν ὁ γεννήσας σε; πάντα δὲ ἀληθῶς εἰπὲ, καὶ ὅπως μὴ ψεύδεα λέγοντά σε ἐννοήσω. εἰ γάρ σε κατανοήσω φιλίας ἄξιον,

Ἐι γάρ σε γνόιην φίλον ἄξιον, ἐς δόμον ἄξω,
Δῶρα δέ τοι δώσω ξεινήϊα πολλὰ, καὶ ἐσθλά.
Ἐιμὶ δ' ἐγὼ βασιλεὺς Φυσίγναθος, ὃς κατὰ λίμνην
Τιμῶμ' ἐν βατράχοις, ἡγούμενος ἤματα πάντα.
Καί με πατὴρ Πηλεὺς ἀνεθρέψατο, Ὑδρομεδούσῃ
Μιχθεὶς ἐν φιλότητι παρ' ὄχθας Ἠριδανοῖο.
Καί σε δ' ὁρῶ καλόν τε καὶ ἄλκιμον, ἔξοχον ἄλλων
Σκηπτοῦχον βασιλῆα, καὶ ἐν πολέμοισι μαχητὴν
Ἔμμεναι· ἀλλ' ἄγε θᾶσσον ἑὴν γενεὴν ἀγόρευε.
Τὸν δ' αὖ Ψιχάρπαξ ἠμείβετο, φώνησέν τε·
Τίπτε γένος τοὐμὸν ζητεῖς, φίλε; δῆλον ἅπασιν
Ἀνθρώποις τε, θεοῖς τε, καὶ οὐρανίοις πετεηνοῖς·
Ψιχάρπαξ μὲν ἐγὼ κικλήσκομαι, ἐιμὶ δὲ κοῦρος
Τρωξάρταο πατρὸς μεγαλήτορος· ἡ δέ νυ μήτηρ
Λειχομύλη, θυγάτηρ Πτερνοτρώκτου βασιλῆος.
Γείνατο δ' ἐν καλύβῃ με, καὶ ἐξεθρέψατο βρωτοῖς
Σύκοις, και καρύοις, καὶ ἐδέσμασι παντοδαποῖσι.
Πῶς δὲ φίλον ποιῇ με, τὸν εἰς φύσιν ὀυδὲν ὅμοιον;
Σοὶ μὲν γὰρ βίος ἐστὶν ἐν ὕδασιν, ἀυτὰρ ἔμοι γε
Ὅσσα παρ' ἀνθρώποις τρώγειν ἔθος· ὀυδέ με λήθει
Ἄρτος τρισκοπάνιστος ἀπ' ἐυκύκλου κανέοιο,
Ὄυτε πλακοῦς τανύπεπλος ἔχων πολὺ σησαμότυρον,
Ὀυ τόμος ἐκ πτέρνης, ὀυχ' ἤπατα λευκοχίτωνα,
Ὀυδὲ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος,
Ὀυ χρηστὸν μελίτωμα, τὸ καὶ Μάκαρες ποθέουσιν,
Ὀυδ' ὅσα πρὸς θοίνην μερόπων τεύχουσι μάγειροι,
Κοσμοῦντες χύτρας ἀρτύμασι παντοδαποῖσιν.
Ὀυ τρώγω ῥαφάνας, ὀυ κράμβας, ὀυ κολοκύντας,

εἰς τὸν οἶκόν σε ἄξω, χάριτας δέ σοι δωρήσομαι ξενίας καὶ φιλίας, πολλάς τε καὶ ἀγαθάς. Εἰμὶ δὲ ἐγὼ Φυσίγναθος ὁ βασιλεὺς, ὃς κατὰ τήνδε τὴν λίμνην τιμῶν ἀξιοῦμαι, ἐν τοῖς βατράχοις ἡγεμονεύων πάσας τὰς ἡμέρας· καί με Πηλεὺς πατὴρ ἀνέθρεψεν, Ὑδρομεδούσῃ μιγεὶς, καὶ συνδυασθεὶς ἐν ἐπιθυμίᾳ, παρὰ ταῖς ὄχθαις τοῦ Ἠριδανοῦ ποταμοῦ. καὶ δὴ καί σε βλέπω εὐειδῆ τε, καὶ ἰσχυρὸν διαφερόντως τῶν ἄλλων, σκηπτοφόρον βασιλέα, καὶ ἐν τοῖς πολέμοις πολεμιστὴν εἶναι· ἀλλά γε τάχιον λέγε τὴν σαυτοῦ γενεάν. Πρὸς τοῦτον δὲ ὁ Ψιχάρπαξ ἀπεκρίνετο, καὶ εἶπε· Τί δήποτε τὸν ἐμὸν γένος ἐξαιτάζεις, ὦ φίλε; φανερόν ἐστιν ἅπασι τοῖς τε ἀνθρώποις, καὶ τοῖς Θεοῖς, καὶ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ· Ψιχάρπαξ μὲν ἐγὼ ὀνομάζομαι, εἰμὶ δὲ υἱὸς Τρωξάρτου πατρὸς μεγαλοψύχου, καὶ γενναίου, ἡ δέ γε μήτηρ ἐστὶ Λειχομύλη, ἡ θυγάτηρ τοῦ βασιλέως Πτερνοτρώκτου· ἔτεκε δέ με ἐν καλύβῃ, καὶ ἔθρεψέ με ἐν τοῖς μάλιστα βρωσίμοις σύκοις τε, καρύοις τε, καὶ ὄψοις παντοίοις. τίνα δὲ τρόπον ποιεῖς φίλον ἐμὲ, τὸν κατὰ φύσιν μὴ ὄντα σοι ὅμοιον; σοὶ μὲν γὰρ ὁ βίος ἐστὶν ἐν τῷ ὕδατι, ἐμοὶ δὲ ἔθος ἐσθίειν ὅσα παρὰ τοῖς ἀνθρώποις τυγχάνει, οὐ γάρ με λανθάνει ἄρτος πολυκοπάνιστος ἀπὸ κυκλοτεροῦς πινακίου, οὔτε πέμμα εὐρύπλαστον ἔχον πολλὴν σισαμίδα, καὶ τυρὸν τετριμμένον, οὐ τμήματα ἐκ κοπιδίου, οὐχ ἥπατα, λίπος λευκὸν, οἷον χιτῶνα, περιβεβλημένα, οὐ τυρὸς νεωστὶ πεπηγμένος ἀπὸ γλυκέως γάλακτος, οὐ μελίτωμα ἀγαθὸν, ὃ δὴ καὶ αὐτοὶ οἱ θεοὶ ποθοῦσιν, οὐδὲ ὅσα πρὸς εὐωχίαν ἀνθρώπων κατασκευάζουσιν οἱ μάγειροι σκευάζοντες, καὶ ἀρτύοντες τὰς χύτρας ἡδύσμασι παντοίοις. οὐκ ἐσθίω μὲν ῥαφανίδας, οὐ κράμβας, οὐ κολοκύνθας, οὐδ᾽ ἐν πράσοις χλωροῖς βόσκομαι, οὐδ᾽ ἐν σελίνοις· ταῦτα γὰρ ὑμέτε-

Ὀυδὲ πράσοις χλωροῖς ἐπιβόσκομαι, ὀυδὲ σελίνοις·
ταῦτα γὰρ ὑμέτερ' ἐστὶν ἐδέσματα τῶν κατὰ λίμνην.
Ὀυδέποτ' ἐκ πολέμοιο κακὴν ἀπέφυγον ἀϋτὴν,
Ἀλλ' εὐθὺς μετὰ μῶλον ἰὼν προμάχοισιν ἐμίχθην.
Ἄνθρωπον ὀυ δέδια, καίπερ μέγα σῶμα φοροῦντα,
Ἀλλ' ἐπὶ λέκτρον ἰὼν, ἄκρον δάκτυλον καταδάκνω,
Καὶ πτέρνης λαβόμην, καὶ ὀυ πόνος ἵκανεν ἄνδρα·
Νήδυμος ὀυκ ἀπέφυγεν ὕπνος, δάκνοντος ἐμεῖο.
Ἀλλὰ δύω μάλα πάντα τὰ δείδια πᾶσαν ἐπ' αἶαν,
Κίρκον καὶ Γαλέην, οἵ μοι μέγα πένθος ἄγουσι,
Καὶ Παγίδα στονόεσσαν, ὅπου δολοέις πέλε πότμος.
Πλεῖστον δὴ γαλέην περιδείδια ἥτις ἀρίστη,
Ἣ καὶ τρωγλοδύνοντα κατὰ τρώγλην ἐρεείνει.
Πρὸς τάδε μειδήσας Φυσίγναθος ἀντίον ηὔδα·
Ξεῖνε, λίαν αὐχεῖς ἐπὶ γαστέρι· ἔστι καὶ ἡμῖν
Πολλὰ μάλ' ἐν λίμνῃ, καὶ ἐπὶ χθονὶ θαύματ' ἰδέσθαι.
Ἀμφίβιον γὰρ ἔδωκε νομὴν βατράχοισι Κρονίων,
Σκιρτῆσαι κατὰ γαῖαν, καὶ ἐν ὕδασι σῶμα καλύψαι,
Στοιχείοις διττοῖς μεμερισμένα δώματα ναίειν.
Εἰ δὲ θέλεις καὶ ταῦτα δαήμεναι, εὐχερές ἐστί.
Βαῖνέ μοι ἐν νώτοισι· κράτει δέ με, μή ποτ' ὄληαι,
Ὅππως γηθόσυνος τὸν ἐμὸν δόμον εἰσαφίκηαι.
Ὣς ἄρ ἔφη, καὶ νῶτ' ἐδίδου, ὁ δ' ἔβαινε τάχιστα
Χεῖρας ἔχων τρυφεροῖο κατ' αὐχένος ἅλματι κούφῳ.
Καὶ πρῶτον μὲν ἔχαιρεν, ὅτ' ἔβλεπε γείτονας ὅρμους,
Νήξει τερπόμενος Φυσιγνάθου· ἀλλ' ὅτε δή ῥα
Κύμασι πορφυρέοισιν ἐκλύζετο, πολλὰ δακρύων
Ἄχρηστον μετάνοιαν ἐμέμφετο, τίλλε δὲ χαίτας,

ρα ὄψα ἐστὶ τῶν κατὰ λίμνην ἀναστρεφομένων. οὐδὲ πώποτε δειλιάσας ἀπέφυγον τὴν κακὴν βοὴν τοῦ πολέμου, ἀλλὰ παραχρῆμα ἐπὶ τὴν συμπλοκὴν ἀφικόμενος τοῖς πρωταγωνισταῖς συνέμιξα. ἄνθρωπον οὐ φοβοῦμαι, καὶ ταῦτα σῶμα μέγα ἔχοντα, ἀλλ' ἐπὶ τὴν κλίνην ἐρχόμενος τὸ ἄκρον τοῦ δακτύλου αὐτοῦ δάκνω, καὶ τῆς τοῦ ποδὸς πτέρνης ἐλαβόμην τῷ στόματι, καὶ ὀδύνη οὐ κατέλαβε τὸν ἄνδρα, οὐδ' ὁ ἡδὺς καὶ δυσαπάλλακτος ὕπνος ἀπέστη, δάκνοντος ἐμοῦ. ἀλλὰ δύο πάντα ταῦτα φοβοῦμαι κατὰ πᾶσαν τὴν γῆν, ἱέρακα καὶ γαλῆν, οἵ μοι μεγάλην συμφορὰν ἐπιφέρουσιν, καὶ παγίδα, τῶν πολλῶν στεναγμῶν αἰτίαν, ἔνθα ὁ ἀπατεὼν καὶ ἐπίκρυπτος θάνατός ἐστι. μάλιστα δὲ τὴν γαλῆν δέδοικα, ἥ τις βελτίστη ἐστὶν, ἣ δή με καὶ εἰς τὴν μυωξίαν εἰσερχόμενον, κατ' αὐτὴν ἔτι τὴν μυωξίαν, ἐπιζητεῖ λαβεῖν. Πρὸς ταῦτα δὲ ἐπιγελάσας ὁ Φυσίγναθος ἐναντίον ἔλεγεν· Ὦ φίλε, σφόδρα μεγαλοφρονεῖς ἐπὶ τῇ γαστρὶ, ἔστι δ' ἄρα καὶ ἡμῖν πολλὰ καὶ ἐν λίμνῃ, καὶ ἐπὶ γῆς θαυμαστὰ ἰδεῖν· διττὴν γὰρ δίαιταν ἔδωκε τοῖς βατράχοις ὁ τοῦ Κρόνου υἱὸς, καὶ διττὸν βίον, χορεῦσαι καὶ τέρπεσθαι κατὰ γῆν, καὶ ἐν τῷ ὕδατι τὸ σῶμα καλύψαι, στοιχείοιν δυοῖν κεχωρισμένα οἰκήματα κατοικεῖν. Εἰ δὲ βούλει καὶ ταῦτα καταμαθεῖν, ῥάδιον καὶ εὐπετές ἐστιν. Ἀνάβηθι ἐπὶ τὰ ἐμὰ νῶτα, ἔχου δέ μου, μήποτε καταπεσὼν ἀπόλλῃ. ἵνα χαίρων, καὶ ἀγαλλόμενος εἰς τὸν ἐμὸν οἶκον ἀφίκῃ. Οὕτω δὴ εἶπεν, καὶ τὰ νῶτα παρεῖχεν· οὗτος δὲ ἀνέβαινεν ὅτι τάχος πηδήματι ἐλαφρῷ καὶ εὐορμήτῳ ἴσχυν τὰς χεῖρας ἐπὶ τῷ τρυφερῷ καὶ ἁπαλῷ αὐχένι. καὶ τὸ μὲν πρῶτον ἥδετο καὶ εὔφραινε, ἡνίκα ἑώρα πλησίον τὰ πρόσγεια τῆς λίμνης, χαίρων καὶ ἀγαλλόμενος τῇ νήξει, καὶ πορείᾳ τοῦ Φυσιγνάθου. ἀλλ' ἡνίκα δὴ κύμασι πορφυροῖς καὶ μέλασι κατεβρέχετο, σφόδρα κλαίων, ἀνόνητα μετανοῶν ᾐτιᾶτο, καὶ κατεγίνωσκεν ἑαυτοῦ, ἀνέσπα δὲ τὰς τρί-

Καὶ πόδας ἔσφιγγεν κατὰ γαστέρος, ἐν δέ οἱ ἦτορ
Πάλλετ' ἀηθείῃ, καὶ ἐπὶ χθόνα βούλεθ' ἱκέσθαι.
Δεινὰ δ' ὑπεστονάχιζε, φόβου κρυόεντος ἀνάγκῃ.
Οὐρὴν μὲν πρώτιστον ἐν ὕδασιν, ἠύτε κώπην
Σύρων, εὐχόμενός τε θεοῖς ἐπὶ γαῖαν ἱκέσθαι,
Κύμασι πορφυρέοισιν ἐκλύζετο, πολλὰ δακρύων·
Καὶ τοῖον φάτο μῦθον, ἀπὸ στόματος δ' ἀγόρευεν·
Οὐχ' οὕτω νώτοισιν ἐβάσταξε φόρτον ἔρωτος
Ταῦρος, ὅτ' Εὐρώπην διὰ κύματος ἦγ' ἐπὶ Κρήτην,
Ὡς νῦν ἁπλώσας ἐπὶ νώτιον ἦγεν ἐς οἶκον
Βάτραχος, ὑψώσας ὠχρὸν δέμας ὕδατι λυκῷ.
Ὕδρος δ' ἐξαίφνης ἀνεφαίνετο, δεινὸν ὅραμα
Ἀμφοτέροις· ὀρθὸν δ' ὑπὲρ ὕδατος εἶχε τράχηλον.
Τοῦτον ἰδὼν κατέδυ Φυσίγναθος, οὔτι νοήσας
Οἷον ἑταῖρον ἔμελλεν ἀπολλύμενον καταλείπειν,
Δῦ δὲ βάθος λίμνης, καὶ ἀλεύατο κῆρα μέλαιναν.
Κεῖνος δ' ὡς ἀφέθη, πέσεν ὕπτιος εὐθὺς ἐς ὕδωρ,
Χεῖρας δ' ἔσφιγγεν, καὶ ἀπολλύμενος κατέτριζε.
Πολλάκι μὲν κατέδυνεν ἐφ' ὕδατι, πολλάκι δ' αὖτε
Λακτίζων ἀνέδυνε, μόρον δ' οὐκ ἦν ὑπαλύξαι.
Δευόμεναι δὲ τρίχες πλεῖστον βάρος ἦεν ἐπ' αὐτῷ.
Ὕδατι δ' ὀλλύμενος, τοίους ἐφθέγξατο μύθους·
Οὐ λήσεις γε Θεοὺς Φυσίγναθε, ταῦτα ποιήσας,
Ἐς λίμνην μὲ ῥίψας ἀπὸ σώματος, ὡς ἀπὸ πέτρης.
Οὐ γάρ μου κατὰ γαῖαν ἀμείνων ἦσθα, κάκιστε,
Παγκρατίῳ τε, πάλῃ τε, καὶ εἰς δρόμον, ἀλλ' ἀπατή-
Εἰς ὕδωρ μ' ἔρριψας· ἔχει Θεὸς ἔκδικον ὄμμα. (σας
Ποινὴν, ἀντέκτισιν τ' ὀρθὴν ὅς κ' ἀποδώσει·

χας, καὶ τοὺς πόδας συνεῖχε, καὶ ἔσφιγγεν ὑπὸ τὴν γαστέρα, ἔνδον δε ἡ ψυχὴ αὐτοῦ ἐκινεῖτο ἀήθως, καὶ πρὸς τὴν γῆν ἤθελεν ἀφικέσθαι· χαλεπῶς δὲ ἀνεστέναζεν ὑπὸ τῆς ἀνάγκης τοῦ ψυχροῦ δέους. Οὐρὰν μὲν τὰ πρῶτα ἐν τῷ ὕδατι κάθαπερ κώπην ἐπισύρων, καὶ εὐχόμενος τοῖς θεοῖς πρὸς τὴν γῆν ἀφικέσθαι, κύμασι πορφυροῖς καὶ μέλασιν κατέβρεχε σφόδρα κλαίων, καὶ λόγον εἶπε τοιοῦτον, ἀπὸ ςόματος δὲ ἐλάλει· Οὐχ οὕτως ἐπὶ τῶν νώτων ἐβάστασε φορτίον ἔρωτος ὁ Ταῦρος, ἡνίκα τὴν Εὐρώπην ἦγε διὰ θαλάσσης ἐπὶ τὴν Κρήτην, ὥσπερ νῦν ἀνελόμενος καὶ ἐφαπλώσας ἐπὶ τῶν νότων ἐμὲ ἄγει εἰς τὸν οἶκον ὁ βάτραχος, ἄρας καὶ ἐπικουφίσας τὸ χλωρὸν αὐτοῦ σῶμα ἐπὶ τῷ λευκῷ ὕδατι. Ὕδρος δὲ αἰφνιδίως ἀνεφάνη, θέαμα φοβερὸν ἑκατέρῳ, ὀρθὸν δὲ τὸν τράχηλον εἶχεν ὑπεράνω τοῦ ὕδατος· τοῦτον θεασάμενος ὁ Φυσίγναθος κατεβαπτίσθη, ὐκ ἔτι λογισάμενος ὁποῖον φίλον ἀπολούμενον ἔμελλε καταλείπειν, κατέβη δὲ εἰς τὸ βάθος τῆς λίμνης, καὶ ἐξέφυγε τὴν θανατηφόρον ἀνιαρὰν μοῖραν. Ἐκεῖνος δὲ ἐπειδὴ κατελείφθη ἔπεσε παραχρῆμα ὕπτιος εἰς τὸ ὕδωρ, ἔσφιγγε δὲ καὶ συνεῖχε τὰς χεῖρας, καὶ ἀπολούμενος διεγόγγυζε. καὶ πολλάκις μὲν κατεβαπτίζετο εἰς τὸ ὕδωρ, πολλάκις δὲ πλήττων τοῖς ποσὶν ἀνεφέρετο, τὸν θάνατον δὲ οὐκ ἦν δυνατὸν ἐκφυγεῖν. βρεχόμεναι δὲ αἱ τρίχες μέγιστον βάρος ἦσαν ἐπ᾽ αὐτῷ· ὕδατι δὲ ἀπολούμενος τοιούτους λόγους ἐφθέγξατο· Οὐ λήσεις τοὺς θεοὺς, ὦ Φυσίγναθε, ταῦτα πεποιηκὼς, εἰς τὴν λίμνην με ἀποῤῥίψας ἄνωθεν ἀπὸ τοῦ σώματός σου, ὥσπερ ἀπό τινος πέτρας ὑψηλῆς· οὐκ ἄν μου κατὰ γῆν κρείσσων ἐτύγχανες, ὦ πονηρότατε, παγκρατίῳ τε, καὶ πάλῃ, καὶ εἰς δρόμον, ἀλλ᾽ ἀπατήσας καὶ ψευσάμενος ἔῤῥιψάς με εἰς τὸ ὕδωρ· ἔχει ὁ θεὸς τιμωρητικὸν ὀφθαλμόν, καὶ κόλασιν καὶ ἀνταπόδοσιν δικαίαν, ὃς δὴ ἀποδώσει σοι,

Τοῖς τίσουσί σε μυῶν στρατὸς οὐδ' ὑπαλύξεις.
Ὣς εἰπὼν, ἀπέπνευσεν ἐν ὕδασι· τὸν δὲ κατεῖδε
Λειχοπίναξ ὄχθῃσιν ἐφεζόμενος μαλακῇσι·
Δεινὸν δ' ἐξολόλυξε, δραμὼν δ' ἤγγειλε μύεσσιν.
Ὡς δ' ἔμαθον τὴν μοῖραν, ἔδυ χόλος αἰνὸς ἅπαντας,
Καὶ τότε κηρύκεσσιν ἑοῖς ἐκέλευσαν ὑπ' ὄρθον
Κηρύσσειν ἀγορήνδ' ἐς δώματα Τρωξάρταο,
Πατρὸς δυστήνου Ψιχάρπαγος, ὃς κατὰ λίμνην
Ὕπτιος ἐξήπλωτο νεκρὸν δέμας, οὐδὲ παρ' ὄχθας
Ἦν ἤδη τλήμων, μέσσῳ δ' ἐπενήχετο πόντῳ.
Ὡς δ' ἦλθον σπεύδοντες ἅμ' ἠοῖ, πρῶτος ἀνέστη
Τρωξάρτης ἐπὶ παιδὶ χολούμενος, εἶπέ τε μῦθον.
Ὦ φίλοι, εἰ καὶ μοῦνος ἐγὼ κακὰ πολλὰ πέπονθα
Ἐκ βατράχων, ἀλλ' ἡ πεῖρα πάντεσσι τέτυκται.
Εἰμὶ δὲ νῦν ἐλεεινὸς, ἐπεὶ τρεῖς παῖδας ὄλεσσα·
Καὶ τὸν πρῶτον μὲν ῥα κατέκτανεν ἁρπάξασα
Ἐχθίστη γαλέη, τρώγλης ἔκτοσθε λαβοῦσα
Τὸν δ' ἄλλον πάλιν ἄνδρες ἀπηνέες εἰς μόρον ἦξαν,
Καινοτέραις τέχναις, ξύλινον δόλον ἐξευρόντες,
Ἣν Παγίδα καλέουσι, μυῶν ὀλέτειραν ἐοῦσαν·
Ὁ τρίτος δ' ἦν ἀγαπητὸς ἐμοὶ καὶ μητέρι κεδνῇ,
Τοῦτον ἀπέπνιξεν βάτραχος κακὸς ἐς βυθὸν ἄξας.
Ἀλλ' ἄγεθ' ὁπλισώμεσθα, καὶ ἐξέλθωμεν ἐπ' αὐτοὺς,
Σώματα κοσμήσαντες ἐν ἔντεσι δαιδαλέοισι.
Ταῦτ' εἰπὼν, ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.
Κνημῖδας μὲν πρῶτα περὶ κνημῇσιν ἔθηκαν,
Ῥήξαντες κυάμους χλωροὺς εὖ δ' ἀσκήσαντες,
Οὓς αὐτοὶ διὰ νυκτὸς ἐπιστάντες κατέτρωξαν.

διὰ ταῦτα τιμωρήσονταί σε ὁ τῶν μυῶν στρατὸς, οὐδὲ διαδράσεις. Οὕτως εἰπὼν ἐξέπνευσεν ἐν τῷ ὕδατι· ἐθεάσατο δὲ αὐτὸν Λειχοπίναξ ἐπὶ ταῖς μαλακαῖς ὄχθαις καθήμενος· θρηνῶν δὲ τραιῶς ἀνεβόησε, καὶ δραμὼν ἀπήγγειλε τὸ γεγονὸς τοῖς μυσίν· Ἐπεὶ δὲ ἤκουσαν τὸν θάνατον, ὀργὴ χαλεπὴ ἐξῆψεν ἅπαντας, καὶ τηνικαῦτα τοῖς ἑαυτῶν κήρυξιν ἐκέλευσαν ἕωθεν μάλα κηρύττειν, καὶ συγκαλεῖν ἀγορὰν εἰς τὰ οἰκήματα τοῦ Τρωξάρτου, υἱοῦ πατρὸς τοῦ ἀθλίου Ψυχάρπαγος, ὃς ἐν τῇ λίμνῃ ἐξήπλωτο ὕπτιος σῶμα νεκρὸν, οὐδὲ παρὰ τὰς ὄχθας ἔκειτο ἤδη ὁ ταλαίπωρος, ἀλλ᾽ ἐν τῷ μέσῳ τῆς λίμνης ἐφέρετο. Ἐπεὶ δὲ παρεγένοντο ἐπειγόμενοι ἅμα τῷ πρωῒ, ἀνέστη πρῶτος Τρωξάρτης ἕνεκα τοῦ παιδὸς ὀργιζόμενος, καὶ εἶπε λόγον. Ὦ φίλοι, εἰ καὶ μόνος ἐγὼ πολλὰ δεινὰ ἔπαθον ὑπὸ τῶν βατράχων, ἀλλ᾽ ἤγε προσβολὴ καὶ ἐπιχείρησις κατὰ πάντας ἐγεγόνει· εἰμὶ δὲ νῦν ἄθλιος καὶ οἰκτρὸς, ἐπειδὴ τρεῖς υἱοὺς ἀπώλεσα, καὶ τὸν μὲν πρῶτον ἀπέκτανεν ἁρπάσασα ἡ μισητοτάτη γαλῆ, ἔξω τῆς μυωξίας καταλαβοῦσα αὐτὸν, τὸν ἄλλον δὲ πάλιν ἄνδρες, ὠμοί τε, καὶ ἀγνώμονες εἰς θάνατον εἵλκυσαν νεωτέραις τέχναις καὶ ἐπιβουλαῖς, ξύλινόν τινα δόλον καὶ μηχάνημα ἐξευρόντες, ἣν Παγίδα ὀνομάζουσι, μυῶν θανατηφόρον οὖσαν. ὁ τρίτος δὲ ἦν ἀγαπητὸς ἐμοὶ, καὶ τῇ ἀγαθῇ μητρὶ, τοῦτον ἀπέπνιξεν ὁ βάτραχος κακὸς, εἰς τὸ βάθος τῆς λίμνης ἀπαγαγών. ἀλλ᾽ ἄγετε καθοπλίζεσθε καὶ ἴωμεν κατ᾽ αὐτῶν, τὰ σώματα περιστείλαντες ὅπλοις ποικίλοις. Ταῦτα εἰπὼν, κατέπεισεν ἅπαντας ἐνόπλους γενέσθαι. Κνημῖδας μὲν οὖν πρῶτον περὶ τὰς κνήμας ἔθηκαν, σχίσαντες χλωροὺς κυάμους, καὶ καλλῶς κατασκευάσαντες, οὓς αὐτοὶ νύκτωρ ἐπελθόντες κατέφαγον·

Ἀσπὶς δ᾽ ἦν λύχνου τὸ μεσόμφαλον· ἡ δέ νυ λόγχη,
Ἐυμήκεις βελόναι, παγχάλκεον ἔργον Ἄρηος·
Ἡ δὲ κόρυς, τὸ λέπυρον ἐπὶ κροτάφοισι καρύου.
Θώρηκας δ᾽ εἶχον καλαμοστεφέων ἀπὸ βύρσων,
Οὓς, γαλέην δείραντες, ἐπισταμένως ἐποίησαν.
Οὕτω μὲν μύες ἦσαν ἔνοπλοι· ὡς δ᾽ ἐνόησαν
Βάτραχοι, ἐξανέδυσαν ἀφ᾽ ὕδατος, εἰς δ᾽ ἕνα χῶρον
Ἐλθόντες, βουλὴν ξύναγον πολέμοιο κακοῖο.
Σκεπτομένων δ᾽ αὐτῶν πόθεν ἡ στάσις, ἢ τίς ὁ θρῦλλος,
Κῆρυξ ἐγγύθεν ἦλθε, φέρων ῥάβδον μετὰ χερσὶ,
Τυρογλύφου υἱὸς μεγαλήτορος Ἐμβασίχυτρος,
Ἀγγέλλων πολέμοιο κακὴν φάτιν· εἶπέ τε μῦθον.
Βάτραχοι, μύες ὔμμιν ἀπειλήσαντες ἔπεμψαν
Εἰπεῖν, ὁπλίζεσθαι ἐπὶ πόλεμόν τε μάχην τε.
Εἶδον γὰρ καθ᾽ ὕδωρ Ψιχάρπαγα ὃν κατέπεφνεν
Ὑμέτερος βασιλεὺς Φυσίγναθος. ἀλλὰ μάχεσθε,
Οἵτινες ἐν βατράχοισιν ἀριστῆες γεγάατε.
Ὣς εἰπὼν ἀπέφηνε· λόγος δ᾽ εἰς οὔατα πάντων
Εἰσελθὼν, ἐτάραξε φρένας βατράχων ἀγερώχων.
Μεμφομένων δ᾽ αὐτῶν Φυσίγναθος εἶπεν ἀναστάς·
Ὦ φίλοι, οὐκ ἔκτεινον ἐγὼ μῦν, οὐδὲ κατεῖδον
Ὀλλύμενον, πάντως ἐπνίγη παίζων παρὰ λίμνην,
Νήξεις τὰς βατράχων μιμούμενος· οἱ δὲ κάκιστοι
Νῦν ἐμὲ μέμφονται τὸν ἀναίτιον. Ἀλλ᾽ ἄγε βουλὴν
Ζητήσωμεν, ὅπως δολίους μύας ἐξολέσωμεν.
Τοιγὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα·
Σώματα κοσμήσαντες ἔνοπλοι στῶμεν ἅπαντες
Ἄκροις παρὰ χείλεσσιν, ὅπου κατάκρημνος ὁ χῶρος,

ἀσπὶς δὲ ἦν ὁ τοῦ λύχνου μέσος ὀμφαλὸς τὰ δόρατα δὲ ἦσαν βελόναι μακραὶ, στερεώτατον ἔργον σιδήρου· τὸ κράνος δὲ ἦν ἐπὶ τοῖς κροτάφοις καρύου φλοιὸς, θώρακας δὲ εἶχον ἀπὸ καλῶν καὶ τεθραμμένων δερμάτων, οὓς γαλῆν ἐκδείραντες εὐτέχνως καὶ συνετῶς κατασκεύασαν· οὕτω μὲν μῦες καθωπλισμένοι ἐτύγχανον. ἐπεὶ δὲ ἔμαθον ταῦτα οἱ βάτραχοι ἀνέβησαν ἐκ τοῦ ὕδατος, εἰς ἕνα δὲ τόπον συνελθόντες, συνῆγον βουλὴν πολέμου κακοῦ καὶ δεινοῦ· σκοπουμένων δὲ αὐτῶν πόθεν ὁ πόλεμος, καὶ τίς ἡ φήμη, κῆρυξ ἐγγὺς ἀφίκετο, ἔχων ἐν ταῖς χερσὶ ῥάβδον, Ἐμβασίχυτρος ὁ υἱὸς τοῦ μεγαλοψύχου καὶ γενναίου Τυρογλύφου μηνύων πολέμου καὶ μάχης κακὴν ἀγγελίαν, καὶ εἶπε λόγον. Ὦ βάτραχοι, οἱ μῦες διαγγεῖλαι τὰ χείρω ἔπεμψάν με ὑμῖν φάναι καθοπλίζεσθαι ἐπὶ πόλεμον καὶ μάχην. ἐθεάσαντο γὰρ ἐν τῷ ὕδατι Ψιχάρπαγα ὅν τινα ἐφόνευσεν Φυσίγναθος ὁ ὑμέτερος βασιλεύς. ἀλλὰ πολεμεῖτε, ὅσοι ἐν τοῖς βατράχοις ἀριστεῖς καὶ ἀνδρεῖοι γεγόνατε. Οὕτως εἰπὼν τὸ πρᾶγμα ἐνεδείξατο. ὁ λόγος δ' εἰς τὰ ὦτα πάντων εἰσδὺς ἐκίνησε τὰς διανοίας τῶν ἀνδρείων καὶ ἀλαζόνων βατράχων. αἰτιωμένων δὲ καὶ κατηγορούντων αὐτῶν Φυσίγναθος ἀναστὰς ἔφη. Ὦ φίλοι, οὐκ ἀπέκτεινα ἐγὼ μῦν, οὐδὲ ἐθεασάμην αὐτὸν ἀπολλύμενον· ἐπνίγη δηλαδὴ παίζων παρὰ τὴν λίμνην, μιμούμενος τὰς νήξεις καὶ τὰς καθ' ὕδωρ πορείας τῶν βατράχων· οὗτοι δὲ οἱ πονηρότατοι νῦν αἰτιῶνται ἐμὲ τὸν ἀθῷον καὶ μηδενὸς ὄντα. ἀλλ' ἄγετε βουλὴν συζητήσωμεν εὑρεῖν, ὅπως τοὺς κακοτρόπους καὶ ἐπιβούλους μῦας ἀφανίσωμεν. Τοιγαροῦν ἐγὼ λέξω καθάπερ μοι φαίνεται μάλιστα ἔχειν. τὰ σώματα στολίσαντες καθωπλισμένοι στῶμεν ἅπαντες παρὰ τοῖς ἄκροις τῶν χειλέων τῆς λίμνης, ἔνθα ὁ τόπος κρημνώδης καὶ πρηνής ἐστιν. ὁπόταν

Ἡνίκα δ' ὁρμηθέντες ἐφ' ἡμέας ἐξέλθωσι,
Δραξάμενοι κορύθων, ὅστις σχεδὸν ἀντίον ἔλθοι,
Εἰς λίμνην αὐτοὺς σὺν ἔντεσιν εὐθὺ βάλωμεν.
Οὕτω γὰρ πνίξαντες ἐν ὕδασι τοὺς ἀκολύμβους,
Στήσομεν εὐθύμως τὸ μυοκτόνον ὧδε τρόπαιον.
Ὣς εἰπὼν συνέπεισε καθοπλίζεσθαι ἅπαντας.
Φύλλοις μὲν μαλάχων κνήμας ἑὰς ἀμφεκάλυψαν,
Θώρακας δ' εἶχον χλοερῶν πλατέων ἀπὸ σεύτλων,
Φύλλα δὲ τῶν κράμβων εἰς ἀσπίδας εὖ ἤσκησαν,
Ἔγχος δ' ὀξύσχοινος ἑκάστῳ μακρὸς ἀρήρει,
Καί ῥα κοχλιῶν λεπτῶν ἐκάλυπτε κάρηνα.
Φράξαμενοι δ' ἔστησαν ἐπ' ὄχθαις ὑψηλῇσι,
Σείοντες λόγχας· θυμοῦ δ' ἔπλητο ἕκαστος.
Ζεὺς δὲ θεοὺς καλέσας εἰς ὀυρανὸν ἀστερόεντα,
Καὶ πολέμου πληθὺν δείξας, κρατερούς τε μαχητὰς
Πολλοὺς καὶ μεγάλους, ἠγ' ἔγχεα μακρὰ φέροντας·
Ὡς βατράχων στρατὸς εὖτ' ἐγέμοντο γιγάντων·
Κενταύρων μεγαλαύχων μῦες δ' ἦσαν ὅμοιοι·
Οἷος κενταύρων στρατὸς ἔρχεται ἠδὲ γιγάντων·
Ἡδὺ γελῶν ἐρέεινε τίνες βατράχοισιν ἀρωγοὶ,
Ἢ μυσὶ τειρομένοις, καὶ Ἀθηναίην προσέειπεν.
Ὦ θύγατερ, μυσὶν ἆρα βοηθήσουσα πορεύσῃ;
Καὶ γάρ σου κατὰ νηὸν ἀεὶ σκιρτῶσιν ἅπαντες,
Κνίσσῃ τερπόμενοι, καὶ ἐδέσμασι παντοδαποῖσι.
Ὣς ἄρ ἔφη Κρονίδης. τὸν δὲ προσέειπεν ἀθήνη.
Ὦ πάτερ· οὐκ ἂν πώποτ' ἐγὼ μυσὶ τειρομένοισιν
Ἐλθοίμην ἐπαρωγὸς, ἐπεὶ κακὰ πολλά μ' ἔοργαν,
Στέμματα βλάπτοντες καὶ λύχνους εἵνεκ' ἐλαίου.

δὲ ἐφορμήσαντες ἐφ᾽ ἡμᾶς ἔλθωσιν, ἡμεῖς δραξάμενοι τῶν περικεφαλαιῶν καὶ ἁρπάσαντες, ὃς ἂν ἐγγὺς ἐναντίον παραγένοιτο, εἰς τὴν λίμνην αὐτοὺς αὐταῖς περικεφαλαίαις παραχρῆμα ἐμβάλωμεν. οὕτω γὰρ καταποντίσαντες καὶ πνίξαντες ἐν τῷ ὕδατι τοὺς ἰδιώτας καὶ ἀπείρους τοῦ νεῖν, στήσομεν περιχαρῶς οὕτω τὸ ἐπὶ τῷ φόνῳ τῶν μυῶν τρόπαιον. Οὕτως εἰπὼν κατέπεισεν ἅπαντας ἐν ὅπλοις γενέσθαι· φύλλοις μὲν οὖν μαλάχων τὰς κνήμας περιεκάλυψαν, θώρακας δὲ εἶχον ἀπὸ τεύτλων χλωρῶν καὶ πλατυτέρων· τὰ φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας καλῶς κατεσκεύσαν· δόρυ δὲ ἑκάστῳ ἐφήρμοστο σχοῖνος ὀξὺς καὶ μακρὸς, καὶ δὴ κέρα κοχλιῶν λεπτοτέρων περιεκάλυπτε τὰς κεφαλὰς αὐτῶν· καθοπλισθέντες δὲ ἔστησαν ἐπὶ ταῖς ὑψηλαῖς ὄχθαις, κινοῦντες τὰ δόρατα, ὀργῆς δὲ ἕκαστος ἐπληροῦτο. Ζεὺς δὲ συγκαλέσας τοὺς Θεοὺς εἰς τὸν τοὺς ἀστέρας ἔχοντα οὐρανὸν, καὶ δείξας τὸ πλῆθος τοῦ πολέμου καὶ τοὺς ἀνδρείους πολεμιστὰς πολυπληθεῖς ὄντας καὶ εὐμεγέθεις, καὶ δόρατα ἐπὶ μάχῃ ἔχοντας, ὅπως ὁ τῶν βατράχων στρατὸς καλῶς ἦν πλήρης γιγάντων· καὶ οἱ μύες ἐτύγχανον ὅμοιοι κενταύρων μεγαλοφόνων καὶ ἀλαζόνων· οἷον δὴ τὸ κενταύρων καὶ γιγάντων πορεύεται στράτευμα· ἡδέως γελῶν ἤρετο τίνες βατράχοις βοηθοὶ, ἢ τοῖς μυσὶ καταπονουμένοις εἰσὶ, καὶ πρὸς τὴν Ἀθηνᾶν εἶπεν. Ὦ θύγατερ ἦπου βοηθήσουσα μυσὶν ἀπέρχῃ; καὶ γὰρ ἐν τῷ σῷ ναῷ χορεύουσιν ἅπαντες ἀεὶ λίπει εὐφραινόμενοι, καὶ ὄψοις διαφόροις τε καὶ πολλοῖς. Οὕτω δὴ εἶπεν ὁ τοῦ Κρόνου υἱός· πρὸς αὐτὸν δὲ εἶπεν ἡ Ἀθηνᾶ. Ὦ πάτερ, οὐδέποτ᾽ ἂν ἐγὼ τοῖς μυσὶ νικομένοις καὶ καταπονουμένοις παραγενοίμην βοηθὸς, ἐπειδὴ πολλὰ δεινά με εἰργάσαντο, τοὺς στεφάνους καὶ τὰ διαδήματα καταλύοντες καὶ τοὺς λίχνους χάριν τοῦ ἐλαίου· τοῦτο

Τοῦτο δέ μοι λίην ἔδακε φρένας· οἷα μ' ἔρεξαν·
Πέπλον μου κατέτρωξαν ὃν ἐξύφηνα καμοῦσα
Ἐκ ῥοδάνης λεπτῆς, καὶ στήμονα λεπτὸν ἔνησα,
Καὶ τρώγλας ἐτέλεσαν· ὁ δ' ἠπητής μοι ἐπέστη,
Καὶ πολύ με πράσσει, τούτου χάριν ἐξώργισμαι.
Χρησαμένη γὰρ ἔνησα, καὶ οὐκ ἔχω ἀνταποδοῦναι,
Καὶ πράσσει με τόκον, τόγ' ἐρίπονον ἀθανάτοισιν.
Ἀλλ' ὀυδ' ὧς βατράχοισιν ἀρηγέμεναι βουλήσω,
Εἰσὶ γὰρ οὐδ' αὐτοὶ φρένας ἔμπεδοι, ἀλλά με πρώην
Ἐκ πολέμου ἀνιοῦσαν, ἐπεὶ λίην ἐκοπώθην,
Ὕπνου δευομένην, ὀυκ εἴασσαν θορυβοῦντες
Οὐδ' ὀλίγον καταμῦσαι· ἐγὼ δ' ἄϋπνος κατεκείμην,
Τὴν κεφαλὴν ἀλγοῦσα, ἕως ἐβόησεν ἀλέκτωρ.
Ἀλλ' ἄγε παυσώμεσθα, θεοὶ, τούτοισιν ἀρήγειν,
Μή κέ τις ἡμείων τρωθῇ βέλει ὀξυόεντι·
Μή τις καὶ λόγχῃ τυπῇ δέμας ἠὲ μαχαίρᾳ·
Εἰσὶ γὰρ ἀγχέμαχοι, καὶ εἰ θεὸς ἀντίον ἔλθοι·
Πάντες δ' ὀυρανόθεν τερπώμεθα δῆριν ὁρῶντες.
Ὣς ἄρ ἔφη· τῇ δ' αὖτε πεπείθοντο θεοὶ ἄλλοι
Πάντες, ὁμῶς δὲ ἀολλέες ἤλυθον ἐς ἕνα χῶρον.
Κὰδδ' ἦλθον κήρυκε τέρας πολέμοιο φέροντε.
Καὶ τότε κώνωπες μεγάλας σάλπιγγας ἔχοντες
Δεινὸν ἐσάλπιζον πολέμου κτύπον· ὀυρανόθεν δὲ
Ζεὺς κρονίδης βρόντησε τέρας πολέμοιο κακοῖο.
Πρῶτος δ' Ὑψιβόας Λειχήνορα ὄυτασε δουρὶ,
Ἑσταότ' ἐν προμάχοις κατὰ γαστέρα εἰς μέσον ἧπαρ·
Κὰδδ' ἔπεσεν πρηνὴς, ἁπαλὰς δ' ἐκόνισσεν ἐθείρας·
Τρωγλοδύτης δὲ μετ' αὐτὸν ἀκόντισε Πηλείωνα.

δὲ λίαν ἔπληξε τὴν ἐμὴν διάνοιαν, ὧ οἷά με εἰργάσαντο, τὸν πέπλον μου κατέφαγον ὃν πονήσασα ὕφανα ἐκ κρόκης λεπτῆς, καὶ στήμονα λεπτὸν ἔκλωσα, καὶ τρύπας ἐποίησαν, ὁ ῥάπτης δέ μοι παρεγένετο, καὶ ἀπαιτεῖ με πολύ· τούτου ἕνεκα ἐθυμώθην, δανεισαμένη γὰρ ἔκλωσα, καὶ νῦν οὐκ ἔχω ἀποδοῦναι, καὶ ἀπαιτεῖ με τόκον καὶ γινόμενον, τὸ δὴ φοβερόν ἐστι τοῖς ἀθανάτοις θεοῖς. Οὐ μὴν ἀλλ᾽ οὐδὲ οὕτως τοῖς βατράχοις βοηθεῖν ἐθελήσω· οὐδὲ γὰρ αὐτοὶ εἰσὶ βέβαιοι τὸν νοῦν, ἀλλά με πρότερον ἐκ τοῦ πολέμου ἐπανερχομένην ἐπειδὴ σφόδρα κόπου ἐπλήσθην, ὕπνου δεομένην οὐκ ἀφῆκαν, θόρυβον καὶ ταραχὴν ποιοῦντες, οὐδ᾽ ἐπὶ μικρὸν ἐπικλίναι καὶ καταμύσαι τὰ βλέφαρα· ἐγὼ δὲ ἄγρυπνος κατεκείμην, τὴν κεφαλὴν ὀδυνωμένη, ἕως ἐφώνησεν ὁ ἀλεκτρυών. Ἀλλ᾽ ἄγετε λήξωμεν, ὦ Θεοὶ, τούτοις βοηθεῖν μή τις ἡμῶν πληγῇ βέλει ὀξεῖ καὶ τμητικῷ, μή τις καὶ δόρατι τὸ σῶμα τρωθῇ ἢ ξίφει, εἰσὶ γὰρ οἷοι ἐκ τοῦ σύνεγγυς μάχεσθαι, εἰ καὶ ὁ θεὸς ἐναντίον παραγένοιτο, πάντες δὲ ἐκ τοῦ οὐρανοῦ τὴν μάχην θεώμενοι εὐφραινώμεθα καὶ ἀγαλλώμεθα. Οὕτως εἶπεν· ταύτῃ δὲ ἐπείσθησαν οἱ ἄλλοι θεοὶ· σύμπαντες δὲ οἱ ὁμόθεν ἀθρόοι συνῆλθον εἰς ἕνα τόπον. Κατῆλθον δὲ οἱ κήρυκες τὸ τοῦ πολέμου σύνθημα φέροντες. καὶ τότε δὴ κώνωπες μεγάλας σάλπιγγας φέροντες φοβερὸν ἐσάλπιζον κτύπον πολέμου καὶ μάχης, ἐκ τοῦ οὐρανοῦ δὲ Ζεὺς ὁ υἱὸς τοῦ Κρόνου ἐβρόντησε σημεῖον πολέμου χαλεποῦ. Πρῶτος δὲ Ὑψιβόας δόρατι ἔτρωσεν Λειχήνορα, ἑστῶτα ἐν τοῖς πρωταγωνισταῖς, παρὰ τὸν γαστέρα εἰς τὸ μέσον τοῦ ἥπατος κατέπεσε δὲ ἐπὶ πρόσωπον, τὰς ἁπαλὰς δὲ τρίχας ἐνέφυρε τῇ κόνῃ. Τρωγλοδύτης δὲ μετ᾽ αὐτὸν ἔβαλε τὸν Πηλέως υἱὸν, ἔπηξε δὲ ἐν τῷ

Πῆξεν δὲ ἐν στέρνῳ στιβαρὸν δόρυ, τὸν δὲ πεσόντα
Εἷλε μέλας θάνατος, ψυχὴ δ᾽ ἐκ σώματος ἔπτη.
Σευτλαῖος δ᾽ ἄρ ἔπεφνε βαλὼν κέαρ Ἐμβασίχυτρον·
Ἀρτοφάγος δὲ Πολύφωνον κατὰ γαστέρα τύψεν.
Ἤριπε δὲ πρηνὴς, ψυχὴ δὲ μελέων ἐξέπτη.
Λιμνόχαρις δ᾽ ὡς εἶδεν ἀπολλύμενον Πολύφωνον,
Τρωγλοδύτην ἁπαλοῖο δι᾽ αὐχένος τρῶσεν ἐπιστὰς
Πέτρῳ μυλοειδέϊ, τὸν δὲ σκότος ὄσσ᾽ ἐκάλυψε.
Τρωγλωδύτης δ᾽ ἄρ ἔπεφνε Βρεκαικίστα ἐσθλὸν ἀΐξας,
Ὠκιμίδην δ᾽ ἄχος εἷλε, καὶ ἤλασεν ὀξέϊ σχοίνῳ,
Ἀλλ᾽ ὁ μὲν ἔσπασεν ἔγχος, ἐφώρμησαν δὲ ἐπ᾽ αὐτῷ.
Οὐ δ᾽ αὖ ἧκεν ὅ γ᾽ ἔγχος ἐναντίον, ἤριπε δ᾽ εὐθὺς·
Λειχήνωρ δ᾽ ἄρα Κωστοφάγοιο τιτύσκετο δουρὶ.
Οὗτος δ᾽ ὡς ἐνόησεν φεύγων ἔμπεσεν ὄχθαις,
Ἀλλ᾽ οὐδ᾽ ὧς ἀπέληγεν, ἐν ὕδασι δ᾽ ἤλασεν αὐτὸν·
Κάππεσε δ᾽, οὐδ᾽ ἀνένευσεν· ἐβάπτετο δ᾽ αἵματι λίμνη
Πορφυρέῳ, αὐτὸς δὲ παρ᾽ ἠϊον ἐξετανύσθη,
Χορδαῖσι λιπαραῖσιν ἐπορνύμενος λαγόνεσσι.
Τυρογλύφον δ᾽ ἐπ᾽ ὄχθαις Λιμνήσιος ἐξενάριξε.
Πτερνογλύφον δὲ ἰδὼν Καλαμίνθιος εἰς βάθος ἦλθε,
Ἥλατο δ᾽ ἐς λίμνην φεύγων, τὴν ἀσπίδα ῥίψας.
Φιτραῖον δ᾽ ἄρ ἔπεφνεν ἀπύμων Ἐμβασίχυτρος.
Ὑδρόχαρις δ᾽ ἔπεφνε πτερνοφάγον βασιλῆα.
Χερμαδίῳ πλήξας κατὰ βρέγματος· ἐγκέφαλος δὲ,
Ἐκ ῥινῶν ἔσταζε, παλάσσετο δ᾽ αἵματι γαῖα.
Λειχοπίναξ δ᾽ ἔκτεινεν ἀμύμονα Βορβορκοίτην,
Ἔγχει ἐπαΐξας· τὸν δὲ σκότος ὄσσ᾽ ἐκάλυψε.
Πρασσοφάγος δ᾽ ἐσιδὼν, ποδὸς εἵλκυσε νεκρὸν ἐόντα

στήθει τὸ στερεὸν δόρυ, πεσόντα δὲ αὐτὸν κατείληφεν ὁ σκοτεινὸς θάνατος, ἡ ψυχὴ δὲ ἀπέπτη, καὶ ᾤχετο ἐκ τοῦ σώματος. Σευτλαῖος δὲ τρώσας Ἐμβασίχυτρον παρὰ τὴν καρδίαν ἀνεῖλεν· Ἀρτοφάγος δὲ ἔπληξε κατὰ τὴν γαστέρα Πολύφωνον, ἔπεσε δὲ ἐπὶ πρόσωπον, ἡ ψυχὴ δὲ ἀπέπτη καὶ ᾤχετο ἀπὸ τῶν μελῶν. Λιμνόχαρις δὲ ἐπειδὴ ἐθεάσατο τὸν Πολύφωνον ἀνῃρημένον, ἐπελθὼν ἔπληξε τὸν Τρωγλοδύτην κατὰ τὸν ἀπαλὸν τράχηλον λίθῳ στρογγύλῳ τε καὶ τραχεῖ, σκότος δὲ αὐτὸν κατὰ ὀφθαλμοὺς περιεκάλυψε. Τρωγλωδύτης δὲ ἐφορμήσας ἀπέκνεινε Βρεκαίκιστα ἀγαθὸν καὶ ἀνδρεῖον· Ὠκιμίδην δὲ κατείληφε λύπη μεγάλη, καὶ ἔβαλε τῷ ὀξεῖ σχοίνῳ, ἀλλ' οὗτος ἔσπασε μὲν τὸ δόρυ, ὥρμησαν δὲ ἐπ' αὐτὸν οὐδ' αὖθις ἀφῆκεν οὗτός γε ἐναντίον τὸ δόρυ παραχρῆμα γάρ τοι κατέπεσε· Λειχήνωρ δὲ Κωστοφάγου κατεστοχάζετο δόρατι· οὗτος δὲ ἐπειδὴ ἐθεάσατο, φεύγων ἐνέπεσε εἰς τὰς ὄχθας, ἀλλ' οὐδὲ οὕτως ἐπαύετο αὐτός· ἀλλ' ἐν τῷ ὕδατι ἔτρωσεν αὐτόν. κατέπεσε δὲ, οὐδὲ ἀνέκυψεν ἔτι, ἐβάπτετο δὲ ἡ λίμνη τῷ αἵματι τῷ πορφυρῷ· αὐτὸς δὲ ἐπὶ τὴν παρειὰν πεσὼν ἐξήπλωτο, ἐπὶ χολάσι πίοσιν ἐπισαλεύων τοῖς λαγόσιν. Τυρογλύφον δὲ παρὰ ταῖς ὄχθαις Λιμνήσιος ἀπέκτεινεν, Πτερνογλύφον δὲ θεασάμενος ὁ Καλαμίνθιος κατέδυ εἰς τὸ βάθος, ἐπήδησε δὲ εἰς τὴν λίμνην φεύγων, τὴν ἀσπίδα ἀποῤῥίψας· Φυτραῖον δὲ ἀπέκτεινεν ὁ βέλτιστος Ἐμβασίχυτρος· Ὑδρόχαρις δὲ ἀνεῖλε Πτερνοφάγον τὸν βασιλέα, παίσας αὐτὸν λίθῳ χειροπληθεῖ κατὰ τὸ ὑπερμετώπιον· ὁ ἐγκέφαλος δὲ κατεστάλαξεν ἀπὸ τῶν ῥινῶν· διεβρέχετο δὲ καὶ ἐφύρετο ἡ γῆ τῷ αἵματι. Λειχοπίναξ δὲ ἀνεῖλε τὸν ἄμεμπτον Βορβοροκοίτην δόρατι ἐφορμήσας· σκοτία δὲ αὐτὸν κατὰ τοὺς ὀφθαλμοὺς περιεκάλυψεν· Πρασοφάγος δὲ θεασάμενος εἵλκυσεν αὐτὸν ἀπὸ τοῦ ποδὸς νεκρὸν ὄντα, καὶ κατέθηκεν ἐν

Ἐν λίμνῃ δ' ἀπέθηκε, κρατήσας χειρὶ τένοντα.
Ψιχάρπαξ δ' ἤμυν' ἑτάρων περὶ τεθνειώτων,
Καὶ βάλε Πρασσοφάγον, μήπω γαίης ἐπιβάντα,
Πίπτε δέ οἱ πρόσθεν· ψυχὴ δ' Ἄϊδόςδε βεβήκει·
Πηλοβάτης δ' ἐσιδὼν, πηλοῦ δράκα ῥίψεν ἐπ' αὐτῷ,
Καὶ τὸ μέτωπον ἔχρισε, καὶ ἐξετύφλου παρὰ μικρόν.
Ὠργίθη δ' ἄρ ἐκεῖνος, ἑλὼν δέ γε χειρὶ παχείῃ
Κείμενον ἐν γαίῃ λίθον ὄβριμον, ἄχθος ἀρούρης,
Τῷ βάλε Πηλοβάτην ὑπὸ γούνατα, πᾶσα δ' ἐκλάσθη
Κνήμη δεξιτερὴ, πέσε δ' ὕπτιος ἐν κονίῃσι.
Κραυγασίδης δ' ἤμυνε, καὶ οὔτω βαῖνεν ἐπ' αὐτῷ·
Τύψε μέσην δ' αὐτὸν κατὰ γαστέρα, πᾶς δέ οἱ εἴσω
Ὀξύσχοινος δῦνε· χαμαὶ δ' ἔχυντο ἅπαντα
Ἔγκατ' ἐφελκομένῳ ὑπὸ δούρατι χειρὶ παχείῃ·
Σιτοφάγος δ' ὡς εἶδεν ἐπ' ὄχθῃσιν ποταμοῖο,
Σκάζων ἐκ πολέμου ἀνεχάζετο, τείρετο δ' αἰνῶς·
Ἥλατο δ' ἐς τάφρον, ὅππως φύγῃ αἰπὺν ὄλεθρον.
Τρωξάρτης δ' ἔβαλεν Φυσίγναθον ἐς πόδα ἄκρον·
Ἔσχατος δ' ἐκ λίμνης ἀνεδύσατο, τείρετο δ' αἰνῶς.
Πρασσαῖος δ' ὡς εἶδεν ἔθ' ἡμίπνουν προπεσόντα,
Ἦλθε δὶα προμάχων, καὶ ἀκόντισεν ὀξέϊ σχοίνῳ·
Οὐδ' ἔῤῥηξε σάκος, σχέτο δ' αὐτοῦ δουρὸς ἀκωκή.
Τοῦ δ' ἔβαλε τρυφάλειαν ἀμύμονα, καὶ τετράχυτρον
Δῖος Ὀρηγανίων μιμούμενος αὐτὸν Ἄρηα,
Ὃς μόνος ἐν βατράχοισιν ἀρίστευεν καθ' ὅμιλον.
Ὥρμησαν δ' ἄρ ἐπ' αὐτὸν· ὁ δ' ὡς ἴδεν οὐχ ὑπέμεινεν
Ἥρωας κραταιοὺς, ἀλλ' ἔδυ βένθεα λίμνης.
Ἦν δέ τις ἐν μύεσσι νέος παῖς ἔξοχος ἄλλων,

τῇ λίμνῃ· περιλαβὼν τὸν τένοντα αὐτοῦ τῇ χειρί· Ψιχάρπαξ δὲ ἐπεβοήθει μαχόμενος ὑπὲρ τῶν ἀποθανόντων φίλων, καὶ ἔτρωσε τὸν Πρασοφάγον μήπω εἰς γῆν ἐλθόντα ἔπεσε δὲ ἔμπροσθεν, αὐτοῦ δὲ ἡ ψυχὴ ᾤχετο ἔξω. Πηλοβάτης δὲ θεασάμενος πηλοῦ ὅσον δράξαι τῇ χειρὶ, ἔρριψεν ἐπ' αὐτὸν, καὶ ἔχρισε τὸ μέτωπον, καὶ παρ' ὀλίγον ἐξετύφλωσεν. ἐθυμώθη δὲ ἐκεῖνος, καὶ λαβὼν τῇ παχείᾳ καὶ ἰσχυρᾷ χειρὶ λίθον κείμενον ἐν τῇ γῇ, μέγα βάρος γῆς, Τούτῳ ἔπαισε τὸν Πηλοβάτην κατὰ τὰ γόνατα· πᾶσα δὲ συνετρίβη ἡ δεξιὰ κνήμη, ἔπεσε δὲ ἐπὶ τὰ μετάφρενα ἐν τῇ κόνει. Κραυγασίδης δὲ ἐπεβοήθει, καὶ οὕτως ἐπῆλθε κατ' αὐτοῦ ἔπαισε δὲ κατὰ τὸ μέσον τῆς γαστρὸς αὐτοῦ· πᾶς δὲ αὐτῷ εἰς τὸ ἔνδον ὁ ὀξὺς σχοῖνος εἰσῆλθεν· ἐπὶ τὴν γῆν δὲ ἐξεχύθη πάντα τὰ ἐντὸς ὑπὸ τοῦ δόρατος ἀποσπωμένου χειρὶ παχείᾳ καὶ ἰσχυρᾷ. Σιτοφάγος δὲ ἐπειδὴ ἐθεάσατο παρὰ ταῖς ὄχθαις τοῦ ποταμοῦ ὁρμῶν ἐκ τοῦ πολέμου ἀνεχώρει, κατεπονεῖτο δὲ χαλεπῶς. ἐπήδησε δὲ εἰς τὴν τάφρον, ἵνα διαφύγῃ τὸν ἀφανιστικὸν θάνατον. Τρωξάρτης δὲ ἔτρωσε τὸν Φυσίγναθον εἰς τὸ ἄκρον τοῦ ποδός· τελευταῖος δὲ ἐκ τῆς λίμνης ἀνέβη, κατεπονεῖτο δὲ χαλεπῶς. Πρασσαῖος δὲ ἐπειδὴ ἐθεάσατο προπεσόντα ἔτι τὰ τελευταῖα πνέοντα, ἐπορεύθη διὰ τῶν πρωταγονιστῶν, καὶ ἔβαλε σχοίνῳ ὀξεῖ· οὐδ' ἔσχισε τὴν ἀσπίδα, ἀλλ' ἐπεσχέθη αὐτόθι ἡ τοῦ δόρατος αἰχμή. τούτου δὲ ἀμώμητον καὶ τετράχυτρον ἔπαισε κράνος ὁ ἔνδοξος Ὀριγανίων, μιμούμενος τὸν Ἄρεα αὐτὸν τὸν θεὸν, ὃς δὴ μόνος ἐν τοῖς βατράχοις ἠνδραγάθει κατὰ τὸν στρατόν. Ὥρμησαν δὴ οὖν ἐπ' αὐτόν· οὗτος δὲ ἐπειδὴ ἐθεάσατο οὐκ ἔτλη καρτερῶν τοὺς ἀνδρείους ἥρωας· ἀλλὰ κατέβη εἰς τὸ βάθος τῆς λίμνης ἦν δὲ τις ἐν τοῖς μυσὶ νέος διαφέρων τῶν ἄλλων δόρατι μαχόμενος ἀεὶ, υἱὸς ἀγαπητὸς τοῦ

Ἀγχέμαχος, φίλος υἱὸς ἀμύμονος Ἀρτεπιβούλου,
Μεριδάρπαξ ὄρχαμος αἰνῷ ἶσος Ἄρηϊ.
Ὅς ρα ἰὼν πολέμοιο μετασχεῖν παῖδ' ἐκέλευσεν.
Αὐτὸς δ' ἑστήκει μεγαλοφρονέων κατὰ λίμνην:
Οὗτος ἀναρπάξαι βατράχων γένος ἐπηπείλει
Καὶ ῥήξας καρύου μέσσην ῥάχην εἰς δύο μέρη
Φράγδην ἀμφοτέροισιν ἐν ὤμοισι χερσὶν ἔθηκε.
Οἱ δε τάχος δείσαντες ἔβαν πάντες κατὰ λίμνην,
Καί νή κεν ἐξετέλεσσεν, ἐπεὶ μέγα οἱ σθένος ἦεν,
Εἰ μὴ ἄρ ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε θεῶν τε,
Καὶ τότ' ἀπολλυμένους βατράχους ᾤκτειρε Κρονίων·
Κινήσας δὲ κάρη, τοίην δ' ἐφθέγξατο φωνήν.
Ὦ πόποι, ἦ μέγα ἔργον ἐν ὀφθαλμοῖσιν ὁρῶμαι,
Οὐ μικρὸν μ' ἔπληξε Μεριδάρπαξ, ὃς κατὰ λίμνην
Ἐνναίρειν βατράχους βλεμεαίνων· ἀλλὰ τάχιστα
Αaλλάδα πέμψωμεν πολεμόκλονον, ἠδὲ καὶ Ἄρηα,
Οἵ μιν ἀποσχέσουσι μάχης κρατερόν περ ἐόντα.
Ὣς ἄρ ἔφη Κρονίδης· Ἄρης δ' ἀπαμείβετο μύθῳ.
Οὔτ' ἄρ Ἀθηναίης, Κρονίδη, σθένος. οὔτε Ἄρηος
Ἰσχύσει βατράχοισιν ἀρηγέμεν αἰπὺν ὄλεθρον.
Ἀλλ' ἄγε πάντες ἴωμεν ἀρηγόνες, ἢ τὸ σὸν ὅπλον
Κινείσθω, οὕτω γὰρ ἁλώσεται ὅς κεν ἄριστος·
Ὡς Τιτᾶνάς ποτε πέφνες ἀρίστους ἔξοχα πάντων,
Ὥςποτε κατὰ νῆα κατέκτανες ὄβριμον ἄνδρα,
Καὶ Κελάδοντ' ἐπέδησας ἰδ' ἄγρια φῦλα γιγάντων
Ὣς ἄρ ἔφη· Κρονίδης δ' ἔβαλε ψολόεντα κεραυνόν.
Πρῶτα μὲν ἐβρόντησε, μέγαν δ' ἐλήλιξεν Ὄλυμπον,
Αὐτὰρ ἔπειτα κεραυνὸν, δειμαλέον Διὸς ὅπλον

βελτίστου Ἀρτεπιβούλυ, Μεριδάρπαξ ἡγεμὼν ὅμοιος τῷ φοβερῷ Ἄρει, ὃς δὴ ἐπελθὼν ἐκέλευσε τὸν υἱὸν μετασχεῖν τοῦ πολέμου, αὐτὸς δὲ ἵστατο μέγα φρονῶν καὶ ἐπαιρόμενος κατὰ τὴν λίμνην, οὗτος ἀφανίσαι τὸ γένος τῶν βατράχων διετείνετο, καὶ σχίσας ἀναμέσον τὴν ῥάχην τοῦ καρύου εἰς δύο μέρη, ἔθηκε ταῖς χερσὶν ἐπίφραγμα ἐν ἀμφοτέροις τοῖς ὤμοις· οὗτοι δὲ παραχρῆμα φοβηθέντες ἔδραμον πάντες πρὸς τὴν λίμνην, καὶ δὴ ἐτελείωσεν ἂν τὸ ἔργον ἐπειδὴ μεγάλη αὐτῷ δύναμις ἦν, εἰ μὴ ταχέως εἶδεν αὐτὸν ὁ πατὴρ τῶν ἀνδρῶν καὶ τῶν θεῶν, καὶ τότε δὴ ἀπολλυμένους τοὺς βατράχους ἐλέησεν ὁ τοῦ Κρόνου υἱός. κινήσας δὲ τὴν κεφαλὴν, τοιαύτην ἀφῆκε φωνήν. Φεῦ φεῦ· ὄντως που μέγα θαῦμα τοῦτο θεῶμαι τοῖς ὀφθαλμοῖς, οὐ μετρίως με δάκνει καὶ λυπεῖ Μεριδάρπαξ, ὃς παρὰ τὴν λίμνην ἀποκτείνειν τοὺς βατράχους γαυριᾷ καὶ ἐπαίρεται· ἀλλ᾽ ὅτι τάχος Παλλάδα ἀποστείλωμεν τὴν πολεμικὴν, καὶ τὸν Ἄρεα, οἳ ἀποστήσουσιν αὐτὸν τοῦ πολέμου καίπερ ὄντα ἰσχυρὸν καὶ γενναῖον· οὕτω δὴ εἶπεν ὁ τοῦ Κρόνου υἱός· ὁ Ἄρης δὲ ἀπεκρίνατο λέγων· οὐχ ἡ τῆς Ἀθηνᾶς δύναμις, ὦ υἱὲ τοῦ Κρόνου, οὐδὲ τοῦ Ἄρεος δυνήσεται βοηθῆσαι τοῖς βατράχοις καὶ ἀποσοβῆσαι τὸν χαλεπὸν θάνατον ἀλλ᾽ ἄγετε πάντες πορευθῶμεν εἰς βοήθειαν, ἢ τὸ σὸν ὅπλον κινηθήτω. οὕτω γὰρ κρατηθήσεται ὅστις ἂν κράτιστος ᾖ, ὥσπερ καὶ τοὺς Τιτᾶνας τὸ πάλαι ἀνεῖλες κρατίστους ὄντας ὑπὲρ ἅπαντας, ὥσπερ καὶ ἐν νηὶ τὸ πάλαι ἀπέκτεινας ἄνδρα ἰσχυρὸν, καὶ Κελάδοντα ἐδέσμευσας καὶ τὰ ἄγρια γένη τῶν Γιγάντων. Οὕτω δὴ εἶπεν· ὁ τοῦ Κρόνου δὲ υἱὸς ἀφῆκε κεραυνὸν καυστικόν. Πρῶτον μὲν οὖν ἐβρόντησε, καὶ τὸν μέγαν οὐρανὸν συνετάραξεν, ἔπειτα δὲ κεραυνὸν φοβερὸν ὅπλον Διὸς ἀφῆκε,

Ἧκ' ἐπιδινήσας, ὁ δ' ἄρ ἔπτατο χειρὸς ἄνακτος.
Πάντας μὲν ῥ' ἐφόβησε βαλὼν βατράχους τε μῦάς τε.
Ἀλλ' οὐδ' ὧς ἀπέληγε μυῶν στρατὸς, ἀλλ' ἔτι μᾶλλον
Ἔλπετο πορθήσειν βατράχων γένος αἰχμητάων,
Εἰ μὴ ἀπ' Οὐλύμπου βατράχους ἐλέησε Κρονίων,
Ὅς τις τειρομένοισιν ἀρωγοὺς αὐτὸς ἔπεμψεν·
Ἦλθον δ' ἐξαίφνης Νωτάκμονες, Ἀγκυλοχῆλαι,
Λοξοβᾶται, Στρεβλοὶ, Ψαλιδόστομοι, Ὀστρακόδερμοι,
Ὀστοφυεῖς, Πλατύνωτοι, ἀποστίλβοντες ἐν ὤμοις,
Βλαισσοὶ, Χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες,
Ὀκτάποδες, Δικάρηνες, Ἀχειρέες, οἱ δὲ καλεῦνται
Καρκῖνοι. οἵ ῥα μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον,
Ἠδὲ πόδας καὶ χεῖρας, ἀνεγνάμπτοντο δὲ λόγχαι.
Τοὺς δ' ὑπέδδεισαν μῦες ἅπαντες, οὐδ' ἔτ' ἔμειναν
Ἐς δὲ φυγὴν ἐτράποντο. ἐδύετο δ' ἥλιος ἤδη,
Καὶ πολέμου τελετὴ μονοήμερος ἐξετελέσθη.

συστρέψας· οὗτος δὲ ἀπέπτη ἐκ τῆς χειρὸς τοῦ βασιλέως. Πάντας μὲν οὖν εἰς φόβον ἐνέβαλε κεραυνώσας ἐπὶ μόνους τοὺς μύας· οὐ μὴν, ἀλλ' οὐ δ' οὕτως ἀπεπαύετο ὁ ςρατὸς τῶν μυῶν, ἀλλ' ἔτι μᾶλλον ἤλπιζεν ἀφανίσειν τὸ γένος τῶν βατράχων τῶν πολεμιστῶν· εἰ μὴ ἐξ οὐρανοῦ ἠλέησε τοὺς βατράχους ὁ τοῦ Κρόνου υἱός. ὅς τις καταπονουμένοις βοηθοὺς αὐτὸς ἀπέστειλεν. ἀφίκοντο γὰρ αἰφνιδίως τινὲς νῶτα ἔχοντες ὅμοια ἄκμοσι καὶ καμπύλους ὄνυχας, πλαγίως πορευόμενοι, σκολιοὶ, ψαλιδόςομοι, καὶ ἔχοντες δέρματα στερεὰ καὶ ὀστρακώδη, ὀστώδεις τὸ ὅλον σῶμα, εὐρεῖς τὰ νῶτα, μαρμαίροντες ἐν τοῖς ὤμοις, ςρεβλόποδες, χεῖρας ἐκτεταμένας ἔχοντες, ἀπὸ τοῦ ςήθους ὁρῶντες, ὀκτὼ πόδας ἔχοντες, δύο κεφαλὰς, πολλὰς χεῖρας· οὗτοι δὲ ὀνομάζονται Καρκῖνοι· οἳ δὴ τὰς οὐρὰς τῶν μυῶν ἔτεμνον τοῖς στόμασιν, καὶ τοὺς πόδας καὶ τὰς χεῖρας, ἐκάμπτοντο δὲ καὶ κατερρήγνυντο τὰ δόρατα, τούτους δὲ ἐφοβήθησαν ἅπαντες οἱ μῦες, οὐδ' ἔτι παρέμειναν, εἰς φυγὴν δὲ ἐτράπησαν· ὁ ἥλιος δὲ ἔδυνε, καὶ τὸ τοῦ πολέμου τέλος εἰς μίαν ἡμέραν ἐτελεσιουργήθη.

'Αναπλήρωσις τοῦ κειμένου ἐκ τῶν δύο 'Αντιγρ. 3. καὶ 10. τοῦ Plut. 32.	'Αναπλήρωσις τῆς παραφράσεως ἐκ τῆς τοῦ Ψελλοῦ.
στιχ. Υ	Υ
155 - - - - - - - - - - -	ὁδὲ ζεὺς ἐφ' ὕψει καθήμενος ἐκέλευε.
475 - - - - - - - - - - -	λαβὴν ἔχοντι·
Φ	Φ
71 αὐτὰρ ὁ τῇ ἑτέρῃ μὲν ἑλὼν ἐλλίσσετο γούνων	λαβόμενος τῶν γονάτων ἐλιτάνευε, τῇ δὲ ἄλλῃ
215 ἀνδρῶν. αἰεὶ γάρ τοι ἀμύνουσι θεοὶ αὐτοί.	τῶν ἀνδρῶν· ἀεὶ δέ σοι βοηθοῦσιν οἱ θεοὶ αὐτοί.
225 - - - - - - - - - - -	τοῦ Ἕκτορος πεῖραν λαβεῖν
292 - - - - - - - - - - -	σὺ δὲ αὐτὸς γνώσῃ
352 - - - - - - - - - - -	ἐφύετο
541 - - - - - - - - - - -	ἔλαβον
Χ	Χ
102 - - - - - - - - - - -	ὀλεθρίαν
509 - - - - - - - - - - -	φάγονται.
Ψ	Ψ
85 - - - - - - - - - - -	τοῦ Ὀποῦντος
122 - - - - - - - - - - -	καὶ τῶν συνεχῶν φριγάνων
296 - - - - - - - - - - -	
336 - - - - - - - - - - -	ἡσύχως ἐπὶ τὰ ἀριξερὰ τούτων· τὸν δὲ δεξιὸν ἵππον
403 - - - - - - - - - - -	καὶ ἡμᾶς αὐτοὺς ἐκτείνεται πάνυ ταχύτατα
426 - - - - - - - - - - -	τοὺς ἵππους
425 - - - - - - - - - - -	αἱ ταχύποδες.
698 - - - - - - - - - - -	ἐντεῦθεν λείπει πλέον ἡ παράφρασις τοῦ Ψελλοῦ
Ω	Ω
73 - - - - - - - - - - -	
192 - - - - - - - - - - -	
209 - - - - - - - - - - -	
312 Δεξιόν. ὄφρα μιν αὐτὸς ὀφθαλμοῖσι νοήσας,	

	Τὸ κείμενον τῦ Ἀντιγράφυ	Τὸ κείμενον τοῦ Heyne
	Υ	Υ
ϛιχ.		
11	ἐφίζανον	ἐνίζανον
16	ἀγορὴν δ' ἐκάλεσας	ἀγορὴν δὲ κάλεσας
42	τέως Ἀχαιοὶ	τέως ἄρ Ἀχαιοὶ
——	μέγ' ἐκύδανον	μέγα κύδανον
57	ἔνερθε	νέρθε
59	πολυπιδάκου	πολυπίδακος.
64	φανείη	φανήη
84	ἃς	πὰς
77	γε	ἑ
95	ἠδ' ἐκέλ...	ἠδὲ κέλ...
135	ἦμεν	εἱμὲν
147	ἀλέαιτο	ἀλέοιτο
156	ἐλάμπετο	λάμπετο
155	ὤκνεον	ὄκνεον
195	σ' ἐρύ...	σὲ ῥύ...
218	πολυπιδάκου	πολυπίδακος
212	ἐξαπονέεσθαι	ἐξ ἀπονέεσθαι
228	ὅτε δὴ	ὅτε δὲ
247	ἑκατόνζυγος	ἑκατόζυγος
240	δ' ἔτεχ'	δὲ τέχ'
254	ἀγυιὰν	ἄγυιαν
272	χρυσῆν	χρυσέην
312	λείπει	Πηλείδῃ Ἀχιλῆϊ δαμήμεναι ἐσθλὸν ἐόντα
370	τῷ δ'	τοῦδ'
384	Ὕλης	Ὕδης
392	ὡς ἔφατ' εὐχόμ...	ὡς φάτ' ἐπευχόμ...
449	ἐρύσσατο	ἐρύσατο

ϛιχ.		
453	νῦν ἂυ τοὺς ἄλλους ἐπιείσ...	νῦν δ' ἄλλους Τρώων ἐπιείσ...
485	πνεύμονι	νηδύϊ
	Φ	Φ
4	οἱ ἄλλοι	Ἀχαιοὶ
12	ὑπαὶ	ὑπὸ
33	κατακτάμεναι	δαϊζέμεναι
38	ἕρπηκας	ὄρπηκας
42	δ' ἔδωκεν	δὲ δῶκεν
78	μ' ἐπ...	μὲ π...
87	ὑπὸ	ἐπὶ
101	τίμοι	δέμοι
105	συμπάντων	καὶ πάντων
106	αὔτως	οὕτως
110	κἀμοὶ	καὶ ἐμοὶ
111	δείλη	δείλης
112	ἄρη	ἄρει
122	ὠτειλῆς	ὠτειλὴν
141	Ἀξῖος	Ἀξιὸς
157	ἐμὴ γενεὴ ἐξ Ἀξίου	ἐμοὶ γενεὴ ἐξ Ἀξιοῦ
158	Ἀξίου	Ἀξιοῦ
176	ἐρύσσασθαι	ἐρύσσεσθαι
210	Θρασιόν τε	Θρασίον τε
235	ἅλις ἔσαν	ἔσαν ἅλις
248	θεὸς μέγας	μέγας θεὸς
251	ἐρωὴν	ἐρωὴ
279	τέτραφ'	γ' ἔτραφ'
282	ἐρχθεντ'	ἐρχθέντ'
301	δαϊκταμένων	δαϊ κταμένων
323	τυμβοχοῆς	τυμβοχοῆσ'
357	ἰσοφαρίζειν	ἀντιφαρίζειν

ϛιχ.		
394	κυνόμυια	κυνάμυια
411	ἰσοφαρίζεις	ἀντιφαρίζεις
414	ἀρήγεις	ἀμύνεις
416	φιλομηδὴς	Διὸς θυγάτηρ
421	κυνόμυια	κυνάμυῖα
427	προσηύδα	ἀγόρευε
434	λείπει	Ὣς φάτο· μήδησεν δὲ θεὰ λευκώλενος Ἥρη.
454	ἀποκόψειν	ἀποκοψέμεν
462	πτολεμίζω	πτολεμίξω
479	λείπει	Νείκησεν Ἰοχέαιραν ὀνειδίοις ἐπέεσι
496	γὰρ	δὲ
508	λείπει	Μαψιδίως ὡσεί τε κακὸν ῥέζουσαν ἐνοπῇ;
521	δ' ἔθηκε	δὲ θῆκε
522	κήδε' ἔθηκε	κέδεα θῆκε
526	γίνεθ'	γίγνεθ'
527	ὀτρυνέων	ὀτρύνων
533	ἄληται	ἄληται
578	πρόσθ' ἔσχετο	πρόσθε σχέτο
600	στρέψας	τρέψας
605	πόλεως	πόλιος
607	ἀσπασίως	ἐσσυμένως.
	X	X
13	κτανέεις	κτενέεις
28	ἄστρασι	ἀστράσι
51	ὀνομάκλυτος	ὄνομα κλυτός.
85	ἰὼν	ἐὼν
113	ἀντίον	ἀντίος
117	τ'	δ'

ϛιχ.		
126	μὴν	μὲν
164	ἵππος	ἢ τρίπος
346	ἀνείη	ἀνήῃ
357	ἔνδοθι	ἐν φρεσὶ
386	ἄκλαυστος	ἄκλαυτος
400	ἄκοντε	ἀέκοντε
——	ῥ'	δ'
402	πίλναντο	πίτναντο
414	δ' ἐλλιτάνευε	δὲ λιτάνευε
479	ὑπὸ Πλάκῳ	Ὑποπλάκῳ
480	μ' ἔτρεφε	μὲ τράφε

	Ψ	Ψ
26	ἕκαστοι	ἕκαστος
45	χεῦσαι	χεῦαι
61	κλύζεσκεν	κλύζεσκον
82	Ἰφιδάμαντος	Ἀμφιδάμαντος
89	με δεξάμενος	μὲ, δεξάμενος
90	ἔτρεφε	ἔτραφε
120	διαπλήσσοντες	διαπλήσοντες
198	τ' ἐσσεύε ...	τε σεύε ...
240	διαγινώσκοντες	διαγιγνώσκοντες
243	μὲν ἐν	μὲν
244	Ἄϊδος	Ἄϊδι
264	δυο καὶ εἰκοσίμετρον	δυοκαιεικοσίμετρον
280	ἡνιοχῆος	ἡνιόχοιο
283	ἑσταότε	ἑσταότες
287	ἔγερθεν	ἄγερθεν
288	Ἔυμηλος	Ἐΰμηλος
327	οργυι'	ὄργυι'
334	ἐγχρίψας	ἐγχρίμψας
338	ἐγχριφθήτω	ἐγχριμφθήτω

στιχ.		
354	δ' ἔλαχε	δὲ λάχε
362	ἵπποιϊν	ἵπποισι
376	Αἰφηρητιάδαο	αἱ Φηρητιάδαο
391	κοτέουσ' ἐβεβήκει	κοτέουσα βεβήκει
436	ἀνατρέψειαν	ἀναστρέψειαν
440	φαμὲν	φάμεν
483	νείκει	νεῖκος
554	χερσὶ	χείρεσσι
568	χερσὶ	χειρὶ
581	εἰ	αἰ
614	τάλαντά, τέταρτος ὡς	τάλαντα τέταρτος, ὡς
622	ἐνδύσεαι	ἐσδύσεαι
623	ἔπεισιν	ἐπείγει
678	Ταλαονίδαο	Ταλαϊονίδαο
693	ἔπι	ἐν
733	ἀναΐξαντ' ἐπάλαιον	ἀναΐξαντε πάλαιον
750	λοισθῆ'	λοισθήϊ'
772	δ' ἔθηκε	δὲ θῆκε
777	ϛόματε ῥῖνές τε	στόματε ῥῖνάς τε
797	δ' ἐδέξετο	δὲ δέξατο
800	Σαρπηδόντος	Σαρπήδοντος
810	παραθείσομαι	παραθείσωμαι
866	ἀυτὰρ ὁ μήρινθον τάμε πικρὸς ὀϊϛὸς	αὐτὰρ ὁ μήρινθον βάλε παρ πόδα, τῇ δέδετ' ὄρνις 'Αντικρὺ δ' ἀπὸ μήρινθον τάμε πικρὸς ὀϊστός

Ω		Ω
20	τεθνηῶτα	τεθνειότα
26	Ποσιδάωνι	Ποσιδάων'

ϛιχ.

39	ὠτρύνεσκον	ὀτρύνεσκον
48	ὀδυρόμενος	ὀδυράμενος
79	ἐπεστονάχησε	ἐπεστενάχησε
109	ὠτρύνεσκον	ὀτρύνεσκον
175	σ' ἐκέλευσεν	σὲ κέλευσεν
179	ἅμαξαν	ἄμαξαν (κ. τ. λ. οὕτω)
270	ἐκ δ' ἔφερον	ἐκ δὲ φέρον
316	μορφνὸν	μόρφνον
320	ὑπὲρ ἄστεος	κατὰ ἄστεος
331	Ζἢ — Ν ἐς	Ζὴν' Ἐς
344	ἐθέλει	ἐθέλῃ
347	αἰσυητῆρι	αἰσυμνητῆρι
370	καὶ δὲ	ἠδὲ
385	παῖς ἐπεδεύετ'	πάϊς ἐπιδεύετ'
388	ὅς μοι	ὥς μοι
397	Πολυήτωρ	Πολύκτωρ
403	οἵ γε	οἵδε
411	τόν δε	τόν γε
417	φανείη	φανήῃ
418	θειοῖο	θηοῖο
428	ἀπεμνήσαντο	ἐπεμνήσαντο
793	κασίγνητοι ἕταροί τε	κασίγνητοι θ' ἕταροί τε
801	τ' ἀναγειρόμενοι	συναγειράμενοι

Εἰς τρία, τέσσαρα μέρη ἡ παράφρασις διαφωνεῖ ἀπὸ τὸ κείμενον, ἀλλ' οὕτως εὑρίσκεται ἐν τῷ ἀντιγράφῳ, καὶ οὕτως ἐφυλάχθη· μάλιστα δὲ ὅτι ὁ νοῦς ἀμφοτέρως ἔῤῥωται.

Τῶν σφαλμάτων τοῦ κειμένου διόρθωσις.

στοιχ.	στίχ.		Γράφε
Υ	9	ποίηεντα	ποιήεντα
	17	ἢ	ἦν
	104	ἀλλά γε	ἀλλ' ἄγε
	161	δὲ ἐπεβήκει . . .	δὴ ἐβεβήκει
	171	ἕε	ἑὲ
	263	δ' ἐλ	διελ . . .
	438	πνοιῇ Ἀχιλῆος. .	πνοιῇ, Ἀχιλῆος
	489	βαθέ.	βαθέ'
	501	απ'	ἀπ'
Φ	106	τίν	τίη
	172	μεσοπαλὲς . . .	μεσοπαγὲς
	261	κελαρυζει	κελαρύζει
	349	φλόβα	φλόγα
	353	οἱ	οἳ
	391	οὔτι	οὐκέτι
	536	Τρῷων . . . . : .	Τρώων
Χ	87	τέκος	θάλος
	104	ἀτασθαλίῃσιν . . .	ἀτασθαλίῃσιν ἐμῇσιν
	190	ἄγχεα	ἄγκεα
	273	δολιχόσκον . . .	δολιχόσκιον
	275	ἔγχος	ἔγχος
Ψ	27	ἐριαύχενας . . .	ὑψηχέας
	42	στυγερῶς	στερεῶς
	47	ἵλετ'	ἵξετ'
	272	Ἀτρείδη	Ἀτρεῖδαι
	102	συμπατάγ	συμπλατάγ . . .
	199	μετάγγελος . . .	μέτ' ἄγγελος
	219	ἔχων	ἑλὼν
	573	οἱ	ὅτι οἱ
	801	Ἀργείοσιν . . .	Ἀργείοισιν
Ω	267	πρωτοπαγῆ . . .	πρωτοπαγῆ
	312	ἐφθαλμοῖσι . . .	ὀφθαλμοῖσι
	377	νόον	νόῳ

Τῶν σφαλμάτων τῆς Παραφράσεως διόρθωσις.

σελ.	στιχ.		Γράφε
123	13	ἀνδρὸς ὁ Ἀσυ...	ἀνδρὸς, ὁ Ἀσυ...
239	26	ἡγεμονυόντων	ἡγεμονευόντων

Γίνεται γνωστὸν εἰς τοὺς ἀγοραστὰς τῆς παρούσης ὁμηρικῆς ἐκδόσεως ὅτι ἀκολουθήσει καὶ εἷς τόμος ἐν εἴδει συντόμου λεξικοῦ, περιέχων τὰ ἐν τῇ Ἰλιάδι Μυθολογικὰ καὶ Ἱστορικὰ μετὰ καὶ Γεωγραφικοῦ πίνακος, ἀλλ' ἡ τιμὴ αὐτοῦ ἔσται ἰδία.

